

1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

HISTORIA

PHILOSOPHIAE GRAECAE.

TESTIMONIA AUCTORUM CONLEGERUNT NOTISQUE INSTRUXERUNT

H. RITTER ET L. PRELLER.

EDITIO SEPTIMA

QUAM CURAVERUNT

FR. SCHULTESS ET ED. WELLMANN.



GOTHAE.
SUMPTIBUS FRIDR. ANDR. PERTHES.
1888.

PRAEFATIO.

Anno 1838 Ritteri et Prelleri liber fuerat primum in lucem editus. Quo duce postquam per hoc spatium tot milia discentium ad philosophiae graecae fontes accesserunt, postremo iam tempus fuit, praeceptorem ipsum, ne obsoleta traderet, ea quae recentior hominum aetas vel invenisset vel correxisset adsumere.

Totius operis habitum renovare es scientiae esset amplioris et otii liberioris. Itaque seorsum a ceteris prodeunt ii qui ante Socratem fuerunt philosophi. Nimirum sicut nullius partis cognitio interim magis promota est quam physicorum, ita aliquantum iis accrevit existimationis. Et est haec causa, cur, quod reliquis in partibus nec mihi neque aliis ignoscerem, hic de industria commiserim, ut volumen haud ita paucis foliis augerem.

Philosophiae graecae scriptori, doxographorum Simpliciique editori quantum lucis quantum praesidii debeat sapientiae antiquissimae memoria, hic quoque liber testis est non invitus; in quo tanta est nominum Zeller et Diels frequentia, ut sua

utrumque littera principali inducere saepe satis habuerim.

Quodsi in hac linguarum ac dialectorum permixtione, hac auctorum et locorum et inscriptionum turba tamen aut vitium aliquod aut discrepantia me fugerit, lectorum aeque iudicantium veniam mihi non defuturam confido.

Scr. Hamburgi Nonis Iuniis 1886.

F. S.

Librum diuturno multorum usu probatum retractanti quae via tenenda esset cum a prioris partis editore satis dilucide videatur expositum esse, restat ut id unum adiciamus, brevitate in ceteris quam maxime fieri poterat observata duo indices operi adiectos esse, quos, quamvis sicut cetera a nobis novata non sufficiant subtiliori eruditorum iudicio, tamen praesenti discentium commoditati aliquo modo utiles fore speramus.

Scr. Berolini Kal. Septembr. 1888.

E. W.

CAPITUM CONSPECTUS.

Prolegomena.

---

1 Laert. Diog. I 1. *Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι* [a]. *γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις Μάγους, παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ Γυμνοσοφιστὰς παρ' Ἰνδοῖς, παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους* [1], *καθά φησιν Ἀριστοτέλης ἐν τῷ Μαγικῷ* [2] *καὶ Σωτίων ἐν τῷ κγ* [l. *ιγ* [3]] *τῆς Διαδοχῆς. Φοίνικά τε γενέσθαι Μῶχον* [4], *καὶ Θρᾷκα Ζάμολξιν, καὶ Λίβυν Ἄτλαντα. Αἰγύπτιοι μὲν γὰρ Νείλου γενέσθαι παῖδα Ἥφαιστον, ὃν ἄρξαι φιλοσοφίας, ἧς τοὺς προεστῶτας ἱερέας εἶναι καὶ προφήτας.* origo externa.

a. Fr. Schaefer, quid Graeci de origine philosophiae a barbaris ducenda existimaverint, sec. Diogenis L. prooemium exponit, diss. Lips. 1877. Ex oriente ductam etiam recentiorum nonnulli statuerunt, veterum illi somnia repetentes; ut Roeth, *Gesch. unserer abendländischen Philos.*, I, 1846, 2. ed. 1862; II, 1858. Similiter Gladisch Pythagoreos et Chinenses (1841), Eleatas et Indos (1844), Empedoclem et Aegyptios (1858), Heraclitum et Zoroastrum (1859), Anaxagoram et Israelitas (1864) composuit. Adde Gladisch, *Religion u. Phil. in ihrer weltgesch. Entw.* (Breslau 1852).

2 Diog. I 3. *Λανθάνουσι δ' αὐτοὺς τὰ τῶν Ἑλλήνων κατορθώματα, ἀφ' ὧν μὴ ὅτι γε φιλοσοφία ἀλλὰ καὶ γένος ἀνθρώπων* origo graeca.

---

1) *Σαμαναίους* cj. Röper *Philologus* I 652, coll. Clem. Strom. I 15, 71. p. 359 P. Prob. Nauck *Mél.* II 361. — 2) Fr. 30 R. Arist. V, 1479 a 28. — 3) De hoc numero Panzerbieter, *Seebode Jahrb.* V 218. Röper, *Philol.* III 25, Diels, Doxogr. 147 [1]. — 4) Traditum *Ὦχον*, sed cf. Zeller I [4] 765 n. Diels Dox. 350 [1].

ἦρξε, βαρβάροις προςάπτοντες. ἰδοὺ γοῦν παρὰ μὲν Ἀθηναίοις γέγονε Μουσαῖος, παρὰ δὲ Θηβαίοις Λίνος. — 4. καὶ ὧδε μὲν ἀφ' Ἑλλήνων ἦρξε φιλοσοφία, ἧς καὶ αὐτὸ τὸ ὄνομα τὴν βάρβαρον ἀπέστραπται προςηγορίαν.

nomen. Diog. I 12. Φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας [a] καὶ ἑαυτὸν φιλόσοφον, ἐν Σικυῶνι διαλεγόμενος Λέοντι τῷ Σικυωνίων τυράννῳ ἢ Φλιασίων, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῇ περὶ τῆς ἄπνου. μηδένα γὰρ εἶναι σοφὸν ἄνθρωπον ἀλλ' ἢ θεόν. θᾶττον δὲ ἐκαλεῖτο σοφία [b], καὶ σοφὸς ὁ ταύτην ἐπαγγελλόμενος, ὃς εἴη ἂν κατ' ἀκρότητα ψυχῆς ἀπηκριβωμένος· φιλόσοφος [c] δὲ ὁ σοφίαν ἀσπαζόμενος. οἱ δὲ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο· καὶ οὐ μόνον <οὗτοι>, ἀλλὰ καὶ οἱ ποιηταὶ σοφισταί. — — 13. σοφοὶ [d] δὲ ἐνομίζοντο οἵδε· Θαλῆς Σόλων Περίανδρος Κλεόβουλος Χείλων Βίας Πιττακός.

a. Cf. Diog. VIII 8; Cic. Tusc. V 8; Quintilian. Inst. Orat. XII 1, 19. Clem. Strom. I 61 extr. p. 351 P.; IV 9, p. 567 P. In Pythagoram transtulit Heraclides quod erat Socraticae modestiae proprium; v. Plat. Apol. 20. 23. Phaedr. 278 D, cf. Wilamowitz, *Philol. Unters.* I 214.

b. Ut a Philolao ap. Stob. I 490, RP 68 A extr. Pythagoram ipsum Herodotus IV 95 m (vide RP 41) σοφιστὴν appellat. Xenophon Memor. I 1, 11 de veteribus physicis: σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ.

c. Compositi vocabuli primus qui quidem exstet auctor Herod. I 30 ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας. Croesi verba cum Solone conloquentis.

septem sapientes. d. De septem sapientibus tenendum quod ait Dicaearchus ap. Diog. I 40 οὔτε σοφοὺς οὔτε φιλοσόφους αὐτοὺς γεγονέναι, συνετοὺς δέ τινας καὶ νομοθετικούς. Cic. Lael. 7 qui septem appellantur, eos, qui ista subtilius quaerunt, in numero sapientium non habent. Plut. Solon. 3 ὅλως ἔοικεν ἡ Θάλεω μόνου σοφία τότε περαιτέρω τῆς χρείας ἐξικέσθαι τῇ θεωρίᾳ· τοῖς δὲ ἄλλοις ἀπὸ τῆς πολιτικῆς ἀρετῆς τοὔνομα τῆς σοφίας ὑπῆρξε. Cf. Cic. Rep. I 12. Ac de quatuor nominibus, Thalete Biante Pittaco Solone, omnes consentiunt; dubitatur de tribus. Qua de re v. Diog. I 41. Dicaearchus quidem l. c. nominat Aristodemum Pamphilum Chilonem Cleobulum Anacharsim Periandrum. Adiciuntur ab Hermippo: Myson Acusilaus Epimenides Leophantus Pherecydes Lasus Anaxagoras Pythagoras. Sunt qui Pisistratum et Epicharmum huc referant; Hippobotus etiam Linum et Orpheum. Habes 22 nomina. Antiquissimus nominum index ap. Plat. Protag. 343 A. De convivio eorum, tum de tripode fabellam narrat Plut. Solon. 4. Plut. septem sap. conviv. Diog. I 27.

Primitias sapientiae Apollini Delphico dedicant: Plat. Prot. 343 A. B. Sententiae eorum: Demetr. Phal. ap. Stob. Flor. I 79. Diog. I 30. 33. 58. 63. 69. 85. 97. 103. 108. Septem sententiae hexametris inclusae: Anthol. Gr. IX 366. Solon unus scripta reliquisse putandus est, v. E. Hiller, *Litterarische Thätigkeit der 7 Weisen*, Mus. Rhen. 1878, 518.

4 Diog. I 13. *Φιλοσοφίας δὲ δύο γεγόνασιν ἀρχαί* [a], *ἥ τε* successio.
ἀπὸ Ἀναξιμάνδρου καὶ ἡ ἀπὸ Πυθαγόρου, τοῦ μὲν Θαλοῦ διακηκοότος, Πυθαγόρου δὲ Φερεκύδης καθηγήσατο· καὶ ἐκαλεῖτο ἡ μὲν Ἰωνική, ὅτι Θαλῆς Ἴων ὤν, Μιλήσιος γάρ, καθηγήσατο Ἀναξιμάνδρου, ἡ δὲ Ἰταλικὴ ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα κατὰ τὴν Ἰταλίαν ἐφιλοσόφησε. 14. *καταλήγει δὲ ἡ μὲν εἰς Κλειτόμαχον καὶ Χρύσιππον καὶ Θεόφραστον ἡ Ἰωνική, ἡ δὲ Ἰταλικὴ εἰς Ἐπίκουρον. Θαλοῦ μὲν γὰρ Ἀναξίμανδρος, οὗ Ἀναξιμένης, οὗ Ἀναξαγόρας, οὗ Ἀρχέλαος, οὗ Σωκράτης ὁ τὴν ἠθικὴν εἰσαγαγών, οὗ οἵ τε ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν συστησάμενος, οὗ Σπεύσιππος καὶ Ξενοκράτης, οὗ Πολέμων, οὗ Κράντωρ καὶ Κράτης, οὗ Ἀρκεσίλαος ὁ τὴν μέσην Ἀκαδημίαν εἰσηγησάμενος, οὗ Λακύδης ὁ τὴν νέαν Ἀκαδημίαν φιλοσοφήσας, οὗ Καρνεάδης, οὗ Κλειτόμαχος. καὶ ὧδε μὲν εἰς Κλειτόμαχον.* 15. *εἰς δὲ Χρύσιππον οὕτω καταλήγει· Σωκράτους Ἀντισθένης, οὗ Διογένης ὁ κύων, οὗ Κράτης ὁ Θηβαῖος, οὗ Ζήνων ὁ Κιτιεύς, οὗ Κλεάνθης, οὗ Χρύσιππος. εἰς δὲ Θεόφραστον οὕτως· Πλάτωνος Ἀριστοτέλης, οὗ Θεόφραστος. καὶ ἡ μὲν Ἰωνικὴ τοῦτον καταλήγει τὸν τρόπον, ἡ δὲ Ἰταλικὴ οὕτω· Φερεκύδους Πυθαγόρας, οὗ Τηλαυγὴς ὁ υἱός, οὗ Ξενοφάνης, οὗ Παρμενίδης, οὗ Ζήνων ὁ Ἐλεάτης, οὗ Λεύκιππος, οὗ Δημόκριτος, οὗ πολλοὶ μέν, ἐπ᾽ ὀνόματος δὲ Ναυσιφάνης καὶ Ναυκύδης, ὧν Ἐπίκουρος* [b].

a. Primus scripsit *διαδοχὴν τῶν φιλοσόφων* (Diog. II 12) Sotion Alexandrinus, fortasse Peripateticus. Vixit inter Chrysippum et Heraclidem Lembum Ptolemaeo Philometori aequalem, qui librum eius in epitomen redegit (Diels*, Doxogr. 147). Cf. de eo Panzerbieter, *Seebode Jahrb.* V 211. Roeper, *Philologus* III 22. Alii successionum scriptores comme-

* Doxographi Graeci. Collegit recensuit prolegomenis indicibusque instruxit Herm. Diels, Berolini 1879. Placitorum scriptores insunt: Aetii de Placitis reliquiae (Plutarchi epitome, Stobaei excerpta), Arii Didymi epitomes fragmenta physica, Theophrasti physic. opinionum, de sensibus fr., Ciceronis ex l. I de deorum natura, Philodemi ex l. I de pietate, Hippolyti philosophumena, Plutarchi stromateon fr., Epiphanii varia excerpta, Galeni historia philosopha, Hermiae irrisio gentilium philosophorum.

morantur Antisthenes Sosicrates Alexander; qui suae aetatis more, ut philosophus alter alteri disciplinam scholamque traderet, ad prisca Thaletis et Pythagorae tempora translato plurimum valuerunt ad temporum rationem obscurandam. Zumpt, *Über den Bestand d. philosoph. Schulen in Athen u. die Succession der Scholarchen*, Commentat. Reg. Acad. Berol. a. 1842, Berl. 1844, 27—119.

b. Cf. Clementis conspectum, Strom. I 62, p. 352 P., de quo Diels, Doxogr. 244. E. Rohde, *Verh. d. 34. Phil. Vers. z. Trier* p. 82.

sententiarum divortium. Diog. I 16. *Τῶν δὲ φιλοσόφων οἱ μὲν γεγόνασι δογματικοί, οἱ δ' ἐφεκτικοί· δογματικοὶ μὲν ὅσοι περὶ τῶν πραγμάτων ἀποφαίνονται ὡς καταληπτῶν· ἐφεκτικοὶ δὲ ὅσοι ἐπέχουσι περὶ αὐτῶν ὡς ἀκαταλήπτων.* 5 A

litterae. Diog. I 16. *Καὶ οἱ μὲν αὐτῶν κατέλιπον ὑπομνήματα, οἱ δ' ὅλως οὐ συνέγραψαν, ὥσπερ κατά τινας Σωκράτης Στίλπων Φίλιππος*[1] *Μενέδημος Πύῤῥων Θεόδωρος Καρνεάδης Βρύσων· κατά τινας Πυθαγόρας, Ἀρίστων ὁ Χῖος, πλὴν ἐπιστολῶν ὀλίγων. οἱ δὲ ἀνὰ ἓν σύγγραμμα· Μέλισσος Παρμενίδης Ἀναξαγόρας. πολλὰ δὲ Ζήνων, πλείω Ξενοκράτης*[2]*, πλείω Ἀριστοτέλης, πλείω Δημόκριτος, πλείω Ἐπίκουρος, πλείω Χρύσιππος.* 5 B

appellatio. Diog. I 17. *Τῶν δὲ φιλοσόφων οἱ μὲν ἀπὸ πόλεων προσηγορεύθησαν, ὡς οἱ Ἠλιακοὶ καὶ Μεγαρικοὶ καὶ Ἐρετρικοὶ καὶ Κυρηναϊκοί· οἱ δὲ ἀπὸ τόπων, ὡς οἱ Ἀκαδημικοὶ καὶ Στωικοί· καὶ ἀπὸ συμπτωμάτων δέ, ὡς οἱ Περιπατητικοί· καὶ ἀπὸ σκωμμάτων, ὡς οἱ Κυνικοί· οἱ δὲ ἀπὸ διαθέσεων, ὡς οἱ Εὐδαιμονικοί· τινὲς ἀπὸ οἰήσεως, ὡς οἱ Φιλαλήθεις καὶ Ἐλεγκτικοὶ καὶ Ἀναλογητικοί· ἔνιοι δ' ἀπὸ τῶν διδασκάλων, ὡς οἱ Σωκρατικοὶ καὶ Ἐπικούρειοι, καὶ τὰ ὅμοια*[a]. 5 C

a. Simplic. in Categ. Arist. praef. 5 fol. 1v E. Bas. 1551. *Αἱ μὲν οὖν κατὰ φιλοσοφίαν αἱρέσεις ἑπταχῶς ὀνομάζονται· ἢ ἀπὸ τοῦ συστησαμένου τὴν αἵρεσιν, ὡς οἱ Πυθαγόρειοι καὶ Πλατωνικοί· ἢ ἀπὸ τῆς τοῦ αἱρεσιάρχου πατρίδος, ὡς Κυρηναϊκοὶ οἱ ἀπὸ Ἀριστίππου καὶ Μεγαρικοὶ οἱ ἀπὸ Εὐκλείδου καὶ Ἐλεατικοὶ οἱ ἀπὸ Ξενοφάνους καὶ Παρμενίδου· ἢ ἀπὸ τοῦ τόπου ἐν ᾧ διέτριβον φιλοσοφοῦντες, ὡς Ἀκαδημαϊκοὶ καὶ Στωικοί· ἢ ἀπὸ συμβεβηκυίας ἐνεργείας, ὡς Περιπατητικοί· ἢ ἀπὸ τῆς ἐν τῷ φιλοσοφεῖν κρίσεως, ὡς Ἐφεκτικοὶ οἱ ἀπὸ Πύῤῥωνος· ἢ ἀπὸ τοῦ τέλους ὃ προτίθενται τῆς ἑαυτῶν φιλοσοφίας, ὡς Ἡδονικοὶ οἱ Ἐπικούρειοι· ἢ ἀπὸ τοῦ εἴδους τῆς ζωῆς, ὡς οἱ Κυνικοί.*

---

1) Nomen suspectum. Nietsche *Ἀρίστιππος*, Röper *Φίλων*, v. *Philologus* 30, 560. — 2) Corr. Ritschl op. I 185. Traditum *Ξενοφάνης*.

Idem persequuntur Ammon. Herm. in Categ. Arist. AA. fol. 2 a. Ald.; Philop. et David in Schol. Arist. 34 b; 22 b Brandis. Galen. Hist. phil. 4. Dox. 601, 19.

6 Diog. I 18. *Μέρη δὲ φιλοσοφίας τρία, φυσικὸν ἠθικὸν διαλεκτικόν· φυσικὸν μὲν τὸ περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ· ἠθικὸν δὲ τὸ περὶ βίου καὶ τῶν πρὸς ἡμᾶς· διαλεκτικὸν δὲ τὸ ἀμφοτέρων τοὺς λόγους πρεσβεῦον. καὶ μέχρι μὲν Ἀρχελάου τὸ φυσικὸν ἦν εἶδος· ἀπὸ δὲ Σωκράτους, ὡς προείρηται, τὸ ἠθικόν*[a]· *ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου τὸ διαλεκτικόν.* partes. tempora.

a. Cic. Tusc. V 10. Ab antiqua philosophia usque ad Socratem, qui Archelaum Anaxagorae discipulum audierat, numeri motusque tractabantur et unde omnia orerentur quove reciderent; studioseque ab iis siderum magnitudines, intervalla, cursus anquirebantur et cuncta caelestia. Socrates autem primus philosophiam devocavit e caelo et in urbibus conlocavit et in domus etiam introduxit et coegit de vita et moribus rebusque bonis et malis quaerere. 11. Cuius multiplex ratio disputandi rerumque varietas et ingenii magnitudo, Platonis memoria et litteris consecrata, plura genera effecit dissentientium philosophorum.

7 Diog. I 21. *Ἔτι δὲ πρὸ ὀλίγου*[a] *καὶ ἐκλεκτική τις αἵρεσις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων*[b]. tempora novissima.

a. Diogenes auctoris sui [? Hippoboti, cf. Wilamowitz, *Philol. Unters.* IV 327[3].] tempora transtulit. De Potamone Diels, Dox. 81[4].

b. Clem. Strom. I 37, p. 338 P. *φιλοσοφίαν δὲ οὐ τὴν Στωικὴν λέγω οὐδὲ τὴν Πλατωνικὴν ἢ τὴν Ἐπικούρειόν τε καὶ Ἀριστοτελικήν, ἀλλ' ὅσα εἴρηται παρ' ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς, δικαιοσύνην μετ' εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν φιλοσοφίαν φημί.* Numen. ap. Clem. Strom. I 150, p. 411 P. *τί γάρ ἐστι Πλάτων ἢ Μωυσῆς ἀττικίζων*; cf. Porphyr. Antr. Nymph. c. 10.

De neoplatonicae disciplinae origine dicit Hierocl. ap. Phot. cod. 251, p. 461[a] 24 Bekk. *Πολλοὶ τῶν ἀπὸ Πλάτωνος καὶ τῶν ἀπὸ Ἀριστοτέλους — μέχρι τούτου φιλονεικίας καὶ τόλμης ἤλασαν, ὡς καὶ τὰ συγγράμματα τῶν οἰκείων νοθεῦσαι διδασκάλων εἰς τὸ μᾶλλον ἐπιδεῖξαι τοὺς ἄνδρας ἀλλήλοις μαχομένους· καὶ διέμεινε τοῦτο τὸ πάθος ταῖς φιλοσόφοις διατριβαῖς ἐνσκῆψαν ἕως Ἀμμωνίου τοῦ Ἀλεξανδρέως τοῦ θεοδιδάκτου. οὗτος γὰρ πρῶτος ἐνθουσιάσας πρὸς τὸ τῆς φιλοσοφίας ἀληθινὸν καὶ τὰς τῶν πολλῶν δόξας ὑπεριδὼν τὰς ὄνειδος φιλοσοφίᾳ προστριβομένας, εἶδε καλῶς τὰ ἑκατέρου καὶ συνήγαγεν εἰς ἕνα καὶ τὸν αὐτὸν νοῦν, καὶ ἀστασίαστον τὴν φιλοσοφίαν παραδέδωκε πᾶσι τοῖς αὐτοῦ γνωρίμοις, μάλιστα δὲ τοῖς ἀρίστοις τῶν αὐτῷ συγγεγονότων, Πλωτίνῳ καὶ Ὠριγένει καὶ τοῖς ἑξῆς ἀπὸ τούτων.*

Thales.

aetas. Diog. I 37. Φησὶ δ' Ἀπολλόδωρος* ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς πέμπτης [a] ὀλυμπιάδος. 38. ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτὼ (ἢ ὡς Σωσικράτης φησίν, ἐνενήκοντα)· τελευτῆσαι γὰρ ἐπὶ τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος, γεγονότα κατὰ Κροῖσον, ᾧ καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περᾶσαι τὸ ῥεῖθρον παρατρέψαντα. 8 A

vita. Diog. I 22. Ἦν τοίνυν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος καὶ Δοῦρις καὶ Δημόκριτός φασι, πατρὸς μὲν Ἐξαμύου [b], μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν [1], οἵ εἰσι Φοίνικες εὐγενέστατοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος, καθὰ καὶ Πλάτων [2] φησί. καὶ πρῶτος σοφὸς ὠνομάσθη ἄρχοντος Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ. ἐπολιτογραφήθη [3] δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε [3] σὺν Νειλέῳ ἐκπεσόντι Φοινίκης· ὡς δ' οἱ πλείους φασίν, ἰθαγενὴς Μιλήσιος ἦν καὶ γένους λαμπροῦ [c]. 23. μετὰ δὲ τὰ πολιτικὰ τῆς φυσικῆς ἐγένετο θεωρίας, καὶ κατά τινας μὲν σύγγραμμα κατέλιπεν οὐδέν [d] — κατά τινας δὲ δύο μόνα συνέγραψε, περὶ τροπῆς καὶ ἰσημερίας. 8 B

a. Falsum esse aut hunc aut medium numerum, docet extremus. Diels [4] mus. rh. XXXI, 16 restituit ol. 39, 1. Solis defectum, quem

---

1) Non recte Meineke cj. *Βηλιδῶν*, Del. poet. anthol. gr. Berl. 1842 p. 210. — 2) Theaet. 174. Prot. 343. — 3) Roeper, *Philologus* 30, 563: *ἐπολιτογραφήθησαν* — *ἦλθον* (sc. Thelidae). Verba a sua sede dirempta, inde male intellecta. — 4) Aliter Unger, *Philologus* 41, 619—624, qui pro ol. 35, 1 scribit 35, 4 (Δ pro Α): ut inter ol. 35, 4 et 58, 2 (637/6—547/6 a. Chr.) intervallum nonaginta annorum efficiatur.

*) H. Diels, *Chronologische Untersuchungen über Apollodors Chronika*, in Mus. Rhen. vol. XXXI, 1876, p. 1 sqq.

Thales praedixit (Herod. I 74), Alyatte rege ol. 48, 4 factum esse testatur Plin. H. N. II 12, 53. Consentiunt astrologi recentiores cum alii (quorum comment. ap. Z. I[4]. 169 not., Ueberweg § 12, Diels p. 17) tum Zech, *Astronom. Unters.*, Lipsiae 1853; qui quidem in d. 28. mai. 585 eum incidisse statuunt. Cf. etiam Airy, *Philosoph. Transactions.* 143, p. 179. Apollodorus ipse quoque anno 58 5/4 hoc memorabile factum adscripsit; nam ob hanc certe causam ἀκμὴν eius, i. e. annum aetatis 40, eo rettulit. Mors Thaletis eidem anno atque Sardium excidium i. e. 546 adscripta est. Quod etiam Eusebius Hieronymus Cyrillus ol. 35 natum tradunt, nihil nos movet nisi ut errorem illum a Dielesio correctum (ΛΘ pro ΛΕ) iam in communi omnium fonte fuisse agnoscamus. Quo errore sublato si non veritatis memoria revocatur at chronographorum ratio constat: 624—546 = 78. De Damasiae (II) anno fluctuant hom. doctorum sententiae (58 6/5?). Marmor Par. anno 582 ol. 49, 3 illigat.

b. Scripsit de Thalete F. Decker, de Thal. Mil., dissert., Halle 1865. Cf. Krische, *Forschungen*, p. 34—42. C. A. Bretschneider, *Die Geometr. vor Euklid.* Lpz. 1870, p. 35. Th. Bergk, *Griech. Liter.-Gesch.* II 416.

c. Herod. I 170 χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο (sc. γνώμη) τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος, ὃς ἐκέλευεν ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι, τὸ δὲ εἶναι ἐν Τέῳ.

Cadmeos Boeotos una cum Nelidis in Joniam transmigrasse testatur Herod. I 146; Prienensibus admixtos fuisse, Strabo XIV 1, 3 p. 633; 12 p. 636. Pausan. VII 2, 7. Hellanicus ap. Hesych. v. Καδμεῖοι. Ipse quibus praeterea consiliis publice bene meruerit, v. Herod. I 74. 75. Diog. 25. Notae sunt fabellae: meditantem ancilla Thracia irridet, Plat. Theaet. 174 A (respici Antisthenis matrem natione Thraciam exp. F. Dümmler, Antisthenica, Halle 1882, p. 13); vituperatus ob inutilitatem sapientiae suae oleo coempto lucrum facit, Arist. Polit. I 11. 1259 a 6. Cic. div. I 111.

d. Aristoteles cum de Thalete disputat semper aut quid alii de eo tradiderint aut quid ipse coniectando suspicetur commemorat. Ut Met. I 3 (RP 9) λαβὼν ἴσως τὴν ὑπόληψιν cet. De anima I 2. 405a 19 ἐξ ὧν ἀπομνημονεύουσι. De Caelo II 13. 294 a 28 τὸν λόγον ὃν φασιν εἰπεῖν Θαλῆν τὸν Μιλήσιον. Vel inde apparet libros qui ferebantur fuisse suppositos. Z. I[4] 174[1]. Nominatur praeter illos Ναυτικὴ ἀστρολογία, quem librum Diog. 23 Phoci Samii esse, Simpl. Phys. 6r; p. 23, 32 D unicum Thaletis haberi, Plut. Pyth. or. 18 versibus inclusum fuisse perhibet. Cf. Diog. 34 ἔπη. De inventis eius mathematicis et astrologicis Callimach. et Eudem. ap. Diog. I 23; Hieronym. ibid. 27. Proclus in Eucl. 79. Achilles* Isag. Arat. c. I, p. 123. Cic. Rep. I 22. 25. Eudemus in Astro- libri.

---

*) „Ignotae aetatis Achilles, quem Suidae fraude decepti vulgo Statium vel Tatium appellitant. Diversus enim est a fabularum scriptore

logiae historia* ap. Theon. Smyrn. p. 198, 14 Hiller. Proclus in Eucl. 19: *Θαλῆς δὲ πρῶτον εἰς Αἴγυπτον ἐλθὼν μετήγαγεν εἰς τὴν Ἑλλάδα τὴν θεωρίαν ταύτην* (scil. *γεωμετρίαν*). *καὶ πολλὰ μὲν αὐτὸς εὗρε, πολλῶν δὲ τὰς ἀρχὰς τοῖς μετ' αὐτὸν ὑφηγήσατο, τοῖς μὲν καθολικώτερον ἐπιβάλλων, τοῖς δὲ αἰσθητικώτερον.*

principium aqua. Arist. Met. I 3. 983[b] 6. *Τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει*[a] *μόνας*[b] *ᾠήθησαν ἀρχὰς εἶναι πάντων· ἐξ οὗ γάρ ἐστιν ἅπαντα τὰ ὄντα καὶ ἐξ οὗ γίγνεται πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην ἀρχήν φασιν εἶναι τῶν ὄντων.* 983[b] 18. *τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης*[c] *ἀρχηγὸς φιλοσοφίας ὕδωρ φησὶν εἶναι (διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήνατο εἶναι), λαβὼν* cur aqua. *ἴσως τὴν ὑπόληψιν ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον καὶ τούτῳ ζῶν (τὸ δ' ἐξ οὗ γίγνεται, τοῦτ' ἐστιν ἀρχὴ πάντων), διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν, τὸ δ' ὕδωρ ἀρχὴν τῆς φύσεως εἶναι τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας*[d] *οὕτως οἴονται περὶ τῆς φύσεως ὑπολαβεῖν· Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν. τιμιώτατον μὲν γὰρ τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν.* 9 A

De Caelo II 13. 294[a] 28. *οἱ δ' ἐφ' ὕδατος κεῖσθαι* (sc. *φασὶ τὴν γῆν*). *τοῦτον γὰρ ἀρχαιότατον παρειλήφαμεν τὸν λόγον, ὅν φασιν εἰπεῖν Θαλῆν τὸν Μιλήσιον, ὡς διὰ τὸ πλωτὴν εἶναι μένουσαν ὥσπερ ξύλον ἤ τι τοιοῦτον ἕτερον.* 9 B

Plac.** I 3. Dox. 276. *στοχάζεται δ' ἐκ τούτου πρῶτον ὅτι* 9 C

---

grammaticus, qui praeter etymologias et variam historiam commentarium in Aratum conscripsit, unde excerpta servavit cod. Laurentianus XXVIII 44." Diels, Dox. 18, 19. Deinceps addit, certe eum scripsisse ante IV saec. medium, videri autem vixisse non multo post II saec. exiens.

*) Ex hoc fonte derivata videntur quaecunque de geometricis Thaletis studiis cum alibi (praeter Theophrastum?) tum apud Proclum et Theonem inveniuntur, cf. Usener, Anal. Theophr. 17.

**) Sic breviter significamus ea quae falso inter Plutarchi Moralia

πάντων τῶν ζῴων ἡ γονὴ ἀρχή ἐστιν ὑγρὰ οὖσα. οὕτως εἰκὸς καὶ τὰ πάντα ἐξ ὑγροῦ τὴν ἀρχὴν ἔχειν. δεύτερον ὅτι πάντα τὰ φυτὰ ὑγρῷ τρέφεται καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ ξηραίνεται. τρίτον ὅτι καὶ αὐτὸ τὸ πῦρ τὸ τοῦ ἡλίου καὶ τὸ τῶν ἄστρων ταῖς τῶν ὑδάτων ἀναθυμιάσεσι τρέφεται, καὶ αὐτὸς ὁ κόσμος [e].

a. „Subtilius hoc videtur dixisse Aristoteles quam si dixisset: *τὴν ὕλην μόνην ᾠήθησαν ἀρχὴν εἶναι πάντων.* Quae enim principia veteres posuerunt philosophi, maxime Ionici, ea materiae, qualem Aristoteles statuit, comparari quidem possunt ita, ut ad idem causarum genus videantur referenda esse, nec tamen ipsam referunt Aristotelicam materiae notionem. Aristoteli enim materia mera est potentia generandi, veterum autem principia materialia iam certa aliqua qualitate definita.“ Bonitz in comment. p. 62.

b. Enumerat antea 983ᵃ 27 quae ipse indagavit principiorum genera quatuor: *μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι . . . . ἑτέραν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, τρίτην δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τετάρτην δὲ . . . . τὸ οὗ ἕνεκα καὶ τἀγαθόν.* Cf. quae sequuntur de posteriorum philosophorum hac in quaestione progressu: *προϊόντων δ' οὕτως αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς καὶ συνηνάγκασε ζητεῖν κτλ.* 984ᵃ 18.

c. Non universae philosophiae, sed eius quaestionis et investigationis, qua materialia principia quaerenda et ea pro principiis omnium rerum habenda esse primum statuerunt. Bonitz p. 63.

d. Cogitandum de Homero (Il. XIV 201; 246) fortasse etiam de Hesiodo et Orpheo. Cf. Plato Cratyl. 402, B.

e. Alias rationes, quibus Thales ductus esse videatur, ex suo ingenio recentiores afferunt; velut Simplic. Phys. 8ᵛ, p. 36 D. *Θαλῆς (ἀπεῖδεν) εἰς τὸ γόνιμον καὶ τρόφιμον καὶ συνεκτικὸν καὶ ζωτικὸν καὶ εὐτύπωτον τοῦ ὕδατος.* Heraclit. Allegor. Hom. 22, p. 45: *ἡ γὰρ ὑγρὰ φύσις εὐμαρῶς εἰς ἕκαστα μεταπλαττομένη πρὸς τὸ ποικίλον εἴωθε μορφοῦσθαι· τό τε γὰρ ἐξατμιζόμενον αὐτῆς ἀεροῦται, καὶ τὸ λεπτότατον ἀπὸ ἀέρος αἰθὴρ ἀνάπτεται, συνιζάνον τε τὸ ὕδωρ καὶ μεταβαλλόμενον εἰς ἰλὺν ἀπογαιοῦται· διὸ δὴ τῆς τετράδος τῶν στοιχείων ὥσπερ αἰτιώτατον Θαλῆς ἀπεφήνατο τὸ ὕδωρ.* Hippol.* Ref. I 1 Dox. 555. *οὗτος ἔφη ἀρχὴν τοῦ παν-* aliae causae.

---

feruntur Placita philosophorum; de quibus Euseb. Praep. ev. 13, 9 *γράφει δὴ ἀθρόως ἁπάντων — — τὰς δόξας συναγαγὼν ὁ Πλούταρχος ἐν οἷς ἐπέγραψε· περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις φυσικῶν δογμάτων.* Compilavit Aetii similem librum (v. pag. 10) epitomator quidam circa medium saec. II. Christ. mem., ante annum 177, post mortem Plutarchi. Doxogr. 1—43; editur ibid. 273—444.

*) *Ἱππολύτου τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου βιβλίον α'. φιλοσοφούμενα.* In codicibus seorsum sub ficto Origenis nomine circumfertur. Adhibuit Hippolytus (c. 220 p. Chr.) Theophrasti Opiniones excerptas. Cf. Doxogr. 144, 153; editur ibid. 551—576.

τὸς εἶναι καὶ τέλος τὸ ὕδωρ. ἐκ γὰρ αὐτοῦ τὰ πάντα συνίστασθαι πηγνυμένου καὶ πάλιν διανιεμένου ἐπιφέρεσθαί τε αὐτῷ τὰ πάντα, ἀφ' οὗ καὶ σεισμοὺς καὶ πνευμάτων συστροφὰς καὶ ἄστρων κινήσεις γίνεσθαι. Quod Simpl. Phys. 39 r; 180, 14 D iam Thaletem (ut Anaximenem) μανώσει καὶ πυκνώσει τὴν γένεσιν ποιοῦντα facit, adversarium habet Theophrastum, v. RP 19 b.

anima. Arist. de Anima I 5. 411a 7. Καὶ ἐν τῷ ὅλῳ [a] δέ τινες αὐτὴν (sc. τὴν ψυχὴν) μεμῖχθαί φασιν, ὅθεν ἴσως [b] καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι. 10 A

deus. Stob. ecl. I 56 Dox. 301: Θαλῆς νοῦν [c] τοῦ κόσμου τὸν θεόν, τὸ δὲ πᾶν ἔμψυχον ἅμα καὶ δαιμόνων πλῆρες [d]· διήκειν δὲ διὰ τοῦ στοιχειώδους ὑγροῦ δύναμιν θείαν κινητικὴν αὐτοῦ. 10 B

a. Arist. ibid. I 2. 405a 19. Ἔοικε δὲ καὶ Θαλῆς ἐξ ὧν ἀπομνημονεύουσι κινητικόν τι τὴν ψυχὴν ὑπολαβεῖν, εἴπερ τὸν λίθον ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ. Diog. I 24. Ἀριστοτέλης δὲ καὶ Ἱππίας φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις διδόναι ψυχάς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου.

b. Aristotelis haec est interpretatio. Cavendum tamen ne quam de mundi anima doctrinam tam prisco philosopho imputemus. Vivam credidit materiam atque in naturae viribus deos eosdem, quos populus, praesentes. Pietatem Thaletis defendit Teichmüller, *Studien*, 567.

c. „Hanc sententiam si quis a Theophrasto repetierit, non hercle repugnabo. nam ut ille solet magistri verba repetere vel amplificare, Aristoteleam de Thalete coniecturam (ἴσως de an. I 5) fortasse amplexus est. unde posteri fortiter affirmarunt velut Laertius I 27 τὸν κόσμον ἔμψυχον καὶ δαιμόνων πλήρη. neque sententia Aetio* (Plac. I 7) alia subest. at oratio est Stoico colore fucata.“ Diels Doxogr. 128.

---

*) Theodoretus in Graecarum affectionum curatione IV 31 commemorat Ἀετίου τὴν περὶ ἀρεσκόντων ξυναγωγήν. Hunc placitorum collectorem H. Diels demonstravit communem esse fontem, unde tres quae exstant collectiones fluxerint: 1. Pseudo-Plutarchi placita philosophorum, 2. Stobaei eclogae, 3. Theodoreti libri IV cap. 5 sq. Verissimam Aetii imaginem reddi Plutarchea epitoma, nisi quod in formam multo angustiorem redacta sit. Vixisse Aetium sub finem saec. Christ. I vel initio saec. II ille eius sospitator conicit.

Nec tamen ipsum e Theophrasto videri sua hausisse, sed citra hunc latere propiorem quendam fontem, vetusta quae Diels appellat Placita, sub finem septimi a. U. saeculi conscripta eclecticorum aetate, tum cum stoicorum notiones usquequaque regnare coepissent. Nam recentia inesse multa et antiqua recenter tractata. Cf. Doxogr. 48. 100. 128. 201. De Theophrasto v. pag. 13.

In Thaletem tales de duplici principio opiniones et falso et sero esse translatas, cognoscitur ex Arist. Met. I 3. 984ᵃ 11—27. b, 15—18. *φανερῶς μὲν οὖν Ἀναξαγόραν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων, αἰτίαν δ' ἔχει πρότερον Ἑρμότιμος ὁ Κλαζομένιος εἰπεῖν.* Perperam igitur Cicero Deor. nat. I 25 Thales . . . aquam dixit rerum initium, deum autem eam mentem, quae ex aqua cuncta fingeret. De fontibus loci Tulliani disp. A. B. Krische, *Forschungen*, p. 34. Hirzel, *Unters.* I. Diels, Doxogr. 121—127.

d. Thaletem describit Plato, de Leg. X 899 B: *ἄστρων δὲ δὴ πέρι πάντων καὶ σελήνης ἐνιαυτῶν τε καὶ μηνῶν καὶ πασῶν ὡρῶν πέρι τίνα ἄλλον λόγον ἐροῦμεν ἢ τὸν αὐτὸν τοῦτον, ὡς ἐπειδὴ ψυχὴ μὲν ἢ ψυχαὶ πάντων τούτων αἴτιαι ἐφάνησαν, ἀγαθαὶ δὲ πᾶσαν ἀρετήν, θεοὺς αὐτὰς εἶναι φήσομεν, εἴτε ἐν σώμασιν ἐνοῦσαι, ζῷα ὄντα, κοσμοῦσι πάντα οὐρανὸν εἴτε ὅπῃ τε καὶ ὅπως; ἔσθ' ὅστις ταῦτα ὁμολογῶν ὑπομενεῖ μὴ θεῶν εἶναι πλήρη πάντα;*

Anaximander.

vita. Diog. II 1. Ἀναξίμανδρος [a] Πραξιάδου Μιλήσιος. — — 11 εὗρε δὲ καὶ γνώμονα [b] πρῶτος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, τροπάς τε καὶ ἰσημερίας σημαίνοντα, καὶ ὡροσκόπια κατεσκεύασε. 2. καὶ γῆς καὶ θαλάσσης περίμετρον πρῶτος ἔγραψεν· ἀλλὰ καὶ σφαῖραν κατεσκεύασε. τῶν δὲ ἀρεσκόντων αὐτῷ πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ἥπερ περιέτυχε [c] καὶ Ἀπολλόδωρος [d] ὁ Ἀθηναῖος. ὅς καί φησιν αὐτὸν ἐν τοῖς Χρονικοῖς τῷ δευτέρῳ ἔτει τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος ἐτῶν εἶναι ἑξήκοντα τεσσάρων, καὶ μετ᾿ ὀλίγον τελευτῆσαι [e], ἀκμάσαντά πῃ μάλιστα κατὰ Πολυκράτην τὸν Σάμιον τύραννον.

a. Scripserunt de Anaximandro: Schleiermacher, *Abh. Berl. Ak.* 1815. Op. Philos. II 171. Büsgen, *Das ἄπειρον An.*, progr. gy., Wiesbaden 1867. Krische, *Forschungen*, p. 42. Teichmüller, *Studien*, p. 1—70; 545—588. F. Luetze, *Das ἄπειρον An.*, Lips. 1878. H. Martin, *Mémoire sur les hypothèses astronom. des plus anciens philos. de la Grèce.* Paris 1878, p. 38. Tannery, *Revue Philosophique* V (1882), p. 50. Jos. Neuhaeuser, de An. Milesio, Bonn 1883. Natorp, *Philosoph. Monatshefte* 1884, p. 367.

inventa. **b.** Idem nostro ab Eus. Pr. Ev. X 14, 7, Anaximeni tribuitur a Plinio, Hist. N. II 76, 187; utrique nescio an iniuria, queniam Herodotus II 109 a Babyloniis inventum Graecos accepisse scribit; nisi si ab altero utro gnomona primum Spartae propositum esse conicias. Primam tabulam geographicam ab Anaximandro editam testatur Eratosthenes ap. Strab. I 1, 11, p. 7, cf. Agathem. Comp. Geogr. I 1. Primum quaesivisse de magnitudine siderum et intervallis dicit Eudemus ap. Simpl. de Caelo 212 r 12 ed. Karst.

c. Hinc apparet eum librum iam tum raro comparuisse, quare suo iure Brandis I 125 dicit ea quae Simplicius commemoret eius verba non ex ipsius libro hausta esse, sed e Theophrasti aliorumque testimoniis.

Themist. Orat. XXVI, p. 317 ἐθάρρησε πρῶτος, ὧν ἴσμεν, Ἑλλήνων λόγον ἐξενεγκεῖν περὶ φύσεως συγγεγραμμένον. Plures titulos ad eum refert Suid. v. Ἀναξίμανδρος, sed haud dubie commenticios.

d. Sane probabile, in ipso libro Anaximandri significatum fuisse, eum aetatis anno 64 a se scriptum esse; accessisse aliud indicium, ex quo Apollodorus ol. 58, 2 librum editum esse coniceret; inde annum natalem esse computatum. Cf. Diels mus. rh. XXXI 24.

e. Qui 610 (cf. Hippol. Ref. I 6 Dox. 560) natus erat, non potest dici Polycrate regnante floruisse, i. e. circiter annum 532. Diels mus. rh. 31, 25 coniectat Pythagorae esse illam ἀκμήν eamque confusis Apollo- ἀκμή.
dori verbis sive a Demetrio Magnete sive ab alio scriptore parum diligenti ad Anaximandrum translatam. Zeller I[4] 184[2] suspicatur nostri philosophi ἀκμήν ab Apollodoro fuisse cum initio (ol. 53, 3) dominationis Polycrateae coniunctam; quo ille tempore fere 44 annum agebat. Thaletis appellatur ἑταῖρος (Simpl. Plut.), διάδοχος (Simpl.), γνώριμος, μαθητής (Strab.), sodalis (Cic. Acad. II 118). Ceteros locos v. Zeller I[4] 183.

12 Simpl. Phys. 6[r]. 24, 13 D. Ἀναξίμανδρος — ἀρχήν τε καὶ principium
στοιχεῖον εἴρηκε τῶν ὄντων τὸ ἄπειρον, πρῶτος τοῦτο [1] τοὔ- ἄπειρον.
νομα κομίσας τῆς ἀρχῆς. λέγει δ' αὐτὴν μήτε ὕδωρ μήτε ἄλλο τι τῶν καλουμένων εἶναι στοιχείων, ἀλλ' ἑτέραν τινὰ φύσιν ἄπειρον, ἐξ ἧς ἅπαντας γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους· ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γίνεσθαι κατὰ τὸ χρεών· διδόναι γὰρ αὐτὰ δίκην καὶ τίσιν ἀλλήλοις τῆς ἀδικίας κατὰ τὴν τοῦ χρόνου τάξιν, ποιητικωτέροις οὕτως ὀνόμασιν αὐτὰ λέγων [a]. δῆλον δὲ ὅτι τὴν εἰς ἄλληλα μεταβολὴν τῶν τεττάρων στοιχείων οὗτος θεασάμενος οὐκ ἠξίωσεν ἕν τι τούτων ὑποκείμενον ποιῆσαι, ἀλλά τι ἄλλο παρὰ ταῦτα [b]. οὗτος δὲ οὐκ ἀλλοιουμένου τοῦ στοιχείου τὴν γένεσιν ποιεῖ, ἀλλ' ἀποκρινομένων τῶν ἐναντίων διὰ τῆς ἀϊδίου κινήσεως· διὸ καὶ τοῖς περὶ Ἀναξαγόραν τοῦτον ὁ Ἀριστοτέλης συνέταξεν [c]. (= Theophrasti* fr. 2, Doxogr. p. 476, 3.)

---

1) πρῶτος αὐτό cj. Usener ex Simpl. 32[v]; p. 150, 23 D. πρῶτος αὐτὸς ἀρχὴν ὀνομάσας τὸ ὑποκείμενον.

*) „Theophrastus scripsit Φυσικῶν δοξῶν libros XVIII (Diog. V 46. 48). — Philosophorum a Thalete ad Platonem turbam ita recensuit, ut quid de singulis singuli capitibus statuerent non solum breviter indicaret, sed etiam quid male quid recte quid proprie cogitassent ad Aristoteleam normam diiudicaret. priusquam vero tam admirabile opus susciperet non solum Aristotelis iudicia collegit et anxie respexit, sed ipse

cur natura infinita. **a.** Vides ex ipsius libro verba quaedam referri et hic et **RP** 13. Id ipsum quod singulae res per se quaeque exstitissent quasi iniuria quadam factum esse dicit, eiusque arrogantiae poenas dandas ipsarum interitu. Cur infinita natura putanda sit, addunt Plac. I 3. 3. Doxogr. 277. *Ἀναξίμανδρος δὲ ὁ Μιλήσιός φησι τῶν ὄντων τὴν ἀρχὴν εἶναι τὸ ἄπειρον. ἐκ γὰρ τούτου πάντα γίνεσθαι καὶ εἰς τοῦτο πάντα φθείρεσθαι· διὸ καὶ γεννᾶσθαι ἀπείρους κόσμους καὶ πάλιν φθείρεσθαι εἰς τὸ ἐξ οὗ γίνεσθαι· λέγει γοῦν διότι ἀπέραντόν ἐστιν, ἵνα μηδὲν ἐλλείπῃ ἡ γένεσις ἡ ὑφισταμένη.* Ultima sententia est delibata ex Aristot. Phys. III 8. 208ᵃ 8, qui quidem infitiatur, hac causa evinci id quod An. voluerit: *οὔτε γὰρ ἵνα ἡ γένεσις μὴ ἐπιλείπῃ, ἀναγκαῖον ἐνεργείᾳ ἄπειρον εἶναι σῶμα αἰσθητόν· ἐνδέχεται γὰρ τὴν θατέρου φθορὰν θατέρου εἶναι γένεσιν, πεπερασμένου ὄντος τοῦ παντός.* Cf. ibid. 203ᵇ 18.

nec medium nec mixtum **b.** Simpl. ib. f. 32ʳ; p. 149, 13 D. *ὁ μέντοι Πορφύριος — σῶμα μὲν τὸ ὑποκείμενον ἀδιορίστως Ἀναξίμανδρον λέγειν φησὶν ἄπειρον, οὐ διορίσαντα τὸ εἶδος εἴτε πῦρ εἴτε ὕδωρ εἴτε ἀήρ.* Eos interpretes, qui tradunt infinitum Anaximandri esse medium inter aquam et aerem, refutat Schleiermacher Op. philos. II 174. Nam sane cum alii tum Alexander ad Metaph. 988ᵃ 11. Schol. 553ᵇ 22: *τὴν Ἀναξιμάνδρου δόξαν, ὃς ἀρχὴν ἔθετο τὴν μεταξὺ φύσιν ἀέρος τε καὶ πυρός, ἢ ἀέρος τε καὶ ὕδατος· λέγεται γὰρ ἀμφοτέρως.* Appellatur etiam ipsius auctoritas Aristotelis, de Caelo III 5 *ἔνιοι γὰρ ἓν μόνον ὑποτίθενται καὶ τούτων οἱ μὲν ὕδωρ, οἱ δ' ἀέρα, οἱ δὲ πῦρ, οἱ δ' ὕδατος μὲν λεπτότερον, ἀέρος δὲ πυκνότερον, ὃ περιέχειν φασὶ πάντας τοὺς οὐρανοὺς ἄπειρον ὄν.* Est certe in his locus unus admodum similis verbis vere Anaximandreis, positis **RP** 13. Sed Aristoteles pergit *ὅσοι μὲν οὖν τὸ — ὕδατος μὲν λεπτότερον ἀέρος δὲ πυκνότερον, εἶτ' ἐκ τούτου πυκνότητι καὶ μανότητι τἆλλα γεννῶσιν.* Item Phys. I 4. Atqui diversam rationem (*ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι*) Anaximandrum secutum ipse statim subicit Phys. I 4, cf. **RP** 12, c. Plura profert, plures redarguit Zeller I⁴ 196.

---

quoque ad fontes adiit et nobiliorum philosophorum ut Anaxagorae Anaximenis Archelai Diogenis Empedoclis Metrodori Platonis Xenocratis, copiosissime Democriti doctrinas peculiaribus libellis examinavit. — Huic materiae . . . superstruxit amplam Physicorum Opinionum syllogen, quae iam Alexandrinorum aetate in duorum librorum epitomen coacta est (Diog. V 46). Ex integro de Physicorum op. volumine excerpta esse videntur quae Aristotelis interpretes tradunt. inter quos plurima et gravissima fragmenta Simplicius sive ipse expressit sive excerpta ab Alexandro transtulit." Diels, Dox. 102—104. Fragm. ibid. 475—527. Cf. Usener, Analecta Theophrastea, Leipz. 1858. Zeller, *Ueber die Benutzung der aristotel. Metaphysik in den Schriften der älteren Peripatetiker*, Acad. Berlin. 1877, 150.

Contra disp. Kern, *Beitr. z. Darst. d. Phil. d. Xenophanes*, progr. gy., Danzig 1871. Neuhaeuser 60—273. At cf. Natorp l. c.

Ob id ipsum, quod infinitum neque unum ex elementis postea definitis neque inter duo sit medium quiddam, praetermitti Anaximandrum in Arist. Metaph. I cap. tertio, dicit Z. I⁴ 201. Ad eundem referendum esse Phys. III 5. 204ᵇ 22: *ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι σῶμα ἄπειρον ἐνδέχεται, οὔτε ὡς λέγουσί τινες τὸ παρὰ τὰ στοιχεῖα, ἐξ οὗ ταῦτα γεννῶσιν, οὔθ᾽ ἁπλῶς. εἰσὶ γάρ τινες οἳ τοῦτο ποιοῦσι τὸ ἄπειρον, ἀλλ᾽ οὐκ ἀέρα ἢ ὕδωρ, ὡς μὴ τἆλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν· ἔχουσι γὰρ πρὸς ἄλληλα ἐναντίωσιν, οἷον ὁ μὲν ἀὴρ ψυχρός, τὸ δ᾽ ὕδωρ ὑγρόν, τὸ δὲ πῦρ θερμόν· ὧν εἰ ἦν ἓν ἄπειρον, ἔφθαρτο ἂν ἤδη τἆλλα· νῦν δ᾽ ἕτερον εἶναί φασιν ἐξ οὗ ταῦτα.*

c. Cum Anaxagora ab Aristotele coniungitur Met. XII 2. 1069ᵇ 18. Anaxagorae comparatur. *ὥστε οὐ μόνον κατὰ συμβεβηκὸς ἐνδέχεται γίγνεσθαι ἐκ μὴ ὄντος, ἀλλὰ καὶ ἐξ ὄντος γίγνεται πάντα, δυνάμει μέντοι ὄντος, ἐκ μὴ ὄντος δὲ ἐνεργείᾳ· καὶ τοῦτ᾽ ἔστι τὸ Ἀναξαγόρου ἓν (βέλτιον γὰρ ἢ ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου.* Laxiore iuncturae genere (zeugma grammatici vocant) Empedocli Anaximandrum adseruit, cuius *ἄπειρον* quod *μίγματι* illi propter unitatem simile quodam modo ponitur, non officit, ne materiae natura vehementer differant. Interpretatur hunc locum Zeller I⁴ 192¹. Quam Ritterus olim moverat quaestionem, essetne An. cum Thalete et Anaximene et Heraclito, quos *δυναμικούς* ipse appellat, coniungendus an cum Anaxagora inter *μηχανικούς* referendus, Zeller accurate pertractavit I⁴ 188—195. Altero loco Aristoteles quos coniungit eosdem evidenter distinxit, Phys. I 4. 187ᵃ 12: *οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον — τἆλλα γεννῶσι πυκνότητι καὶ μανότητι πολλὰ ποιοῦντες.* — 20. *οἱ δ᾽ ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι, ὥσπερ Ἀναξίμανδρός φησι καὶ ὅσοι δ᾽ ἓν καὶ πολλά φασιν εἶναι, ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας· ἐκ τοῦ μίγματος γὰρ καὶ οὗτοι* [1] *ἐκκρίνουσι τἆλλα.*

Nec minus discrimen facit Theophr. ap. Simpl. 33ʳ; p. 154, 14 D. (de quo tamen loco cf. Neuhaeuser 145): *καὶ Θεόφραστος δὲ τὸν Ἀναξαγόραν εἰς τὸν Ἀναξίμανδρον συνωθῶν καὶ οὕτως ἐκλαμβάνει τὰ ὑπὸ Ἀναξαγόρου λεγόμενα, ὡς δύνασθαι μίαν αὐτὸν φύσιν λέγειν τὸ ὑποκείμενον. γράφει δέ οὕτως ἐν τῇ Φυσικῇ ἱστορίᾳ· „οὕτω μὲν οὖν λαμβανόντων δόξειεν ἂν ποιεῖν* (sc. Anaxagoras) *τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους, ὥσπερ εἴρηται, τὴν δὲ τῆς κινήσεως καὶ τῆς γενέσεως αἰτίαν μίαν* [2]. *εἰ δέ τις τὴν μῖξιν τῶν ἁπάντων ὑπολάβοι μίαν εἶναι φύσιν ἀόριστον καὶ κατ᾽ εἶδος καὶ κατὰ μέγεθος, ὅπερ ἂν δόξειε βούλεσθαι λέγειν, συμβαίνει δύο τὰς ἀρχὰς αὐτῷ λέγειν τήν τε τοῦ ἀπείρου φύσιν καὶ τὸν νοῦν, ὥστε πάντως φαίνεται τὰ σωματικὰ στοιχεῖα παραπλησίως ποιῶν* differt ab eo.

---

1) v. *καὶ οὗτοι* Anaximandrum non complectuntur, sed opponunt ei ceteros, v. Z. I⁴ 191¹. Neuhaeuser Anax. 59 ea mavult omittere. — 2) 27, 19 add. Simpl. *τὸν νοῦν.*

Ἀναξιμάνδρῳ." Aristotelem (Met. I 8. 989ᵇ 17) Theophrasto auctorem fuisse docet Zeller, *Abh. Berl. Ak. d. W.* h.-ph. 1877, p. 152. Recepit Theophrasti verba (fr. 4) Diels Dox. 479. Iterat ea paucis mutatis Simpl. 6ᵛ; p. 27, 17; quo loco haec praemittit 27, 11. Dox. 479, 2: *καὶ ταῦτά φησιν ὁ Θεόφραστος παραπλησίως τῷ Ἀναξιμάνδρῳ λέγειν τὸν Ἀναξαγόραν· ἐκεῖνος* (scil. Anaxagoras) *γάρ φησιν ἐν τῇ διακρίσει τοῦ ἀπείρου τὰ συγγενῆ φέρεσθαι πρὸς ἄλληλα, καὶ ὅτι μὲν ἐν τῷ παντὶ χρυσὸς ἦν* [1], *γίνεσθαι χρυσόν, ὅτι δὲ γῆ, γῆν· ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον, ὡς οὐ γινομένων ἀλλ' ἐνυπαρχόντων πρότερον.* Cuius loci initio qui significatur *ἐκεῖνος*, vulgo Anaximander intellegebatur. Zeller I⁴ 193³ Anaxagoram significari putat et Simplicii hanc interpretationem esse, non Theophrasti; qui quidem adeo eos non confundit, ut aperte indicet, qua condicione, i. e. qua mutatione facta, recentioris philosophi mixta materia componi possit cum Anaximandri infinita natura.

ἄπειρον divinum

Arist. Phys. III 4. 203ᵇ 7. *Τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή· εἴη γὰρ ἂν αὐτοῦ πέρας. ἔτι δὲ καὶ ἀγένητον καὶ ἄφθαρτον, ὡς ἀρχή τις οὖσα· τό τε γὰρ γενόμενον ἀνάγκη τέλος λαβεῖν, καὶ τελευτὴ πάσης ἐστὶ φθορᾶς. διό, καθάπερ λέγομεν, οὐ ταύτης ἀρχή, ἀλλ' αὕτη τῶν ἄλλων εἶναι δοκεῖ καὶ περιέχειν ἅπαντα καὶ πάντα κυβερνᾶν, ὥς φασιν ὅσοι μὴ ποιοῦσι παρὰ τὸ ἄπειρον ἄλλας αἰτίας, οἷον νοῦν ἢ φιλίαν* [a], *καὶ τοῦτ' εἶναι τὸ θεῖον* [b]*· ἀθάνατον γὰρ καὶ ἀνώλεθρον, ὥς φησιν ὁ Ἀναξίμανδρος καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων.* 13

a. Anaxagoram dicit et Empedoclem. Quae distinximus verba ex Anaximandri libro deprompta videntur, nisi quod ille fortasse *ἀγήρω* scripsit, cf. Hippolyt. Ref. Haer. I 6. Doxogr. 559, 16. *Ἀναξίμανδρος — ἀρχὴν ἔφη τῶν ὄντων φύσιν τινὰ τοῦ ἀπείρου, ἐξ ἧς γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους· ταύτην δ' ἀΐδιον εἶναι καὶ ἀγήρω. ἣν καὶ πάντας περιέχειν τοὺς κόσμους. λέγει δὲ χρόνον ὡς ὡρισμένης τῆς γενέσεως καὶ τῆς οὐσίας καὶ τῆς φθορᾶς. — πρὸς δὲ τούτῳ κίνησιν ἀΐδιον εἶναι, ἐν ᾗ συμβαίνειν γίνεσθαι τοὺς οὐρανούς.*

b. Simpl. 107ʳ; p. 465, 13 D. *θεῖον δὲ τὸ αἴτιον καὶ ὡς ἀρχὴν λέγουσι καὶ ὡς ἀγένητόν τε καὶ ἄφθαρτον· τοιοῦτον Ἀναξίμανδρος τὸ μεταξὺ πυρὸς καὶ ἀέρος* (notus error, v. **RP** 12 b) *ἄπειρον ἀρχὴν ἐτίθει.*

contraria secernuntur.

Simpl. Phys. 32ᵛ. 150, 20 D. *Ἕτερος δὲ τρόπος καθ' ὃν οὐκέτι τὴν μεταβολὴν τῆς ὕλης αἰτιῶνται οὐδὲ κατὰ ἀλλοίωσιν τοῦ ὑποκειμένου τὰς γενέσεις ἀποδιδόασιν, ἀλλὰ κατὰ ἔκκρισιν· ἐνούσας γὰρ τὰς ἐναντιότητας ἐν τῷ ὑποκειμένῳ, ἀπείρῳ ὄντι* 14 A

1) *ἐνῆν* Usener.

σώματι [1], ἐκκρίνεσθαί φησιν Ἀναξίμανδρος, πρῶτος αὐτὸς ἀρχὴν ὀνομάσας τὸ ὑποκείμενον [a]. ἐναντιότητες δέ εἰσι θερμὸν ψυχρόν, ξηρὸν ὑγρὸν καὶ τὰ ἄλλα.

14 B Plutarchus* ap. Euseb. Pr. Ev. I 8. (Strom. fr. 2. Dox. 579, 13). φησὶ δὲ τὸ ἐκ τοῦ ἀϊδίου γόνιμον [2] θερμοῦ τε καὶ ψυχροῦ κατὰ τὴν γένεσιν τοῦδε τοῦ κόσμου ἀποκριθῆναι καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφυῆναι τῷ περὶ τὴν γῆν ἀέρι ὡς τῷ δένδρῳ φλοιόν· ἧστινος ἀπορραγείσης καὶ εἴς τινας ἀποκλεισθείσης κύκλους ὑποστῆναι τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας [b]. terra.

14 C Hippolyt. Ref. I 6. Doxogr. 559, 22. τὴν δὲ γῆν εἶναι μετέωρον ὑπὸ μηδενὸς κρατουμένην, μένουσαν δὲ διὰ τὴν ὁμοίαν πάντων ἀπόστασιν· τὸ δὲ σχῆμα αὐτῆς γυρὸν [3] στρογγύλον, † κίονι λίθῳ παραπλήσιον [c]. τῶν δὲ ἐπιπέδων ᾧ μὲν ἐπιβεβήκαμεν, ὃ δὲ ἀντίθετον ὑπάρχει. τὰ δὲ ἄστρα γίνεσθαι κύκλον πυρός, ἀποκριθέντα τοῦ κατὰ τὸν κόσμον πυρός, περιληφθέντα δ' ὑπὸ ἀέρος. ἐκπνοὰς δ' ὑπάρξαι πόρους [4] τινὰς αὐλώδεις [4], καθ' οὓς φαίνεται τὰ ἄστρα· διὸ καὶ ἐπιφρασσομένων τῶν ἐκπνοῶν τὰς ἐκλείψεις γίνεσθαι. τὴν δὲ σελήνην ποτὲ μὲν πληρουμένην φαίνεσθαι, ποτὲ δὲ μειουμένην παρὰ τὴν τῶν πόρων ἐπίφραξιν ἢ ἄνοιξιν. εἶναι δὲ τὸν κύκλον τοῦ ἡλίου ἑπτακαιεικοσιπλασίονα τῆς σελήνης [d], καὶ ἀνωτάτω [e] μὲν εἶναι τὸν ἥλιον, κατωτάτω δὲ τοὺς τῶν ἀπλανῶν ἀστέρων κύκλους. caelestia.

---

1) *σώματι* quod postulaverat Schleiermacher (p. 178), exhibent codices, *ἀσώματι* interpolaverat Ald. De sententia Z. I^4 185^5. — 2) *γονίμου θερμόν τε καὶ ψυχρόν* Mullach FPG. I 238, 12. — 3) Cod. *ὑγρὸν στρογγύλον*. Corr. Roeper *Philol.* VII 607. Idem commendat *ἑπτακοσιεικοσαπλασίονα*. De vitio *κίονι λίθῳ*, quod ipso Aetio antiquius est, cf. Diels, Dox. 218. Teichmüller: *κίονος λίθῳ*. Recte *κυλίνδρῳ* Zeller, *Deutsche Litt.-Z.*, 1883, p. 1499—1502, coll. Plut. Strom. fr. 2, **RP** 14 c. — 4) Restituit Diels Dox. 156 pro *τόπους-ἀερώδεις*.

*) Stromateon fragmentum, ex Eus. Praepar. evang. I 8 seorsum expressum ap. Diels Dox. 579, nobilissimi scriptoris nomen ementitur. Scriptus non multo post eius mortem. Circa medium alterum saeculum fraus grammaticorum maxime in Plutarchi nomen grassata est. Sucus et sanguis est Theophrasteus. Ut Hippolyti excerpta Theophrastei corporis totum quasi orbem percurrunt excerpendo, ita Plutarchus in ternis plerumque capitibus, de principio mundo astris, se cohibet. Haec et plura Diels, Dox. 156—158.

a. Repeti aliis verbis Theophr. Phys. op. fr. 2 (RP 12) adnotat Diels, Doxogr. 476 n[a] 10. Reiicienda est Neuhaeuseri interpretatio, qui ἀρχήν obiectum esse, τὸ ὑποκείμενον praedicatum putat. Anaximandrum ait a notione summi cuiusdam principii profectum ipso τοῦ ὑποκειμένου nomine id appellasse. At id est Aristoteleum vocabulum. Praeter librum Neuh. cf. eiusdem progr. Bonn 1879 de An. Mil. natura infinita, p. 12.

b. De stellis Stob. I 510 Doxogr. 342 et 345. Ἀναξίμανδρος (τοὺς ἀστέρας ἔφησεν εἶναι) πιλήματα ἀέρος τροχοειδῆ, πυρὸς ἔμπλεα, κατά τι μέρος ἀπὸ στομίων ἐκπνέοντα φλόγας. καὶ ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν δὲ τὴν σελήνην· ὑπὸ δὲ αὐτοὺς τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας. De motu planetarum v. Plac. II 16, 5. Doxogr. 345. Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε, φέρεσθαι. De sole Plac. II 20. Doxogr. 348. Ἀναξίμανδρος κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς, ἁρματείῳ τροχῷ παραπλήσιον, τὴν ἀψῖδα ἔχοντα κοίλην, πλήρη πυρός, κατά τι μέρος ἐκφαίνουσαν διὰ στομίου τὸ πῦρ ὥσπερ διὰ πρηστῆρος αὐλοῦ· καὶ τοῦτ' εἶναι τὸν ἥλιον. Haec Achilles Isag. Phaen. Arat. c. 19, p. 138 Pet. „ventosa paraphrasi in meras ineptias detorsit; immo πρηστήρ est follis fabrorum, cuius fistula in ignem immissa flammas sursum eiaculatur". Diels, Dox. 25. 26.

c. Plut. Strom. l. c. Doxogr. 579. ὑπάρχειν δέ φησι τῷ μὲν σχήματι τὴν γῆν κυλινδροειδῆ, ἔχειν δὲ τοσοῦτον βάθος, ὅσον ἂν εἴη τρίτον πρὸς τὸ πλάτος. De mari Plac. III 16, 1. Doxogr. 381. Ἀναξίμανδρος τὴν θάλασσάν φησιν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήραινε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλεν (scil. εἰς πικρόν). Cf. Arist. Meteor. II 1. 353b 6. Id. ibid. 2. 355a 21. τὸ δ' αὐτὸ συμβαίνει καὶ τούτοις ἄλογον καὶ τοῖς φάσκουσι τὸ πρῶτον ὑγρᾶς οὔσης καὶ τῆς γῆς καὶ τοῦ κόσμου τοῦ περὶ τὴν γῆν ὑπὸ τοῦ ἡλίου θερμαινομένου ἀέρα γενέσθαι καὶ τὸν ὅλον οὐρανὸν αὐξηθῆναι καὶ τοῦτον πνεύματά τε παρέχεσθαι καὶ τὰς τροπὰς αὐτοῦ ποιεῖν. Haec postquam similibus verbis rettulit, Alexander f. 91r subicit: ταύτης τῆς δόξης ἐγένοντο, ὡς ἱστορεῖ ὁ Θεόφραστος, Ἀναξίμανδρός τε καὶ Διογένης. Doxogr. 494, 11.

d. Plac. II 25, 1. Doxogr. 355. Ἀναξίμανδρος κύκλον εἶναι (τὴν σελήνην) ἐννεακαιδεκαπλασίονα τῆς γῆς, ὥσπερ τὸν τοῦ ἡλίου πυρός. De horum numerorum ratione v. Roeper, *Zeitschr. f. Alterth.* 1852, p. 442, Zeller I[4] 207, Teichm. stud. p. 16. Diels, Doxogr. 68.

e. Extrema accuratius Plac. II 15, 6. Doxogr. 345.

de dis. Cic. Deor. Nat. I 25. Dox. 531. Anaximandri autem opinio est nativos esse deos [a], longis intervallis orientes occidentesque, eosque innumerabiles esse mundos [b].

a. Sive Philodemum sequitur, sive Phaedrum, miscet ipse diversa. Plac. I 7, 12. Dox. 302. Ἀναξίμανδρος τοὺς ἀπείρους οὐρανοὺς θεούς.

Correxit Diels Dox. p. 11 e Stobaeo id quod falso traditum erat: *ἀστέρας οὐρανίους.*

b. Mundi non sunt plures uno tempore sed alius ex alio nascitur. mundi. Z. I[4] 212. Plut. Strom. fr. 2. Doxogr. 579. *Μεθ' ὃν Ἀναξίμανδρον Θάλητος ἑταῖρον γενόμενον τὸ ἄπειρον φάναι τὴν πᾶσαν αἰτίαν ἔχειν τῆς τοῦ παντὸς γενέσεώς τε καὶ φθορᾶς, ἐξ οὗ δή φησι τούς τε οὐρανοὺς ἀποκεκρίσθαι καὶ καθόλου τοὺς ἅπαντας ἀπείρους ὄντας κόσμους. ἀπεφήνατο δὲ τὴν φθορὰν γίνεσθαι καὶ πολὺ πρότερον τὴν γένεσιν ἐξ ἀπείρου αἰῶνος ἀνακυκλουμένων πάντων αὐτῶν.* Eodem refer locum **RP** 13 a, cf. Stobaei* I 416. Dox. 331. *Ἀναξίμανδρος . . . φθαρτὸν τὸν κόσμον.* Sunt tamen qui diversa tradant. Simpl. Phys. 257 v: *οἱ μὲν γὰρ ἀπείρους τῷ πλήθει τοὺς κόσμους ὑποθέμενοι, ὡς οἱ περὶ Ἀναξίμανδρον καὶ Λεύκιππον καὶ Δημόκριτον καὶ ὕστερον οἱ περὶ Ἐπίκουρον, γινομένους αὐτοὺς καὶ φθειρομένους ὑπέθεντο ἐπ' ἄπειρον, ἄλλων μὲν ἀεὶ γινομένων ἄλλων δὲ φθειρομένων.* Sed aliis locis idem dubitanter, v. Z. I[4] 215[4]. At auctore non nominato Augustinus civ. VIII 2.

16 Plac. V 19, 1. Dox. 430, 15. Ἀναξίμανδρος ἐν ὑγρῷ [a] γεννηθῆναι τὰ πρῶτα ζῷα, φλοιοῖς περιεχόμενα ἀκανθώδεσι, προβαινούσης δὲ τῆς ἡλικίας ἀποβαίνειν ἐπὶ τὸ ξηρότερον καὶ περιρρηγνυμένου τοῦ φλοιοῦ ἐπ' ὀλίγον χρόνον μεταβιῶναι. Plut. Strom. l. c. Dox. 579, 17. Ἔτι φησίν, ὅτι κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζῴων ὁ ἄνθρωπος ἐγεννήθη, ἐκ τοῦ τὰ μὲν ἄλλα δι' ἑαυτῶν ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρωπον πολυχρονίου δεῖσθαι τιθηνήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἄν ποτε τοιοῦτον ὄντα διασωθῆναι. Plut. Symp. Quaest. VIII 8, 4. ἐν ἰχθύσιν ἐγγενέσθαι τὸ πρῶτον ἀνθρώπους ἀποφαίνεται καὶ τραφέντας ὥσπερ οἱ παλαιοὶ[1] καὶ γενομένους ἱκανοὺς ἑαυτοῖς βοηθεῖν ἐκβληθῆναι τηνικαῦτα καὶ γῆς λαβέσθαι [b]. animalia

a. Hippolyt. Ref. I 6. Doxogr. 560. *τὰ δὲ ζῷα γίνεσθαι ἐξ ὑγροῦ*[2] *ἐξατμιζομένου ὑπὸ τοῦ ἡλίου, τὸν δὲ ἄνθρωπον ἑτέρῳ ζῴῳ γεγονέναι, τουτέστιν ἰχθύϊ, παραπλήσιον κατ' ἀρχάς.*

b. Hanc doctrinam cum Syrorum religione comparat Plut., cf. Ranke, *Weltgesch.* I 2[2], 5[1].

---

1) Ritter *πηλαῖοι*, recte *γαλεοί* Doehner, Qu. Plut. III 34, collato ipso Plut. de soll. anim. p. 982 [a].. — 2) Pro verbis corruptis posui ea quae Diels, partim ille quidem dubitanter, suasit p. 560 n.

*) De Ioanne Stobensi, praeter Diels, Doxogr. 43, cf. C. Wachsmuth, *Io. Stobaei anthologii l. duo priores, qui inscribi solent eclogae physicae et ethicae.* Quatuor librorum corpus integrum accurate descripsit Photius bibl. cod. 167. Posteriorum librorum nunc peculiare est nomen Florilegium.

Anaximenes.

---

vita Diog. II 3. *Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος ἤκουσεν Ἀναξιμάνδρου. ἔνιοι δὲ καὶ Παρμενίδου*[a] *φασὶν ἀκοῦσαι αὐτόν. — — κέχρηταί τε γλώσσῃ Ἰάδι ἁπλῇ καὶ ἀπερίττῳ*[b]. *καὶ γεγένηται μέν, καθά φησιν Ἀπολλόδωρος, περὶ τὴν Σάρδεων ἅλωσιν*[c], *ἐτελεύτησε δὲ τῇ ἑξηκοστῇ τρίτῃ Ὀλυμπιάδι*[d]. 17 A

Hippol. I 7. Dox. 561. *οὗτος ἤκμασε περὶ ἔτος πρῶτον*[e] *τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος.* 17 B

a. Parmenidem ab Anaximene auditum esse aperte falsum est, Anaximandrum verisimile.

b. Similiter de Hecataei Milesii dialecto Hermogenes de Gen. Dic. II 12, 6. *τῇ διαλέκτῳ δὲ ἀκράτῳ Ἰάδι καὶ οὐ μεμιγμένῃ χρησάμενος οὐδὲ κατὰ τὸν Ἡρόδοτον ποικίλῃ.* Scripserat de eo Theophrastus, v. Diog. V 42. Hoc saeculo Krische, *Forschungen*, 52; Teichmüller, *Studien*, 71.

c. Suidas s. v. *γέγονε* [*ἐν τῇ νε΄ ὀλ.* interpol. ex Eusebio] *ἐν τῇ Σάρδεων ἁλώσει ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν.*

d. Libri *Ἀπολλόδωρος, τῇ ἑξηκοστῇ τρίτῃ ὀλ., ἐτελεύτησε δὲ περὶ τὴν Σάρδεων ἅλωσιν*, quae verba transposuit Diels, Mus. Rh. XXXI 27. Sardes a Cyro captae ol. 58, 3 = 546. Nam quod iterum sunt ab Ionibus expugnatae 499, nihil ad hunc locum. Ceterum hinc apparet, voc. *γεγένηται* non ad natales pertinere, sed ad mediam aetatem (*ἀκμήν*). — Priorum sententias v. ap. Clinton F. H. a. 548. 540; ibid. append. p. 376 ed. Kr. C. F. Hermann, de philos. Ionicorum aetatibus, Gotting. 1849. Aliam viam ingreditur E. Rohde, Mus. Rh. XXXIII 206.

e. Debuit scribere *τρίτον*, sed nimirum Apollodorus solum olympiadis numerum, anno non adiecto, posuerat.

principium Plac. I 3, 4. Dox. 278. *Ἀναξιμένης δὲ ὁ Μιλήσιος ἀρχὴν τῶν ὄντων ἀέρα*[a] *ἀπεφήνατο, ἐκ γὰρ ταύτου πάντα γίνεσθαι καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι. οἷον ἡ ψυχή, φησίν, ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει.* 18

a. Cf. Arist. Met. I 3. 984ᵃ 5. Indidem deprompta sunt arma quibus Aetius deinceps Anaximenem impugnat; v. 984ᵃ 16. 21. Krische p. 54.

19 A Plut. ap. Euseb. Pr. Ev. I 8 (Strom. fr. 3. Dox. 579). densatio, extenuatio
Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μὲν μεγέθει ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον· γεννᾶσθαί τε πάντα κατά τινα πύκνωσιν τούτου καὶ πάλιν ἀραίωσιν. τήν γε μὴν κίνησιν ἐξ αἰῶνος ὑπάρχειν. πιλουμένου δὲ τοῦ ἀέρος πρώτην γεγενῆσθαι λέγει τὴν γῆν πλατεῖαν μάλα· διὸ καὶ κατὰ λόγον αὐτὴν ἐποχεῖσθαι τῷ ἀέρι· καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὴν ἀρχὴν τῆς γενέσεως ἐκ γῆς ἔχειν· ἀποφαίνεται γοῦν τὸν ἥλιον γῆν, διὰ δὲ τὴν ὀξεῖαν κίνησιν καὶ μάλ' ἱκανῶς θερμότητα[1] [κίνησιν] λαβεῖν.

19 B Simplic. Phys. 6ʳ. 24, 26 D. (Theophr. fr. 2. Dox. 476, 16.)
Ἀναξιμένης δὲ Εὐρυστράτου Μιλήσιος, ἑταῖρος γεγονὼς Ἀναξιμάνδρου, μίαν μὲν καὶ αὐτὸς τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν ὥσπερ ἐκεῖνος, οὐκ ἀόριστον δὲ ὥσπερ ἐκεῖνος, ἀλλὰ ὡρισμένην, ἀέρα [a] λέγων αὐτήν· διαφέρειν δὲ μανότητι καὶ πυκνότητι [b] κατὰ τὰς οὐσίας. καὶ ἀραιούμενον μὲν πῦρ γίνεσθαι, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, ἔτι δὲ μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλα ἐκ τούτων. κίνησιν δὲ καὶ οὗτος ἀίδιον ποιεῖ, δι' ἣν καὶ τὴν μεταβολὴν γίνεσθαι.

a. Simpl. de Cael. 273ᵇ 45. Schol. Arist. 514ᵃ 33: ἄπειρον μὲν καὶ αὐτὸς ὑπέθετο τὴν ἀρχήν, οὐ μὴν ἔτι ἀόριστον, ἀέρα γὰρ ἔλεγεν εἶναι, οἰόμενος ἀρκεῖν τὸ τοῦ ἀέρος εὐαλλοίωτον πρὸς μεταβολήν.

b. Simili loco, Phys. 32ʳ. 149, 32 D., Simplicius adicit: ἐπὶ γὰρ τούτου μόνου [2] Θεόφραστος ἐν τῇ Ἱστορίᾳ τὴν μάνωσιν εἴρηκε καὶ πύκνωσιν. δῆλον δὲ ὅτι καὶ οἱ ἄλλοι τῇ μανότητι καὶ πυκνότητι ἐχρῶντο.

20 Plut. Prim. Frig. c. 7, 3. p. 947. Καθάπερ Ἀναξιμένης frigidum calidum.
ὁ παλαιὸς ᾤετο, μήτε τὸ ψυχρὸν ἐν οὐσίᾳ μήτε τὸ θερμὸν ἀπολείπωμεν, ἀλλὰ πάθη κοινὰ τῆς ὕλης ἐπιγινόμενα ταῖς μεταβολαῖς. τὸ γὰρ συστελλόμενον αὐτῆς καὶ πυκνούμενον ψυχρὸν εἶναί φησι, τὸ δὲ ἀραιὸν καὶ τὸ χαλαρόν, οὕτω πως ὀνομάσας καὶ τῷ ῥήματι, θερμόν [a]. ὅθεν οὐκ ἀπεικότως λέγεσθαι τὸ καὶ θερμὰ

1) κίνησιν del. Z. I⁴ 226². θερμότητος Usener. θερμοτάτην cod. pler. — 2) Usener πρώτου, v. Diels, Dox. 164². Z. I⁴ 180⁴. Ad Diogenem quidem easdem notiones Theophrastus rettulerat, v. RP 159.

τὸν ἄνθρωπον ἐκ τοῦ στόματος καὶ ψυχρὰ μεθιέναι· ψύχεται γὰρ ἡ πνοὴ πιεσθεῖσα καὶ πυκνωθεῖσα τοῖς χείλεσιν, ἀνειμένου δὲ τοῦ στόματος ἐκπίπτουσα γίγνεται θερμὸν ὑπὸ μανότητος.

a. Similis Anaximandri doctrina, RP 14.

ex aere omnia. Hippol. Ref. I 7. Dox. 560. 1. Ἀναξιμένης — ἀέρα ἄπειρον 21 ἔφη τὴν ἀρχὴν εἶναι, ἐξ οὗ τὰ γινόμενα καὶ τὰ γεγονότα καὶ τὰ ἐσόμενα καὶ θεοὺς[a] καὶ θεῖα[b] γίνεσθαι, τὰ δὲ λοιπὰ ἐκ τῶν τούτου ἀπογόνων. 2. τὸ δὲ εἶδος τοῦ ἀέρος τοιοῦτον· ὅταν μὲν ὁμαλώτατος ᾖ, ὄψει ἄδηλον, δηλοῦσθαι δὲ τῷ ψυχρῷ καὶ τῷ θερμῷ καὶ τῷ νοτερῷ καὶ τῷ κινουμένῳ. κινεῖσθαι δὲ ἀεί· οὐ γὰρ μεταβάλλειν ὅσα μεταβάλλει, εἰ μὴ κινοῖτο. 3. πυκνούμενον γὰρ καὶ ἀραιούμενον διάφορον φαίνεσθαι· ὅταν γὰρ εἰς τὸ ἀραιότερον διαχυθῇ, πῦρ γίνεσθαι, ἀνέμους δὲ πάλιν εἶναι ἀέρα πυκνούμενον, ἐξ ἀέρος δὲ νέφος ἀποτελεῖσθαι κατὰ τὴν πίλησιν, ἔτι δὲ μᾶλλον ὕδωρ, ἐπὶ πλεῖον δὲ πυκνωθέντα γῆν καὶ εἰς τὸ μάλιστα λίθους. ὥστε τὰ κυριώτατα τῆς γενέσεως ἐναντία εἶναι θερμόν τε καὶ ψυχρόν. 4. τὴν δὲ γῆν πλατεῖαν εἶναι caelestia ἐπ᾽ ἀέρος ὀχουμένην, ὁμοίως δὲ καὶ ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα πάντα πύρινα ὄντα ἐποχεῖσθαι τῷ ἀέρι διὰ πλάτος. 5. γεγονέναι δὲ τὰ ἄστρα ἐκ γῆς διὰ τὸ τὴν ἰκμάδα ἐκ ταύτης ἀνίστασθαι, ἧς ἀραιουμένης τὸ πῦρ γίνεσθαι, ἐκ δὲ τοῦ πυρὸς μετεωριζομένου τοὺς ἀστέρας συνίστασθαι. εἶναι δὲ καὶ γεώδεις φύσεις ἐν τῷ τόπῳ τῶν ἀστέρων συμπεριφερομένας ἐκείνοις. 6. οὐ κινεῖσθαι δὲ ὑπὸ[c] γῆν τὰ ἄστρα λέγει, καθὼς ἕτεροι ὑπειλήφασιν, ἀλλὰ περὶ γῆν, ὡσπερεὶ περὶ τὴν ἡμετέραν κεφαλὴν στρέφεται τὸ πιλίον. κρύπτεσθαί τε τὸν ἥλιον[d] οὐχ ὑπὸ γῆν γενόμενον, ἀλλ᾽ ὑπὸ τῶν τῆς γῆς ὑψηλοτέρων μερῶν σκεπόμενον καὶ διὰ τὴν πλείονα ἡμῶν αὐτοῦ γενομένην ἀπόστασιν. τὰ δὲ ἄστρα μὴ θερμαίνειν διὰ τὸ μῆκος τῆς ἀποστάσεως.

a. Stob. I 56 Dox. 302. Ἀναξιμένης τὸν ἀέρα (θεὸν ἀπεφήνατο). δεῖ δ᾽ ὑπακούειν ἐπὶ τῶν οὕτως λεγομένων τὰς ἐνδιηκούσας τοῖς στοιχείοις ἢ τοῖς σώμασι δυνάμεις. Mundum putavit interire, v. Stob. I 416. Alium semper subnasci, v. Simplic. Phys. 257v. ὅσοι ἀεὶ μὲν φασιν εἶναι κόσμον, οὐ μὴν τὸν αὐτὸν ἀεί, ἀλλὰ ἄλλοτε ἄλλον γινόμενον κατά τινας χρόνων περιόδους, ὡς Ἀναξιμένης τε καὶ Ἡράκλειτος καὶ Διογένης.

b. Ex his vel horum similibus temere conflata videntur, quae sunt ap. Cic. Deor. Nat. I 25. *Anaximenes aera deum statuit, eumque gigni esseque immensum et infinitum et semper in motu.* Cf. Diels, Dox. 531

not. et 123. Augustin. Civ. D. VIII, 2. *Omnes rerum causas infinito aeri dedit, nec deos negavit aut tacuit, non tamen ab ipsis aerem factum sed ipsos ex aere ortos credidit.*

c. Respicit hanc opinionem Arist. Meteor. II 1. 354ª 28. *τὸ πολλοὺς πεισθῆναι τῶν ἀρχαίων μετεωρολόγων, τὸν ἥλιον μὴ φέρεσθαι ὑπὸ γῆν ἀλλὰ περὶ τὴν γῆν καὶ τὸν τόπον τοῦτον, ἀφανίζεσθαι δὲ καὶ ποιεῖν νύκτα διὰ τὸ ὑψηλὴν εἶναι πρὸς ἄρκτον τὴν γῆν.* Plac. II 16, 4. Dox. 346, 1 nunc restitutum est *οὐχ*[1] *ὑπὸ τὴν γῆν, περὶ αὐτὴν δὲ στρέφεσθαι τοὺς ἀστέρας.*

d. Plac. II 23, 1. Dox. 352 sub titulo *περὶ τροπῶν ἡλίου. Ἀν. ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντιτύπου ἐξωθεῖσθαι τὰ ἄστρα.* Cf. Z. I⁴ 228¹. Eudemus ap. Theonem Smyrn., Hilleri p. 188, 19, *Ἀναξιμένης δὲ ὅτι ἡ σελήνη ἐκ τοῦ ἡλίου ἔχει τὸ φῶς καὶ τίνα ἐκλείπει τρόπον.*

1) *ὁμοίως* (A)BC. Qua lectione usus erat Teichmüller p. 98, cf. Z. I⁴ 227¹ extr. (228).

Heraclitus.

aetas Diog. IX 1. Ἡράκλειτος [a] Βλύσωνος — Ἐφέσιος. οὗτος 22
ἤκμαζε [b] κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα (50^4/1) [c].

a. Scripserunt de Heraclito: Schleiermacher (1807) in Wolfii et Buttmanni *Mus. d. Alterthumsw.* I 313—533; eadem commentatio nunc in Op. Philos. II 1—146. Jac. Bernays, Heraclitea, Bonn 1848. Bernays, *Herakl. Stud.*, Mus. Rh. 1850, VII 90; *Neue Bruchstücke des H.* Mus. Rh. 1854, IX 241. Eaedem tres commentationes nunc collectae in *Ges. Abh. v. I. Bernays*, ed. H. Usener I, p. 1, 37, 74. Bernays, *Die Heraklit. Briefe*, Berlin 1869. Lassalle, *Die Philosophie Herakleitos d. Dunkeln.* 2 vol. Berlin 1858. P. Schuster, *Heraklit. v. Eph.*, in Actis soc. phil. Lips. ed. Fr. Ritschelius 1873, III 1—397. Teichmüller *Neue Stud. z. Gesch. d. Begr.*, fasc. I, Gotha 1876. fasc. II, 1878. Bywater, Her. Eph. reliquiae, Oxf. 1877. Neumann *Heraclitea, Hermes* XV 605. XVI 159.

Nostro in libro fragmentorum prior numerus Bywateri, posterior Schusteri contextum indicat.

aequales b. Hoc ex Apollodoro haustum, cf. Diels, Mus. Rh. XXXI 33. Suidas v. Ἡράκλειτος adicit: ἐπὶ Δαρείου τοῦ Ὑστάσπου. Aristoteles ap. Diog. VIII 52 sexagenarium obisse dicit Empedoclem. Quod adiectum legebatur ἔτι δ' Ἡράκλειτον, pridem correctum est ἔτι δ' Ἡρακλείδης, scil. Ponticus, v. Diels l. c. 38. — Diog. IX 2 καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον. Heracl. fr. 114 (40) ap. Strabon. XIV 25, p. 642: ἄνδρες δ' ἀξιόλογοι γεγόνασιν ἐν αὐτῇ τῶν μὲν παλαιῶν Ἡράκλειτός τε ὁ σκοτεινὸς καλούμενος καὶ Ἑρμόδωρος, περὶ οὗ ὁ αὐτὸς οὗτός φησιν· Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι, οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω, εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων. δοκεῖ δ' οὗτος ὁ ἀνὴρ νόμους τινὰς Ῥωμαίους συγγράψαι. Cf. Cic. Tusc. V 105. Plin. H. N. XXXIV 5, 21. Darei I aequalem Her. habitum esse testantur etiam epistulae utriusque nomine fictae, Diog. IX 13.

cuius sit auditor c. Diog. IX 5. ἤκουσέ τε οὐδενός, ἀλλ' αὐτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑωυτοῦ. (Male interpretatur ipsius verba posita RP 40 A.) Σωτίων δέ φησιν εἰρηκέναι τινὰς Ξενοφάνους αὐτὸν ἀκηκοέναι. Ne hoc quidem probabile est. Hippasi vero auditorem quod Suid. v. Ἡράκλειτος eum appellat, fictum videtur ex Arist. Met. I 3. 984^a 7.

23 Diog. IX 5. *Τὸ δὲ φερόμενον αὐτοῦ βιβλίον ἐστὶ μὲν ἀπὸ τοῦ συνέχοντος περὶ φύσεως, διῄρηται δὲ εἰς τρεῖς λόγους, εἴς τε τὸν περὶ τοῦ παντὸς καὶ πολιτικὸν καὶ θεολογικόν.* 6. *ἀνέθηκε δ' αὐτὸ εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν, ὡς μέν τινες, ἐπιτηδεύσας ἀσαφέστερον γράψαι, ὅπως οἱ δυνάμενοι προσίοιεν αὐτῷ καὶ μὴ ἐκ τοῦ δημώδους εὐκαταφρόνητον εἴη* [a]. — *τοσαύτην δὲ δόξαν ἔσχε τὸ σύγγραμμα* [b] *ὡς καὶ αἱρετιστὰς ἀπ' αὐτοῦ γενέσθαι τοὺς κληθέντας Ἡρακλειτείους* [c]. de libro eius

a. Cognomen *ὁ σκοτεινός* legitur apud Cic. fin. II 15, Strabon. (RP 22 b), Ps.-Arist.* de Mundo 5; sed est antiquius, cf. Liv. XXIII 39. Consulto eum obscurius scripsisse, ne ab omnibus intellegeretur, etiam Cicero putat, D. Nat. III 35; item Schuster p. 73 sq., quod *ἀσεβείας δίκην* vitare voluerit; atque huc ille refert dubiae fidei fr. 37 Sch., ap. Clem. Strom. V 13 p. 699 P. *ἀλλὰ τὰ μὲν τῆς γνώσεως βάθη κρύπτειν ἀπιστίη ἀγαθὴ καθ' Ἡράκλειτον, ἀπιστίη γὰρ διαφυγγάνει μὴ γιγνώσκεσθαι.* Verba illa *γνώσεως βάθη* christiana putat Zeller I^4 574^2. Alii brevitatem incusant vel quod multa per similitudinem dixerit, v. Clem. Strom. V 8 p. 676 P.; alii solutiorem constructionem verborum, velut Arist. Rhet. III 5. 1407 b 15: *τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον, οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος. φησὶ γάρ·* [RP 25] *Τοῦ λόγου τοῦδ' ἐόντος αἰεὶ ἀξύνετοι ἄνθρωποι γίνονται. ἄδηλον γὰρ τὸ αἰεὶ πρὸς ὁποτέρῳ διαστίξαι.* Demetr. de elocut. 192. *ἄδηλος γὰρ ἡ ἑκάστου κώλου ἀρχὴ διὰ τὴν λύσιν, ὥσπερ τὰ Ἡρακλείτου· καὶ γὰρ ταῦτα σκοτεινὰ ποιεῖ τὸ πλεῖστον ἡ λύσις.* Huc accedit quod et omnis illorum temporum oratio philosophiae difficiles aditus praebebat et ille proponere malebat quae sentiret quam exponere. Nonnunquam tamen splendide scribit et dilucide, v. Diog. IX 7: *λαμπρῶς τε ἐνίοτε ἐν τῷ συγγράμματι καὶ σαφῶς ἐκβάλλει, ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι καὶ δίαρμα ψυχῆς λαβεῖν· ἥ τε βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον.* Ipse gravitatem suae orationis cum oraculis comparat, si recte interpretamur fr. 11 (38) *ὁ ἄναξ οὗ τὸ μαντήιόν ἐστι τὸ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει,* et alterum fr. 12 (39) *Σίβυλλα δὲ μαινομένῳ στόματι ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη χιλίων ἐτέων ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν.* Cf. Lucian. vit. auct. 14, Schuster p. 73. Nimiam fiduciam eius tangit Arist. Eth. Nic. VII 4. 1146 b 29. Cf. Heracl. fr. (137) *λέγω τοῦτο καὶ παρὰ Περσεφόνῃ ἐών.* obscurus

b. Diog. IX 12. *ἐπιγράφουσι δ' αὐτὸ οἱ μὲν Μούσας, οἱ δὲ Περὶ φύσεως, Διόδοτος δὲ Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου, ἄλλοι Γνώμην ἠθῶν τρόπου κόσμον ἑνὸς τῶν συμπάντων* [1]. Musas quod in- inscriptio

---

1) Küster: *γνώμον' ἠθῶν κόσμον τρόπων* (*κόσμον ἐπῶν* ex Suida?) *ἕνα ἀντὶ σ.* Bernays: *γνώμην ἤτοι τρόπον κόσμου Heracl.* p. 8. *Ges. Abh.* I 8 et 9 cum notis. — *) Liber primo circiter p. Chr. saec. scriptus.

scripsisse traditur, licet suspicari fictum esse e Platonis Soph. 242 D, ubi Ἰάδες καὶ Σικελικαί τινες Μοῦσαι sunt pro Heraclito et Empedocle, cf. Clem. Strom. V 9 p. 682 P. Bernays, Heracl. p. 9[3], tum Schuster p. 57 et 329[2] eum titulum non plane abiciendum putant sed intellegendas Musas tres antiquiores, Meleten Mnemen Aoeden, cf. Preller Myth. Gr. I[3] 405. Z. I[4] 566[2] suspicatur scriptum esse librum post 478, quia Hermodori fuga commemoretur, eundem circa 470 Epicharmo iam notum fuisse. Respicit Heraclitus Pythagoram, Xenophanem, Hecataeum; v. fr. 16, positum RP 24.

c. De Heracliteis cf. Cratylum Platonis et Theaetetum (179). De interpretibus v. Diog. IX 15 πλεῖστοί τέ εἰσιν ὅσοι ἐξήγηνται αὐτοῦ τὸ σύγγραμμα· καὶ γὰρ Ἀντισθένης (non Cynicus ille, v. Z. I[4] 675[2]) καὶ Ἡρακλείδης ὁ Ποντικὸς Κλεάνθης τε καὶ Σφαῖρος ὁ στωικός, πρὸς δὲ Παυσανίας ὁ κληθεὶς Ἡρακλειτιστής, Νικομήδης τε καὶ Διονύσιος· τῶν δὲ γραμματικῶν Διόδοτος, ὅς οὔ φησι περὶ φύσεως εἶναι τὸ σύγγραμμα ἀλλὰ περὶ πολιτείας, τὸ δὲ περὶ φύσεως ἐν παραδείγματος εἴδει κεῖσθαι.

μεγαλόφρων Diog. IX 1. Μεγαλόφρων δὲ γέγονε παρ' ὁντινοῦν καὶ 24
ὑπερόπτης, ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησι· [fr. 16 By. 23 Sch.] „Πολυμαθίη νόον οὐ διδάσκει[1]. Ἡσίοδον
antiquiores exagitat γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην, αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον." τόν θ' Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι καὶ Ἀρχίλοχον ὁμοίως[a]. 6. Θεόφραστος δέ φησιν ὑπὸ μελαγχολίας τὰ μὲν ἡμιτελῆ τὰ δὲ ἄλλοτε ἄλλως ἔχοντα γράψαι. σημεῖον δ' αὐτοῦ τῆς μεγαλοφροσύνης Ἀντισθένης φησὶν ἐν διαδοχαῖς· ἐκχωρῆσαι γὰρ τἀδελφῷ τῆς βασιλείας[b].

a. Eodem spectat Heracl. fr. 111 (26), cf. Bernays Heracl. 34, qui prima e Procl. in Alc. p. 255 Creuz., extrema e Clem. Strom. V 9 p. 682 P. restituit: τίς γὰρ αὐτῶν νόος ἢ φρήν; δήμων [2] ἀοιδοῖσιν ἕπονται καὶ διδασκάλῳ χρέονται ὁμίλῳ, οὐκ εἰδότες ὅτι πολλοὶ κακοὶ ὀλίγοι δὲ ἀγαθοί. αἱρεῦνται γὰρ ἓν ἀντία πάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν, οἱ δὲ πολλοὶ κεκόρηνται ὅκωσπερ κτήνεα. De Hesiodo quomodo iudicet, v. RP 31, b. Her. fr. 17 (22), ap. Diog. VIII 6 Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων. καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποίησεν ἑωυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην. Odium ignorantiae hominum: fr. 113 (30). εἷς ἐμοὶ μύριοι ἢν ἄριστος ᾖ, cf. Bernays, Her. 35; fr. 3 (5), ap. Clem. Strom. V 14 p. 718 P., ἀσύνετοι ἀκούσαντες κωφοῖσιν οἴκασι· φάτις αὐτοῖσι μαρτυρεῖ παρεόντας ἀπεῖναι. Fortasse etiam fr. 51 (28), ap. Arist. Eth. N. X 5. 1176ª 6 ὄνοι σύρματ' ἂν ἕλοιντο μᾶλλον ἢ χρυσόν; et fr. 115 (36) κύνες καὶ βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι ap. Plut. An seni ger. resp. VII p. 787.

1) Procl. in Tim. 31 F. φύει, quod praefert Schleiermacher, ad fragm. 13. — 2) φρὴν δαήμων Bergk. δήμων seclusit Byw. quasi adiectum ad explicandum v. αὐτῶν.

b. Strabo XIV 633, ubi de Androclo Codri filio conditore Ephesi dixit, *καὶ ἔτι νῦν οἱ ἐκ τοῦ γένους ὀνομάζονται βασιλεῖς ἔχοντές τινας τιμάς, προεδρίαν τε ἐν ἀγῶσι καὶ πορφύραν ἐπίσημον τοῦ βασιλικοῦ γένους, σκίπωνα ἀντὶ σκήπτρου καὶ τὰ ἱερὰ τῆς Ἐλευσινίας Δήμητρος.* Cf. Bernays Her. 32. *Ges. Abh.* I 30[2]. regia dignitas

25 Heracl. fr. 2 (3 et 3b). *Τοῦ λόγου*[a] *τοῦδ', ἐόντος*[1] *αἰεί, ἀσύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἀπείροισιν οἴκασι πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιούτων ὁκοίων ἐγὼ διηγεῦμαι, διαιρέων κατὰ φύσιν καὶ φράζων ὅκως ἔχει. τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν, ὅκωςπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται*[b]. Ex Hippolyt. Ref. Haer. IX 9. Sext. Math. VII 132. Arist. Rhet. III 5. Clem. Strom. V 14 p. 716 P. ratio

a. Aristoteles, v. RP 23 a, addit: *ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος.* Sextus praemittit: *ἐναρχόμενος τῶν περὶ φύσεως — καὶ τρόπον τινὰ δεικνὺς τὸ περιέχον.* Iungenda *ἀεὶ* et *ἐόντος.* Quid sit *λόγος,* v. M. Heinze, *Lehre vom Logos,* 1872, p. 1—57: lex naturae, aeterna lex ordinis rerum; Schuster p. 18 sq.: quod natura voce divina nobis aperit; Z. I[4] 573: mea oratio mea ratio, aeterno rerum ordini congrua.

b. Marc. Aurel. IV 46 *μεμνῆσθαι* (scil. *τοῦ Ἡρακλειτείου*) *ὅτι „ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ", τῷ τὰ ὅλα διοικοῦντι, „τούτῳ διαφέρονται, καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται", καὶ ὅτι „οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν".* Insunt fr. 93 (2) et 94 (6), sed non de scripto haec transfert Antoninus. Licet hoc loco ponere verba obscuriora fr. 18 (13), e Stob. Flor. III 81 *Ὁκόσων λόγους ἤκουσα οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον,* de quibus v. Schuster p. 42, Z. I[4] 572[1] (Lassalle I 344).

26 Plat. Cratyl. 402 A. *Λέγει που Ἡράκλειτος ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει, καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει*[a] *ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης.* Fr. 41 (41). fluunt omnia

a. Plut. Qu. Nat. 2, 3. p. 912 haec subicit: *ἕτερα γὰρ ἐπιρρεῖ ὕδατα.* Plut. de *Εἰ* Delph. 18 p. 392 *ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ, καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει, μᾶλλον δὲ οὐδὲ πάλιν οὐδὲ ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει, πρόςεισι καὶ ἄπεισι.* In quibus quae Heraclitea sint, quae admixta, docent Z. I[4] 576[2], Bernays, *Herakl. Briefe,* 55. Cf. etiam Bywater fr. 42 de Cleanthis

---

1) Arist. Clem. Hippol. codices falso *τοῦ δέοντος.*

sive Zenonis testimonio ap. Euseb. Pr. Ev. XV 20. Heraclitus ap. Heraclit. Alleg. Hom. 24, p. 51 M. *Ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμεν.* Plac. I 23. Dox. 320. *Ἡράκλειτος ἠρεμίαν μὲν καὶ στάσιν ἐκ τῶν ὅλων ἀνῄρει. ἔστι γὰρ τοῦτο τῶν νεκρῶν.* Abusos hoc magistri decreto Heracliteos irridet Plato Theaet. 179 D, E, ubi eos appellat *τοὺς ῥέοντας*, cf. Cratyl. 440. Arist. Met. IV 5. 1010 [a] 13 *ἐκ γὰρ ταύτης τῆς ὑπολήψεως ἐξήνθησεν ἡ ἀκροτάτη δόξα τῶν εἰρημένων, ἡ τῶν φασκόντων ἡρακλειτίζειν, καὶ οἵαν Κρατύλος εἶχεν, ὃς τὸ τελευταῖον οὐδὲν ᾤετο δεῖν λέγειν, ἀλλὰ τὸν δάκτυλον ἐκίνει μόνον, καὶ Ἡρακλείτῳ ἐπετίμα εἰπόντι ὅτι δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι· αὐτὸς γὰρ ᾤετο οὐδ' ἅπαξ.*

ἁρμονία Aristot. Eth. Nic. VIII 2. 1155[b] 4. *Ἡράκλειτος τὸ ἀντίξουν συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν καὶ πάντα κατ' ἔριν γίνεσθαι.* Fr. 45 (80) ap. Hippol. Refut. IX 9. *οὐ συνίασιν ὅκως διαφερόμενον* [a] *ἑωυτῷ ὁμολογεῖ· παλίντροπος* [b] *ἁρμονίη ὅκωςπερ τόξου καὶ λύρης* [c]. Fr. 44 (75) ibid. 27

certatio IX 9. *πόλεμος* [d] *πάντων μὲν πατήρ ἐστι πάντων δὲ βασιλεύς* [e], *καὶ τοὺς μὲν θεοὺς ἔδεξε τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους.* Fr. 43. Eudem. Eth. VII 1 1235[a] 26. *καὶ Ἡράκλειτος ἐπιτιμᾷ τῷ ποιήσαντι· ὡς ἔρις ἔκ τε θεῶν καὶ ἀνθρώπων ἀπόλοιτο· οὐ γὰρ ἂν εἶναι ἁρμονίαν μὴ ὄντος ὀξέος καὶ βαρέος, οὐδὲ τὰ ζῷα ἄνευ θήλεος καὶ ἄρρενος, ἐναντίων ὄντων.* Fr. 47 (8) ap. Plut. Anim. procr. 27 et Hippol. IX 9 et 10: *ἔστι γάρ, φησίν, ὁρμονίη*[1] *ἀφανὴς φανερῆς κρέσσων* [f].

a. Fr. 59 (98). Ps.-Arist. de Mundo 5, 396[b] 12. *συνάψειας οὖλα καὶ οὐχὶ οὖλα, συμφερόμενον καὶ διαφερόμενον, συνᾷδον καὶ διᾷδον· καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.*

b. Plut. de Iside 45. *παλίντονος γὰρ ἁρμονίη κόσμου ὅκωσπερ λύρης καὶ τόξου καθ' Ἡράκλειτον.*

c. Plato Sympos. 187 A. *τὸ ἓν γάρ φησι διαφερόμενον αὐτὸ αὑτῷ ξυμφέρεσθαι ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας* [2]. Cf. de hac similitudine Bernays *Herakl. Stud.* Mus. Rh. VII 94. *Ges. Abh.* I 41.

d. Plut. de Iside 48. *Ἡράκλειτος μὲν γὰρ ἄντικρυς Πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον πάντων, καὶ τὸν Ὅμηρον εὐχόμενον „Ἔκ τε θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι" λανθάνειν φησὶ τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων.*

---

1) Schuster p. 24, 1 verba sic dirimit: *ἐς τί γάρ, φησίν, ἁρμονίη ἀφ. φ. κρείσσων;* — 2) Bast et Gladisch pro *λύρης* v. *βαρέος*, pro *τόξου* v. *ὀξέος*. Bergk *τόξου καὶ νευρῆς*.

e. Eodem Iovis nomen rettulit, v. Chrysipp. ap. Philodem. π. εὐσεβείας VII 81 Gomperz: τὸν Πόλεμον καὶ τὸν Δία τὸν αὐτὸν εἶναι, καθάπερ καὶ Ἡράκλειτον λέγειν. Ceterum cf. Philo Rer. Div. Her. 43. ἓν γὰρ τὸ ἐξ ἀμφοῖν τῶν ἐναντίων, οὗ τμηθέντος γνώριμα τὰ ἐναντία· οὐ τοῦτ' ἔστιν ὅ φασιν Ἕλληνες τὸν μέγαν καὶ ἀοίδιμον παρ' αὐτοῖς Ἡράκλειτον, κεφάλαιον τῆς αὐτοῦ προστησάμενον φιλοσοφίας αὐχεῖν ὡς ἐφ' εὑρέσει καινῇ;

f. Intima illa et legitima quae latet in natura rerum aequabilitas, omni sonorum concentu praestantior. Themist. or. V 69, b: φύσις καθ' Ἡράκλειτον κρύπτεσθαι φιλεῖ.

28 Heracl. fr. 20 (46) ap. Clem. Strom. V 14 p. 711 P. *ignis primarius* Κόσμον τὸν αὐτὸν ἁπάντων [a] οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν αἰεὶ καὶ ἔστιν καὶ ἔσται πῦρ [b] αἰείζωον [c], ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα. Fr. 22 (57) ap. Plut. de Eἰ Delph. 8. Πυρός τ' ἀνταμείβεσθαι πάντα φησὶν ὁ Ἡράκλειτος καὶ πῦρ ἁπάντων, ὥσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός.

a. Mundum communem omnium nemo ex iis, qui ipsi quoque eo continentur, fecit. Verba τὸν αὐτὸν ἁπάντων ap. Plut. Anim. procr. 5 et Simpl. Arist. de Cael. 132 omittuntur.

b. Aliud nomen eadem res in fr. 28 (68) ap. Hippolyt. Ref. IX 10. τὰ δὲ πάντα οἰακίζει κεραυνός, cf. Cleanthis hymn. v. 10. Philodem. de pict. p. 70 c. 6[a] (*Hermes* XIII 2). Idem significat ὁ πρηστήρ in fr. 21 (47) ap. Clem. Strom. V 14 p. 712: πυρὸς τροπαὶ πρῶτον θάλασσα· θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ. Quem locum ad mundi generationem Clemens refert, v. Schuster p. 148.

c. Igni cur eam vim tribuat, v. Simpl. Phys. 6 r. 24, 6 D. δῆλον ὅτι καὶ οὗτοι τὸ ζῳογόνον καὶ δημιουργικὸν καὶ πεπτικὸν καὶ διὰ πάντων χωροῦν καὶ πάντων ἀλλοιωτικὸν τῆς θερμότητος θεασάμενοι ταύτην ἔσχον τὴν δόξαν. Cf. Plat. Cratyl. 412 C—413 C.

29 Diog. IX 7. Ἐκ πυρὸς τὰ πάντα συνεστάναι καὶ εἰς τοῦτο ἀναλύεσθαι [a]· πάντα τε γίνεσθαι καθ' εἱμαρμένην [b], καὶ διὰ τῆς ἐναντιοτροπίας ἡρμόσθαι τὰ ὄντα. — 8. πῦρ εἶναι στοιχεῖον καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα, ἀραιώσει καὶ πυκνώσει [c] γινόμενα. σαφῶς δὲ οὐδὲν ἐκτίθεται. — τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον καλεῖσθαι πόλεμον καὶ ἔριν, τὸ δ' ἐπὶ τὴν ἐκπύρωσιν ὁμολογίαν καὶ εἰρήνην, καὶ τὴν μεταβολὴν ὁδὸν ἄνω κάτω, τόν τε κόσμον γίνεσθαι κατὰ ταύτην. 9. πυκνούμενον [c] γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι συνιστάμενόν τε γίνεσθαι ὕδωρ, πηγνύμενον δὲ τὸ ὕδωρ εἰς γῆν τρέπεσθαι· καὶ ταύτην ὁδὸν ἐπὶ τὸ κάτω εἶναι λέγει. πάλιν τε αὖ τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι, ἐκ δὲ τούτου τὰ λοιπά, σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυμίασιν

ignium conversiones

sursum deorsum

ἀνάγων τὴν ἀπ' τῆς θαλάττης. αὕτη δέ ἐστιν ἡ ἐπὶ τὸ ἄνω ὁδός [d].

ἐκπύρωσις a. In ignem universa absolutum iri Heraclitus docuit, etsi docuisse eum negant Schleierm. 94, Lassalle 126. Testis est Aristoteles Phys. III 5, 205ᵃ 3. Ἡρ. φησὶν ἅπαντα γίνεσθαί ποτε πῦρ. Item Metaph. XI 10. De Caelo I 10, 279ᵇ 16, cf. Diog. IX 8. γεννᾶσθαί τ' αὐτὸν (τὸν κόσμον) ἐκ πυρὸς καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα· τοῦτο δὲ γίγνεσθαι καθ' εἱμαρμένην. Talium conversionum tempora definivit; v. Theophr. ap. Simpl. Phys. 6 r. 24, 4 D. (Dox. 476). ποιεῖ δὲ καὶ τάξιν τινὰ καὶ χρόνον ὡρισμένον τῆς τοῦ κόσμου μεταβολῆς κατά τινα εἱμαρμένην ἀνάγκην [1]. De magno anno Plac. II 32 (Dox. 364) Ἡρ. ἐκ μυρίων ὀκτακισχιλίων ἡλιακῶν. Multitudo rerum quod simplicem illum ignis genitalis statum adfectat, indigentia appellatur; cum per ἐκπύρωσιν eo pervenit, satietas. Cf. Philo Alleg. Leg. III 3, p. 88, Plut. de Ei 9 (non nominat Heraclitum), Hippolyt. Refut. IX 10. καλεῖ δὲ αὐτὸ (τὸ πῦρ τὸ αἰώνιον) χρησμοσύνην καὶ κόρον· χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ' αὐτόν, ἡ δὲ ἐκπύρωσις κόρος. πάντα γάρ, φησί, τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται. Fr. 24 Byw.

necessitas b. Εἱμαρμένην dicit supremam potentiam divinam, per quam contrarii motus, de quibus v. RP 27, temperentur; v. Stob. Ecl. I 58. Dox. 303. Ἡρ. τὸ περιοδικὸν πῦρ ἀίδιον, εἱμαρμένην δὲ λόγον ἐκ τῆς ἐναντιοδρομίας δημιουργὸν τῶν ὄντων. Stoica admiscet Stob. I 178, Dox. 323. Plut. An. procr. 27, p. 1026: ἣν (sc. ἀνάγκην) εἱμαρμένην οἱ πολλοὶ καλοῦσιν· — Ἡράκλειτος δὲ παλίντροπον ἁρμονίην κόσμου, ὅκωσπερ λύρας καὶ τόξου. Cf. RP 32 et 35. Z. I⁴ 606 [3].

πύκνωσις μάνωσις c. Simpl. Phys. 6 r. 23, 33 D. (Dox. 475 inter Theophr. fr.) Ἵππασος — καὶ Ἡράκλειτος — ἓν καὶ οὗτοι καὶ κινούμενον καὶ πεπερασμένον, ἀλλὰ πῦρ ἐποίησαν τὴν ἀρχὴν καὶ ἐκ πυρὸς ποιοῦσι τὰ ὄντα πυκνώσει καὶ μανώσει καὶ διαλύουσι πάλιν εἰς πῦρ ὡς ταύτης μιᾶς οὔσης φύσεως τῆς ὑποκειμένης· πυρὸς γὰρ ἀμοιβὴν εἶναί φησιν Ἡρ. πάντα. De hoc et Laertii loco disp. Diels, Dox. 163. Quod Heraclito πύκνωσις καὶ μάνωσις tribuitur, Theophrasti est coniectura agnoscenda, quae „sive vera est [cf. Schuster p. 261 [1]] sive falsa [Zeller I⁴ 593] suo iure nitebatur Aristotelis locis phys. I 6, 189ᵇ 8 metaph. I 7, 988ᵇ 34.“ Diels ib. 165.

d. Per eosdem gradus in utramque partem feruntur, v. fr. 69 (88) ap. Hippolyt. IX 10. ὁδὸς ἄνω καὶ κάτω μία καὶ ὡυτή, cf. Plat. Phileb. 43 A. ἀεὶ ἅπαντα ἄνω τε καὶ κάτω ῥεῖ. Cum natura elementorum videntur etiam loca mutari. Ignis superiora obtinet, v. Stob. Ecl. I 23 (Dox. 340) πύρινον εἶναι τὸν οὐρανόν. Z. I⁴ 618 contra Lassalle II 241—260.

orbis vicissitudinum Heracl. fr. 67 et 25 ap. Maxim. Tyr. XLI 4. μεταβολὴν ὁρᾷς σωμάτων καὶ γενέσεως ἀλλαγήν, ὁδὸν ἄνω καὶ κάτω, 30 A

---

1) ἀνάγκην gloss. putat Usener.

κατὰ τὸν Ἡράκλειτον· καὶ αὖθις αὖ· ζῶντας μὲν τὸν ἐκείνων θάνατον, ἀποθνήσκοντας δὲ τὴν ἐκείνων ζωήν. ζῇ πῦρ τὸν γῆς θάνατον καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον· ὕδωρ ζῇ τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος [a].

30 B Fr. 68 (89) ap. Clem. Strom. VI 2 p. 746 P.: *ψυχῇσι* [b] *γὰρ θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι. ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή.* anima

30 C Arist. de Anima I 2. 405 [a] 25. *καὶ Ἡράκλειτος δὲ τὴν ἀρχὴν εἶναί φησι ψυχήν, εἴπερ τὴν ἀναθυμίασιν, ἐξ ἧς τἆλλα συνίστησιν· καὶ ἀσωματώτατόν τε καὶ ῥέον ἀεί* [c]. *τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεσθαι.*

a. Ultima sintne Heracliti verba, ambigitur. Ubi ipse loquens inducitur, tres gradus distinguuntur, ignis mare terra; neque Diog. IX 9 plura enumerat. Cf. RP 30 B et C.

b. Nimirum pro igne non solum fulgur, sed etiam calorem, vaporem, animam Her. dixerat. Animae spirantis notio cum proxime accedat ad aeris notionem, alii *ψυχὴν* in hunc modum interpretantur. Velut Philo de Mundi Incorrupt., p. 509 M. 261, 12 Bern.: *ψυχὴν γὰρ οἰόμενος εἶναι τὸ πνεῦμα, τὴν μὲν ἀέρος τελευτὴν γένεσιν ὕδατος, τὴν δὲ ὕδατος γῆς πάλιν γένεσιν αἰνίττεται, θάνατον οὐ τὴν εἰς ἅπαν ἀναίρεσιν ονομάζων ἀλλὰ τὴν εἰς ἕτερον στοιχεῖον μεταβολήν.* Nec Plutarchus accurate, de *Ei* Delph. 18, p. 392: *πυρὸς θάνατος ἀέρι γένεσις καὶ ἀέρος θάνατος ὕδατι γένεσις.* Hinc intellegitur quid sit quod Aenesidemus Heraclitum aerem rerum principium statuisse tradat, v. Sext. Math. IX 360; X 233.

c. Recte hunc locum explicat Philoponus (C, 7): *πῦρ δὲ οὐ τὴν φλόγα· — ἀλλὰ πῦρ ἔλεγε τὴν ξηρὰν ἀναθυμίασιν· ἐκ ταύτης οὖν εἶναι καὶ τὴν ψυχήν.*

31 Heracl. fr. 23 (48) ap. Clem. Strom. V 14 p. 712 P. *Ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται* (sc. *ὁ κόσμος*), *σαφῶς διὰ τούτων δηλοῖ· θάλασσα διαχέεται καὶ μετρέεται ἐς τὸν αὐτὸν λόγον* [a], *ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ*[1]. Fr. 29 (64) ap. Plut. de Exil. 11. *Ἥλιος οὐχ ὑπερβήσεται μέτρα· εἰ δὲ μή, Ἐρινύες μιν Δίκης ἐπίκουροι ἐξευρήσουσιν* [b]. statae conversiones

a. Zeller I^4 628^3 haec refert ad terram in mare mutandam, unde sit ipsa orta. Idem v. *ἐς τὸν αὐτὸν λόγον* interpretatur: ad eandem magnitudinis rationem. Lassalle II 61: secundum eandem legem. Heinze, *Lehre vom Logos*, 25: mutatur mare in idem principium, i. e. ignem cet.

b. Cf. Plut. de Iside 48, ubi scr. *Κλῶθάς μιν δίκης ἐπικούρους ἐξευρήσειν*, v. Schuster 184; Z. I^4 606^2. Sol est ipse mutabilis, *νέος ἐπ᾽ ἡμέρῃ*, fr. 32 ap. Arist. Meteor. II 2. 355 [a] 12, i. e. *καθ᾽ ἑκάστην ἡμέ-*

1) *γῆ* om. cod. ap. Eus. Pr. Ev. XIII 13, 33; item Heinze; *γῆν* Schuster.

ραν ἄλλος ἐξαπτόμενος, τοῦ πρώτου ἐν τῇ δύσει σβεννυμένου (Alex. ad illum locum). Cf. Plat. Rep. VI 498 A. Explicatius haec persequitur Diog. IX 9. γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάττης, ἃς μὲν λαμπρὰς καὶ καθαράς, ἃς δὲ σκοτεινάς. αὔξεσθαι δὲ τὸ μὲν πῦρ ὑπὸ τῶν λαμπρῶν, τὸ δὲ ὑγρὸν ὑπὸ τῶν ἑτέρων. τὸ δὲ περιέχον ὁποῖόν ἐστιν οὐ δηλοῖ· εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ κοῖλον πρὸς ἡμᾶς, ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας, ἃς εἶναι τὰ ἄστρα. (10) Solis flammam lucidissimam et calidissimam, cetera astra nimis a terra remota esse; τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου. — ἡμέραν τε καὶ νύκτα γίνεσθαι καὶ μῆνας καὶ ὥρας ἐτείους καὶ ἐνιαυτοὺς ὑετούς τε καὶ πνεύματα καὶ τὰ τούτοις ὅμοια κατὰ τὰς διαφόρους ἀναθυμιάσεις. (11) τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου ἡμέραν ποιεῖν, τὴν δ' ἐναντίαν ἐπικρατήσασαν νύκτα ἀποτελεῖν, καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐξανόμενον θέρος ποιεῖν, ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάζον χειμῶνα ἀπεργάζεσθαι. Hesiodum vituperat quod in Theog. 124 Diem Noctis filiam appellaverit, fr. 35 (25) ap. Hippolyt. IX 10. διδάσκαλος δὲ πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν· ἔστι γὰρ ἕν. Quod quale senserit, declarat fr. 36 (67) ap. Hippol. IX 10. ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός· ἀλλοιοῦται δὲ ὅκωσπερ ⟨πῦρ⟩ ὁκόταν συμμιγῇ θυώμασι [1] · ὀνομάζεται κατ' ἡδονὴν ἑκάστου.

caelestia

σοφόν Heracl. fr. 65 (140) ap. Clem. Strom. V 14 p. 718 P. Ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει, Ζηνὸς [a] οὔνομα. Diog. IX 1. εἶναι γὰρ ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην ᾗ οἴη τε [2] κυβερνῆσαι [b] πάντα διὰ πάντων. Fr. 1 (79) ap. Hippol. Ref. IX 9. οὐκ ἐμεῦ, ἀλλὰ τοῦ λόγου [3] ἀκούσαντας [c]ὁμολογεῖν σοφόν ἐστιν, ἓν πάντα εἰδέναι [c]. 32

a. Ζηνὸς non Διός, fortasse Pherecydem Syrium secutus, quia illam formam Graeci plerumque a verbo ζῆν ducunt. Unum illud principium mundi est materia causa lex regimen. Ζεύς, Δίκη, σοφόν, λόγος: varia nomina, res non diversa. Idem significat illud quod RP 28 dicitur πῦρ αἰείζωον, unde manat omnis motus, omnis vita, omnis intellectus, cf. Hippol. IX 10. λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον, et RP 33, a. Adde nomen αἰών ex

1) Πῦρ intercidisse putat Diels cl. Crameri A. Par. I 167, 17. Bernays post συμμιγῇ inserit θύωμα. Bergk pro θύωμα adicit οἶνος, Zeller ἀήρ, v. Byw. p. 15. — 2) Verba incerta. Byw. p. 55 ᾗ οἴεται (Heracl.) κυβερνᾶσθαι. Steph. ἥτε οἱ ἐγκυβερνήσει, libri ὅτ' ἐγκυβερνῆσαι, nisi quod Burb. (optimus) ὅτε ᾗ κυβερνῆσαι. Schleierm. ἥτε οἴη κυβερνήσει. Schuster οἴη κυβερνῆσαι. In vetustis libris fuisse ἥτε οἰακίζει, postea superscriptum esse κυβερνᾷ existimat Bernays Mus. Rh. IX 254. *Ges. Abh.* I 85. — 3) Bernays λόγου, libri δόγματος.

fr. 79 (49) ap. Hippol. Ref. IX 9: *αἰὼν παῖς ἐστι παίζων πεσσεύων· παιδὸς ἡ βασιληίη*, quem locum Bernays Mus. Rh. VII 108 (*Ges. Abh.* I 56) explicat coll. Hom. Il. XV 360. Philon. incorrupt. mundi p. 500 M. 234, 4 B.

b. Heracliti fr. 19 (24). Cf. Plutarch. de Iside 76. *ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὑτῆς ἔχουσα καὶ γνῶσιν οἰκείων καὶ ἀλλοτρίων φύσις ἀμυστὶ* [1] *ἔσπακεν ἀπορροὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος ὅπως κυβερνᾶται τὸ σύμπαν, καθ' Ἡράκλειτον.*

c. Unum illud, quod omnia novit et perspicit, intellectus divinus et vera ratio, ap. Sext. Math. VII 129 *ὁ θεῖος λόγος*. Quamquam quid sit *λόγος*, hoc quidem loco ambiguum. Licet enim interpretari: non homini sed rationibus allatis concedendum est. Diversum est fr. 92 (7) Sext. Math. VII 133 *τοῦ λόγου δ' ἐόντος ξυνοῦ, ζώουσιν οἱ πολλοὶ ὡς ἰδίην ἔχοντες φρόνησιν.* Plura Heinze *Lehre vom Logos*, p. 9 etc. Teichmüller, *Neue Studien* I 167.

33 Sext. Math. VII 127. Ἀρέσκει γὰρ τῷ φυσικῷ τὸ περιέχον ἡμᾶς λογικόν τε ὂν καὶ φρενῆρες [a]. (129) τοῦτον δὴ τὸν θεῖον λόγον καθ' Ἡράκλειτον δι' ἀναπνοῆς σπάσαντες νοεροὶ γινόμεθα, καὶ ἐν μὲν ὕπνοις ληθαῖοι, κατὰ δὲ ἔγερσιν πάλιν ἔμφρονες. ἐν γὰρ τοῖς ὕπνοις μυσάντων τῶν αἰσθητικῶν πόρων χωρίζεται τῆς πρὸς τὸ περιέχον [b] συμφυΐας ὁ ἐν ἡμῖν νοῦς, μόνης τῆς κατὰ ἀναπνοὴν προσφύσεως σῳζομένης οἱονεί τινος ῥίζης, χωρισθείς τε ἀποβάλλει ἣν πρότερον εἶχε μνημονικὴν δύναμιν. 130. ἐν δὲ ἐγρηγορόσι πάλιν διὰ τῶν αἰσθητικῶν πόρων ὥσπερ διά τινων θυρίδων προκύψας [c] καὶ τῷ περιέχοντι συμβαλὼν λογικὴν ἐνδύεται δύναμιν. ὅνπερ οὖν τρόπον οἱ ἄνθρακες πλησιάσαντες τῷ πυρὶ κατ' ἀλλοίωσιν διάπυροι γίνονται, χωρισθέντες δὲ σβέννυνται, οὕτω καὶ ἡ ἐπιξενωθεῖσα τοῖς ἡμετέροις σώμασιν ἀπὸ τοῦ περιέχοντος μοῖρα κατὰ μὲν τὸν χωρισμὸν ἄλογος γίνεται, κατὰ δὲ τὴν διὰ τῶν πλείστων πόρων σύμφυσιν ὁμοιοειδὴς τῷ ὅλῳ καθίσταται [d]. περιέχον

a. Uti supra RP 32 a ignis quoque *φρόνιμος* habetur.

b. „Aenesidemo haec deberi eo maxime intellegitur, quod *τὸ περιέχον* (ab Heraclito eadem obscuritate qua ab Anaxagora fr. 2 dictum), quasi *τὸν περιέχοντα* [sc. *ἀέρα*] vulgari consuetudine dixisset, explicavit. nam aera in istius commentario intellegendum esse patet.“ Diels, Dox. 210. Significari aera circumfusum, sed eum quidem utrum *τὸ περιέχον* Her. ipse dixerit necne, dubitandum esse exponit Z. I[4] 645 [1]. Accurate has quaestiones examinat Natorp, *Forschungen* Berl. 1884, p. 103.

c. Coniectura est, non memoria, quod Sextus habet VII 349. *τὴν διάνοιαν οἱ μὲν ἐκτὸς τοῦ σώματος εἶναι ἔλεξαν, ὡς Αἰνησίδημος κατὰ*

1) Vulgo *ἄλλως τε*. Corr. Bernays Mus. Rh. XI 255.

Ἡράκλειτον —, οἱ δὲ αὐτὴν εἶναι τὰς αἰσθήσεις καθάπερ διά τινων ὀπῶν τῶν αἰσθητηρίων προκύπτουσαν, ἧς στάσεως ἦρξε Στράτων τε ὁ φυσικὸς καὶ Αἰνησίδημος. A Sexto et Aenesidemo secundum suam philosophandi rationem disputata, non ipsius Heracliti verba.

anima **d.** Anima scintilla stellaris essentiae, Macr. Somn. I 14; cf. Plut. de Iside 76, RP 32 b. Sed vis ignea, ut in universo, ita in singulis animalibus ad humidam substantiam depressa inde velut flatu sursum evaporatur, v. RP 30 c et Nemes. Nat. Hom. 2. Ἡράκλειτος δὲ τὴν μὲν τοῦ παντὸς ψυχὴν (verba nimirum non Heraclitea) ἀναθυμίασιν ἐκ τῶν ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζῴοις ἀπό τε τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως ὁμογενῆ πεφυκέναι, cf. Plac. IV 3, Dox. 389. Illud posteriores ei imputant, animam esse aerem et ἄλογον, v. Tertullian. de Anima 9, Sext. VIII 286. καὶ μὴν ῥητῶς ὁ Ἡράκλειτός φησι τὸ μὴ εἶναι λογικὸν τὸν ἄνθρωπον, μόνον δ' ὑπάρχειν φρενῆρες τὸ περιέχον, cf. Apollon. ep. 18. Ipse, quibus finibus sit anima circumscripta, difficillimum inventu dicit fr. 71 (90) ap. Diog. IX 7. ψυχῆς πείρατα οὐκ ἂν ἐξεύροιο πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει.

animus, sensus Heracl. fr. 4 (11) ap. Sext. Math. VII 126. Κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους [1] ψυχὰς ἐχόντων [a]. Fr. 74 (54) ap. Galen. de Animi Moribus 5. Αὔη [2] ξηρὴ ψυχὴ σοφωτάτη [b]. Fr. 73 (53) ap. Stob. Floril. V 120. Ἀνὴρ ὁκότ' ἂν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκῃ βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων. αὔη ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη. Fr. 13 (8 b) ap. Hippolyt. IX 10 ὅσων ὄψις ἀκοὴ μάθησις, ταῦτα ἐγὼ προτιμέω. 34

a. Nihil interest audire, si quae aures dicta acceperint animus non intellegat. Barbarus enim, qui sermonem communem non intellegit, v. Z. I[4] 652[4]; Schuster 26, 2. Sed praestat Bernaysii coniectura.

b. Cf. Plut. de Esu Carn. I 6. Stob. Flor. 17, 43; ceteras eius sententiae formas ap. Bywater, fr. 74—76. Adpono unam, Philonis, ap. Eus. Pr. Ev. VIII 14, 53: οὗ γῆ ξηρή, ψυχὴ σοφωτάτη καὶ ἀρίστη.

Animus quo magis refert naturam ignis divini (v. s. τὸ φρόνιμον), eo magis excellit sapientia et virtute; quo magis praevalet τὸ ὑγρόν, eo pinguior est et hebetior. Sensuum fides dubia. Oculi auribus praestant, ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες fr. 15 (9) ap. Polyb. XII 27. Tamen etiam hos fugit sempiterna rerum conversio, cf. Arist.

---

1) βορβόρου ψυχὰς ἔχοντος, i. e. limo animos obducente, Bernays M. Rh. IX 262; *Ges. Abh.* I 94—96, ubi Usener apte comparat Platon. Republ. VII 533 D. — 2) Libri αὐγή, unde Schuster 139, 3: (ubi) αὐγὴ ξηρή, (ibi) ψυχὴ σοφωτάτη. Contra disp. Z. I[4] 643[2], qui haec fere supplet: [αὔη ψυχὴ διίπταται τοῦ σώματος, ὅκως νέφεος] αὐγή· ξηρὴ ψυχὴ σοφωτάτη. Confert Plut. Romul. 28 et Clem. Paedag. II 2 p. 184 P. Memorabilis est Stephani coniectura αὔη [ξηρὴ] ψυχὴ σοφωτάτη.

Phys. VIII 3. 253 b 9. *καί φασί τινες κινεῖσθαι τῶν ὄντων οὐ τὰ μὲν τὰ δ' οὔ, ἀλλὰ πάντα καὶ ἀεί, ἀλλὰ λανθάνειν τοῦτο τὴν ἡμετέραν αἴσθησιν.* Mortua et inmota (RP 26 a) nobis repraesentant oculi ea quae re vera vigent ac moventur, fr. 64 (95) ap. Clem. Strom. III 3 p. 520 P. *θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομεν, ὁκόσα δ' εὕδοντες ὕπνος.* Cf. Schleierm. 472; aliter Schuster 274. Huc refer Diog. IX 7. *τήν τε οἴησιν ἱερὰν νόσον ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι.*

35 Heracl. fr. 91 (123) ap. Stob. Floril. III 84. *Ξυνόν*[a] *ἐστι πᾶσι τὸ φρονεῖν· ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων ⟨λόγῳ*[1]*⟩, ὅκωσπερ νόμῳ*[b] *πόλις καὶ πολὺ*[2] *ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου· κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται.* ratio communis

a. Rationem communem omnium, quae leges continet rerum universarum, oportet eos qui sapienter disserant pertinaciter sequi, ut civitatem leges, atque adeo pertinacius, quia omnes leges civiles derivantur ab una illa divina, quae semper valet semper abundat.

b. Fr. 100 (125) ap. Diog. IX 2. *μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκως ὑπὲρ τείχεος.*

36 Heracl. ap. Sext. Math. VII 133. *Διὸ*[a] *δεῖ ἕπεσθαι τῷ ξυνῷ· — τοῦ λόγου δὲ ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ*[b] *ὡς ἰδίην ἔχοντες φρόνησιν. ἡ δ' ἐστὶν οὐκ ἄλλο τι ἀλλ' ἐξήγησις τοῦ τρόπου τῆς τοῦ παντὸς διοικήσεως. διὸ καθότι ἂν αὐτοῦ τῆς μνήμης κοινωνήσωμεν, ἀληθεύομεν, ἃ δὲ ἂν ἰδιάσωμεν, ψευδόμεθα.* veritas error

a. Horum maximam partem non ipsius Ephesii sed interpretis nescio cuius a Sexto male intellecti esse arbitratur Byw. ad fr. 92, ipsique Her. tribuit verba *τοῦ λόγου — φρόνησιν.* Cf. RP 33 c. Sententiam eius attingit Sext. Math. VII 126. *τὴν αἴσθησιν . . . ἄπιστον εἶναι νενόμικε, τὸν δὲ λόγον ὑποτίθεται κριτήριον . . . τὸν κοινὸν λόγον καὶ θεῖον καὶ οὗ κατὰ μετοχὴν γινόμεθα λογικοὶ κριτήριον ἀληθείας φησίν.* Plura v. ap. Natorp *Forschungen* p. 107.

b. Similia reprehendit fr. 117 (35) ap. Plut. aud. poet. 7, 41: *βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ.* Poetas petere videtur fr. 118 (136) ap. Clem. Strom. V 1, p. 649 P.: *δοκεόντων ὁ δοκιμώτατος γινώσκει πλάσσειν*[3]. *καὶ μέντοι καὶ δίκη καταλήψεται ψευδέων τέκτονας καὶ μάρτυρας.* Fr. 8 (19) ap. Clem. Strom. IV 2, p. 565 P.: *χρυσὸν οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον.*

---

1) Reposuerim *λόγῳ* ad complendam verborum figuram. — 2) Vulgo *πόλις.* Schleierm. *πολύ.* Preller *πόλιος.* Jacobs *καὶ πόλος ἔτ' ἰσχυροτέρῳ* (scil. *ἰσχυρίζεται*). — 3) Vulg. *φυλάσσειν.* Bergk *φλυάσσειν.* Bernays, Her. 38. *πλάσσειν. πλάσιν?* Schleierm. *δοκέοντα γινώσκειν φυλάσσει.* Schuster *ὁ δοκιμώτατον γίνεται γινώσκει φυλάσσειν.*

dei intellegentia Heracl. fr. 96 (12) ap. Orig. c. Cels. VI 12. *Ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας*[a], *θεῖον δὲ ἔχει.* Fr. 97 (138). *ἀνὴρ* [*νήπιος*] *ἤκουσε*[b] *πρὸς δαίμονος*[1] *ὅκωσπερ παῖς πρὸς ἀνδρός.* Schol. B. in Il. IV 4, p. 120 Bk. *συντελεῖ ἅπαντα ὁ θεὸς πρὸς ἁρμονίαν τῶν ὅλων, οἰκονομῶν τὰ συμφέροντα· ὅπερ καὶ Ἡράκλειτος λέγει, ὡς τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν, ἃ δὲ δίκαια*[c]. Fr. 61 Byw. 37

a. *Γνῶμαι* sunt verae rationes s. notiones; cf. Ion Chius ap. Diog. I 120. *εἴπερ Πυθαγόρης ἐτύμως, ὁ σοφὸς περὶ πάντων ἀνθρώπων, γνώμας εἶδε καὶ ἐξέμαθεν.*

b. „Appellari sive haberi solet.“ Hoc dicit: hominem adultum deo (comparatum) esse infantium et imperitorum in numero, quo loco ab adultis pueri habeantur. Simile quiddam Her. dictum, fr. 98 et 99 (15), est ap. Plat. Hipp. mai. 289 B: *ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται καὶ σοφίᾳ καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν.* Ibid. 289 A *πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἄλλῳ γένει συμβάλλειν.* Aliter Schuster p. 342 illud fr. 97 (138) interpretatur: genus humanum cum recens ab ortu esset et puerili quasi aetate, loqui didicisse a deo, uti nunc a viro infantem.

c. Respicit haec Hippocr. de Diaeta I 11 (Bernays Her. 22): *τὰ μὲν οὖν ἄνθρωποι διέθεσαν οὐδέκοτε κατὰ τωὐτὸ ἔχει, οὔτε ὀρθῶς οὔτε μὴ ὀρθῶς· ὁκόσα δὲ θεοὶ διέθεσαν ἀεὶ ὀρθῶς ἔχει, καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθά. τοσοῦτον διαφέρει.*

vita mors Sext. Pyrrh. III 230. *Ὁ δὲ Ἡράκλειτός φησιν ὅτι καὶ τὸ ζῆν καὶ τὸ ἀποθανεῖν καὶ ἐν τῷ ζῆν ἡμᾶς ἐστι καὶ ἐν τῷ τεθνάναι· ὅτε μὲν γὰρ ἡμεῖς ζῶμεν, τὰς ψυχὰς ἡμῶν τεθνάναι καὶ ἐν ἡμῖν τεθάφθαι*[a], *ὅτε δὲ ἡμεῖς ἀποθνήσκομεν, τὰς ψυχὰς ἀναβιοῦν καὶ ζῆν*[b]. Fr. 67 (60) ap. Hippolyt. IX 10. *Ἀθάνατοι*[c] *θνητοί, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, τὸν δὲ ἐκείνων βίον τεθνεῶτες*[d]. 38

a. Cf. Philo L. alleg. 60, C. Sed quod aiunt *σῶμα* esse quasi *σῆμα*, non est ab Her. inventum.

b. Quomodo anima in corpus descenderit. Fr. 83 (72[a]) et 82 (72[b]) ap. Plotin. IV 8, p. 468: *Ἡρ. ἀμοιβάς τε ἀναγκαίας τιθέμενος ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω εἰπών, καὶ Μεταβάλλον ἀναπαύεται καὶ Κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι, εἰκάζειν ἔδωκεν, ἀμελήσας σαφῆ ἡμῖν ποιῆσαι τὸν λόγον.* Extrema interpr. Iambl. ap. Stob. Ecl. I 41, p. 906. *καὶ τὸ μὲν τοῖς αὐτοῖς ἐπιμένειν κάματον εἶναι, τὸ δὲ μεταβάλλειν φέρειν ἀνάπαυσιν.* Obscurius fr. 72 (71), Numen. ap.

1) Bernays, Her. 15, *δαήμονος*. Byw. opponit Plat. Crat. 398 B. Adiectivum *νήπιος*, quo loco traditur, ineptum est, at idem optimum, si post v. *παῖς* ponatur. Sed cf. Petersen, *Hermes* XIV 304.

Porphyr. Antr. nymph. 10 ὅθεν καὶ Ἡράκλειτον ψυχῇσι φάναι τέρψιν (μὴ θάνατον) ὑγρῇσι γενέσθαι· (τέρψιν δὲ εἶναι αὐτοῖς τὴν εἰς τὴν γένεσιν πτῶσιν.) Quae uncis circumscripsimus, Numenii sunt. Quaerendum tamen rectene ille ad introitum ea rettulerit an debuerit ad exitum, v. Schuster 191, 1 et Z. I[4] 647[2].

c. Heraclitus Alleg. Hom. 24, p. 51 M. eam sententiam sic expromit: θεοὶ θνητοί τ' ἄνθρωποι ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνῄσκοντες τὴν ἐκείνων ζωήν.

d. Ad vitam post obitum futuram pertinet fr. 122 (69) ap. Clem. Strom. IV p. 630 P. ἀνθρώπους μένει τελευτήσαντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσι. Eodem fr. 38 (70) ap. Plut. fac. lun. 28, p. 943. αἱ ψυχαὶ ὀσμῶνται κατ' ᾅδην (Schuster 190 interpretatur animas odoratu quasi captare Orcum). Fr. 123 (61) ap. Hippol. IX 10 λέγει δὲ καὶ σαρκὸς ἀνάστασιν (mire) ταύτης φανερᾶς ἐν ᾗ γεγενήμεθα· καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀναστάσεως αἴτιον οὕτως λέγων· ἐνθάδε ἐόντι [1] ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτὶ ζώντων [1] καὶ νεκρῶν. Daemones videtur cogitare hominibus praepositos, cf. Hesiod. Op. 120. 123. 250. Ap. Diog. IX 7 narratur dixisse πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη, cf. Schleierm. 495.

39 Heracl. fr. 78 (59) ap. Plut. Consol. ad Apoll. 10, p. 106. contraria in unum coeunt

Καὶ ᾗ φησιν Ἡράκλειτος [a], ταὔτ' εἶναι [2] ζῶν καὶ τεθνηκός, καὶ τὸ ἐγρηγορὸς καὶ τὸ καθεῦδον, καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα [b]. Fr. 57 (Byw.) ap. Simplic. Phys. 11[r]. 50, 10 D. Ἡράκλειτος — τὸ ἀγαθὸν καὶ τὸ κακὸν εἰς ταὐτὸν λέγων συνιέναι δίκην τόξου καὶ λύρας [c].

a. Quae sq. ap. Plut. § 11, ipsa quoque, si non verba sed sententiam respicimus, sunt Heraclitea. Deinceps cf. Hippocr. de Diaeta I 5: φάος Ζηνί, σκότος Ἅιδῃ, φάος Ἅιδῃ, σκότος Ζηνί· φοιτᾷ καὶ μετακινεῖται κεῖνα ὧδε καὶ τάδε κεῖσε πᾶσαν ὥρην, διαπρησσόμενα κεῖνά τε τὰ τῶνδε, τάδε τ' αὖ τὰ κείνων: quae ex Her. derivata demonstrat Bernays Heracl. p. 10. Globosam ab eo fingi terrae formam, non licet ex hoc l. colligere, v. Z. I[4] 625[1]. De libello illo, qui falso adscribitur Hippocrati, cf. Bernays Heracl. p. 2. Schuster p. 99. Teichm., *Neue Stud.* I 249. Zeller I[4] 631—636. Patin, *Festschr. f. Urlichs.* Weygoldt, *Neue Jahrb. f. Ph.* 1882, p. 161. Quae ad Heraclitum pertinent, Bywater p. 61—67 exhibet. Cf. singulos locos in Bernays *Ges. Abh.* I 9—34.

---

1) Bernays ἐνθάδε ἐόντας. Sauppe ἔνθα θεὸν δεῖ et φύλακα. Postea ἐγερτιζόντων codex, ἐγερτὶ ζώντων Bern. M. Rh. IX 244; ἐγερτί, ζῶντας ἐκ νεκρῶν Bernays epist. Heracl. 38. ἔθνεσι ζωόντων κ. ν. susp. Bywater. Aliter Schuster p. 176. Fortasse: ἐν ᾅδῃ ἐόντας (εὕδοντας?) ἀνίστασθαι καὶ φύλακας γίνεσθαι ἐγείρει ζ. κ. ν.? — 2) Vulg. ταὐτό τ' ἔνι. Schleierm. ταὐτό τ' ἐστι. Bern. ταὐτῷ τ' ἔνι. Zeller ταὐτὸ τό.

b. Lucianus, Vit. Auct. 14, Heraclitum haec loquentem inducit: *ταῦτα ὀδύρομαι, καὶ ὅτι ἔμπεδον οὐδέν, ἀλλά κως ἐς κυκεῶνα τὰ πάντα συνειλέονται, καί ἐστι τωὐτὸ τέρψις ἀτερψίη, γνῶσις ἀγνωσίη, μέγα μικρόν, ἄνω κάτω περιχωρεῦντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ.* Cf. Hippol. IX 9. **RP** 32 a. Adde Clem. Paedag. I 5, p. 111 P. Procl. in Tim. 101 F. Bernays Mus. Rh. VII 109. Similia Byw. ad fr. 78 et 79 collegit.

quae bona eadem mala

c. Inde concludit Aristoteles Heraclitum etiam bonum et malum, quod ad mores pertineat, eodem revocasse, Top. VIII 5. 159ᵇ 30; Phys. I 2, 185ᵇ 19. *ἀλλὰ μὴν εἰ τῷ λόγῳ ἓν τὰ ὄντα πάντα, ὡς λωπίον καὶ ἱμάτιον, τὸν Ἡρακλείτου λόγον συμβαίνει λέγειν αὐτοῖς· ταὐτὸν γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ εἶναι καὶ μὴ ἀγαθῷ καὶ ἀγαθῷ.* At Her. statuit eandem rem pro usu atque condicione rerum humanarum modo bonam modo malam existimari, dis omnia bona esse, v. **RP** 37 et fr. 52 (83) ap. Hippol. IX 10. *Θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον,* et ibid. fr. 58 (81): *καὶ ἀγαθὸν καὶ κακόν* (sc. *ἕν ἐστι*)*· οἱ γοῦν ἰατροὶ τάμνοντες καίοντες πάντῃ βασανίζοντες κακῶς τοὺς ἀρρωστοῦντας, ἐπαιτέονται*[1] *μηδὲν ἄξιοι μισθὸν λαμβάνειν παρὰ τῶν ἀρρωστούντων, ταὐτὰ ἐργαζόμενοι τὰ ἀγαθὰ καὶ τὰς νόσους.* „Medici cum aegrotos ferro ignique aggrediuntur, mercedem insuper flagitant. Atqui nihil praemii meruerunt quippe qui bona ista cum morbis adaequent i. e. aeque ac morbi in aegrotos saeviant.“

moralia

Heracl. fr. 80 (20). Plut. adv. Colot. 20. *Ὁ δὲ Ἡράκλειτος, ὡς μέγα τι καὶ σεμνὸν διαπεπραγμένος, ἐδιζησάμην, φησίν, ἐμεωυτόν*[a]. Clem. Strom. II 21, p. 497 P. *Ἀναξαγόραν — τὴν θεωρίαν φάναι τοῦ βίου τέλος εἶναι καὶ τὴν ἀπὸ ταύτης ἐλευθερίαν λέγουσιν, Ἡράκλειτον δὲ — τὴν εὐαρέστησιν*[b]. Fr. 125 (133) ap. Clem. Protrept. 2, p. 19. *τὰ νομιζόμενα κατ' ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυεῦνται*[c]. Fr. 100 (125) ap. Diog. IX 2. *μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκως ὑπὲρ τείχεος*[d]. 40

a. Plut. haec subicit: *καὶ τῶν ἐν Δελφοῖς γραμμάτων θειότατον ἐδόκει τὸ Γνῶθι σαυτόν.* Aliter Diog. IX 5, **RP** 22. Dio Chrys. Or. 55. p. 282 R. *Ἡράκλ. ἔτι γενναιότερον αὐτὸς ἐξευρεῖν τὴν τοῦ παντὸς φύσιν ὁποία τυγχάνει οὖσα μηδενὸς διδάξαντος καὶ γενέσθαι παρ' αὐτοῦ σοφός.* Tatian. or. ad Graec. 3. *ἐμαυτὸν ἐδιδαξάμην.*

---

1) Bernays pro *ἐπαιτιῶνται.* Idem *μηδὲν ἄξιοι μισθῶν.* Byw. *μηδέν'.* Vulgo *ἄξιον.* Petersen *κατὰ τὰς νόσους.* Byw. susp. *καὶ βασάνους.* Sauppe *ταὐτὰ ἐργ. τὰ ἀγαθὰ καὶ* <*τὰ κακὰ*> *τὰς νόσους.* Vulgo *ταῦτα.*

b. Fr. 121 (92) ap. Plut. Qu. Plat. I 2, 999. *ἦθος ἀνθρώπῳ δαίμων.* Cf. Theodoret. Therap. XI 152; praeterea fr. 104 (84) ap. Stob. Floril. III 83, 84. *Ἀνθρώποισι γίνεσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον· νοῦσος ὑγίειαν ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν.* Bywater, *Journal of philology* IX (1880) 230. Albertus M. de Vegetab. VI 401 (p. 545 Meyer): Heraclitus dixit quod si felicitas esset in delectationibus corporis boves felices diceremus, cum inveniant orobum ad comedendum. De summa virtute: fr. 107 (124) ibid. III 84. *σωφρονεῖν ἀρετὴ μεγίστη· καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας.*

c. Fr. 127 (132) ap. Clem. Protr. 2, p. 30. *Εἰ μὴ γὰρ Διονύσῳ πομπὴν ἐποιεῦντο καὶ ὕμνεον ᾆσμα αἰδοίοισιν, ἀναιδέστατα εἴργαστ' ἄν· ὡυτὸς δὲ Ἀίδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ ληναΐζουσι.* Cf. Herodot. II 48. De simulacris: fr. 126 (129) ibid. 4, p. 44. *καὶ τοῖς ἀγάλμασι τούτοισιν εὔχονται, ὁκοῖον εἴ τις τοῖς δόμοισι λεσχηνεύοιτο, οὔ τι γινώσκων θεοὺς οὐδ' ἥρωας, οἵ τινές εἰσι* [1]. De sacrificiis fr. 130 (131) ap. Eliam Cret. in Greg. Naz. or. 25. *καθαίρονται αἵματι μιαινόμενοι ὥσπερ ἂν εἴ τις ἐς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο* [1]. De superstitione: Plut. Camill. 19. *Ἡρ. ἐπέπληξεν Ἡσιόδῳ τὰς μὲν (ἡμέρας) ἀγαθὰς ποιουμένῳ τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν.* (Fr. 120 By.) religiones

d. Ibidem simile fr. 103 (126) *ὕβριν χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν.* Fr. 115 (128) ap. Arist. Eth. Nic. II 2. 1105ᵃ 8 *θυμῷ μάχεσθαι χαλεπόν· ὅ τι γὰρ ἂν χρηίζῃ γίνεσθαι, ψυχῆς ὠνεῖται.* Fr. 110 (127) ap. Clem. Strom. V 14, p. 718 P. *νόμος καὶ βουλῇ πείθεσθαι ἑνός.* Fr. 102 (119) ibid. IV 4, p. 571 P. *ἀρηιφάτους θεοὶ τιμῶσι καὶ ἄνθρωποι.* Fr. 101 (120) ibid. IV 7, p. 586 P. *μόροι γὰρ μέζονες μέζονας μοίρας* [2] *λαγχάνουσι.*

---

1) Fr. 126 et 130 K. J. Neumann, *Hermes* XV 605, excerptis usus ex anonymi christiani theosophia, conexa et aucta edidit: *καθαίρονται — ἀπονίζοιτο. μαίνεσθαι δ' ἂν δοκοίη, εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιέοντα. καὶ τοῖς ἀγάλμασι — οἵτινές εἰσιν, οὐκ ἀκούουσιν, ὥσπερ ἀκούοιεν, οὐκ ἀποδιδοῦσιν, ὥσπερ οὐκ ἀπαιτέοιεν.* — 2) Similis verborum figura fr. 66 (139) ap. Eustath. in Il. I 46 *τοῦ βιοῦ οὔνομα βίος, ἔργον δὲ θάνατος.* Cf. *Ζηνὸς — ζῆν* **RP** 32 a, *ξὺν νῷ — ξυνῷ* **RP** 35.

Pythagoras et Pythagorei.

---

origo Herod. IV 95 in. Ὡς δὲ ἐγὼ πυνθάνομαι — — τὸν Ζά- 41 A
μολξιν τοῦτον, ἐόντα ἄνθρωπον, δουλεῦσαι ἐν Σάμῳ, δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρχου. 95 m. ὁμιλήσαντα καὶ Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ [a].

Diog. VIII 1. Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, ὥς 41 B
φησιν Ἕρμιππος, Σάμιος [b] ἤ, ὥς Ἀριστόξενος, Τυῤῥηνὸς ἀπὸ μιᾶς τῶν νήσων ἃς κατέσχον Ἀθηναῖοι Τυῤῥηνοὺς ἐκβαλόντες.

a. Rerum Pythagoricarum notitia ut appareat quomodo a factorum memoria paulatim ad fabulae inventa defluxerit, quinque placet genera auctorum qui de iis scripserint distincta vel aetate vel animo vel scientia proponere. I. Aristoteles *περὶ τῶν Πυθαγορείων, π. τ. Ἀρχύτου φιλοσοφίας* cet. Theophrastus Eudemus Aristoxenus Dicaearchus Eudoxus. II. Heraclides. III. Epicurus Timaeus Neanthes Hermippus Hieronymus Hippobotus. IV. Apollonius Tyanensis, Moderatus, Nicomachus Gerasenus. V. Porphyrius, Iamblichus.

b. Clem. Strom. I 14, p. 352 P. *Πυθαγόρας — — Σάμιος, ὥς φησιν Ἱππόβοτος, ὡς δ' Ἀριστόξενος ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀρίσταρχος καὶ Θεόπομπος, Τυῤῥηνὸς ἦν, ὡς δὲ Νεάνθης, Σύριος ἢ Τύριος.* De Neanthe Cyziceno, cuius nomen pro Cleanthe restituendum ap. Porphyr. Vit. Pyth. 1, v. Car. Mueller, FHG III 2—11. Is igitur vocabulorum similitudine deceptus Mnesarchum Syrium vel Tyrium vocaverat. Insulam Syrum dici putat Ritter. Proavum Pythagorae Hippasum Phliunte Samum commigrasse testatur Lycus ap. Porph. 5. Paus. II 13, 1. 2. Diog. VIII 1; cf. Porphyr. 2 et 10. Gentis igitur Tyrrhenae Pelasgorum fuit, olim Phliasiae tum Samiae; cf. O. Mueller, *Gesch. d. hellen. St. u. St.* II b, 393.

magistri Diog. VIII 2. Ἤκουσε [a] μὲν — Φερεκύδου [b] τοῦ Συρίου· 42
μετὰ δὲ τὴν ἐκείνου τελευτὴν ἧκεν εἰς Σάμον καὶ ἤκουσεν Ἑρμοδάμαντος [c] τοῦ ἀπογόνου Κρεωφύλου, ἤδη πρεσβυτέρου.

a. Pherecydi eum devinctum fuisse confirmat Aristoxenus ap. Diog. I 118; Satyrus ap. Diog. VIII 40; Dicaearchus ap. Porph. vit. Pyth. 55. Duris in elogiis ap. Diog. I 120. Cf. Iambl. de Pyth. vita 9. 11. 184. 252. Quo tempore quove loco sit cum eo congressus (Lesbi an Sami an Syri an Deli), variant auctores. Res ipsa per se non incredibilis. Etsi fingi potuit, quoniam Pherecydes quoque, is qui primus soluta oratione usus est, migrare animos docuisse tradebatur, cf. Ionis Chii epigr. [RP 37 a] Pherecydes.

b. De Pherecyde scr. Sturz, Lipsiae 1824. Preller, Mus. Rhen. 1846, p. 377 (*ausgew. Aufs.* p. 350). Io. Conrad de Pherecydis aetate atque cosmol. dissert. Confluent. 1856. Plures v. ap. Ueberweg I^6 § 8, p. 28. Aristoteles Met. XIV 4. 1091^b 8 (postquam de theologis et poetis vetustioribus disputavit): *οἱ μεμιγμένοι αὐτῶν τῷ μὴ μυθικῶς ἅπαντα λέγειν, οἷον Φερεκύδης καὶ ἕτεροί τινες, τὸ γεννῆσαν πρῶτον ἄριστον τιθέασιν.*

c. De Hermodamante cf. Porphyr. Vit. 1. 2. 55. Iamblich. Vit. 11. Apollonius Tyanensis ap. Porphyr. 2 etiam Anaximandrum a Pythagora auditum narrat, alii Thaletem Epimenidem alios, cf. Diog. VIII 3. 8. Porph. 17. Apul. Flor. 130.

43 Isocrat. Busir. 11, 28. *Πυθαγόρας ὁ Σάμιος — ἀφικόμενος εἰς Αἴγυπτον* [a] *καὶ μαθητὴς ἐκείνων* (sc. *τῶν ἱερέων*) *γενόμενος τήν τ' ἄλλην φιλοσοφίαν πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε καὶ τὰ περὶ τὰς θυσίας* [b] *καὶ τὰς ἁγιστείας τὰς ἐν τοῖς ἱεροῖς ἐπιφανέστερον τῶν ἄλλων ἐσπούδασεν.* Aegyptum adit

a. Antiquissimum hoc est de itinere Aegyptio testimonium, sed, ut ex ipsius Isocratis verbis 12, 33 apparet, nullius paene fidei. Apud Herodotum quae duobus locis scripta videmus, nec adfirmantis sunt nec refutantis; nam II 81 postquam de linteis bracis sacerdotum Aegyptiorum dixit, haec subicit: *ὁμολογέουσι δὲ ταῦτα τοῖσιν Ὀρφικοῖσι καλεομένοισι καὶ Βακχικοῖσιν, ἐοῦσι δὲ Αἰγυπτίοισι, καὶ Πυθαγορείοισι.* Idem II 123: *Αἰγύπτιοί εἰσιν οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστιν, τοῦ σώματος δὲ καταφθίνοντος ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται. — τούτῳ δὲ λόγῳ εἰσὶν οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα οὐ γράφω* (praeter Pythagoram respici putandus est Melampus, propter II 49). De mathematicis disciplinis Callimachus ap. Diod. Exc. Vat. VII—X 35. *ὅτι Καλλίμαχος εἶπε περὶ Πυθαγόρου διότι τῶν ἐν γεωμετρίᾳ προβλημάτων τὰ μὲν εὗρε τὰ δὲ ἐκ τῆς Αἰγύπτου πρῶτος εἰς τοὺς Ἕλληνας ἤνεγκεν.* Cf. Aristot. Met. I 1. 981^b 23. *περὶ Αἴγυπτον αἱ μαθηματικαὶ πρῶτον τέχναι συνέστησαν· ἐκεῖ γὰρ ἀφείθη σχολάζειν τὸ τῶν ἱερέων ἔθνος.* Babylonem adicit Strabo XIV 1, 16. p. 638. *ἐπὶ τούτου (Πολυκράτους) Πυθαγόραν ἱστοροῦσιν ἰδόντα φυομένην τὴν τυραννίδα ἐκλιπεῖν τὴν πόλιν καὶ ἀπελθεῖν εἰς Αἴγυπτον καὶ Βαβυλῶνα φιλομαθείας χάριν. ἐπανιόντα δ' ἐκεῖθεν, ὁρῶντα ἔτι συμμένουσαν τὴν τυραννίδα, πλεύσαντα εἰς Ἰταλίαν ἐκεῖ διατελέσαι τὸν βίον.* Alii vero etiam de Phoe-

nicibus Arabibus Magis Indis fabulantur. Hippol. Ref. I 2: *Διόδωρος ὁ Ἐρετριεὺς καὶ Ἀριστόξενος ὁ μουσικός φασι πρὸς Ζαράταν τὸν Χαλδαῖον ἐληλυθέναι Πυθαγόραν.*

b. Variae sunt fabellae. Velut in Iovis Cretensis antrum una cum Epimenide descendit, Porphyr. Vit. 17; Diog. VIII 3; eidem praecepta traduntur a Themistoclea sacerdote Delphica, v. Diog. 8; incruenta sacrificia instituit Delii Apollinis religionem secutus, v. Diog. 13.

Samum redit — Diog. VIII 3. *Εἶτα ἐπανῆλθεν εἰς Σάμον καὶ εὑρὼν τὴν* 44
πατρίδα τυραννουμένην [a] *ὑπὸ Πολυκράτους ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, κἀκεῖ νόμους θεὶς τοῖς Ἰταλιώταις ἐδοξάσθη* [b] *σὺν τοῖς μαθηταῖς, οἳ περὶ τοὺς τριακοσίους ὄντες ᾠκονόμουν ἄριστα τὰ πολιτικά, ὥστε σχεδὸν ἀριστοκρατίαν εἶναι τὴν πολιτείαν.* — abit Crotonem

a. Aristoxenus ap. Porph. Vit. 9 (cf. 22): *γεγονότα δ' ἐτῶν τεσσαράκοντα καὶ ὁρῶντα τὴν τοῦ Πολυκράτους τυραννίδα συντονωτέραν οὖσαν, ὥστε καλῶς ἔχειν ἐλευθέρῳ ἀνδρὶ τὴν ἐπιστασίαν τε καὶ δεσποτίαν μὴ ὑπομένειν, οὕτως δὴ τὴν εἰς Ἰταλίαν ἔπαρσιν ποιήσασθαι.* De ea re cf. Krische, Soc. Pythag. (**RP** 47 a) p. 15.

b. Incredibilia tradit Dicaearchus ap. Porph. 18, cf. Iamblich. 33.

annus — Cic. Republ. II 28. Quartum iam annum regnante Lucio 45
Tarquinio Superbo Sybarim et Crotonem et in eas Italiae partes Pythagoras venisse reperitur. Olympias enim secunda et sexagesima eadem Superbi regni initium et Pythagorae declarat adventum [a].

a. Ad hunc annum, 532, Apollodorus *ἀκμὴν* eius rettulerat, cf. E. Rohde, *Quellen d. Iambl. in s. Biogr. d. Pyth.*, Mus. Rh. XXVI 565 sqq. et H. Diels, Mus. Rh. XXXI 25. Unde conicias natum c. 572, mortuum c. finem eius saeculi. — Falsa est Eratosthenis, qui cognominem luctatorem cum hoc confundit, computatio ap. Diog. VIII 47: *τοῦτον εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα, ἐπὶ τῆς ὀγδόης καὶ τετταρακοστῆς ὀλυμπιάδος* (588), *κομήτην καὶ ἁλουργίδα φοροῦντα· ἐκριφθῆναί τε ἐκ τῶν παίδων καὶ χλευασθέντα αὐτίκα προςβῆναι τοὺς ἄνδρας καὶ νικῆσαι.* Antilochus ap. Clem. Strom. I 16 p. 366 P. dicit Pyth. aetatem (*ἡλικίαν*) 312 annis antecedere mortem Epicuri (a. Chr. 272). Nomen eius ut mortui primum reperitur apud Xenophanem et Heraclitum Diog. VIII 6; 36; IX 1. **RP** 24 a.

praecepta — Porphyr. Vit. Pyth. 19. *Ἃ μὲν οὖν ἔλεγε τοῖς συνοῦσιν* 46
οὐδὲ εἷς ἔχει φράσαι βεβαίως· καὶ γὰρ οὐδ' ἡ τυχοῦσα ἦν παρ' αὐτοῖς σιωπή [a]. *μάλιστα μέντοι γνώριμα παρὰ πᾶσιν ἐγένετο πρῶτον μὲν ὡς ἀθάνατον εἶναί φησι τὴν ψυχήν, εἶτα μεταβάλλουσαν εἰς ἄλλα γένη ζῴων, πρὸς δὲ τούτοις ὅτι κατὰ περιόδους*

τινὰς τὰ γιγνόμενά ποτε [b] *πάλιν γίγνεται, νέον δ' οὐδὲν ἁπλῶς ἐστι, καὶ ὅτι πάντα τὰ γιγνόμενα ἔμψυχα ὁμογενῆ δεῖ νομίζειν. φαίνεται γὰρ εἰς τὴν Ἑλλάδα τὰ δόγματα πρῶτος κομίσαι ταῦτα Πυθαγόρας.*

a. Gellius I 9 *iam a principio adulescentes qui sese ad discendum* silentium *obtulerant ἐφυσιογνωμόνει.* Cet. v. **RP** 47 b. Silentium Pythagoricum in proverbium abiit. Est autem duplex. Primum *ἡ ἐχεμυθία*, v. Iambl. vit. 94 *ἐν τῷ λαμβάνειν τὴν διάπειραν ἐσκόπει, εἰ δύνανται ἐχεμυθεῖν, τούτῳ γὰρ δὴ καὶ ἐχρῆτο τῷ ὀνόματι.* Cf. ibid. 71. De altero genere (*ἡ μυστικὴ σιωπή*) v. Diog. VIII 15. *ἔλεγον — Πυθαγόρειοι μὴ εἶναι πρὸς πάντας πάντα ῥητά, ὥς φησιν Ἀριστόξενος ἐν δεκάτῃ παιδευτικῶν νόμων.* Cf. Aristot. in Iambl. vit. 31 et Lobeck Aglaoph. p. 67.

b. Diog. VIII 4. *Τοῦτόν φησιν Ἡρακλείδης ὁ Ποντικὸς περὶ αὑτοῦ τάδε λέγειν, ὡς εἴη ποτὲ γεγονὼς Αἰθαλίδης καὶ Ἑρμοῦ υἱὸς νομισθείη. — χρόνῳ δ' ὕστερον εἰς Εὔφορβον ἐλθεῖν καὶ ὑπὸ Μενέλεω τρωθῆναι.* Continuatur ea migratio ibid. § 5; cf. Diodor. Exc. Vat. VII—X 35. Hor. carm. I 28.

47 Iambl. Vit. Pyth. 81. *Τῶν μὲν οὖν Πυθαγορείων κοινὴν* [a] convictus *εἶναι τὴν οὐσίαν διέταξε καὶ τὴν συμβίωσιν ἅμα διὰ παντὸς τοῦ χρόνου διατελεῖν. τοὺς δὲ ἑτέρους ἰδίας μὲν κτήσεις ἔχειν ἐκέλευσε, συνιόντας δὲ εἰς ταὐτὸ συσχολάζειν ἀλλήλοις· καὶ οὕτω τὴν διαδοχὴν ταύτην ἀπὸ Πυθαγόρου κατ' ἀμφοτέρους τοὺς τρόπους συστῆναι. κατ' ἄλλον δὲ αὖ τρόπον δύο ἦν εἴδη τῆς φιλοσοφίας· δύο γὰρ ἦν γένη καὶ τῶν μεταχειριζομένων αὐτήν, οἱ μὲν Ἀκουσματικοὶ οἱ δὲ Μαθηματικοί* [b]. *τουτωνὶ δὲ οἱ μὲν Μαθηματικοὶ ὡμολογοῦντο Πυθαγόρειοι εἶναι ὑπὸ τῶν ἑτέρων, τοὺς δὲ Ἀκουσματικοὺς οὗτοι οὐχ ὡμολόγουν, οὔτε τὴν πραγματείαν αὐτῶν εἶναι Πυθαγόρου, ἀλλ' Ἱππάσου· τὸν δὲ Ἵππασον οἱ μὲν Κροτωνιάτην φασὶν οἱ δὲ Μεταποντῖνον* [c].

a. Ad communionem bonorum, dubium quo iure, multi referunt illud amicitia *κοινὰ τὰ τῶν φίλων εἶναι, τὸν δὲ φίλον ἄλλον ἑαυτόν*, ap. Porphyr. 33, cf. Diog. VIII 10. Amicorum par illud nobile Damon et Phintias sunt Pythagorei, de quibus Aristoxenus ap. Porphyr. 59 — 61. Iamblich. 233—236 (*Ἀριστόξενος ἐν τῷ περὶ Πυθαγορικοῦ βίου αὐτὸς διακηκοέναι φησὶ Διονυσίου τ. Σικελ. τυρ.*) Cic. Off. III 45. *Περὶ τῶν ἐπιτηδευμάτων, ἃ παρέδωκε δι' ὅλης ἡμέρας τοῖς ἑταίροις*, exposuit Iamblich. 96 sqq. Cf. A. B. Krische, *de societatis a Pythagora in urbe Crotoniatarum conditae scopo politico*, Gott. 1830.

b. Porph. 27. *διττὸν γὰρ ἦν αὐτοῦ τῆς διδασκαλίας τὸ σχῆμα,* disciplina *καὶ τῶν προσιόντων οἱ μὲν ἐκαλοῦντο Μαθηματικοὶ οἱ δ' Ἀκουσματικοί, καὶ Μαθηματικοὶ μὲν οἱ τὸν περιττότερον καὶ πρὸς ἀκρίβειαν δια-*

πεπονημένον τῆς ἐπιστήμης λόγον ἐκμεμαθηκότες, Ἀκουσματικοὶ δ' οἱ μόνας τὰς κεφαλαιώδεις ὑποθήκας τῶν γραμμάτων ἄνευ ἀκριβεστέρας διηγήσεως ἀκηκοότες. Cf. Taurus ap. Gellium N. A. I 9, ubi recepti primum tempus certum (non minus quam biennium) tacuisse narrantur. „*Hi prorsus appellabantur intra tempus tacendi audiendique ἀκουστικοί. Ast ubi res didicerant rerum omnium difficillimas, tacere audireque, atque esse iam coeperant silentio eruditi, cui erat nomen ἐχεμυθία, tum verba facere et quaerere quaeque audissent scribere et quae ipsi opinarentur expromere potestas erat. Hi dicebantur in eo tempore μαθηματικοί, ab his scilicet artibus, quas iam discere atque meditari inceptaverant, quoniam geometriam et gnomonicam, musicam ceterasque item disciplinas altiores μαθήματα veteres Graeci appellabant. — Exinde his scientiae studiis ornati ad perspicienda mundi opera et principia naturae procedebant ac tunc denique nominabantur φυσικοί.*"

c. Aristot. Met. I 3. 984ª 7. *Ἵππασος δὲ πῦρ (ἀρχὴν τίθησιν) ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος.* Cf. de eo Diog. 84. Sed ne antiquis quidem satis notus fuit. Fertur *Μυστικὸν λόγον* scripsisse *ἐπὶ διαβολῇ Πυθαγόρου*, Diog. VIII 7; mari periisse quod arcana doctrinae vulgaverit, Iambl. 88.

Acusmatici a recentioribus dicuntur qui numerum *παράδειγμα πρῶτον κοσμοποιίας* et *κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον* esse concedant, principium rerum esse negent, v. Iamblich. in Nicom. p. 11; Syrian. Schol. 902ª, 24; Simplic. Phys. 104ᵛ. 453, 13 D.

familia auditores — Diog. VIII 42. *Ἦν δὲ τῷ Πυθαγόρᾳ καὶ γυνή, Θεανὼ* [a] 48 A *ὄνομα, Βροντίνου τοῦ Κροτωνιάτου θυγάτηρ· οἱ δέ, γυναῖκα μὲν εἶναι Βροντίνου, μαθήτριαν δὲ Πυθαγόρου.* 43. *ἦν δὲ καὶ Τηλαύγης υἱὸς αὐτοῦ, ὃς καὶ διεδέξατο τὸν πατέρα καὶ κατά τινας Ἐμπεδοκλέους καθηγήσατο. Ἱππόβοτός γέ τοί φησι λέγειν Ἐμπεδοκλέα·*

Τήλαυγες, κλυτὲ κοῦρε Θεανοῦς Πυθαγόρεώ τε [b].

mors — 44. *ὡς μὲν Ἡρακλείδης φησὶν ὁ Σαραπίωνος, ὀγδοηκοντούτης ἐτελεύτα, — ὡς δ' οἱ πλείους, ἔτη βιοὺς ἐνενήκοντα* [c].

Diog. VIII 78. *Ἐπίχαρμος Ἡλοθαλοῦς Κῷος. καὶ οὗτος* 48 B *ἤκουσε Πυθαγόρου* [d]. — *οὗτος ὑπομνήματα καταλέλοιπεν ἐν οἷς φυσιολογεῖ γνωμολογεῖ ἰατρολογεῖ.*

a. Nomen longe clarissimum inter matronas pythagoricae vitae ac disciplinae deditas; nam constat etiam feminas in sodalicium receptas fuisse, v. Porphyr. 19; nomina ap. Iamblich. 267 extr.

b. Versus suspectus, res dubia. Neanthes ap. Diog. VIII 55 non indicat, quem audierit Emped., *τὴν γὰρ περιφερομένην πρὸς Τηλαύγους ἐπιστολήν, ὅτι μετέσχεν Ἱππάσου καὶ Βροντίνου, μὴ εἶναι ἀξιόπιστον.* RP 129 d. Diog. 56. *Ἀλκιδάμας δ' ἐν τῷ φυσικῷ φησι* (Empedoclem)

Ἀναξαγόρου διακοῦσαι καὶ Πυθαγόρου· καὶ τοῦ μὲν τὴν σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ σχήματος, τοῦ δὲ τὴν φυσιολογίαν. Ad Pythagoram hi versus Empedoclei (415 St.) vulgo referebantur (Porphyr. 30, Iamblich. 67):

> *ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,*
> *ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον,*
> *παντοίων τε μάλιστα σοφῶν ἐπιήρανος ἔργων.*
> *ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο πραπίδεσσι,*
> *ῥεῖά γε τῶν ὄντων πάντων λεύσσεσκεν ἕκαστον,*
> *καί τε δέκ' ἀνθρώπων καὶ ἐείκοσιν αἰώνεσσιν,*

Quamquam non deerant, qui pertinere eos putarent ad Parmenidem, v. Diog. VIII 54.

c. Aristoxen. ap. Iambl. 249 *διὰ ταύτην τὴν αἰτίαν* (Cylonis inimicitias) *ἀπῆλθεν εἰς Μεταπόντιον κἀκεῖ λέγεται καταστρέψαι τὸν βίον.* Ibi memoria eius prope divinis honoribus propagabatur, v. Cic. Fin. V 4, Iustin. XX 4; Diog. VIII 15. Reliquae de morte eius fabulae ea re turbatae sunt, quod fata Pythagoreorum cum ipsius fatis confundebantur, v. RP 49.

d. *Epicharmus*, comicus ille Siculus *τριμηνιαῖος ὑπάρχων ἀπηνέχθη τῆς Σικελίας εἰς Μέγαρα, ἐντεῦθεν δ' εἰς Συρακούσας*, Diog. VIII 78. Fuit inter ol. 56 et 79, annos 556—460. In comoediarum eius reliquiis sunt quae Pythagoream sapientiam redoleant, sunt tamen etiam Heraclitea et Xenophanea, sunt quae nihil declarent amplius quam studia ab eo posita in rerum divinarum humanarumque contemplatione. Multa etiam Alexandrina aetate ficta sunt. Epicharmus

Mullach v. 295. *εὐσεβὴς τὸν νοῦν πεφυκὼς οὐ πάθοις γ' οὐδὲν κακὸν κατθανών· ἄνω τὸ πνεῦμα διαμένει κατ' οὐρανόν.*

306. *εὐσεβὴς βίος μέγιστον ἐφόδιον θνητοῖς ἔνι.*

297. *οὐδὲν ἐκφεύγει τὸ θεῖον, τοῦτο γινώσκειν σε δεῖ· αὐτὸς ἔσθ' ἁμῶν ἐπόπτας· ἀδυνατεῖ δ' οὐδὲν θεός.*

253. *νοῦς ὁρῇ καὶ νοῦς ἀκούει· τἆλλα κωφὰ καὶ τυφλά.*

255. *νᾶφε καὶ μέμνασ' ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν.*

Quattuor eius genuina fragmenta Diog. posuit III 9—17, quibus Alcimus testimoniis usus evincere aggressus sit, Platonem multa ex Epicharmo deprompsisse, cf. Steinhart, *Platos Leben* 13 sq. 264 sq. Fragmenta coll. H. Polman-Kruseman, Harlem 1834. 1847. Grysar de Doriens. Com. p. 84. Welcker *Kleine Schriften* I 271; Leop. Schmidt, quaest. Epicharm. Bonnae 1846; id. *Gött. Gel. Anz.* 1865, p. 931; Bernays Mus. Rhen. 1853, p. 280. Lorenz, *Leben u. Schriften des Koers Epich.*, Berlin 1864. Epicharmi nomine deinde Ennius carmen quoddam, quo praecepta decretaque pythagorea suis hominibus commendabat, inscripsit, v. Io. Vahlen Ennianae Poesis Reliq. p. XCII; 167; Luc. Müller, *Quintus Ennius* p. 111. 112; Enni carm. rel. p. 77. 78.

motus populares

Polyb. Histor. II 39. Καθ᾽ οὓς γὰρ καιροὺς ἐν τοῖς κατὰ τὴν Ἰταλίαν τόποις, κατὰ τὴν μεγάλην Ἑλλάδα τότε προσαγορευομένην, ἐνέπρησαν [a] τὰ συνέδρια τῶν Πυθαγορείων [b], μετὰ ταῦτα δὲ γινομένου κινήματος ὁλοσχεροῦς περὶ τὰς πολιτείας (ὅπερ εἰκός, ὡς ἂν τῶν πρώτων ἀνδρῶν ἐξ ἑκάστης πόλεως οὕτω παραλόγως διαφθαρέντων), συνέβη τὰς κατ᾽ ἐκείνους τοὺς τόπους Ἑλληνικὰς πόλεις ἀναπλησθῆναι φόνου καὶ στάσεως καὶ παντοδαπῆς ταραχῆς. ἐν οἷς καιροῖς ἀπὸ τῶν πλείστων μερῶν τῆς Ἑλλάδος πρεσβευόντων ἐπὶ τὰς διαλύσεις Ἀχαιοῖς καὶ τῇ τούτων πίστει συνεχρήσαντο πρὸς τὴν τῶν παρόντων κακῶν ἐξαγωγήν. 49

a. Causa erat quod Pythagorei cum optimatibus sentiebant eamque factionem sodaliciis suis maximopere firmabant. Singula parum explorate narrantur. Nam eadem seditione et Pythagoras senex et Philolaus atque Lysis iuvenes petiti esse traduntur, Plutarch. de Genio Socr. 13. Alii Pythagoram ipsum ea clade perisse dicunt, pars crematum in domo Milonis, pars in fuga interceptum; v. Plut. de Stoic. Repugn. 37, 3. Athenag. Supplic. c. 31. Hippol. Refut. I 2 extr. Arnob. adv. gent. I 40. Schol. in Plat. p. 420 Bk. Diog. VIII 39. Alii discipulos praeter Archippum et Lysim necatos, ipsum servatum, sive quod afuerit (Deli) sive quod perfugerit Metapontum. Ibi mortuum esse narrant, pars fame pars senectute; cf. Iustin. Hist. XX 4; Dicaearchum et Neanthem ap. Porph. 54—57; Satyrum et Heraclidem ap. Diog. VIII 40; Nicomachum ap. Iambl. 251. Prorsus incredibilia Hermippus ap. Diog. VIII 40. Potiores sunt testes Aristoxenus et Apollonius ap. Iambl. 248—262. Unde haec fere colligas: ipsi iam Pythagorae partem Crotoniatarum Cylone duce vehementer adversatam esse; quare illum se Metapontum transtulisse, ubi non lacessitus vitam finierit. Inde variis temporibus per oppida Magnae Graeciae perturbatas popularium partium studiis respublicas. Postremo a. 440—430 fere *συνέδριον* illud cum ipsis Pythagoreis a Crotoniatis esse combustum; quo quasi signo dato per complures colonias graecas tumultus propagatos. Et esse multos necatos, alios eiectos venisse in Graeciam. — Nec vero aut omnino aut omnibus locis tum extincti sunt. Ut Platonis aetate Tarenti eos auctoritate et litterarum studio floruisse, Archytas et Aristoxenus sunt documento.

Lysis

b. Iambl. 250 (sec. Aristoxenum): *τῶν δύο τῶν περισωθέντων, ἀμφοτέρων Ταραντίνων ὄντων, ὁ μὲν Ἄρχιππος ἀνεχώρησεν εἰς Τάραντα, ὁ δὲ Λύσις μισήσας τὴν ὀλιγωρίαν ἀπῆρεν εἰς τὴν Ἑλλάδα καὶ ἐν Ἀχαίᾳ διέτριβε τῇ Πελοποννησιακῇ, ἔπειτα εἰς Θήβας μετῳκίσατο σπουδῆς τινος γενομένης, οὗπερ ἐγένετο Ἐπαμινώνδας ἀκροατὴς καὶ πατέρα τὸν Λύσιν ἐκάλεσεν.* Cf. Cornel. Nep. Epamin. c. 2. Fabella de Lyside ap. Iambl. 185; ibid. 75 et Diog. VIII 42 epistola qua vulgari doctrinam vetuisse fertur. Adde Diog. VIII 7 *τὸ δὲ φερόμενον ὡς Πυθαγόρου Λύσιδός ἐστι.*

Qui liber dicatur, incertum; Mullach FPG I 413 carmen aureum putat significari quod multo inferioris est aetatis, cf. Nauck in Jamblicho de V. Pyth. p. 201. Petrop. 1884.

50 A Diog. VIII 15. *Μέχρι δὲ Φιλολάου*[a] *οὐκ ἦν τι γνῶναι Πυθαγόρειον*[b] *δόγμα. οὗτος δὲ μόνος ἐξήνεγκε τὰ διαβόητα τρία βιβλία*[c], *ἃ Πλάτων ἐπέστειλεν ἑκατὸν μνῶν ὠνηθῆναι.* Philolaus

50 B Strabo VI 3, 4. p. 280. *Ἀπεδέξαντο δὲ καὶ τὴν Πυθαγόρειον φιλοσοφίαν (οἱ Ταραντῖνοι), διαφερόντως δ' Ἀρχύτας*[d], *ὃς καὶ προέστη τῆς πόλεως πολὺν χρόνον.* Diog. VIII 79. *Ἀρχύτας Μνησαγόρου Ταραντῖνος. — οὗτός ἐστιν ὁ Πλάτωνα ῥυσάμενος δι' ἐπιστολῆς παρὰ Διονυσίου μέλλοντ' ἀναιρεῖσθαι. ἐθαυμάζετο δὲ καὶ παρὰ τοῖς πολλοῖς ἐπὶ πάσῃ ἀρετῇ· καὶ δὴ ἑπτάκις τῶν πολιτῶν ἐστρατήγησε.* 83. *οὗτος πρῶτος τὰ μηχανικὰ ταῖς μαθηματικαῖς προσχρησάμενος ἀρχαῖς μεθώδευσε καὶ πρῶτος κίνησιν ὀργανικὴν διαγράμματι γεωμετρικῷ προσήγαγε διὰ τῆς τομῆς τοῦ ἡμικυλίνδρου δύο μέσας ἀνὰ λόγον λαβεῖν ζητῶν εἰς τὸν τοῦ κύβου διπλασιασμόν. καὶ ἐν γεωμετρίᾳ πρῶτος κύβον εὗρεν.* Archytas

a. *Philolaus* a Diog. VIII 84 Crotoniates, a ceteris dicitur fuisse Tarentinus. De aetate v. Plat. Phaedon. 61 D et E, ubi Simmias Thebanus narrat: *Φιλολάου ἤκουσα ὅτε παρ' ἡμῖν διῃτᾶτο.* — Democriti aequalis, v. **RP** 145 b. De morte eius Diog. VIII 84 *ἐτελεύτα δὲ νομισθεὶς ἐπιτίθεσθαι τυραννίδι* (Crotonis). De libro a Platone empto Diog. VIII 85; Gellius III 17, ubi Timonis sillographi hi sunt versus:

πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξαο βίβλον
ἔνθεν ἀπαρχόμενος τιμαιογραφεῖν ἐδιδάχθης.

A. Boeckh *Philolaos des Pythagoreers Lehren nebst den Bruchstücken seines Werkes, Berlin 1819.*

b. Claudianus Mamertus (V. saec. p Chr.) de Statu Animae II 3. *Pythagorae igitur, quia nihil ipse scriptaverit, a posteris quaerenda sententia est; in quibus vel potissimum floruisse Philolaum reperio Tarentinum, qui multis voluminibus de intellegendis rebus et quid quaeque significent oppido obscure dissertans, priusquam de animae substantia decernat, de mensuris, ponderibus et numeris juxta geometricam musicam atque arithmeticam mirifice disputat.* Nihil Pythagoram scripsisse testantur Plut. de Alex. Fort. I 4; Diog. I 16; VIII 6; 15; Porphyr. 57. Neque officit Iamblich. 199. *θαυμάζεται δὲ καὶ ἡ τῆς φυλακῆς ἀκρίβεια· ἐν γὰρ τοσαύταις γενεαῖς ἐτῶν οὐδεὶς οὐδενὶ φαίνεται τῶν Πυθαγορείων ὑπομνημάτων περιτετευχὼς πρὸ τῆς Φιλολάου ἡλικίας, ἀλλ' οὗτος πρῶτος ἐξήνεγκε τὰ θρυλούμενα ταῦτα τρία βιβλία.* Pythagorae ipsius qui ferebantur libri, quos Diog. VIII 6 enumerat, posteriorum sunt commenta et fraudes; cf. Porph. Schol. Arist. p. 7 b Brandis: *οὐδὲ γὰρ κατέλιπε σύγγραμμα, ἀλλ' ὅπερ τοῖς ἄλλοις τὰ συγγράμματα, τοῦτο ἐκείνῳ οἱ μαθηταί.* libri Pythagorici

Philolai liber

c. Tres partes, Dorica dialecto, inscrib. *περὶ φύσεως*, ap. Proclum mystice *Βάκχαι*, v. Boeckh p. 24. Praeter hunc de fragmentorum origine consultandi sunt: Val. Rose, comment. de Aristot. libr. ord. et auct. Berlin 1854, qui falsa omnia putat; Carl Schaarschmidt, *die angebliche Schriftstellerei des Philolaus*, Bonn 1864, qui ea non prius quam primo aut summum altero a. Chr. saec. orta esse contendit; Zeller I[4] 261, 341, 386, idem in Hermae vol. X, 1875. p. 178 et *Grundriss* p. 35, qui non germana esse putat ea quae sint ex l. *περὶ ψυχῆς* deprompta, velut ap. Stob. I 420 fr. 21, cetera omnia defendit. Cf. Henze ap. Ueberweg I[6] p. 58 extr. Aristoteles etsi non nominat Philolaum tamen librum eius respicere videtur. — Archippus quoque et Lysis post Pythagoreorum fugam edidisse libros feruntur, Porphyr. 58; Diog. VIII 7.

Archytas

d. *Archytas* optimus r. p. administrator, Athen. XII 545 a; imperator invictus, Diog. VIII 82 (auctor Aristoxenus); insignis morum temperantia, Cic. Tusc. IV 78 (iratus differt famuli castigationem). Plato eum adit discendi causa, Cic. Fin. V 87, Cato M. 41. Ipsum Platonis demum auctoritate auctum, inepte tradit Ps.-Demosth. Eret. 1415. Plura de hac familiaritate in Ps.-Plat. epist. IX. XII. VII 338 C. De legatione ad Dionysium minorem Plut. Dion. 20. De morte, Hor. Carm. I 28. Maxime floruit laudibus artium mathematicarum et mechanicarum, v. Ptolem. Harm. I 13. Procl. in Eucl. 19 m. Vitam eius Aristoxenus Peripateticus, Tarentinus ipse, descripserat, v. Athen. XII 545.

Fragmenta pleraque supposita, v. Ritter, *Gesch. d. Philos.* I 377. G. Hartenstein, de Archyt. Tar. fragm. Lips. 1833. O. T. Gruppe, *über die Fragm. d. Arch.* Berl. 1840. Defensorum vices susceperunt Eggers, de Arch. vit. op. phil. Paris 1833. Petersen, *Zeitschr. f. Altertumsk.* 1836. Beckmann, de Pyth. reliquiis, Berl. 1844. Chaignet, *Pythagore*, 1873, p. 191. 255. Certa sunt quae memorantur ab Aristotele, velut Rhet. III 11. Probl. XVI 9. Metaph. VIII 2; praeterea Theophrast. Met. 3, Eudem. ap. Simpl. Phys. 98[v], 108[r]. Multa Porphyrius, in Ptolem. Harm., refert, sed et haec et superiora illa ad mathematicam pertinent. Librorum eius quae traduntur nomina v. Z. III, II[3] p. 103. Duos is quidem genuinos putat, p. 106, *π. μαθηματικῆς*, cuius fragm. edidit Blass *Mélanges Graux* p. 573 et (minus fidenter) *π. δεκάδος* (cf. Z. I[4] 267); ceteros, in philosophia qui versantur, primo fere ante Chr. saeculo et primo post Chr. a scriptoribus neopythagoreis, Alexandreae maximam partem, esse compositos.

exitus sectae

Diog. VIII 46. *Τελευταῖοι ἐγένοντο τῶν Πυθαγορείων, οὓς* 51
καὶ Ἀριστόξενος εἶδε, Ξενόφιλός τε ὁ Χαλκιδεὺς ἀπὸ Θρᾴκης καὶ Φάντων ὁ Φλιάσιος καὶ Ἐχεκράτης καὶ Διοκλῆς καὶ Πολύμνηστος, Φλιάσιοι καὶ αὐτοί. ἦσαν δ᾽ ἀκροαταὶ Φιλολάου καὶ Εὐρύτου τῶν Ταραντίνων [a]. Porphyr. 23. *συνέβη σβεσθῆναι* (sc. *τὴν Πυθαγορείων φιλοσοφίαν*) *πρῶτον μὲν διὰ τὸ αἰνιγματῶδες,*

ἔπειτα διὰ τὸ καὶ τὰ γεγραμμένα Δωρίδι γεγράφθαι — — πρὸς δὲ τούτοις τὸν Πλάτωνα καὶ Ἀριστοτέλη, Σπεύσιππόν τε καὶ Ἀριστόξενον καὶ Ξενοκράτην, ὥς φασιν οἱ Πυθαγόρειοι, τὰ μὲν κάρπιμα σφετερίσασθαι διὰ βραχείας ἐπισκευῆς [b], τὰ δ' ἐπιπόλαια καὶ ἐλαφρὰ καὶ ὅσα πρὸς διασκευὴν καὶ χλευασμὸν τοῦ διδασκαλείου ὑπὸ τῶν βασκάνως ὕστερον συκοφαντούντων προβάλλεται συναγαγεῖν καὶ ὡς ἴδια τῆς αἱρέσεως καταχωρίσαι [c].

a. *Eurytus* Philolai auditor fuisse perhibetur, Iamblich. 139, 148; Platonis magister, Diog. III 6; Apul. Dogm. Plat. init. Respicit eum Arist. Met. XIV 5 ap. **RP** 64 a; 76 not. Omnium Pythagoreorum nomina ad solitam illam successionum speciem composita recenset Iamblichus 265.

b. Pervulgata apud posteros opinio; ut Platonis Timaeum Timo Phliasius ap. Gell. III 16 ex Philolai libris concinnatum significat, cf. **RP** 50 a.

c. De Aristoxeno v. C. Müller, FHG II 272. Sine auctorum nominibus Πυθαγορικὰ ὑπομνήματα passim memorantur, ap. Diog. VIII 24 et 36 ab Alexandro Polyhistore; Porphyr. 58; Iamblich. 157; 161.

Recenset libros Pythagoricos falsis nominibus inscriptos Zeller III b², 99—108. Nominamus ex eo numero, ne cui fraudi sint, tria: 1. carmen aureum, Mullach I 193, 408, cf. **RP** 49 b. 2. Ocelli Lucani librum περὶ τῆς τοῦ παντὸς φύσεως, ortum saec. a. Chr. primo, Mullach I 388. Doxogr. 187. 3. Timaei Locri περὶ ψυχᾶς κόσμω, Mullach II 38; qui liber a Nicomacho (Harm. I 24) primo memoratur.

Doctrina Pythagoreorum, inprimis Philolai.

52 Philolai fr. 1 [b], 3*. Stob. I 454. Ἀνάγκα τὰ ἐόντα εἶμεν πάντα ἢ περαίνοντα ἢ ἄπειρα [a] ἢ περαίνοντά τε καὶ ἄπειρα, ἄπειρα δὲ μόνον οὔ κα εἴη [b]. ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δῆλόν τἆρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη. δηλοῖ δὲ καὶ τὰ ἐν τοῖς ἔργοις. τὰ μὲν γὰρ αὐτῶν ἐκ περαινόντων finitum infinitum

*) Prior numerus sec. Chaignet, alter sec. Mullach. — In Stobaeo

περαίνοντα, τὰ δ' ἐκ περαινόντων τε καὶ ἀπείρων περαίνοντά τε καὶ οὐ περαίνοντα, τὰ δ' ἐξ ἀπείρων ἄπειρα φαίνεται.

a. *Περαίνοντα* sunt quibus finiuntur *τὰ ἄπειρα*, velut Plat. Phileb. 16 C. *οἱ μὲν παλαιοί, κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ ἐκ πολλῶν ὄντων τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν ἑαυτοῖς ξύμφυτον ἐχόντων.* Cur eis *τὰ ἄρτια ἄπειρα, τὰ περιττὰ περαίνοντα* visa sint, v. RP 55 a, loc. Simplic.

b. Diog. VIII 85. *Τοῦτόν φησι Δημήτριος ἐν ὁμωνύμοις πρῶτον ἐκδοῦναι τῶν Πυθαγορικῶν περὶ φύσεως, ὧν ἡ ἀρχὴ ἥδε· Φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων καὶ ὅλος ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα.* Unde plerique illud esse exordium libri putaverunt, v. Boeckh, *Philolaos* 47; Wachsmuthio, ad Stobaeum I 187, secus videtur. Deest argumentatio. Pars eius exstat *ἄπειρα δὲ μόνον οὔ κα εἴη*, partem servavit Iamblich. ad Nicom. 7 (Villoison Anecd. II 196): *ἀρχὰν γὰρ οὐδὲ τὸ γνωσούμενον ἐσσεῖται πάντων ἀπείρων ἐόντων κατὰ τὸν Φιλόλαον.*

numerus par impar

Philolai fr. 2, 3. Stob. I 456. *Καὶ πάντα γα μὰν τὰ γιγνωσκόμενα ἀριθμὸν ἔχοντι· οὐ γὰρ οἷόν τε οὐδὲν οὔτε νοηθῆμεν οὔτε γνωσθῆμεν ἄνευ τούτω.* Ibidem fr. 3, 3. *ὅ γα μὰν ἀριθμὸς ἔχει δύο μὲν ἴδια εἴδεα, περισσὸν καὶ ἄρτιον, τρίτον δὲ ἀπ' ἀμφοτέρων μιχθέντων ἀρτιοπέρισσον* [a]. *ἑκατέρω δὲ τῶ εἴδεος πολλαὶ μορφαί, ὡς ἕκαστον αὐταυτὸ σημαίνει.* 53

a. Theo Smyrn. I 5, p. 22, 5 Hiller. *Ἀριστοτέλης δὲ ἐν τῷ Πυθαγορικῷ τὸ ἕν φησιν ἀμφοτέρων μετέχειν τῆς φύσεως· ἀρτίῳ μὲν γὰρ προστεθὲν περιττὸν ποιεῖ, περιττῷ δὲ ἄρτιον, ὃ οὐκ ἂν ἠδύνατο, εἰ μὴ ἀμφοῖν τοῖν φύσεοιν μετεῖχε· διὸ καὶ ἀρτιοπέριττον καλεῖσθαι τὸ ἕν.* Unde verisimile est etiam Philolaum in eis quae sequebantur disputasse de numeris eorumque rationibus et virtutibus, maxime de numero denario, quo omnes numeros atque omnes numerorum virtutes contineri putabant, v. RP 54. Repetit utriusque testimonii, RP 52 et 53, argumenta inter se conexa Nicomach. Inst. Arithm. II 18, p. 114, 13 Hoche. *Φιλόλαος δὲ ἀναγκαῖον τὰ ἐόντα πάντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα ἢ περαίνοντα ἅμα καὶ ἄπειρα — κατ' εἰκόνα δηλονότι τοῦ ἀριθμοῦ. καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ δυάδος σύγκειται, ἀρτίου τε καὶ περιττοῦ, ἃ δὴ ἰσότητός τε καὶ ἀνισότητος ἐμφαντικά, ταυτότητός τε καὶ ἑτερότητος, περαίνοντός τε καὶ ἀπείρου, ὡρισμένου τε καὶ ἀορίστου.*

---

veteres numeros Heereni tenemus, praeterquam quibus locis Wachsmuthii nomen adscripsimus.

54 Philolai fr. 18, 13. Stob. Ecl. I 8. Θεωρὲν [1] δεῖ τὰ ἔργα καὶ τὰν ἐσσίαν [2] τῶ ἀριθμῶ κάττὰν δύναμιν, ἅτις ἐντὶ ἐν τᾷ δεκάδι· μεγάλα γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ θείω καὶ ὠρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἁγεμὼν κοινωνοῦσα [3] . . . δύναμις ἁ τᾶς δεκάδος [a]. ἄνευ δὲ ταύτας πάντα ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ. numerus denarius

Κανονικὰ [4] γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ καὶ ἁγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω παντὸς καὶ ἀγνοουμένω παντί [5]. οὐ γὰρ ἦς δῆλον οὐδενὶ οὐδὲν τῶν πραγμάτων, οὔτε αὐτῶν ποθ' αὑτά, οὔτε ἄλλω ποτ' ἄλλο, αἰ μὴ ἦς ἀριθμὸς καὶ ἁ τούτω ἐσσία. νῦν δὲ οὗτος κάττὰν ψυχὰν ἁρμόζων αἰσθήσι πάντα γνωστὰ καὶ ποτάγορα [b] ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται, σωματῶν καὶ σχίζων τὼς λόγως χωρὶς ἑκάστως τῶν πραγμάτων, τῶν τε ἀπείρων καὶ τῶν περαινόντων. natura numeri; vis eius ad cognoscendum

Ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις πᾶσι παντᾶ, καὶ κάττὰς δαμιουργίας τὰς τεχνικὰς πάσας καὶ κάττὰν μουσικάν.

Ψεῦδος δὲ οὐδὲν δέχεται ἁ τῶ ἀριθμῶ φύσις, οὐδὲ ἁρμονία· οὐδὲ γὰρ οἰκεῖον αὐτοῖς ἐντι.

Τᾶς τῶ ἀπείρω καὶ ἀνοάτω καὶ ἀλόγω φύσιος τὸ ψεῦδος [6] καὶ ὁ φθόνος ἐντί [c].

a. Aristot. Met. I 5. 986a 8. τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν. Theo Smyrn. II 49, p. 106, 7 Hiller. ἡ μέντοι δεκὰς πάντα περαίνει τὸν ἀριθμόν, ἐμπεριέχουσα πᾶσαν φύσιν ἐντὸς αὐτῆς ἀρτίου τε καὶ περιττοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ· περὶ ἧς καὶ Ἀρχύτας ἐν τῷ περὶ τῆς δεκάδος καὶ Φιλόλαος ἐν τῷ περὶ φύσιος πολλὰ διεξίασιν. Theologum. Arithm. 10, p. 60 (omnium elementa intra se continet) στερεὰ καὶ ἐπίπεδα, ἄρτιά τε καὶ περισσὰ καὶ ἀρτιοπέρισσα, καὶ τέλεια πᾶσι τρόποις, πρῶτά τε καὶ ἀσύνθετα, ἰσότητά τε καὶ ἀνισότητα, τὰς δὲ δέκα σχέσεις, διαμετρικά τε καὶ σφαιρικὰ καὶ κυκλικά cet. — διόπερ καὶ ἐπωνόμαζον αὐτὴν θεολογοῦντες οἱ Πυθαγορικοὶ ποτὲ μὲν κόσμον, ποτὲ δὲ οὐρανόν, ποτὲ δὲ πᾶν, ποτὲ δὲ εἱμαρμένην καὶ αἰῶνα, κράτος τε δεκάς

1) Crit. not. ap. Boeckh *Philolaos* 139. Koen, ad Gregor. Corinth. p. 259. Wachsmuth Stob. I, p. 16. — 2) Forma haec, ut aliae in Philolai dialecto, admodum incerta, v. Wilamowitz, *Philol. Unters.* VII 316. — 3) κανὼν ἐοῦσα πάντων ἁ Usener. — 4) γνωμικὰ cod. Farnes. γνωμονικὰ Iacobs. Cf. infra γνωστά, γνώμονος. — 5) πάρεντι Badham. An iterum παντός? — 6) φθόρος Meineke.

καὶ πίστιν καὶ ἀνάγκην. — Πίστις γε μὴν καλεῖται, ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις πίστιν βεβαίαν ἔχομεν.

τετρακτύς Quaternarium numerum laudant quod bis bina complectitur eundemque tanquam compendium et originem denarii quia, si addendo coniungas unum duo tria quatuor, efficiuntur decem, cf. Vit. Pyth. ap. Phot. Bibl. p. 712. ἐπειδὴ πάντα εἰς τοὺς ἀριθμοὺς ἀνῆγον ἔκ τε τῆς μονάδος καὶ τῆς δυάδος καὶ τὰ ὄντα πάντα ἀριθμοὺς προσηγόρευον, ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα, ὁ δὲ δέκα σύνθεσις τῶν τεσσάρων κατὰ τὸ ἑξῆς ἀριθμούντων ἡμῶν, διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον. Iurantes testificantur eum qui hanc rationem invenerit (an Pythagoram?), v. Carm. aur. 47.

Οὐ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
Παγὰν ἀενάου φύσιος ῥίζωμά τ' ἔχουσαν.

Lucian. de salut. 5. εἰσὶ δὲ οἳ καὶ τὴν τετρακτύν, τὸν μέγιστον ὅρκον αὐτῶν, ἢ τὸν ἐντελῆ αὐτοῖς ἀριθμὸν ἀποτελεῖ, ἤδη καὶ ὑγιείας ἀρχὴν ἐκάλεσαν, ὧν καὶ Φιλόλαός ἐστιν.

b. Numerus facit ut omnia cognosci possint. Ut ἁρμονίαν dicit Moderatus τὴν τὰ διαφέροντα ὁπωςοῦν σύμμετρα καὶ προςήγορα ἀπεργαζομένην, ap. Stob. I 864.

c. Sequuntur haec, quae separavit a reliquis Boeckh p. 145: ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐμπιτνεῖ· πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φύσι τὸ ψεῦδος, ἁ δ' ἀλάθεια οἰκεῖον καὶ σύμφυτον τᾷ τῶ ἀριθμῶ γενεᾷ.

d. Vides cur tantum sit numeris tributum a Pythagoreis: quod summa inter illos et rerum principia esset convenientia et verissima iis rerum cognoscendarum regula contineretur. Id ipsum significat Aristot. Met. I 5. 986ᵃ 23. ἐν δὲ τούτοις καὶ πρὸ τούτων (dixerat de Anaxagora, Parmenide, Empedocle, Leucippo et Democrito) οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προήγαγον, καὶ ἐντραφέντες αὐτοῖς τὰς τούτων ἀρχὰς τῶν ὄντων ἀρχὰς ᾠήθησαν εἶναι πάντων. Quamquam quo sensu ita statuerint, non semper eodem modo explicat. Nonnunquam enim similitudine quadam rerum et numerorum ductos principia illa posuisse affirmat, velut l. c. cum sic pergit: ἐπεὶ δὲ τούτων (τῶν μαθημάτων) οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ[1] τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις, μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι, ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς, ἕτερον δὲ καιρὸς καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἕκαστον ὁμοίως (v. **RP** 66), ἔτι δὲ τῶν ἁρμονιῶν[2] ἐν ἀριθμοῖς ὁρῶντες τὰ πάθη καὶ τοὺς λόγους, ἐπειδὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσαν[3], οἱ δ' ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων εἶναι ὑπέλαβον, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν. Idem Platonis ideas comparans Met. I 6. 987ᵇ 10. τὴν δὲ μέθεξιν τοὔνομα

1) Alii sublata p. δέ post ὁμοίως insistere volunt orationem. — 2) Ita Bonitz pro ἁρμονικῶν, comm. in Metaph. p. 78. — 3) Bonitz mavult πάντα.

μονον μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών. Met. XIV 3. 1090ª 20. οἱ δὲ Πυθαγόρειοι διὰ τὸ ὁρᾶν πολλὰ τῶν ἀριθμῶν πάθη ὑπάρχοντα τοῖς αἰσθητοῖς σώμασιν, εἶναι μὲν ἀριθμοὺς ἐποίησαν τὰ ὄντα, οὐ χωριστοὺς δέ (velut Plato ideas separabat a rebus), ἀλλ' ἐξ ἀριθμῶν τὰ ὄντα. At ibidem v. 32 eos dicit ποιεῖν ἐξ ἀριθμῶν τὰ φυσικὰ σώματα, ἐκ μὴ ἐχόντων βάρος μηδὲ κουφότητα ἔχοντα κουφότητα καὶ βάρος. Aliis vero locis numerum et elementa numeri secundum Pythagoreos et principia et substantiam rerum omnium esse plane dicit, veluti l. c. **RP** 55, cf. de Caelo III 1 extr. ἔνιοι γὰρ τὴν φύσιν ἐξ ἀριθμῶν συνιστᾶσιν, ὥσπερ τῶν Πυθαγορείων τινές. Neque est quod propter verba ἔνιοι et τινές veteres iam Pythagoreos in diversas sectas abisse opinemur. Immo recentioribus etiam quodammodo descivisse a magistro videbantur si qui numerum παράδειγμα rerum, nihil amplius, esse posuissent, v. **RP** 47 c. Nimirum interea exstiterant qui idearum Platonicarum memores diversa admiscerent: quo pertinent et illa de Hippaso quae narrantur et hoc (personatae) Theanus, Stob. I 302. συχνοὺς μὲν Ἑλλήνων πέπυσμαι νομίσαι φάναι Πυθαγόραν ἐξ ἀριθμοῦ πάντα φύεσθαι· — ὁ δὲ οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε πάντα γίγνεσθαι.

55 Arist. Met. I 5. 986ª 15. Φαίνονται δὴ καὶ οὗτοι (sc. οἱ Πυθαγόρειοι) τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττόν, τούτων δὲ τὸ μὲν πεπερασμένον [a] τὸ δὲ ἄπειρον, τὸ δ' ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων (καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν), τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον οὐρανόν. ἕτεροι [b] δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας, bina contraria

πέρας	ἄπειρον,
περιττὸν	ἄρτιον,
ἓν	πλῆθος,
δεξιὸν	ἀριστερόν,
ἄρρεν	θῆλυ,
ἠρεμοῦν	κινούμενον,
εὐθὺ	καμπύλον,
φῶς	σκότος,
ἀγαθὸν	κακόν,
τετράγωνον	ἑτερόμηκες.

ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι οὗτος παρ' ἐκείνων ἢ ἐκεῖνοι παρὰ τούτου παρέλαβον τὸν

λόγον τοῦτον· καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας οὐχ ὥσπερ οὗτοι διωρισμένας, ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν μέλαν, γλυκὺ πικρόν, ἀγαθὸν κακόν, μέγα μικρόν [c]. οὗτος μὲν οὖν ἀδιορίστως ἐπέρριψε περὶ τῶν λοιπῶν, οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιότητες ἀπεφήναντο. παρὰ μὲν οὖν τούτων ἀμφοῖν [d] τοσοῦτον ἔστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων· τὸ δ᾽ ὅσαι [e] παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσιν. πῶς μέντοι πρὸς τὰς εἰρημένας αἰτίας ἐνδέχεται συναγαγεῖν, σαφῶς μὲν οὐ διήρθρωται παρ᾽ ἐκείνων, ἐοίκασι δ᾽ ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν· ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι φασὶ τὴν οὐσίαν. 987ª 13. οἱ δὲ Πυθαγόρειοι δύο [f] μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον, τοσοῦτον δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν ἐστιν αὐτῶν, ὅτι τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ τὸ ἓν οὐχ ἑτέρας τινὰς ᾠήθησαν εἶναι φύσεις, οἷον πῦρ ἢ γῆν ἤ τι τοιοῦτον ἕτερον, ἀλλ᾽ αὐτὸ τὸ ἄπειρον καὶ αὐτὸ τὸ ἓν οὐσίαν εἶναι τούτων ὧν κατηγοροῦνται, διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν ἁπάντων.

a. Illustrantur his ea, quae supra, RP 52 et 53, posuimus ex opere Philolai deprompta. Quod *πεπερασμένον* Arist. scripsit, non ut Metaph. I 8. 990ª 8 *πέρας* vel ut Philolaus ipse *περαῖνον*, ad rem nihil attinet (aliter Ritter Pyth. Phil. 116). Finitur autem *τὸ ἄρτιον ὑπὸ τοῦ περιττοῦ*, v. Arist. Phys. III 4. 203ª 10. *καὶ οἱ μὲν (Πυθαγόρειοι) τὸ ἄπειρον εἶναι τὸ ἄρτιον· τοῦτο γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν*: ad quem locum Simplic. Phys. 105ʳ. 455, 20 D. *οὗτοι δὲ τὸ ἄπειρον τὸν ἄρτιον ἀριθμὸν ἔλεγον διὰ τὸ πᾶν μὲν ἄρτιον, ὥς φασιν οἱ ἐξηγηταί, εἰς ἴσα διαιρεῖσθαι, τὸ δὲ εἰς ἴσα διαιρούμενον ἄπειρον κατὰ τὴν διχοτομίαν· ἡ γὰρ εἰς ἴσα καὶ ἡμίση διαίρεσις ἐπ᾽ ἄπειρον· τὸ δὲ περιττὸν προστεθὲν περαίνει αὐτό· κωλύει γὰρ αὐτοῦ τὴν εἰς τὰ ἴσα διαίρεσιν.*

b. Pars tantum Pythagoreorum, haud scio an recentiores, decem paria notionum contrariarum quasi aere fixerant; illud ab universis concessum, bina contraria, finitum infinitum vel par impar, esse omnium rerum principia. Ceterum haec decem principia cave dicas *κατηγορίας*. Vocabulum *συστοιχία* ab ordinibus vel militum vel chori ad rationes notionum est translatum. Motionem ab infinito repeti confirmat Eudemus ap. Simpl. Phys. 98ᵛ. 431, 13 D.

Alcmaeo **c.** De Alcmaeone v. Diog. VIII 83. *τὰ πλεῖστά γ᾽ ἰατρικὰ λέγει, ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε λέγων· δύο τὰ πολλά ἐστι τῶν ἀνθρωπίνων. δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι.* Arist. de an. I 2.

405^{a} 30. φησὶ γὰρ αὐτὴν (τὴν ψυχὴν) ἀθάνατον εἶναι διὰ τὸ ἐοικέναι τοῖς ἀθανάτοις, τοῦτο δ' ὑπάρχειν αὐτῇ ὡς ἀεὶ κινουμένῃ· κινεῖσθαι γὰρ καὶ τὰ θεῖα πάντα συνεχῶς ἀεί, σελήνην ἥλιον τοὺς ἀστέρας τὸν οὐρανὸν ὅλον. Cf. Stob. I 796. Theophr. de sens. 25. Dox. 506, 19. Ἀλκμαίων πρῶτον ἀφορίζει τὴν πρὸς τὰ ζῷα διαφοράν· ἄνθρωπον γάρ φησι τῶν ἄλλων διαφέρειν ὅτι μόνος ξυνίησι, τὰ δ' ἄλλα αἰσθάνεται μέν, οὐ ξυνίησι δέ. Principia illa quomodo ad medicam artem applicaverit, v. Plac. V 30. Doxogr. 442. De doctrina eius et fragmentis cf. Unna in Stud. philol.-histor. ed. Petersen, Hamb. 1832, p. 41—87; Krische *Forschungen* p. 68—78. R. Hirzel, *Hermes* XI 240.

d. Alcmaeo alter est, alteri Pythagoreorum ii qui decem paria statuerunt. Ad hos quidem refer τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων, ad eosdem vel ad utrosque παρ' ἐκείνων.

e. Numerus (10) semper idem, singula paria variantur; Simpl. Phys. 6^{v}. 26, 28 D. τὰς δέκα συστοιχίας, ἃς ἄλλοι ἄλλως ἀνέγραψαν. Aristot. ap. Simpl. de caelo 173^{a} 11. τὸ οὖν δεξιὸν καὶ ἄνω καὶ ἔμπροσθεν ἀγαθὸν ἐκάλουν, τὸ δὲ ἀριστερὸν καὶ κάτω καὶ ὄπισθεν κακὸν ἔλεγον, ὡς αὐτὸς Ἀριστοτέλης ἱστόρησεν ἐν τῇ τῶν Πυθαγορείοις ἀρεσκόντων συναγωγῇ. Varro L. L. V 11. *Pythagoras Samius ait omnium rerum initia esse bina, ut finitum et infinitum, bonum et malum, vitam et mortem, diem et noctem.* Cf. Plut. de Iside 48.

f. Dixerat de Eleatis, maxime Parmenide. Duo principia nunc ita numerat, ut dena utriusque lateris ad unum revocet; τὸ πέρας iam complectitur περιττόν, ἄρρεν, ἀγαθόν cet. Quapropter prior series nonnunquam boni series, altera pravi, privativi, infiniti series appellatur, v. Eth. Nic. I 4. 1096^{b} 5: πιθανώτερον δ' ἐοίκασιν οἱ Πυθαγόρειοι λέγειν περὶ αὐτοῦ (τοῦ ἑνός) τιθέντες ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἕν. Phys. III 2. 201^{b} 25. τῆς δὲ ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι ἀόριστοι, Simpl. Phys. 98^{r}. 429, 6 D. ἴσως δὲ πρὸ αὐτοῦ καὶ ἐκεῖνοι τὴν μὲν εἰδητικήν, τὴν δὲ στερητικὴν ἔλεγον.

56 Philolai fr. 4, 3. Stob. Ecl. I 458. Περὶ δὲ φύσιος καὶ ἁρμονίας ὧδε ἔχει· ἁ μὲν ἐστὼ τῶν πραγμάτων, ἀΐδιος ἔσσα καὶ αὐτὰ μὰν [1] ἁ φύσις, θεία ἐντὶ καὶ οὐκ ἀνθρωπίναν ἐνδέχεται γνῶσιν, πλάν γα ἢ ὅτι οὐχ οἷόν τ' ἦς οὐδὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γενέσθαι [2], μὴ ὑπαρχοίσας τᾶς ἐστοῦς [3] τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κόσμος καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων [a]. ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁμόφυλοι ἔσσαι, ἤδη ἀδύνατον ἦς κα αὐταῖς κοσμηθῆμεν [b], αἰ μὴ ἁρμονία ἐπεγένετο, ᾡτινιῶν τρόπῳ ἐγένετο. τὰ μὲν ὦν ὁμοῖα ἁρμονία

1) Traditum μὲν. αὐτὰ μόνα Badham. αὐτὰ ἁ vel ἀεὶ ἐσομένα Zeller. μὰν Usener. — 2) γνωσθῆμεν Boeckh. — 3) αὐτᾶς ἐντὸς Boeckh.

καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο· τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσολαχῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, αἰ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι [c].

a. Ipsa rerum natura (essentia) divina est et ultra humanam cognitionem nisi quod apparet nihil eorum, quae sunt, cognosci (item) potuisse sine duobus illis, finiti et infiniti, principiis. Quae sunt, ea videmus; essentiam ignoramus. Esse illa duo principia, patet; qualia sint, latet.

b. Principia illa cum essent tam dissimilia, mundus non poterat ex iis existere, nisi accessisset harmonia. Diog. VIII 85 de Philolao: *δοκεῖ δὲ αὐτῷ πάντα ἀνάγκῃ καὶ ἁρμονίᾳ γενέσθαι.* Nicom. Arithm. II 19, p. 115, 2 Hoche. *ἁρμονία δὲ πάντως ἐξ ἐναντίων γίνεται· ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων συμφρόνησις*, quae definitio est Pythagorica, v. Ast. ad Nicom. p. 299.

harmonia musica **c.** Sequitur apud Stobaeum (I 462) accuratior definitio harmoniae, quam musici appellabant, ex Philolai libro excerpta: *Ἁρμονίας δὲ μέγεθός ἐντι συλλαβὰ* (quarta) *καὶ δι' ὀξειᾶν* (quinta)· *τὸ δὲ δι' ὀξειᾶν μεῖζον τᾶς συλλαβᾶς ἐπογδόῳ* (8: 9). *ἔντι γὰρ ἀπὸ ὑπάτας ἐπὶ μέσαν συλλαβά, ἀπὸ δὲ μέσας ἐπὶ νεάταν δι' ὀξειᾶν, ἀπὸ δὲ νεάτας ἐς τρίταν συλλαβά, ἀπὸ δὲ τρίτας ἐς ὑπόταν δι' ὀξειᾶν· τὸ δ' ἐν μέσῳ μέσας καὶ τρίτας ἐπόγδοον· ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, ⟨τὸ⟩ διὰ πασᾶν δὲ διπλόον* (quartae ratio 3: 4, quintae 2: 3, octavae 2: 4). *οὕτως ἁρμονία πέντε ἐπόγδοα καὶ ⟨δύο⟩ διέσιες, δι' ὀξειᾶν δὲ τρία ἐπόγδοα καὶ δίεσις.* De hoc loco v. Boeckh, *Phil.* 65. Triplex igitur *ἁρμονία*: prima illa in mundi pulcritudine quae cernitur, altera in musica omni, tertia in sonorum consonantia ea quam octavam nos vocamus, nisi quod illis in unam confluunt. Nicom. Harm. Introd. I 16: *οἱ παλαιότατοι — ἁρμονίαν μὲν καλοῦντες τὴν διὰ πασῶν.* Athen. XIII 632[b]: *Πυθ. καὶ τὴν τοῦ παντὸς οὐσίαν διὰ μουσικῆς ἀποφαίνει συγκειμένην.* Pythagoram primum consonantiarum momenta vel proportiones numeris determinasse auctor fuit Xenocrates, si modo vera narrat ille, quisquis est, Heraclides ap. Porphyr. in Ptol. Harm. 3, p. 213. Praeterea cf. Nicomach. Harm. I 9. 10. Boeth. de Musica I 10. 11; Diog. VIII 12. Porph. in Ptol. Harm. 280.

mundus aeternus? Stob. Ecl. I 418. *Φιλόλαος* [a] *ἄφθαρτον τὸν κόσμον εἶναι·* 57
λέγει γοῦν οὕτως ἐν τῷ περὶ ψυχᾶς [fr. 21 Mullach]. 420. „*Παρὸ καὶ ἄφθαρτος καὶ ἀκαταπόνατος διαμένει τὸν ἄπειρον αἰῶνα· οὔτε γὰρ ἔντοσθεν ἄλλα τις αἰτία δυναμικωτέρα αὐτᾶς εὑρεθήσεται οὔτ' ἔκτοσθεν* [b], *φθεῖραι αὐτὸν δυναμένα· ἀλλ' ἧς ὅδε ὁ κόσμος ἐξ αἰῶνος καὶ ἐς αἰῶνα διαμένει, εἷς ὑπὸ ἑνὸς τῶ συγγενέος* [1] *καὶ κρα-*

---

1) *τῶν συγγενέων* Badham.

τίστω καὶ ἀνυπερθέτω [1] κυβερνώμενος. ἔχει δὲ καὶ τὰν ἀρχὰν τᾶς κινάσιός τε καὶ μεταβολᾶς ὁ κόσμος εἷς ἐὼν καὶ συνεχὴς καὶ φύσι διαπνεόμενος καὶ περιαγόμενος ἐξ ἀρχᾶς αἰδίω· καὶ τὸ μὲν ἀμετάβλατον [2] αὐτῶ τὸ δὲ μεταβάλλον ἐντί· καὶ τὸ μὲν ἀμετάβολον ἀπὸ τᾶς τὸ ὅλον περιεχοίσας ψυχᾶς μέχρι σελάνας περαιοῦται, τὸ δὲ μεταβάλλον ἀπὸ τᾶς σελάνας μέχρι τᾶς γᾶς· ἐπεὶ δέ γα καὶ τὸ κινέον ἐξ αἰῶνος ἐς αἰῶνα περιπολεῖ, τὸ δὲ κινεόμενον ὡς τὸ κινέον ἄγει οὕτω διατίθεται, ἀνάγκα τὸ μὲν ἀεικίνατον [3] τὸ δὲ ἀειπαθὲς εἶμεν· καὶ τὸ μὲν νῶ καὶ ψυχᾶς ἀνάκωμα [c] πᾶν τὸ δὲ γενέσιος καὶ μεταβολᾶς, καὶ τὸ μὲν πρότερον τᾷ δυνάμι καὶ ὑπερέχον τὸ δ' ὕστερον καὶ καθυπερεχόμενον· τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, τῶ μὲν ἀεὶ θέοντος [d] θείω τῶ δὲ ἀεὶ μεταβάλλοντος γενατῶ, κόσμος. διὸ καὶ καλῶς ἔχει λέγειν, κόσμον εἶμεν ἐνέργειαν ἀίδιον θεῶ τε καὶ γενέσιος κατὰ συνακολουθίαν τᾶς μεταβλατικᾶς φύσιος. καὶ ὁ μὲν εἷς ἀεὶ διαμένει κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων, τὰ δὲ καὶ γινόμενα καὶ φθειρόμενα πολλά· καὶ τὰ ἐν φθορᾷ ἐόντα καὶ φύσι καὶ μορφᾷ σῴζεται τᾷ γονᾷ πάλιν τὰν αὐτὰν [μορφὰν] ἀποκαθιστάντα τῷ γεννάσαντι πατρὶ καὶ δαμιοεργῷ."

a. De hoc loco cf. Boeckh, *Philol.* p. 165. Rose, de Aristot. libr. p. 91. Zeller I[4] 341[4]. 385[3]. Ahrens de dial. Dor. p. 24. Aeternum et sine principio esse mundum, si ulla est ceterorum auctorum fides, primus statuit Aristoteles, animam mundi primus Plato. His maxime de causis etiam Zeller sibi persuasit non esse Philolai illud testimonium. Quod nos tamen quia utile videtur ad tradendam talium quaestionum rationem speciminis causa proponimus. Et extitit qui genuinum esse defenderet, Rohr de Philol. fr. π. ψυχῆς Bern. 1874.

b. Cf. Plat. Tim. 33 A. 34 B. Ocell. Luc. 1, 11.

c. *Regnum* interpretatur Boeckh, nisi ἀνακώνημα scribendum sit.

d. Cf. Plat. Cratyl. 397 C. D. Ocell. Luc. 2 extr.

58 Philol. ap. Iambl. in Nicom. Arithm. p. 109. Ἓν ἀρχὰ [b] πάντων. Philo Mund. Opif. 33, p. 24 Mang. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Φιλόλαος ἐν τούτοις· Ἔστι γάρ φησιν ὁ ἡγεμὼν καὶ ἄρχων ἁπάντων θεὸς εἷς ἀεὶ ἐών, μόνιμος, ἀκίνητος, αὐτὸς αὐτῷ ὅμοιος, ἕτερος τῶν ἄλλων [c]. unum sitne deus

---

1) ἀνυπερβάτω Boeckh, ἀνυπερβλάτω sive καθυπερτάτω Krische, theol. p. 80. — 2) ἀμετάβλαστον Boeckh. — 3) ἀκίνατον Chaignet.

a. Qui hos composuit locos Ritterus a Pythagoreis Unum et Deum pro eodem haberi censuit. Est operae pretium videre, sitne id ex horum testimoniorum coniunctione evidens. Cf. Ritter, pyth.. phil. et eiusdem histor. philos. I 387. 393. A posterioribus distinguebatur inter unum et unitatem, *ἕν* et *μονάδα*, v. Theon. Smyrn. p. 19, 21 Hiller. *ὥστ' εἴη ἂν ἀρχὴ τῶν μὲν ἀριθμῶν ἡ μονάς, τῶν δὲ ἀριθμητῶν τὸ ἕν.* — 20, 19. *Ἀρχύτας δὲ καὶ Φιλόλαος ἀδιαφόρως τὸ ἓν καὶ μονάδα καλοῦσι καὶ τὴν μονάδα ἕν.* Cf. Syrian. in Metaph., Schol. 917 b 5. Procl. Tim. 54 D.

b. Cf. Aristot. Met. XIII 6. 1081 a 30. *μοναδικοὺς δὲ τοὺς ἀριθμοὺς εἶναι πάντες τιθέασι πλὴν τῶν Πυθαγορείων ὅσοι τὸ ἓν στοιχεῖον καὶ ἀρχήν φασιν εἶναι τῶν ὄντων.*

c. Athenag. Leg. p. Christ. 6: *καὶ Φιλόλαος δὲ ὥσπερ ἐν φρουρᾷ πάντα ὑπὸ τοῦ θεοῦ περιειλῆφθαι λέγων καὶ τὸ ἕνα εἶναι καὶ τὸ ἀνωτέρω τῆς ὕλης δεικνύει.* Quae apparet non ex intima philosophia repetita esse, sed ad popularem sensum ac religionem accommodata.

principium unum elementa contraria

Simpl. Phys. 36 r. 181, 7 D. *Καὶ οἱ Πυθαγόρειοι δὲ οὐ τῶν φυσικῶν μόνων ἀλλὰ καὶ πάντων ἁπλῶς μετὰ τὸ ἕν, ὃ πάντων ἀρχὴν ἔλεγον, ἀρχὰς δευτέρας καὶ στοιχειώδεις τὰ ἐναντία ἐτίθεσαν, αἷς καὶ τὰς δύο συστοιχίας ὑπέταττον*[a], *οὐκέτι κυρίως ἀρχαῖς οὔσαις. γράφει δὲ περὶ τούτων ὁ Εὔδωρος*[b] *τάδε· „Κατὰ τὸν ἀνωτάτω λόγον φατέον τοὺς Πυθαγορικοὺς τὸ ἓν ἀρχὴν τῶν πάντων λέγειν, κατὰ δὲ τὸν δεύτερον λόγον δύο ἀρχὰς τῶν ἀποτελουμένων εἶναι, τό τε ἓν καὶ τὴν ἐναντίαν τούτῳ φύσιν. ὑποτάσσεσθαι δὲ πάντων τῶν κατὰ ἐναντίωσιν ἐπινοουμένων τὸ μὲν ἀστεῖον τῷ ἑνί, τὸ δὲ φαῦλον τῇ πρὸς τοῦτο ἐναντιουμένῃ φύσει. διὸ μηδὲ εἶναι τὸ σύνολον ταύτας ἀρχὰς κατὰ τοὺς ἄνδρας. εἰ γὰρ ἡ μὲν τῶνδε ἡ δὲ τῶνδέ ἐστιν ἀρχή, οὐκ εἰσὶ κοιναὶ πάντων ἀρχαί, ὥσπερ τὸ ἕν." καὶ πάλιν· „Διό", φησί, „καὶ κατ' ἄλλον τρόπον ἀρχὴν ἔφασαν εἶναι τῶν πάντων τὸ ἕν, ὡς ἂν καὶ τῆς ὕλης καὶ τῶν ὄντων πάντων ἐξ αὐτοῦ γεγενημένων· τοῦτο δὲ εἶναι καὶ τὸν ὑπεράνω θεόν"*[c]. *καὶ λοιπὸν ἀκριβολογούμενος ὁ Εὔδωρος ἀρχὴν μὲν τὸ ἓν αὐτοὺς τίθεσθαι λέγει, στοιχεῖα δὲ ἀπὸ τοῦ ἑνὸς γενέσθαι φησίν, ἃ πολλοῖς αὐτοὺς ὀνόμασιν προσαγορεύειν. λέγει γάρ· „Φημὶ τοίνυν τοὺς περὶ τὸν Πυθαγόραν τὸ μὲν ἓν πάντων ἀρχὴν ἀπολιπεῖν, κατ' ἄλλον δὲ τρόπον δύο τὰ ἀνωτάτω στοιχεῖα παρεισάγειν. καλεῖν δὲ τὰ δύο ταῦτα στοιχεῖα πολλαῖς προσηγορίαις· τὸ μὲν γὰρ αὐτῶν ὀνομάζεσθαι τεταγμένον ὡρισμένον γνωστὸν ἄρρεν περιττὸν δεξιὸν φῶς, τὸ δὲ ἐναντίον τούτῳ ἄτακτον ἀόριστον ἄγνωστον*

59

θῆλυ ἀριστερὸν ἄρτιον σκότος, ὥστε ὡς μὲν ἀρχὴ τὸ ἕν, ὡς δὲ στοιχεῖα τὸ ἓν καὶ ἡ ἀόριστος δυάς, ἀρχαὶ ἄμφω ἓν ὄντα πάλιν. καὶ δῆλον ὅτι ἄλλο μέν ἐστιν ἓν ἡ ἀρχὴ τῶν πάντων, ἄλλο δὲ ἓν τὸ τῇ δυάδι ἀντικείμενον, ὃ καὶ μονάδα καλοῦσιν.“ [d]

a. RP 55.

b. Eudorus aequalis Strabonis (XVII 790). Scripserat *διαίρεσιν τοῦ κατὰ φιλοσοφίαν λόγου*. A Simplicio refertur inter antiquos *τῶν Κατηγοριῶν ἐξηγητάς*. Idem Pythagorae sive potius recentiorum Pythagoreorum doctrinam explanavit. Exemplar est philosophi eclectici, v. Diels, Doxogr. 81, cum nota 5.

c. Quae de unitate et infinita dyade traduntur, ab antiqua doctrina aliena sunt, maxime Unum illud divinum, quod *δυάδι* materiali oppositum ipsius dei vices gerat, v. Z. I⁴ 331—346; Bonitz, Arist. fr. 23, p. 1478a.

d. Cf. quae e libro Pythagorico excerpta sunt ap. Sext. Pyrrh. III 152. Math. X 249. VII 94; inprimis X 261. 270. 276.

60 Theophr. Met. fr. 12 § 33 W. p. 322, 14 Br. Πλάτων δὲ καὶ οἱ Πυθαγόρειοι [a], μακρὰν τὴν ἀπόστασιν ἐπιμιμεῖσθαί γε θέλειν ἅπαντα· καίτοι καθάπερ ἀντίθεσίν τινα ποιοῦσι τῆς ἀορίστου δυάδος [b] καὶ τοῦ ἑνός· [c] ἐν ᾗ καὶ τὸ ἄπειρον καὶ τὸ ἄτακτον καὶ πᾶσα ὡς εἰπεῖν ἀμορφία καθ᾽ αὑτήν. ὅλως [d] δὲ οὐχ οἷόν τε ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν ⟨εἶναι⟩, ἀλλ᾽ οἷον ἰσομοιρεῖν τῆς ἑτέρας † ἢ καὶ [1] τὰς ἀρχὰς ἐναντίας. διὸ καὶ οὐδὲ τὸν θεόν, ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσι, δύνασθαι πάντ᾽ ἐπὶ τὸ ἄριστον ἄγειν, ἀλλ᾽ εἴπερ, ἐφ᾽ ὅσον ἐνδέχεται· τάχα δ᾽ οὐτ᾽ ἂν προέλοιτ᾽, εἴπερ ἀναιρεῖσθαι συμβήσεται τὴν ὅλην οὐσίαν, ἐξ ἐναντίων γε καὶ ἐναντίοις οὖσαν. δυὰς ἀόριστος

a. Maximi momenti esset hoc testimonium, nisi utrorumque sententias ita miscuisset, ut difficile admodum sit suum cuique tribuere. Aliquid lucis adfert Arist. Metaph. I 6. 987b 23. *τὸ μέντοι γε ἓν οὐσίαν εἶναι, καὶ μὴ ἕτερόν γέ τι ὂν λέγεσθαι ἕν, παραπλησίως τοῖς Πυθαγορείοις ἔλεγε* (sc. Plato), *καὶ τὸ τοὺς ἀριθμοὺς αἰτίους εἶναι τοῖς ἄλλοις τῆς οὐσίας ὡσαύτως ἐκείνοις· τὸ δὲ ἀντὶ τοῦ ἀπείρου ὡς ἑνὸς δυάδα ποιῆσαι* (sc. magni et parvi), *τὸ δ᾽ ἄπειρον ἐκ μεγάλου καὶ μικροῦ, τοῦτ᾽ ἴδιον* (sc. Platonis).

---

1) RP: *ἢ καί*. Fortasse *ἑκατέρας εἰκὸς* pro vulg. *τῆς* (*τὰς*) *ἑτέρας ἢ καί*. Zeller I⁴ 338⁴ suspicatur *ἰσομοιρεῖν τὰς ἀρχὰς ἐναντίας ἢ καὶ ὑπερέχειν τὴν ἑτέραν*. Diels sententiam putat hanc subesse: *ἀλλ᾽ οἷον ἰσομοίρους τῆς ἑτέρας θεῖναι τὰς ἀρχὰς ἐναντίας.*

b. Frequens eius est apud recentiores (post Platonis tempora) mentio. Diog. VIII 25. *φησὶ δ' ὁ Ἀλέξανδρος* (Polyhistor, saec. I a. C.) *ἐν ταῖς τῶν φιλοσόφων διαδοχαῖς καὶ ταῦτα εὑρηκέναι ἐν Πυθαγορικοῖς ὑπομνήμασιν· ἀρχὴν μὲν ἁπάντων μονάδα· ἐκ δὲ τῆς μονάδος ἀόριστον δυάδα ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι· ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος τοὺς ἀριθμούς, ἐκ δὲ τῶν ἀριθμῶν τὰ σημεῖα, ἐκ δὲ τούτων τὰς γραμμάς, ἐξ ὧν τὰ ἐπίπεδα σχήματα* cet. Plac. I 7. Dox. 302. *Πυθαγόρας τῶν ἀρχῶν τὴν μονάδα θεὸν καὶ τἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς· τὴν δ' ἀόριστον δυάδα δαίμονα καὶ τὸ κακόν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος.* Plac. I 3. Dox. 281ª 2, deinceps 6. *Πυθαγ. ἀρχὰς τοὺς ἀριθμούς — πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς· σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ εἰδικόν, ὅπερ ἐστὶ νοῦς ὁ θεός, ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος.*

c. Patri et matri saepius comparantur. Ut Hippol. Refut. I 2. Dox. 556, 8. *ἀριθμὸς γέγονε πρῶτος ἀρχή, ὅπερ ἐστὶν ἀόριστον ἀκατάληπτον, ἔχων ἐν ἑαυτῷ πάντας τοὺς ἐπ' ἄπειρον δυναμένους ἐλθεῖν ἀριθμοὺς κατὰ τὸ πλῆθος. τῶν δὲ ἀριθμῶν ἀρχὴ γέγονε καθ' ὑπόστασιν ἡ πρώτη μονάς, ἥτις ἐστὶ μονὰς ἄρσην γεννῶσα πατρικῶς πάντας τοὺς ἄλλους ἀριθμούς. δεύτερον ἡ δυὰς θῆλυς ἀριθμός* cet.

d. Hoc fere dicit: „difficile esse constare sine illa universi naturam, immo necesse aequo fere iure esse alterum alteri principio oppositum."

perfectio Arist. Met. XII 7. 1072ª 28. *Φαμὲν δὲ τὸν θεὸν εἶναι ζῷον ἀΐδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀΐδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός. ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον.* 61

Antea Aristoteles de dei vita aeterna et perfecta disseruerat. Quapropter Rittero haec quoque ad summum numen referenti Pythagorei videbantur statuisse: deum seminis instar in ipsis rerum vicissitudinibus inesse et cum rebus augeri et perfici; v. Pyth. Phil. 150. *Gesch. Philos.* I 399. Quod ab omni antiquitate alienum esse contendit Z. I[4] 349. Cf. Krische, *Forschungen* 250. Bonitz, comm. Metaph. p. 503. In medio relinquendum qua in parte doctrinae Pythagoreae illud quod de augescente perfectione tradiderunt collocandum sit. Tangit autem plura genera. Nam ut de mundo universo ad hanc pulcritudinem ab inconditis primordiis crescente non dicam: numerus ipse perfectus e minus perfectis

oritur (Steinhart); et, cum oppositiones potissimas disponunt per duas series, bonum et malum non primo loco ponunt sed exorsi a fine et infinito longe posteriorem illi contrarietati sedem destinant (Krische).

62 Cic. Deor. Nat. I 27. Pythagoras — censuit animum [a] esse (sc. deum) per naturam rerum omnem intentum et commeantem, ex quo nostri animi carperentur [b]. mens divina universa

a. Sext. Math. IX 127 Pythagoreos ait nefas duxisse animalibus vesci, *ἓν γὰρ ὑπάρχειν πνεῦμα τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον, τὸ καὶ ἑνοῦν ἡμᾶς πρὸς ἐκεῖνα*, cet. **RP** 142 a. Possunt alia addi de anima mundi testimonia. Sed sunt testes recentiores, ut Philolai falsa fragmenta duo. Alterum ap. Stob. Ecl. I 418 v. **RP** 57, cf. 57 a. Alterum est ap. Stob. Ecl. I 452, Dox. 332. *τὸ δὲ ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί, ὅπερ τρόπεως δίκην προϋπεβάλετο τῇ τοῦ παντὸς <σφαίρᾳ> ὁ δημιουργὸς θεός.* In quibus *τὸ ἡγεμονικόν* stoicum esse docet Krische, *Forschungen* 80; *δημιουργὸς* autem est platonicum vestigium.

b. Similia decreta stoicis infecta ap. Diog. VIII 25 *κόσμος ἔμψυχος*, 28 *ψυχὴ ἀπόσπασμα αἰθέρος* (ex Alexandro Polyh.), ap. Cic. Cat. M. 78: ex universa mente divina delibatos animos.

63 A Aristot. Met. XIV 3. 1091 [a] 13. *Οἱ μὲν οὖν Πυθαγόρειοι πότερον οὐ ποιοῦσιν ἢ ποιοῦσι γένεσιν* [a] *οὐθὲν δεῖ διστάζειν· φανερῶς γὰρ λέγουσιν, ὡς τοῦ ἑνὸς συσταθέντος, εἴτ᾽ ἐξ ἐπιπέδων εἴτ᾽ ἐκ χροιᾶς εἴτ᾽ ἐκ σπέρματος εἴτ᾽ ἐξ ὧν ἀποροῦσιν εἰπεῖν* [b], *εὐθὺς τὰ ἔγγιστα τοῦ ἀπείρου ὅτι εἵλκετο καὶ ἐπεραίνετο ὑπὸ τοῦ πέρατος.* generatio rerum

63 B Stob. Ecl. I 380. *Ἀριστοτέλης ἐν τετάρτῳ Φυσικῆς Ἀκροάσεως γράφει· „Εἶναι δέ φασιν οἱ Πυθαγόρειοι κενὸν* [c] *καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος* [d] *ὡς ἀναπνέοντι.“ ἐν δὲ τῷ περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει· „Τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δὲ ἐκ τοῦ ἀπείρου χρόνον* [e] *τε καὶ πνοὴν καὶ τὸ κενόν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί.“* [f]

a. Stob. Ecl. I 450. *Πυθαγόρας φησὶ γεννητὸν κατ᾽ ἐπίνοιαν τὸν κόσμον, οὐ κατὰ χρόνον.* **RP**: „Ponebant mundum olim non exstitisse, ut compositionem eius luculentius enarrarent; revera mundum ab omni tempore exstitisse putabant“. Cf. Ritter, *Gesch. Philos.* I 417. Sane Stobaeus dicit, non de ipsa generatione temporis decursu facta eum cogitasse sed notionum necessitudinem generationis nomine significasse. Modo fontem aut causam eius sententiae adderet. Nunc verendum est ne prisco philosopho rationem multo recentiorem ingerat; quam quidem a Platonicis quibusdam sitne generatio

inventam docet Arist. Cael. I 10. 279^{b} 30. Idem ibid. 279^{b} 12 diserte ait [τὸν οὐρανὸν] γενόμενον μὲν ἅπαντες εἶναί φασιν. Quae proposuimus ex Met. XIV 3, sic interpretatur Bonitz in comment. p. 583: Pyth. quod unitatem extensam consistere ac coalescere volunt ex nescio quibus elementis, et proximas quasque infiniti partes attrahi et definiri dicunt ab unitate finiente, adeo aperte eam rerum condicionem quae antea fuerit et quae postea exstiterit distinguunt, ut non nomen modo generationis sed ipsam generationem ab iis statui appareat.

b. Eandem obscuritatem vituperat Met. XIII 6. 1080^{b} 20: ὅπως δὲ τὸ πρῶτον ἓν συνέστη ἔχον μέγεθος, ἀπορεῖν ἐοίκασιν.

vacuum c. Aristot. Phys. IV 6. 213^{b} 22. εἶναι δ' ἔφασαν καὶ οἱ Πυθαγόρειοι κενόν, καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος[1] ὡς ἀναπνέοντι καὶ τὸ κενόν, ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινος τῶν ἐφεξῆς καὶ διορίσεως· καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν.

infinitum d. Non ignis circumfusus, sed est ἄπειρον πνεῦμα infinitus aer extra eum positus, unde mundus spiritum ducit. Nec officit Arist. Phys. III 4 καθ' αὑτό, οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ, ἀλλ' οὐσίαν αὐτὸ ὄν, — καὶ εἶναι τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον. Etiam planius Plac. II 9. Dox. 338: οἱ ἀπὸ Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ. Archytas infinitum extra mundum esse demonstrat ap. Simplic. Phys. 108 r. 467, 26 D. Ἀρχύτας δέ, ὥς φησιν Εὔδημος, οὕτως ἠρώτα τὸν λόγον· ἐν τῷ ἐσχάτῳ οἷον τῷ ἀπλανεῖ οὐρανῷ γενόμενος, πότερον ἐκτείναιμι ἂν τὴν χεῖρα ἢ τὴν ῥάβδον εἰς τὸ ἔξω, ἢ οὐκ ἄν; τὸ μὲν οὖν μὴ ἐκτείνειν, ἄτοπον· εἰ δὲ ἐκτείνω, ἤτοι σῶμα ἢ τόπος τὸ ἐκτὸς ἔσται. διοίσει δὲ οὐδέν, ὡς μαθησόμεθα. ἀεὶ οὖν βαδιεῖται τὸν αὐτὸν τρόπον ἐπὶ τὸ ἀεὶ λαμβανόμενον πέρας, καὶ ταὐτὸν ἐρωτήσει, καὶ εἰ ἀεὶ ἕτερον ἔσται, ἐφ' ὃ ἡ ῥάβδος, δῆλον ὅτι καὶ ἄπειρον. Sed ut iam in his Archytae conclusionem Peripateticus homo amplificavit, ita quae sequuntur mere de suo adiecit.

tempus e. Tempus igitur ex infinito in mundum inducitur. Aliter Plac. I 21. Dox. 318: Πυθ. τὸν χρόνον τὴν σφαῖραν τοῦ περιέχοντος εἶναι. Arist. Phys. IV 10. (218^{a} 33 et) 218^{b} 5: ἡ δὲ τοῦ ὅλου σφαῖρα ἔδοξε μὲν τοῖς εἰποῦσιν εἶναι ὁ χρόνος, ὅτι ἔν τε τῷ χρόνῳ πάντα ἐστὶ καὶ ἐν τῇ τοῦ ὅλου σφαίρᾳ. Cf. Simpl. 165 r. 700, 19 D.

vacuum f. De vacuo cf. Teichmüller, *Stud. z. Gesch. d. Begr.*, p. 555. Esse aliquod vacuum, apud Arist. Phys. IV 9 init. efficit Xuthus Pythagoreus: εἰ μὲν γὰρ μή ἐστι μανὸν καὶ πυκνόν, οὐδὲ συνιέναι καὶ πιλεῖσθαι οἷόν τε. εἰ δὲ τοῦτο μὴ εἴη, ἢ ὅλως κίνησις οὐκ ἔσται, ἢ κυμανεῖ τὸ ὅλον.

---

1) πνεύματος Chaignet II 70; 157 putat aut tollendum esse aut mutandum in πνεῦμα. Prantl ex uno cod. edit αὐτῷ τῷ οὐρανῷ. Probat id Bonitz, Aristot. Stud. I 206^{a}. αὐτῷ videtur Simpl. 152 v. 651, 27 D. legisse, at αὐτὸ Philop. et Themistius.

64 Alex. Aphrod. in Arist. Metaph. I, Schol. Arist. p. 551 a. cur numerus causa rerum
Ἀρχὰς [a] μὲν τῶν ὄντων τοὺς ἀριθμοὺς Πλάτων τε καὶ οἱ Πυθαγόρειοι [b] ὑπετίθεντο, ὅτι ἐδόκει αὐτοῖς τὸ πρῶτον ἀρχὴ εἶναι καὶ τὸ ἀσύνθετον, τῶν δὲ σωμάτων πρῶτα τὰ ἐπίπεδα εἶναι. τὰ γὰρ ἁπλούστερά τε καὶ μὴ συναιρούμενα πρῶτα τῇ φύσει, ἐπιπέδων δὲ γραμμαὶ κατὰ τὸν αὐτὸν λόγον, γραμμῶν δὲ στιγμαί, ἃς οἱ μαθηματικοὶ σημεῖα, αὐτοὶ δὲ μονάδας ἔλεγον, ἀσύνθετα παντάπασιν ὄντα καὶ οὐθὲν πρὸ αὐτῶν ἔχοντα· αἱ δὲ μονάδες ἀριθμοί, οἱ ἀριθμοὶ ἄρα πρῶτοι τῶν ὄντων.

a. Huic doctrinae aliena sunt a recentioribus admixta, v. Sext. Math. X 249, ut dubitem an non possit ad veteres Pythagoreos referri. Congerimus ex Aristotelis libris quae huc pertinent testimonia, quibus iudicium nitatur. Arist. Met. VII 2. 1028 b 15 *Δοκεῖ δέ τισι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια καὶ γραμμὴ καὶ στιγμὴ καὶ μονάς, εἶναι οὐσίαι, καὶ μᾶλλον ἢ τὸ σῶμα καὶ τὸ στερεόν*: ubi Pythagoreos intellegendos esse inde cernitur quod infra Platonis doctrinam distinctam ab hac mathematica philosophia commemorat. Met. XIV 5. 1092 b 8. *οὐθὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι τῶν οὐσιῶν καὶ τοῦ εἶναι, πότερον ὡς ὅροι, οἷον αἱ στιγμαὶ τῶν μεγεθῶν, καὶ ὡς Εὔρυτος ἔταττε τίς ἀριθμὸς τίνος, οἷον ὁδὶ μὲν ἀνθρώπου ὁδὶ δὲ ἵππου, ὥσπερ οἱ τοὺς ἀριθμοὺς ἄγοντες εἰς τὰ σχήματα τρίγωνον καὶ τετράγωνον, οὕτως ἀφομοιῶν ταῖς ψήφοις τὰς μορφὰς τῶν φυτῶν· ἢ ὅτι [ὁ] λόγος* [1] *ἡ συμφωνία ἀριθμῶν, ὁμοίως δὲ καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον; κτλ.* De Caelo III 1 extr. *ἔνιοι γὰρ τὴν φύσιν ἐξ ἀριθμῶν συνιστᾶσιν, ὥσπερ τῶν Πυθαγορείων τινές. τὰ μὲν γὰρ φυσικὰ σώματα φαίνεται βάρος ἔχοντα καὶ κουφότητα, τὰς δὲ μονάδας οὔτε σῶμα ποιεῖν οἷόν τε συντιθεμένας, οὔτε βάρος ἔχειν.* Met. XIII 6. 1080 b 16. *καὶ οἱ Πυθαγόρειοι δ' ἕνα, τὸν μαθηματικόν* (sc. *ἀριθμόν*), *πλὴν οὐ κεχωρισμένον ἀλλ' ἐκ τούτου τὰς αἰσθητὰς οὐσίας συνεστάναι φασίν· τὸν γὰρ ὅλον οὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν, πλὴν οὐ μοναδικῶν, ἀλλὰ τὰς μονάδας ὑπολαμβάνουσιν ἔχειν μέγεθος· ὅπως δὲ τὸ πρῶτον ἓν συνέστη ἔχον μέγεθος, ἀπορεῖν ἐοίκασιν*: ubi tamen cavendum ne quae sunt Aristotelis conclusiones ipsorum Pythagoreorum fuisse existimentur; v. Ritter *Gesch. d. Philos.* I 405. Cavit autem ipse, ne perperam haec acciperentur, modo conf. Met. I 5. 987 a 14 ap. **RP** 55 extr. et Met. XIII 8. 1083 b 8: *ὁ δὲ τῶν Πυθαγορείων τρόπος τῇ μὲν ἐλάττους ἔχει δυσχερείας τῶν πρότερον εἰρημένων, τῇ δὲ ἰδίας ἑτέρας. τὸ μὲν γὰρ μὴ χωριστὸν ποιεῖν τὸν ἀριθμὸν ἀφαιρεῖται πολλὰ τῶν ἀδυνάτων· τὸ δὲ τὰ σώματα ἐξ ἀριθμῶν εἶναι συγκείμενα καὶ τὸν ἀριθμὸν τοῦτον εἶναι μαθηματικόν, ἀδύνατόν ἐστιν.* Certum videtur, antiquos non numeris vim rerum spatio extensarum sed rebus vim numerorum tribuisse.

b. Deflexit a ceteris Ecphantus. Stob. Ecl. I 308. Dox. 286 b. *Ἔκφαντος* Ecphantus

---

1) Bonitz, obs. p. 26, docuit ὁ omittendum esse.

Συρακούσιος, εἷς τῶν Πυθαγορείων, πάντων (sc. *ἀρχὰς*) *τὰ ἀδιαίρετα σώματα καὶ τὸ κενόν· τὰς γὰρ Πυθαγορικὰς μονάδας οὗτος πρῶτος ἀπεφήνατο σωματικάς.* De doctrina eius v. Hippol. I 15. Dox. 566. *Ἔκφαντός τις Συρακούσιος ἔφη μὴ εἶναι ἀληθινὴν τῶν ὄντων λαβεῖν γνῶσιν, ὁρίζει δὲ ὡς νομίζει· τὰ μὲν πρῶτα ἀδιαίρετα εἶναι σώματα καὶ παραλλαγὰς αὐτῶν τρεῖς ὑπάρχειν, μέγεθος σχῆμα δύναμιν, ἐξ ὧν τὰ αἰσθητὰ γίνεσθαι. εἶναι δὲ τὸ πλῆθος αὐτῶν, ὡρισμένων κατὰ ταῦτα* [1], *ἄπειρον. κινεῖσθαι δὲ τὰ σώματα μήτε ὑπὸ βάρους μήτε πληγῆς, ἀλλ' ὑπὸ θείας δυνάμεως, ἣν νοῦν καὶ ψυχὴν προσαγορεύει. τούτου μὲν οὖν τὸν κόσμον εἶναι ἰδέαν, δι' ὃ καὶ σφαιροειδῆ ὑπὸ θείας δυνάμεως γεγονέναι. τὴν δὲ γῆν μέσον κόσμου κινεῖσθαι περὶ τὸ αὑτῆς κέντρον ὡς πρὸς ἀνατολήν.*

dimensio

Nicomachus Instit. Arithm. II 6. p. 84, 8 Hoche. *Ἔσται οὖν ἡ μονὰς σημείου τόπον ἐπέχουσα καὶ τρόπον ἀρχὴ μὲν διαστημάτων καὶ ἀριθμῶν, οὔπω δὲ γραμμὴ οὐδὲ διάστημα· ἀμέλει οὔτε σημείῳ σημεῖον συντεθὲν πλεῖόν τι ποιεῖ, ἀδιάστατον γὰρ ἀδιαστάτῳ συντεθὲν διάστημα οὐχ ἕξει, ὥσπερ εἴ τις τὸ οὐδὲν οὐδενὶ συντεθὲν σκέπτοιτο· οὐδὲν γὰρ ποιεῖ.* — 84, 24. *ἀδιάστατος ἄρα ἡ μονὰς καὶ ἀρχοειδής, πρῶτον δὲ διάστημα εὑρίσκεται καὶ φαίνεται ἐν δυάδι, εἶτ' ἐν τριάδι, εἶτα ἐν τετράδι, καὶ ἑξῆς ἐν τοῖς ἀκολούθοις· διάστημα γάρ ἐστι δυοῖν ὅρων τὸ μεταξὺ θεωρούμενον. πρῶτον δὲ διάστημα γραμμὴ λέγεται· γραμμὴ γάρ ἐστι τὸ ἐφ' ἓν διαστατόν. δύο δὲ διαστήματα ἐπιφάνεια, ἐπιφάνεια γάρ ἐστι τὸ διχῇ διαστατόν. τρία δὲ διαστήματα στερεόν, στερεὸν γάρ ἐστι τὸ τριχῇ διαστατόν.* 65

RP: „Cf. Philo de Mundi Opif. 16, p. 11 Mang. Arist. Met. VII 11. 1036 b 12. *καὶ ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμούς, καὶ γραμμῆς τὸν λόγον τὸν τῶν δύο εἶναί φασιν.* Revocatur igitur magnitudinis, quae spatium implet, origo ad unitates s. numeros et ad intervallum. Illi sunt *τὸ πέρας*, hoc est *τὸ ἄπειρον*. Inde Aristoteles Met. I 8. *Ἐκ τούτων* (sc. *πέρατος καὶ ἀπείρου*) *εἶναι τὸ μέγεθος.* Intervallum autem, quo disiunguntur numeri s. unitates, idem est quod *τὸ κενόν*, v. n. 63.“ Intactam reliqui et paragraphum et notam, ut Ritteri sententia posset cognosci. De qua Z. I⁴. 351. 354.

interpretatio numerorum

Arist. Met. XIII 4. 1078 b 21. *Οἱ δὲ Πυθαγόρειοι πρότερον περί τινων ὀλίγων* [a] (*ὁρίζεσθαι καθόλου* [b] *ἐζήτουν*), *ὧν* 66

---

1) Trad. *ὡρισμένον καὶ τοῦτο.* Gotting. *ὡρισμένων κατὰ τοῦτο.* Roeper *καὶ οὐκ* vel *καὶ ταὐτὸ ἄπειρον.*

τοὺς λόγους εἰς τοὺς ἀριθμοὺς ἀνῆπτον, οἷον τί ἐστι καιρὸς ἢ τὸ δίκαιον [c] *ἢ γάμος.*

a. Maxime cf. Arist. Met. I 5. Partes eius capitis RP 54 et 69. Non frustra antiquis pauca tribuit de numeris eorumque rationibus commenta. Ab inferioribus Pythagoreis (v. Z. I[4] 360[3]) summo cum studio ea culta sunt: unde conflata est illa opinionum farrago, quae inscribitur Theologumena Arithmeticae, edita a F. Astio, Lips. 1817. De numero septenario cf. etiam Varron. ap. Gell. N. A. III 10, de septenario et octonario Macrob. Somn. Scip. I 5. 6.

b. Theol. Arithm. 8, 56. *Φιλόλαος δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν ἐν τετράδι, ποιότητα καὶ χρῶσιν ἐπιδειξαμένης τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγείαν καὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον φῶς ἐν ἑβδομάδι, μετὰ ταῦτά φησιν ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐν ὀγδοάδι συμβῆναι τοῖς οὖσιν.* Asclep. schol. Arist. 541[a] 23: *τὸν δὲ τέσσαρα ἀριθμὸν (οἱ Π.) ἔλεγον τὸ σῶμα ἁπλῶς, τὸν δὲ πέντε τὸ φυσικὸν σῶμα, τὸν δὲ ἓξ τὸ ἔμψυχον.*

c. Alex. Aphrod. in Met. p. 28, 24 Bonitz. *Δικαιοσύνης ἴδιον ὑπολαμβάνοντες εἶναι τὸ ἀντιπεπονθός τε καὶ ἴσον, ἐν τοῖς ἀριθμοῖς τοῦτο εὑρίσκοντες ὄν, διὰ τοῦτο καὶ τὸν ἰσάκις ἴσον ἀριθμὸν πρῶτον ἔλεγον εἶναι δικαιοσύνην* (pars 4, pars 9; cf. Magna Moral. I 1. 1182[a] 11). — — *καιρὸν δὲ πάλιν ἔλεγον τὸν ἑπτά· δοκεῖ γὰρ τὰ φυσικὰ τοὺς τελείους καιροὺς ἴσχειν καὶ γενέσεως καὶ τελειώσεως κατὰ ἑβδομάδας, ὡς ἐπ' ἀνθρώπου. καὶ γὰρ τίκτεται ἑπταμηνιαῖα, καὶ ὀδοντοφυεῖ τοσούτων ἐτῶν,. καὶ ἡβάσκει περὶ τὴν δευτέραν ἑβδομάδα, καὶ γενειᾷ περὶ τὴν τρίτην* (cf. Arist. Met. XIV 6. *ἑπτὰ μὲν φωνήεντα, ἑπτὰ δὲ χορδαὶ ἢ ἁρμονίαι, ἑπτὰ δὲ αἱ πλειάδες, ἐν ἑπτὰ δὲ ὀδόντας βάλλει ἔνιά γε ἔνια δ' οὔ, ἑπτὰ δὲ οἱ ἐπὶ Θήβας*). *καὶ τὸν ἥλιον δὲ — ἐνταῦθά φασιν ἱδρῦσθαι καθ' ὃ ὁ ἕβδομος ἀριθμός ἐστιν.* — — *ἐπεὶ δὲ οὔτε γεννᾷ τινα τῶν ἐν δεκάδι ἀριθμῶν ὁ ἑπτὰ οὔτε γεννᾶται ὑπό τινος αὐτῶν, διὰ τοῦτο καὶ Ἀθηνᾶν ἔλεγον αὐτόν.* — — *γάμον δὲ ἔλεγον τὸν πέντε, ὅτι ὁ μὲν γάμος σύνοδος ἄρρενός ἐστι καὶ θήλεος, ἔτι δὲ κατ' αὐτοὺς ἄρρεν μὲν τὸ περιττὸν θῆλυ δὲ τὸ ἄρτιον.* — — *διὰ τὸ μόνιμον δὲ καὶ τὸ ὅμοιον πάντη καὶ τὸ ἀρχικὸν τὸν νοῦν μονάδα τε καὶ ἓν ἔλεγον, ἀλλὰ καὶ οὐσίαν, ὅτι πρῶτον ἡ οὐσία. δόξαν δὲ τὰ δύο διὰ τὸ ἐπ' ἄμφω μεταβλητὴν εἶναι.*

67 A Philolai fr. 20 Mullach, ap. Stob. Ecl. I 10. *Καὶ τὰ ἐν τᾷ σφαίρᾳ σώματα πέντε ἐντί· τὰ ἐν* [1] *τᾷ σφαίρᾳ πῦρ, ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ τὸ τᾶς σφαίρας ὅλας* [2] *πέμπτον* [a]. quinque corpora

1) Cf. Boeckh p. 160. Heeren delet *τὰ ἐν τᾷ σφαίρᾳ*. Wachsmuth, dubitanter ille quidem, proposuit *τὸ ἐν* ⟨*μέσᾳ*⟩ *τᾷ σφ.* — 2) Z. I[4] 376[3] *τὸ — ὅλας* vel *ὁ κύκλος*. Libri *ὁ τᾶς σφαίρας ὁλκάς*. Boeckh p. 160 *ἁ — ὁλκάς*. *ὅλκος* vel *ὅλμος* Heeren. *κυκλὰς* Meineke. *ὄγκος*

Plac. II 6, 5. Dox. 334. *Πυθαγόρας πέντε σχημάτων* 67 B
ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου [b] *τὴν τοῦ παντὸς σφαῖραν. Πλάτων δὲ καὶ ἐν τούτοις πυθαγορίζει.*

a. Vereor ne nondum recte haec verba se habeant. Praeter *μὲν-δὲ* requiras apud alterum *τὰ ἐν τῇ σφαίρᾳ* adiectivum *μεγάλᾳ* v. c. vel genetivum *κόσμου* v. c., quo universi globus a figura geometrica discernatur. Nam *τὰ ἐν τῇ σφαίρᾳ σώματα πέντε* si non dicit at cogitat cubum, tetraedron, octaedron, icosaedron, dodecaedron. Ab illis repetit elementa mundi. Quintum quid dicat obscurum est. Platonicorum autem quicunque Pythagoreis adstipulati sunt, quatuor elementis quintum solent adiungere aetherem; v. Boeckh 160.

b. Non tam ipsius globi speciem describit quam qua forma sint particulae individuae eius elementi quo quasi involucro globus universus sit circumfusus.

ignis medius

Stob. Ecl. I 488. *Φιλόλαος πῦρ ἐν μέσῳ περὶ τὸ κέντρον,* 68 A
ὅπερ ἑστίαν [a] *τοῦ παντὸς καλεῖ καὶ Διὸς οἶκον καὶ μητέρα θεῶν, βωμόν τε καὶ συνοχὴν καὶ μέτρον φύσεως· καὶ πάλιν πῦρ ἕτερον ἀνωτάτω, τὸ περιέχον. πρῶτον δ' εἶναι φύσει τὸ μέσον, περὶ δὲ τοῦτο δέκα σώματα θεῖα χορεύειν* [b], *οὐρανόν* [1], *τοὺς ε̄ πλανήτας, μεθ' οὓς ἥλιον, ὑφ' ᾧ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, μεθ' ἃ σύμπαντα τὸ πῦρ, ἑστίας περὶ τὰ κέντρα τάξιν ἐπέχον* [c]. *τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, Ὄλυμπον καλεῖ· τὰ δὲ ὑπὸ τὴν τοῦ Ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, κόσμον· τὸ δ' ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον μέρος, ἐν ᾧ τὰ τῆς φιλομεταβόλου γενέσεως, οὐρανόν* [d]. *καὶ περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίνεσθαι τὴν σοφίαν, περὶ δὲ τῶν γινομένων τὴν ἀταξίαν τὴν ἀρετήν, τελείαν μὲν ἐκείνην, ἀτελῆ δὲ ταύτην* [e].

ordo caelestium

---

vel *ὁλότας* Schaarschmidt (peracute), *Fragm. des Philolaos* p. 50. *ὀρχάνα* dubit. susp. Wachsmuth. — 1) „*Οὐρανόν τε F*: *τε* om C. an latet *τοὺς ε̄ πλανήτας*? — Zeller I[4] 383[4] *οὐρανὸν* interpretatus *τὴν τῶν ἀπλανῶν σφαῖραν* doxographi tribuit orationi. Nam alia Philolao *οὐρανοῦ* vis cf. v. 19 (13). Vereor ne locus gravius sit corruptus.“ Diels, Dox. 337.

68 B Arist. de Caelo II 9. 290[b] 12. Φανερὸν δ' ἐκ τούτων, ὅτι καὶ τὸ φάναι γίνεσθαι φερομένων (scil. τῶν ἄστρων) ἁρμονίαν [f] ὡς συμφώνων γινομένων τῶν ψόφων, κομψῶς μὲν εἴρηται καὶ περιττῶς ὑπ' τῶν εἰπόντων, οὐ μὴν οὕτως ἔχει τἀληθές. δοκεῖ γάρ τισιν ἀναγκαῖον εἶναι, τηλικούτων φερομένων σωμάτων γίνεσθαι ψόφον, ἐπεὶ καὶ τῶν παρ' ἡμῖν οὔτε τοὺς ὄγκους ἐχόντων ἴσους οὔτε τοιούτῳ τάχει φερομένων. ἡλίου δὲ καὶ σελήνης, ἔτι τε τοσούτων τὸ πλῆθος ἄστρων [g] καὶ τὸ μέγεθος φερομένων τῷ τάχει τοιαύτην φοράν, ἀδύνατον μὴ γίνεσθαι ψόφον ἀμήχανόν τινα τὸ μέγεθος. ὑποθέμενοι δὲ ταῦτα καὶ τὰς ταχυτῆτας ἐκ τῶν ἀποστάσεων ἔχειν τοὺς τῶν συμφωνιῶν λόγους, ἐναρμόνιόν φασι γίνεσθαι τὴν φωνὴν φερομένων κύκλῳ τῶν ἄστρων. ἐπεὶ δ' ἄλογον ἐδόκει τὸ μὴ συνακούειν ἡμᾶς τῆς φωνῆς ταύτης, αἴτιον τούτου φασὶν εἶναι τὸ γενομένοις εὐθὺς ὑπάρχειν τὸν ψόφον, ὥστε μὴ διάδηλον εἶναι πρὸς τὴν ἐναντίαν σιγήν· πρὸς ἄλληλα γὰρ φωνῆς καὶ σιγῆς εἶναι τὴν διάγνωσιν, ὥστε, καθάπερ τοῖς χαλκοτύποις διὰ συνήθειαν οὐδὲν δοκεῖ διαφέρειν, καὶ τοῖς ἀνθρώποις ταὐτὸ συμβαίνειν. concentus caelestium

a. Eodem pertinent quae Philolai afferuntur verba apud Stob. I 468: *τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται.* Appellatur etiam *μονάς*, Plut. Numa 11. Stob. I 452: *τὸ ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί*, v. **RP** 62. Ibid. 360: *ὁ κόσμος εἷς ἐστιν. ἤρξατο δὲ γίγνεσθαι ἄχρι τοῦ μέσου, καὶ ἀπὸ τοῦ μέσου εἰς τὸ ἄνω διὰ τῶν αὐτῶν τοῖς κάτω ἐστὶ τὰ ἄνω τοῦ μέσου ὑπεναντίως κείμενα τοῖς κάτω. τοῖς γὰρ κάτω τὸ κατωτάτω μέρος* 1 *ἐστὶν ὥσπερ τὰ ἀνωτάτω, καὶ τὰ ἄλλα ὡσαύτως. πρὸς γὰρ τὸ μέσον κατὰ ταὐτά ἐστιν ἑκάτερα, ὅσα μὴ* (praeterquam quod) *μετενήνεκται.* De quo loco cf. Z. I[4] 407[3]. Leop. Schmidt, quaest. Epich. 58—64.

b. Cf. Plat. Tim. 40 C. At harmonia quae dicitur sphaerarum (68 B) non ad decem caelestia referenda est, sed ad septem planetas, quasi lyrae antiquae fidibus septenis congruos.

c. Cf. Boeckh, *De Platonico systemate caelestium globorum et de vera indole astronomiae Philolaicae*, Heidelb. 1810. *Philolaos* 114; H. Martin *Études sur le Timée de Platon* II, 92.

d. De hac regione vicissitudini et mutationi obnoxia dixit Ps.-Philol. ap. Stob. I 420. **RP** 57, cf. Boeckh 167.

e. Hoc dicit: Sapientia circa mundum immutabilem, virtus circa varietatem rerum, quae vel generantur vel geruntur, versatur. Quo progressi sint ordo notionum

---

1) *μέρος* coniecit Wachsmuth. *μέγα* traditum; del. Zeller. Vulgo *μέσα*.

ab hoc principio profecti, conici licet ex Arist. Met. I 8. 990 a 22: *ὅταν γὰρ ἐν τῳδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς αὐτοῖς ᾖ, μικρὸν δὲ ἄνωθεν ἢ κάτωθεν ἀδικία καὶ κρίσις ἢ μῖξις, ἀπόδειξιν δὲ λέγωσιν, ὅτι τούτων μὲν ἓν ἕκαστον ἀριθμός ἐστι, συμβαίνει δὲ κατὰ τὸν τόπον τοῦτον <ταὐτὸ[1]> ἤδη πλῆθος εἶναι τῶν συνισταμένων μεγεθῶν, διὸ[2] τὰ πάθη ταῦτα ἀκολουθεῖν τοῖς τόποις ἑκάστοις, πότερον οὗτος ὁ αὐτός ἐστιν ἀριθμὸς ὁ ἐν τῷ οὐρανῷ, ὃν δεῖ λαβεῖν ὅτι τούτων ἕκαστόν ἐστιν, ἢ παρὰ τοῦτον ἄλλος*; Locus sane difficilis, cf. Z. I[4] 362[1]. De eadem re multo planius disserit Alex. Aphrod. Schol. Arist. p. 561 a. *οἱ τὰ πράγματα τοὺς ἀριθμοὺς εἶναι λέγοντες ταύτην τάξιν αὐτοῖς ἀπένειμαν ἐν τῷ οὐρανῷ, ἣν ἔχειν ᾤοντο καὶ τοὺς ἀριθμούς, οἷς ἔλεγον εἶναι ταὐτά. οἷον ἣν ᾤοντο τάξιν ἔχειν τὴν δυάδα, ταύτην ἔλεγον ἔχειν τὴν τάξιν ἐν τῷ κόσμῳ τὴν δόξαν, ἐπειδὴ δυὰς ἦν δόξα αὐτοῖς. πάλιν ἣν τάξιν ἡ ἑπτάς, ταύτην ἀπεδίδοσαν ἐν τῷ κόσμῳ τῷ καιρῷ, ἐπεὶ καὶ τὸν ἑπτὰ ἀριθμὸν καὶ καιρὸν ἡγοῦντο εἶναι. μικρὸν δὲ ἄνωθεν τοῦ καιροῦ ἢ κάτωθεν ἐποίουν, εἰ ἔτυχεν, ἀδικίαν ἢ κρίσιν, ὅτι καὶ ἡ τῶν αὐτῶν τούτοις ἀριθμῶν τάξις ἡ αὐτὴ ἦν.*

f. De concentu illo caelestium orbium vide praeterea Arist. Met. I 5. Porphyr. in Ptolem. Harm. 4, p. 257; Cic. Somn. Scip. 4. Nicomach. Harm. Man. I 6 Meibom; Plut. de Mus. 44. Cf. Boeckh, *Kl. Schriften* III 169. Martin, *Études* II 37.

g. Praeter errantia hic etiam fixa respicere videtur.

terra opposita

Arist. de Caelo II 13. 293 a 18. *Τῶν πλείστων ἐπὶ τοῦ μέσου κεῖσθαι (τὴν γῆν) λεγόντων — ἐναντίως οἱ περὶ τὴν Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι λέγουσιν. ἐπὶ μὲν γὰρ τοῦ μέσου πῦρ εἶναί φασι, τὴν δὲ γῆν ἓν τῶν ἄστρων οὖσαν, κύκλῳ φερομένην περὶ τὸ μέσον νύκτα τε καὶ ἡμέραν ποιεῖν*[a]. *ἔτι δ' ἐναντίαν ἄλλην ταύτῃ κατασκευάζουσι γῆν, ἣν ἀντίχθονα ὄνομα καλοῦσιν, οὐ πρὸς τὰ φαινόμενα τοὺς λόγους καὶ τὰς αἰτίας ζητοῦντες, ἀλλὰ πρός τινας λόγους καὶ δόξας αὑτῶν τὰ φαινόμενα προσέλκοντες καὶ πειρώμενοι συγκοσμεῖν*[b]. 293 a 30. *τῷ γὰρ τιμιωτάτῳ*[c] *οἴονται προσήκειν τὴν τιμιωτάτην ὑπάρχειν χώραν, εἶναι δὲ πῦρ μὲν γῆς τιμιώτερον, τὸ δὲ πέρας τῶν μεταξύ, τὸ δ' ἔσχατον καὶ τὸ μέσον πέρας*[d]*· ὥστ' ἐκ τούτων ἀναλογιζόμενοι οὐκ οἴονται ἐπὶ τοῦ μέσου κεῖσθαι τῆς σφαίρας αὐτήν, ἀλλὰ μᾶλλον τὸ πῦρ. ἔτι δ' οἵ γε Πυθαγόρειοι καὶ διὰ τὸ μάλιστα προσήκειν φυλάττεσθαι τὸ κυριώτατον τοῦ παντός· τὸ δὲ μέσον εἶναι τοιοῦτον· ὃ Διὸς φυλακὴν*[e] *ὀνομάζουσι, τὸ ταύτην ἔχον τὴν χώραν πῦρ.* 69

terra movetur

a. Terra circum ignem movetur oblique. Plac. III 13. Dox. 378.

---

1) *Τοῦτο* inserit Zeller. — 2) Z. pro *διὰ τό*.

οἱ μὲν ἄλλοι μένειν τὴν γῆν, Φιλόλαος δὲ ὁ Πυθαγόρειος κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλον λοξὸν ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ. Solis natura. Stob. I 530. Dox. 349. Φιλ. ὁ Πυθ. ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν· ὥστε τρόπον τινὰ διττοὺς ἡλίους γίγνεσθαι, τό τε ἐν τῷ οὐρανῷ πυρῶδες καὶ τὸ ἀπ' αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές· εἰ μή τις καὶ τρίτον λέξει, τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν. Cf. Doxogr. p. 14. Boeckh 124. sol soles

b. Arist. Met. I 5. 986ᵃ 3: καὶ ὅσα εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον. κἂν εἴ τί που διέλειπε, προσεγλίχοντο τοῦ συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν. λέγω δ' οἷον, ἐπειδὴ τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ φερόμενα κατὰ τὸν οὐρανὸν δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν. subiungunt res suis principiis

c. Quae cuique sedes, v. Plac. III 11. Dox. 377. Φιλόλ. ὁ Πυθ. τὸ μὲν πῦρ μέσον (τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν), δευτέραν δὲ τὴν ἀντίχθονα, τρίτην δὲ τὴν οἰκουμένην γῆν ἐξ ἐναντίας κειμένην καὶ περιφερομένην τῇ ἀντίχθονι· παρ' ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν ἐν τῇδε τοὺς ἐν ἐκείνῃ. Cic. Acad. pr. II 123: *Hicetas Syracusius, ut ait Theophrastus, caelum solem lunam stellas supera denique omnia stare censet neque praeter terram rem ullam in mundo moveri; quae cum circum axem se summa celeritate convertat et torqueat, eadem effici omnia quae si stante terra caelum moveretur.* Plac. III 13. Dox. 378: Ἡρακλείδης ὁ Ποντικὸς καὶ Ἔκφαντος ὁ Πυθαγόρειος κινοῦσι μὲν τὴν γῆν, οὐ μήν γε μεταβατικῶς, ἀλλὰ τρεπτικῶς, τροχοῦ δίκην ἐνηξονισμένην, ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς περὶ τὸ ἴδιον αὐτῆς κέντρον. „Ecphantum ex ore magistri Hicetae hanc doctrinam vulgasse, coniecit Boeckh, *Kosm. Syst. d. Plat.* 122, cf. Schiaparelli *i precursori di Copernic.* p. 10³⁰." Diels, Dox. 492.

d. Igneum putant et intimum et extimum; v. etiam **RP** 68 A. Ad ignem extremum refert Z. I⁴ 403¹ illud quod est in Plac. I 25, Dox. 321: Πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ. Magis delectantur suis principiis, quam accurata rerum apparentium observatione, cf. Arist. Met. I 8. 990ᵃ 16. διὸ περὶ πυρὸς ἢ γῆς ἢ τῶν ἄλλων τῶν τοιούτων σωμάτων οὐδ' ὁτιοῦν εἰρήκασιν, ἅτε οὐθὲν περὶ τῶν αἰσθητῶν οἶμαι λέγοντες ἴδιον.

e. Procl. in Tim. 172 B: καὶ οἱ Πυθ. δὲ Ζανὸς πύργον ἢ Ζανὸς φυλακὴν ἀπεκάλουν τὸ μέσον. Cf. Stob. I 488. **RP** 68 A: Διὸς οἶκος.

70 A Eudemus ap. Simpl. Phys. 173ʳ. 732, 30 D. Εἰ δέ τις πιστεύσειε τοῖς Πυθαγορείοις, ὥστε πάλιν ᵃ τὰ αὐτὰ ἀριθμῷ, κἀγὼ μυθολογήσω τὸ ῥαβδίον ἔχων ὑμῖν καθημένοις οὕτω, καὶ res et tempora ordine reditura

τὰ ἄλλα πάντα ὁμοίως ἕξει, καὶ τὸν χρόνον εὔλογόν ἐστι τὸν αὐτὸν εἶναι.

principia vitalia

Theol. Arithm. 22. Τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογι- 70 B
κοῦ, ὥσπερ καὶ Φιλόλαος ἐν τῷ περὶ φύσεως λέγει, ἐγκέφαλος, καρδία, ὀμφαλός, αἰδοῖον· „Κεφαλὰ μὲν νόω, καρδία δὲ ψυχᾶς καὶ αἰσθάσιος, ὀμφαλὸς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τῶ πρώτω [?], αἰδοῖον δὲ σπέρματος καταβολᾶς τε καὶ γεννάσιος· ἐγκέφαλος δὲ τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζῴω, ὀμφαλὸς δὲ τὰν φυτῶ, αἰδοῖον δὲ τὰν ξυναπάντων [b]· πάντα γὰρ καὶ θάλλοντι καὶ βλαστάνοντι.“

a. Porph. vit. Pyth. 19 (**RP** 46) inter notissimas eius sententias refert, *ὅτι κατὰ περιόδους τινὰς τὰ γενόμενά ποτε πάλιν γίνεται, νέον δ' οὐδὲν ἁπλῶς ἐστι.* Ad singularum rerum interitum refer Plac. II 5; Dox. 333. *Φιλόλαος διττὴν εἶναι τὴν φθοράν, τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δ' ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος· καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.*

b. Tria genera superiora complectitur. De hoc fr. Z. I[4] 265 et 416[3].

natura animi

Macrob. Somn. I 14. 19. Plato dixit animam essen- 71
tiam se moventem, Xenocrates numerum se moventem, Aristoteles ἐντελέχειαν, Pythagoras et Philolaus harmoniam [a]. Claudianus de Statu An. II 7 (ex Philolao): Anima inditur corpori per numerum et immortalem eandemque incorporalem convenientiam [b]. — Diligitur corpus ab anima, quia sine eo non potest uti sensibus [c]: a quo postquam morte deducta est, agit in mundo incorporalem vitam.

a. Arist. de An. I 2. 404a 17: *ἔφασαν γάρ τινες αὐτῶν* (*τῶν Πυθ.*) *ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα, οἱ δὲ τὸ ταῦτα κινοῦν. περὶ δὲ τούτων εἴρηται, διότι συνεχῶς φαίνεται κινούμενα, κἂν ᾖ νηνεμία παντελής.* Arist. de An. I 4. 407b 27. *καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς, — ἁρμονίαν γάρ τινα αὐτὴν λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι, καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων.* Polit. VIII 5. 1340b 18. *διὸ πολλοί φασι τῶν σοφῶν οἱ μὲν ἁρμονίαν εἶναι τὴν ψυχήν, οἱ δ' ἔχειν ἁρμονίαν.* Cf. quae Simmias exponit, Philolai auditor, in Plat. Phaed. 85 cet. Quidam simpliciter dixerunt esse numerum, Stob. I 862.

animus harmonia

b. Quibus numeris ad animi actiones describendas usi sint, cernitur ex Theol. Arithm. 8, 56 ap. **RP** 66. Cf. Arist. Met. I 5. *τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς,* cet. v. **RP** 66, b et c.

c. Singula et alias et hic parum curant, cf. Arist. de An. I 3. 407^b 20. *οἱ δὲ μόνον ἐπιχειροῦσι λέγειν ποῖόν τι ἡ ψυχή, περὶ δὲ τοῦ δεξομένου σώματος οὐθὲν ἔτι προσδιορίζουσιν, ὥσπερ ἐνδεχόμενον κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα.*

72 Diog. VIII 31. *Ἐκριφθεῖσαν*[a] *δ' αὐτὴν* (sc. *τὴν ψυχὴν*) *ἐπὶ γῆς πλάζεσθαι ἐν τῷ ἀέρι*[b] *ὁμοίαν τῷ σώματι. τὸν δ' Ἑρμῆν ταμίαν εἶναι τῶν ψυχῶν, καὶ διὰ τοῦτο πομπαῖον λέγεσθαι καὶ πυλαῖον καὶ χθόνιον, ἐπειδήπερ οὗτος εἰσπέμπει ἀπὸ τῶν σωμάτων τὰς ψυχάς, ἀπό τε γῆς καὶ ἐκ θαλάττης· καὶ ἄγεσθαι τὰς μὲν καθαρὰς ἐπὶ τὸν ὕψιστον, τὰς δ' ἀκαθάρτους μήτε ἐκείναις πελάζειν μήτ' ἀλλήλαις, δεῖσθαι δ' ἐν ἀρρήκτοις δεσμοῖς ὑπὸ Ἐρινύων.* 32. *εἶναί τε πάντα τὸν ἀέρα ψυχῶν ἔμπλεων· καὶ ταύτας δαίμονάς*[c] *τε καὶ ἥρωας ὀνομάζεσθαι· καὶ ὑπὸ τούτων πέμπεσθαι ἀνθρώποις τούς τε ὀνείρους καὶ τὰ σημεῖα νόσου τε καὶ ὑγιείας, καὶ οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ προβάτοις καὶ τοῖς ἄλλοις κτήνεσιν· εἴς τε τούτους γίνεσθαι τούς τε καθαρμοὺς καὶ ἀποτροπιασμοὺς μαντικήν τε πᾶσαν καὶ κληδόνας καὶ τὰ ὅμοια.* discessus e corpore

a. Pendent haec ex § 24: *φησὶ δ' ὁ Ἀλέξανδρος ἐν ταῖς τῶν φιλοσόφων διαδοχαῖς καὶ ταῦτα εὑρηκέναι ἐν Πυθαγορικοῖς ὑπομνήμασιν.*

b. Cf. *τὰ ἐν τῷ ἀέρι ξύσματα* **RP** 71 a.

c. Apuleius de Socr. c. 20: *Pythagoricos mirari oppido solitos, si quis se negaret unquam vidisse daemonem, satis, ut reor, idoneus auctor est Aristoteles.* Cf. Iambl. vit. P. 139. 148. Plac. I 8, 2. Dox. 307.

73 Xenophanes ap. Diog. VIII 36 de Pythagora: migratio animorum

Καὶ ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·
παῦσαι μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων[a].

a. Omnium huius sectae opinionum nulla est notior, nulla philosophis ac poetis celebratior, nulla aut antiquioribus aut gravioribus testimoniis ipsi Pythagorae vindicata. Admodum iucunda sunt lectu quae in Metamorph. l. XV Ovidius Pythagoram disserentem inducit.

74 A Philolaus ap. Clem. Strom. III 518 P. *Μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι*[a] *τε καὶ μάντιες, ὡς διά τινας τιμωρίας ἁ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σάματι*[b] *τούτῳ τέθαπται.* animus et corpus

74 B Plat. Phaed. 62 B. *Ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος λόγος, ὡς ἔν τινι φρουρᾷ*[c] *ἐσμεν οἱ ἄνθρωποι καὶ οὐ δεῖ*

δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι [d].

σῶμα σῆμα **a.** Plat. Cratyl. 400 B: *καὶ γάρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς — δοκοῦσι μέντοι μοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα — τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώζηται, δεσμωτηρίου εἰκόνα.* Cf. Lobeck Aglaoph. 795.

b. Plato Gorg. 493 A. *ὅπερ ἤδη του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο ἐν ᾧ ἐπιθυμίαι εἰσὶ τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω. καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικὸς παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πειστικὸν ὠνόμασε πίθον, τοὺς δ' ἀνοήτους ἀμυήτους, τῶν δ' ἀμυήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσίν, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν, ὡς τετρημένος εἴη πίθος — καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ* cet.

c. Plat. Crat. 400 B. *δεσμωτηρίου εἰκόνα.* Idem docet Euxitheus quidam Pythagoreus ap. Athen. IV 157 C, Cic. Tuscul. I 74, Somn. Scip. 3. Minus accurate Cic. Cato 20. *vetat Pythagoras iniussu imperatoris i. e. dei de praesidio et statione vitae decedere.* Quamquam alio loco talis est vocis *φρουρὰ* usus apud Philolaum, v. **RP** 58 c.

d. Boeckh *Philol.* p. 179. Cf. ea quae **RP** 58 de deo rerum custode exhibita sunt. Egregiae sapientiae sunt, sed dubiae fidei, quae scripta videmus in Stob. Ecl. II 64 *τέλος ὁμοίωσιν θεῷ*, ibid. II 66. *ἕπου θεῷ.*

partes animi Plac. IV 1. Dox. 389. *Πυθαγόρας Πλάτων κατὰ μὲν τὸν* 75
ἀνωτάτω λόγον διμερῆ τὴν ψυχήν, τὸ μὲν γὰρ ἔχειν λογικόν, τὸ δὲ ἄλογον· κατὰ δὲ τὸ προσεχὲς καὶ ἀκριβὲς τριμερῆ· τὸ γὰρ ἄλογον διαιροῦσιν εἴς τε τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν [a].

a. Platonis est et divisio et locutio: ut, quae Pythagorea sint, si modo illi hac de re quaesiverunt, non agnoscas. Cf. Cic. Tusc. IV 10. Posidon. ap. Galen. de Hipp. et Plat. IV 6, p. 425; V 6, p. 478 K. Nec maiorem fidem facit Alex. Polyh. ap. Diog. VIII 30. *τὴν δὲ ἀνθρώπου ψυχὴν διαιρεῖσθαι τριχῇ, εἴς τε νοῦν καὶ φρένας καὶ θυμόν. νοῦν μὲν οὖν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζῴοις, φρένας δὲ μόνον ἐν ἀνθρώπῳ*, cf. **RP** 70.

ratio philosophandi Arist. Met. I 5. 987 a 20. *Περὶ τοῦ τί ἐστιν ἤρξαντο μὲν* 76
λέγειν καὶ ὁρίζεσθαι (οἱ Πυθ.) λίαν δ' ἁπλῶς [a] *ἐπραγματεύθησαν. ὡρίζοντό τε γὰρ ἐπιπολαίως, καὶ ᾧ πρώτῳ ὑπάρξειεν ὁ λεχθεὶς ὅρος* [b], *τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος ἐνόμιζον, ὥσπερ*

εἴ τις οἴοιτο ταὐτὸν εἶναι διπλάσιον καὶ τὴν δυάδα, διότι πρῶτον ὑπάρχει τοῖς δυσὶ τὸ διπλάσιον.

a. Cf. Arist. Met. XIV 5. RP 64 a. Physicis sunt adscribendi, v. Arist. Met. I 8. 989[b] 33. οἱ Πυθαγόρειοι ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκτοπωτέροις χρῶνται τῶν φυσιολόγων. τὸ δ' αἴτιον ὅτι παρέλαβον αὐτὰς οὐκ ἐξ αἰσθητῶν· τὰ γὰρ μαθηματικὰ τῶν ὄντων ἄνευ κινήσεώς ἐστιν, ἔξω τῶν περὶ τὴν ἀστρολογίαν. διαλέγονται μέντοι καὶ πραγματεύονται περὶ φύσεως πάντα· γεννῶσί τε γὰρ τὸν οὐρανόν, καὶ περὶ τὰ τούτου μέρη καὶ τὰ πάθη καὶ τὰ ἔργα διατηροῦσι τὸ συμβαῖνον, καὶ τὰς ἀρχὰς καὶ τὰ αἴτια εἰς ταῦτα καταναλίσκουσιν, ὡς ὁμολογοῦντες τοῖς ἄλλοις φυσιολόγοις κτλ.

b. Philolaus explicat RP 53 et 54, sine numeris res non posse cognosci. Inde Sextus Math. VII 92: οἱ δὲ Πυθαγόρειοι τὸν λόγον μέν φασιν (sc. κριτήριον εἶναι), οὐ κοινῶς δέ, τὸν δὲ ἀπὸ τῶν μαθημάτων περιγινόμενον, καθάπερ ἔλεγε καὶ ὁ Φιλόλαος, θεωρητικόν τε ὄντα τῆς τῶν ὅλων φύσεως ἔχειν τινὰ συγγένειαν πρὸς ταύτην, ἐπείπερ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον καταλαμβάνεσθαι πέφυκεν.

77 Magna Moral. I 1. 1182[a] 11. Πρῶτος μὲν οὖν ἐνεχείρησε Πυθαγόρας [a] περὶ ἀρετῆς εἰπεῖν, οὐκ ὀρθῶς δέ· τὰς γὰρ ἀρετὰς εἰς τοὺς ἀριθμοὺς ἀνάγων [b] οὐκ οἰκείαν τῶν ἀρετῶν τὴν θεωρίαν ἐποιεῖτο· οὐ γάρ ἐστιν ἡ δικαιοσύνη ἀριθμὸς ἰσάκις ἴσος [c]. virtus

a. Est tanti animadvertere, Pythagoram nominari ipsum, cum soleat Aristoteles agere cum Pythagoreis.

b. Quidni virtus quoque sit harmonia? Diog. VIII 33: τήν τε ἀρετὴν ἁρμονίαν εἶναι καὶ τὴν ὑγίειαν καὶ τὸ ἀγαθὸν ἅπαν καὶ τὸν θεόν· διὸ καὶ καθ' ἁρμονίαν συνεστάναι τὰ ὅλα· φιλίαν τε εἶναι ἐναρμόνιον ἰσότητα. Ad numeros vitam refert etiam Epicharmus ille sive Chrysogonus (v. Aristox. ap. Athen. XIV 648 d) qui loquitur Clem. Strom. V 719 P.:

ὁ βίος ἀνθρώποις λογισμοῦ κἀριθμοῦ δεῖται πάνυ.
ζῶμεν ἀριθμῷ καὶ λογισμῷ· ταῦτα γὰρ σῴζει βροτούς.

c. Magna Mor. I 33. 1194[a] 29: ἔστι δὲ δίκαιον καὶ τὸ ἀντιπεπονθός, οὐ μέντοι γε ὡς οἱ Πυθαγόρειοι ἔλεγον. ἐκεῖνοι μὲν γὰρ ᾤοντο δίκαιον εἶναι, ἅ τις ἐποίησε ταὐτ' ἀντιπαθεῖν. Plato Gorg. 507 E. Φασὶ δ' οἱ σοφοὶ καὶ οὐρανὸν καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, ὦ ἑταῖρε, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις καὶ ταῦτα σοφὸς ὤν. ἀλλὰ λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται. iustitia

78 Porphyr. vit. P. 30. Κατεκήλει δὲ (Πυθαγόρας) ῥυθμοῖς καὶ μέλεσι καὶ ἐπῳδαῖς τὰ ψυχικὰ πάθη καὶ τὰ σωματικά [a]. curatio animi

32. τὰς διατριβὰς καὶ αὐτὸς ἕωθεν μὲν ἐπὶ τῆς οἰκίας ἐποιεῖτο, ἁρμοζόμενος πρὸς λύραν τὴν ἑαυτοῦ ψυχὴν[1] καὶ ᾄδων παιᾶνας ἀρχαίους τέ τινας Θαλήτου, καὶ ἐπῇδε τῶν Ὁμήρου καὶ Ἡσιόδου
praecepta ὅσα καθημεροῦν τὴν ψυχὴν ἐδοκίμασε [b]. 40. δύο τε μάλιστα καιροὺς παρηγγύα ἐν φροντίδι θέσθαι, τὸν μὲν ὅτε εἰς ὕπνον τρέποιτο, τὸν δὲ ὅτε ἐξ ὕπνου διανίσταιτο. ἐπισκοπεῖν γὰρ προσήκειν ἐν ἑκατέρῳ τούτοιν τά τε ἤδη πεπραγμένα καὶ τὰ μέλλοντα, τῶν μὲν γενομένων εὐθύνας παρ' ἑαυτοῦ ἕκαστον λαμβάνοντα, τῶν δὲ μελλόντων πρόνοιαν ποιούμενον [c]. 41. τοιαῦτα παρῄνει, μάλιστα δ' ἀληθεύειν· τοῦτο γὰρ μόνον δύνασθαι τοὺς ἀνθρώπους ποιεῖν θεῷ παραπλησίους. — ἔλεγε δέ τινα καὶ μυστικῷ τρόπῳ συμβολικῶς, ἃ δὴ ἐπιπλέον Ἀριστοτέλης ἀνέγραψεν [d].

a. Constat gymnasticam et musicam et medicinam a Pythagoreis coli solitas esse. De medica arte Diog. VIII 12. Celsus, de medic. I praef. Porph. 33 κάμνοντας τὰ σώματα ἐθεράπευε. De gymnastica Strabo VI 1, 12, p. 263 Μίλων ὁμιλητὴς Πυθαγόρου, sed cf. **RP** 45 a. De musica Strabo I 2, 3, p. 16 init. Plut. de Iside 80; virt. mor. 3.

b. Thaletae Cretensis (c. 620) paeanes ad Apollinis maxime religionem pertinebant, cui in primis dediti erant Pythagorei. Homerum et Hesiodum non repudiabant velut Xenophanes et Heraclitus, sed allegorice interpretando ad suam doctrinam aptabant.

c. Specimen ipse addit:

μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

Cf. Carm. Aur. 40. Cic. Cato 38.

d. Talia praecepta colligit ipse § 42. Pauca Iambl. vit. P. 105, 227; plura Protrept. 21; Diog. VIII 17. Quae exstant collegit Orelli Opusc. Gr. Sentent. I 61. Mullach FPG I 504. Operam iis dedit Goettling *Ges. Abh.* I 278. II 280. Cf. Rohde, Mus. Rh. XXVI 561.

1) Corr. φωνὴν Diels in Criticis, comm. in hon. Buecheleri et Useneri, Bonn 1873, p. 63.

Xenophanes.

---

79 A Clem. Strom. I 353 P. *Τῆς Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης ὁ Κολοφώνιος κατάρχει, ὅν φησι Τίμαιος* [a] *κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι, Ἀπολλόδωρος δὲ κατὰ τὴν τεσσαρακοστὴν* [b] *ὀλυμπιάδα γενόμενον παρατετακέναι ἄχρι Δαρείου* [c] *τε καὶ Κύρου χρόνων.* aetas

79 B Diog. IX 18. *Ξενοφάνης Δεξίου ἤ, ὡς Ἀπολλόδωρος, Ὀρθομένους Κολοφώνιος. ἐπαινεῖται πρὸς τοῦ Τίμωνος· φησὶ γοῦν „Ξεινοφάνην ὑπάτυφον Ὁμηραπάτης ἐπικόπτην“. οὗτος ἐκπεσὼν τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας διέτριβε καὶ ἐν Κατάνῃ· καί, ὡς Σωτίων φησί, κατ' Ἀναξίμανδρον ἦν* [d]. vita

a. Cum quo consentit Plut. Reg. apophth. 4, p. 175. Xenophanes primum memoratur ab Heraclito, Diog. IX 1; ipse primus Pythagorae (mortui?) mentionem inicit, Diog. VIII 36. Adiungimus fr. 17 ap. Athen. II 54e:

πὰρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ
ἐν κλίνῃ μαλακῇ κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ' ἐρεβίνθους·
τίς πόθεν εἶς ἀνδρῶν; πόσα τοι ἔτη ἐστὶ, φέριστε;
πηλίκος ἦσθ' ὅθ' ὁ Μῆδος ἀφίκετο;

Sese facit interrogari de re pridem acta. Medum autem cum dicit, Harpagum dicit, eum qui Iones subiecit ol. 58, 4.

b. Etsi idem traditur a Sexto Math. I 257, tamen est corrigendum *πεντηκοστὴν* (*N* pro *M*), ne, si ol. 40 natus Hieronem Epicharmumque (ol. 77, 1) vidit, homo quamvis *μακρόβιος* annos 140 complevisse dicatur. Cf. Diels, Mus. Rh. XXXI 22. Z. I[4]. 486[1]. Quae mutatio quo magis probetur, Diogenes IX 20 *ἀκμήν*, i. e. annum aetatis quadragesimum, ad ol. 60 refert. Quo auctore? Nimirum eodem Apollodoro, ut in talibus rebus assolet.

c. Reges inverso ordine inducuntur. Aliter eos Apollodori versus trimeter non admittebat, v. Diels, Mus. Rhen. XXXI 23.

d. Diog. IX 21 τοῦτον (sc. Ξενοφάνην) Θεόφραστος ἐν τῇ ἐπιτομῇ Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι.

scripta

Diog. IX 18. Γέγραφε [a] δὲ καὶ ἐν ἔπεσι καὶ ἐλεγείας [b] καὶ ἰάμβους καθ᾽ Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα· ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῇ καὶ Πυθαγόρᾳ, καθάψασθαι δὲ καὶ Ἐπιμενίδου. μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν· 80

19 ἤδη δ᾽ ἑπτά τ᾽ ἔασι καὶ ἑξήκοντ᾽ ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ᾽ ἀν᾽ Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ᾽ ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ᾽ οἶδα λέγειν ἐτύμως.

20. ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμόν [c], ἔπη δισχίλια. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα.

a. Carminum reliquias collegit Karsten, Philos. Graec. Vet. Reliq. vol. I 1. Amsterd. 1830. Lyrica Schneidewin Del. Poet. Eleg. 39—45; Th. Bergk Poet. Lyr. Gr. vol. II. Quae ad philosophiam pertinent, Brandis Comment. Eleat. I; Cousin *nouv. fragm. philosophiques, Paris 1828*, p. 9—95; omnia Mullach Arist. de Melisso, Xen., Gorg. disput., c. Eleat. philos. fragm. Berol. 1845. Idem in FPG I 101.

b. Elegiae exstant duae paulo longiores Athen. XI 462 C, X 413 F. παρῳδίας memorat Athen. II 54 e. σίλλους Strabo XIV 1, 28, p. 643: Ξεν. ὁ φυσικός, ὁ τοὺς σίλλους ποιήσας διὰ ποιημάτων. De quibus Karsten p. 19; nam Timo sane sillographus loquentem induxit Xenophanem, v. Wachsmuth, de Timone p. 29. Sapientiam suam carmine condidit, cui quod ap. Stob. I 294 nomen inditur περὶ φύσεως, respice **RP** 109 b. Cf. Simplic. de Caelo 233v 23. 506a 40 Br. ἀγνοῶ δὲ ἐγὼ τοῖς Ξενοφάνους ἔπεσι τοῖς περὶ τούτου μὴ ἐντυχὼν πότερον τὸ κάτω τῆς γῆς μέρος ἄπειρον λέγων διὰ τοῦτο μένειν αὐτήν φησιν. Videtur tum non exstitisse.

c. Herod. I 164—167. Tituli haud scio an commenticii. Ipse numerus ἔπη δισχίλια Lobonis Argivi (Diog. I 34 et 35) mendacem doctrinam arguit, quam is in l. περὶ ποιητῶν (Diog. I 111) ediderat; cf. E. Hiller, Mus. Rh. XXXIII 529.

pravae de dis opiniones

Arist. Rhet. II 23. 1399b 6. Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε [a]. 81

a. Ibidem 1400b 5. Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι, μὴ θρηνεῖν, εἰ δ᾽ ἄνθρωπον, μὴ θύειν.

82 Xenophanes ap. Sext. Math. IX 193. *vituperat poetarum commenta*

fr. 7. Πάντα θεοῖς ἀνέθηκαν[a] Ὅμηρός θ' Ἡσίοδός τε
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν.
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

Xenophanes ibid. I 289.

οἳ[1] πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

a. Respicit hanc poetarum insectationem Arist. poet. 25, 1460 b 37. Ipse poeta fr. 21, Athen. XII 526, laudat eum qui in convivio

οὔτι μάχας διέπει Τιτήνων οὐδὲ Γιγάντων,
οὐδὲ τὰ Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστιν.
θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

83 Clem. Strom. V 714 P. Εὖ γοῦν καὶ Ξενοφάνης ὁ Κολοφώνιος, διδάσκων ὅτι εἷς καὶ ἀσώματος ὁ θεός, ἐπιφέρει· *nulla dei figura*

fr. 1. Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔτε δέμας θνητοῖσιν ὁμοίιος οὔτε νόημα.

καὶ πάλιν·

fr. 5. Ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι . . . .
τὴν σφετέρην δ' ἐσθῆτά τ' ἔχειν φωνήν τε δέμας τε[2].

καὶ πάλιν·

fr. 6. Ἀλλ' εἴτοι χεῖράς γ' εἶχον βόες ἠὲ λέοντες[3]
καὶ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοίας,
καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν
τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ὁμοῖον[a].

---

1) Cd. ὃς, Steph. οἳ, Karsten καὶ. Videntur quatuor versus esse perpetui: πάντα — ὅσσα — οἳ — κλέπτειν. — 2) RP 83. Fr. 1. 5. 6 ex eo fonte Euseb. Pr. Ev. XIII 13. 678 D. 5 et 6 etiam Theodoret. Graec. aff. curat. Serm. III 49 Sylb. — In fr. 5 Clem. et Euseb. τὴν σφετέρην δ' ἐσθῆτα. Deest τ'. At Theodoretus ἀλλ' οἱ βροτοὶ δοκοῦσι γεννᾶσθαι θεούς, καὶ ἴσην τ' αἴσθησιν ἔχειν φ. τ. δ. τ. Quare Mullach edit τὴν σφετέρην τ' αἴσθησιν ἔχειν. Pro φωνὴν Karsten μορφήν. — Ceterum Wilamowitz comment. gramm. II p. 7, progr. Greifsw. 1880, suspicatur in Xenoph. sillis, ut in consimilis generis poemate Margite, iambos fuisse per saturam admixtos herois; ut e Theodoreti loco hic evadat iambus: ἀλλ' οἱ βροτοὶ δοκέουσι (trisyll.) γεννᾶσθαι θεούς cet. Fr. 6, vs. 2 pro priore καὶ vulgo ἤ. vs. 3. Theodoretus ὁμοίας, Clem. Eus. ὁμοῖοι. Vs. 3 Karsten voluit esse quintum scribitque ὁμοῖον, quartum terminat vocabulo ἕκαστον. — 3) Discrepat vs. 3. Fortasse βόες ἠὲ κέλητες.

a. Clem. Strom. VII 841 P. *Ἕλληνες δὲ ὥσπερ ἀνθρωπομόρφους οὕτως καὶ ἀνθρωποπαθεῖς τοὺς θεοὺς ὑποτίθενται, καὶ καθάπερ τὰς μορφὰς αὐτῶν ὁμοίας ἑαυτοῖς ἕκαστοι διαζωγραφοῦσιν, ὥς φησιν ὁ Ξενοφάνης· „Αἰθίοπές τε μέλανας σιμούς τε, Θρᾷκές τε πυρρούς καὶ γλαυκούς", οὕτως καὶ τὰς ψυχὰς ὁμοίας ἑαυτοῖς ἀναπλάττουσιν κτλ.*

universum unum deus

Arist. Met. I 5. 986ᵇ 10. *Εἰσὶ δέ τινες οἳ περὶ τοῦ παντὸς ὡς ἂν μιᾶς οὔσης φύσεως ἀπεφήναντο, τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ τὴν φύσιν.* 986ᵇ 18. *Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξενοφάνης*[a] *δὲ πρῶτος τούτων ἑνίσας*[b] *(ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής) οὐδὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν*[c]. *οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν, ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος· Παρμενίδης δὲ μᾶλλον βλέπων ἔοικέ που λέγειν.* 84

a. De hoc loco cf. Z. I⁴. 478¹. Diels, Dox. 110. Susemihl, *Philolog. Anz.* VII 297. Teichmüller, *Stud. z. Gesch. d. Begr.* 607. Kern, *Beitr.* 6.

ἓν πᾶν

b. Plato Soph. 242 D: *τὸ δὲ παρ' ἡμῖν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν* (veteresne poetas dicit an Orphicos?) *ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων οὕτω διεξέρχεται τοῖς μύθοις.* Timon ap. Sext. Pyrrh. I 33: *ἐν πολλοῖς — ἐπαινέσας τὸν Ξενοφάνην, ὡς καὶ τοὺς Σίλλους αὐτῷ ἀναθεῖναι, ἐποίησεν αὐτὸν ὀδυρόμενον καὶ λέγοντα·*

ὡς καὶ ἐγὼν ὄφελον πυκινοῦ νόου ἀντιβολῆσαι,
ἀμφοτερόβλεπτος· δολίῃ δ' ὁδῷ ἐξαπατήθην,
πρεσβυγενὴς ἔτ' ἐών, ἄδολος καὶ ἄμοιρος ἁπάσης
σκεπτοσύνης. ὅππῃ γὰρ ἐμὸν νόον εἰρύσαιμι,
εἰς ἓν ταὐτό τε πᾶν ἀνελύετο· πᾶν δ' ἐὸν αἰεὶ
πάντῃ ἀνελκόμενον μίαν εἰς φύσιν ἵσταθ' ὁμοίαν.

c. Cic. Acad. II 118: *Xenophanes paulo etiam antiquior* (Anaxagora) *unum esse omnia neque id esse mutabile et id esse deum neque natum unquam et sempiternum, conglobata figura.* — Auctorem ei Theophrastum esse Diels docet, Dox. 111³. 112². 120. Cf. eiusdem conspectum Theophrasteorum quae ad Xen. pertinent, ibid. 140. De fontium ratione dixit etiam Z. I⁴. 492³.

85 Sext. Math. IX 144 auctore non nominato: deus mens

οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει [a].

a. Xenophanis esse eum versum (fr. 2), apparet conl. Diog. IX 19; Plut. ap. Euseb. Pr. Ev. I 23. Timon ap. Sext. Pyrrh. I 33:

ὅς [1] τὸν ἀπάνθρωπον θεὸν ἐπλάσατ' ἶσον ἁπάντῃ,
ἀσκηθῆ [deest voc.] νοερώτερον ἠὲ νόημα.

Hippol. Ref. I 14, Dox. 565: λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται καὶ ὅτι ἓν τὸ πᾶν ἐστιν ἔξω μεταβολῆς. φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀίδιον καὶ ἕνα καὶ ὅμοιον πάντῃ καὶ πεπερασμένον καὶ σφαιροειδῆ καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν. Diels, Dox. 112: „quae Alexandro (Simpl. Phys. 6 r. 23, 16 D. **RP** 90 D) tribuitur sententia πεπερασμένον αὐτὸ καὶ σφαιροειδές, vere Xenophanea esse videtur. utique Theophrastus talia narravit." Idem Dox. 110: „miror ad Xenophanis fluitantem obscuritatem Philonis de deo opiniones nondum esse comparatas, qui eum modo immotum modo causam effectricem, potissimum simpliciter e n s nominavit." Conglobatam dei figuram si modo ipse dixit (Z. I [4] 495), non potuit nisi vulgari quadam locutione et poetica imaginatione dicere, εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέπων. Si minus, pugnantia in idem contulisset; vide quae de infinito mundo **RP** 86 b traduntur.

86 Xenophanes [2] ap. Simplic. Phys. 41 r. 189, 1 D. physica

fr. 10. Γῆ καὶ ὕδωρ [a] πάντ' ἐσθ' ὅσα γίνοντ' ἠδὲ φύονται.
ap. Sext. Math. IX 361.

fr. 9. Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.
ap. Achill. Tat. Isag. Arat. p. 128 Petav.

fr. 12. Γαίης μὲν τόδε πεῖρας ἄνω πὰρ ποσσὶν ὁρᾶται
αἰθέρι προσπλάζον, τὰ κάτω δ' ἐς ἄπειρον ἱκάνει. [b]
ap. Eustath. Iliad. XI 27.

fr. 13. Ἥν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο [c] πέφυκεν
πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι.

a. Fortasse tantummodo animalia terrestria dicit. Ignoramus conexum sententiarum. Similiter iudicandum de Stob. I 294. Ξενοφάνης ἀρχὴν τῶν πάντων εἶναι τὴν γῆν· γράφει γὰρ ἐν τῷ περὶ φύσεως· ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ. Sic enim eum versum restituit Meineke conl. Sext. Math. X 313, sed v. Diels, Dox. 284 b. Rem si spectamus, obstat Arist. Metaph. I 8. 989 a 5, quominus credamus terram a Xen. esse pro elemento rerum habitam. De terrae vicibus Hippol. Ref. I 14. Dox. 566, 1: Ξ. μῖξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γίνεσθαι δοκεῖ καὶ τῷ χρόνῳ ὑπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρα-

---

1) Cf. Wachsmuth *de Tim.* 64. Cod. ἐκτὸν ἀπ' ἄνθρωπον. — 2) Hoc nomen pro Anaximene restituendum.

κούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν, ἐν δὲ Πάρῳ τύπον ἀφύης ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῃ πλάκας συμπάντων θαλασσίων. ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ξηρανθῆναι. ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ ταύτην πᾶσι τοῖς κόσμοις γίνεσθαι μεταβολήν.

b. Terra sine fine. Arist. de Caelo II 13. 294ª 21. *οἱ μὲν γὰρ διὰ ταῦτα ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, ἐπ' ἄπειρον αὐτὴν ἐρριζῶσθαι λέγοντες, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος, ἵνα μὴ πράγματ' ἔχωσι ζητοῦντες τὴν αἰτίαν. διὸ καὶ Ἐμπεδοκλῆς οὕτως ἐπέπληξεν, εἰπὼν ὡς*

εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ,
ὡς διὰ πολλῶν δὴ γλώσσης ῥηθέντα ματαίως
ἐκκέχυται στομάτων, ὀλίγον τοῦ παντὸς ἰδόντων.

Hippol. Ref. I 14. Dox. 565, 27. *τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκάστην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι καὶ μήτε ὑπ' ἀέρος μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς.*

c. Scilicet ut omnia caelestia orta putat *ἐκ νεφῶν πεπυρωμένων* vel *ἐκ πυριδίων συναθροιζομένων ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως*, v. Theophr. ap. Stob. I 522, Doxogr. 348, 11; 492 fr. 16. Adiungimus sine ordine quaedam e Laertio commenta cum Dielesii interiectionibus, Doxogr. 168. „Diog. IX 19. *φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα* [? cf. Zeller I⁴ 498 [1]], *κόσμους δὲ ἀπείρους οὐ παραλλάκτους δέ* [! Zeller I⁴ 500]. — *οὐσίαν θεοῦ σφαιροειδῆ μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ. ὅλον δ' ὁρᾶν καὶ ὅλον ἀκούειν μὴ μέντοι ἀναπνεῖν* [? cf. Zeller I⁴ 490 [3]]. — *ἔφη δὲ καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι* [*ἥσσω ἑνὸς* Menag., at cf. Zeller I⁴ 491 [1]] *καὶ τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα.*"

cognitio — Xenophanes ap. Sext. Math. VII 49; 110; VIII 326. 87

fr. 14. *Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ γένετ' οὐδέ τις ἔσται*
εἰδώς [a], *ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων·*
εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
αὐτὸς ὅμως οὐκ οἶδε· δόκος [b] *δ' ἐπὶ πᾶσι τέτυκται.*

a. Simile quiddam est in fr. 15 ap. Plut. Symp. IX 14, 7: *ταῦτα δεδόξασται μὲν ἐοικότα τοῖς ἐτύμοισιν.*

b. Fr. 16 ap. Stob. Floril. 29, 41 et Ecl. I 224:

RP. 87, vs. 1. Sextus et, qui initium usque ad v. *εἰδώς* habet, Diog. IX 72: *ἀνὴρ ἴδεν.* Rectius Plut. Aud. Poet. 2. *γένετ'.* — vs. 3 aliter ap. Galen. Diff. Puls. III 1, p. 636 K.: *Ἦν γὰρ καὶ τὰ μέγιστα τύχῃ τετελεσμένα, εἰπὼν Αὐτός, ὅμως οὐκ οἶδε· κτλ.*

οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς παρέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

Quae omnia modesti sunt hominis, non philosophi scepticam quandam doctrinam professuri; quam personam Pyrrhonei postea ei induere cupiunt, v. Diog. IX 72. Diog. IX 20: φησὶ δὲ Σωτίων (successionum scriptor) πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτ' εἶναι τὰ πάντα, πλανώμενος. Cf. Plut. ap. Euseb. Praep. Ev. I 8 et Aristocl. ibid. XIV 17, 1. Repetendi etiam huc sunt Timonis versus **RP** 84, b. Sunt qui iuniorem aetate talia eum iactasse putent. sitne scepticus

b. Sext. Math. VII 110. Ξ. — φαίνεται μὴ πᾶσαν κατάληψιν ἀναιρεῖν, ἀλλὰ τὴν ἐπιστημονικήν τε καὶ ἀδιάπτωτον, ἀπολείπειν τὴν δοξαστήν.

* * *

88 * Restat ut unum fontem demonstremus, cuius de natura sit prius quaerendum, quam haurire ex eo liceat. Fertur enim inter Aristoteleos libellus quidam qui vulgo de Xenophane Zenone Gorgia olim inscribebatur. Nunc quoniam fere constat, c. 1 et 2 de Melisso, 3 et 4 de Xenophane, 5 et 6 de Gorgia agi, tempus erat etiam indicem emendare. Scripserunt de eo Kern, quaest. Xenoph. 1864; symbol. crit. 1867; *Philologus* XXVI (1868); progr. Danzig 1871, Stettin 1874 et 1877. Teichmüller, *Stud. z. Gesch. d. Begr.*, p. 591. Mullach FPG I 270. Vermehren, *Die Autorschaft der dem Aristoteles zugeschriebenen Schriften π. ΞΖΓ, Jena* 1861. Zeller I⁴ 464. Diels, Dox. 108. Aristotelis nomen falso esse traditum, idonei existimatores consentiunt. Inde ad Theophrastum nonnulli eum librum rettulerunt. „Omnis huius loci difficultas, ait Diels p. 108, velut in scopulo haeret in Simpliciani cuiusdam loci adfinitate [Theophrast. Phys. Op. fr. 5]. vulgaris fuit opinio omnia Simpliciana μίαν — μόνον e Theophrasto excerpta esse. quod credidit primus Bessario c. calumn. Plat. II 11 p. 32 ᵇ, ubi Simplicium ille neclegentius expressit. idem hac aetate Bergkius de Arist. libro περὶ ΞΖΓ p. 4, Brandisius comment. eleat. p. 17 atque pertinacius Kernius quaestion. Xenoph. p. 50, *beitraege z. darstell. d. philos. d. Xenoph.* 1871 p. 3 asseverant. atque hic quidem cum Simpliciana τὸ γὰρ ἓν τοῦτο — ἄλλο ἐλθεῖν Pseudaristoteleis respondere videret, maximum inde Theophrasteae originis argumentum sibi petere visus est. in alia omnia discessit Zellerus, qui Ueberwegium partim secutus [*Philologus* VIII 106] quae consentirent ex Pseudo-Aristotele a Simplicio demum adglutinata esse non tam probavit quam posuit.“ Eam sententiam ipse novo argumento firmat. Deinceps p. 113: „Theophrastus, inquit, librum de MXZ nullo pacto conscribere potuit. nam praeter ea, quae alii ut Vermehrenius congesserunt, una oratio eam originem condemnat — — contra indicis Hermippei auctoritas [Diog. V 25] vocumque Peripateticarum incorrupta proprietas ad tempora tertio a. Chr. saeculo inferiora descendere vetant. nam incredibili iudicio tale quid somniaverat Ueberwegius compend. I⁸ 55. Rectius Stratoneorum mentionem inicere Usenerum memini.“ libellus de Melisso

Quae cum ita se habeant, quamquam perdubiae sunt auctoritatis quae illo libello produntur fragmenta Xenophanis, tamen Ritterus et Prellerus cum non omiserunt Pseudaristotelea eisque Simpliciana, ut quaeque congruunt, subiecerunt, discentium utilitati probe consuluerunt. Atque ut per se quoque testis utriusque oratio integra et perpetua legi tractarique posset, numeris adiectis significavimus, quo ordine singulae partes sese exciperent.

deus aeternus De Melisso X. Z. 977 a 14 (I). *Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ· ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γενόμενον. δυνατὸν δὲ οὐδέτερον· οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταῦτα γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίοις οὐχ*[1] *ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τἀνόμοιον γενέσθαι. εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ ὂν ἐξ οὐκ ὄντος ἂν γενέσθαι*[2]*, ὅπερ ἀδύνατον. ἀΐδιον μὲν οὖν διὰ ταῦτα εἶναι τὸν θεόν.* 88 A

Simplicius Phys. 6 r. 22, 26 D. (I): *Μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν καὶ οὔτε πεπερασμένον οὔτε ἄπειρον οὔτε κινούμενον οὔτε ἠρεμοῦν Ξενοφάνην τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος, ὁμολογῶν ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης· τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης, ὃν ἕνα μὲν δείκνυσιν ἐκ τοῦ πάντων κράτιστον εἶναι. πλειόνων γάρ, φησίν, ὄντων ὁμοίως ὑπάρχειν ἀνάγκη πᾶσι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός. ἀγένητον δὲ ἐδείκνυεν ἐκ τοῦ δεῖν τὸ γινόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίνεσθαι. ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου. οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· εἰ δ' ἐξ ἀνομοίου γίνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. καὶ οὕτως ἀγένητον καὶ ἀΐδιον ἐδείκνυ.* 88 B

deus unus De Melisso X. Z. 977 a 23 (II). *Εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι· εἰ γὰρ δύο ἢ πλείους εἶεν, οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων· ἕκαστος γὰρ ὢν τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι. ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς·* 89 A

1) *οὐχ* adi. Bergk. — 2) Plenius dixisset *τὸ ὂν ἐξ οὐκ ὄντος ἢ τὸ οὐκ ὂν ἐξ ὄντος ἄν. γ.*

πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι. ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεοῦ[1] φύσιν, δέον εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε χεῖρον οὔτε βέλτιον εἶναι τοῦ ἴσου. ὥστε εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο· οὐ γὰρ ἂν δύνασθαι πλειόνων ὄντων. ἕνα ἄρα εἶναι μόνον[a].

a. Mutavit Simplicius argumentorum ordinem. Quod huc pertinet, supra legimus 22, 31 D. *πλειόνων γάρ, φησίν, ὄντων, ὁμοίως ὑπάρχειν ἀνάγκη πᾶσι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός.*

89 B De Melisso X. Z. 977 [a] 37 (III). *Ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντῃ ὁρᾶν τε καὶ ἀκούειν, τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ. εἰ γὰρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη θεοῦ ὄντα, ὅπερ ἀδύνατον. πάντῃ δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι*[b]*· οὐ γὰρ τῇ μὲν τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντῃ.* σφαιροειδής

b. Conferenda haec ex Simplicio 6 r. 23, 18 D. (IV): *ἀλλ' ὅτι μὲν οὔτε ἄπειρον οὔτε πεπερασμένον αὐτὸ δείκνυσιν, ἐκ τῶν προειρημένων δῆλον, πεπερασμένον δὲ καὶ σφαιροειδὲς αὐτὸ διὰ τὸ πανταχόθεν ὅμοιον λέγειν. καὶ πάντα νοεῖν δέ φησιν αὐτὸ λέγων· Ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει*[2].

90 A De Melisso X. Z. 977 [b] 2 (IV). *Ἀΐδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ οὔτ' ἄπειρον εἶναι οὔτε πεπεράνθαι. ἄπειρον μὲν τὸ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε μέσον οὔτ' ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο μέρος οὐδὲν ἔχειν· τοιοῦτον δ' εἶναι τὸ ἄπειρον. οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν, περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη. τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὡμοιῶσθαι· ἓν γὰρ οὐκ ἔχει πρὸς ὅ τι περανεῖ*[3]. nec finitus nec infinitus

90 B Simplicius 6 r. 23, 4 D. (II). *οὔτε δὲ ἄπειρον οὔτε πεπερασμένον εἶναι, διότι ἄπειρον μὲν τὸ μὴ ὂν ὡς οὔτε ἀρχὴν ἔχον οὔτε μέσον οὔτε τέλος· περαίνειν δὲ πρὸς ἄλληλα τὰ πλείω.*

90 C De Melisso X. Z. 977 [b] 9 (V). *Τὸ δὴ τοιοῦτον ὂν ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν. οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινη-* nec motus nec inmotus

1) Vulgo *θεὸν φύσιν δεῖν.* RP „fortasse scribendum: *οὐκ ἂν ἔχειν ἕνα θεοῦ φύσιν, δεῖν γὰρ εἶναι κράτιστον.*" — 2) Xenophanis fr. 3, p. 37 Karsten. — 3) Cod. Lips. *περανθείη.*

θῆναι· τὸ γὰρ μὴ ὂν οὐδαμῇ εἶναι. εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι πλείω ἂν αὐτὸ[1] εἶναι ἑνός. διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. τὸ δὲ
summa ἓν οὔτε ἀτρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῷ μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι. κατὰ πάντα δὲ οὕτως ἔχειν τὸν θεόν, ἀΐδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε πεπερασμένον, οὔτε ἠρεμεῖν οὔτε αὖ κινητὸν[2]) εἶναι.

Simplicius 6 r. 23, 6 D. (III). παραπλησίως δὲ καὶ τὴν κίνησιν 90 D
ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν· ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός· ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν· ὥστε καὶ ὅταν ἐν ταὐτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι

αἰεὶ δ' ἐν ταὐτῷ μίμνει κινούμενον οὐδέν,
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ[3],

οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτό φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξῃρημένην μονήν. Νικόλαος δὲ ὁ Δαμασκηνὸς ὡς ἄπειρον καὶ ἀκίνητον λέγοντος αὐτοῦ τὴν ἀρχὴν ἐν τῇ περὶ θεῶν ἀπομνημονεύει, Ἀλέξανδρος δὲ ὡς πεπερασμένον αὐτὸ καὶ σφαιροειδές. Cf. Schuster, *Heraklit* p. 229.

---

1) Sic Karsten adiecto ἄν. Bekker αὐτόν. — 2) Cod. ἀκίνητον. — 3) Xenophanis fr. 4 p. 38 Karsten.

Parmenides.

91 Diog. IX 21. Ξενοφάνους [a] δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης (τοῦτον [b] Θεόφραστος ἐν τῇ Ἐπιτομῇ Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι), ὅμως δ' οὖν ἀκούσας καὶ Ξενοφάνους οὐκ ἠκολούθησεν αὐτῷ. ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ καὶ Διοχαίτῃ τῷ Πυθαγορικῷ [c], ὡς ἔφη Σωτίων, ἀνδρὶ πένητι μὲν καλῷ δὲ κἀγαθῷ ᾧ καὶ μᾶλλον ἠκολούθησε καὶ ἀποθανόντος ἡρῷον ἱδρύσατο. γένους θ' ὑπάρχων λαμπροῦ καὶ πλούσιος ὑπ' Ἀμεινίου ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη. 23. ἤκμαζε δὲ κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα [d]. — — λέγεται δὲ καὶ νόμους [e] θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ περὶ φιλοσόφων. vita

a. Arist. Met. I 5 (**RP** 84). ὁ γὰρ Παρμενίδης τούτου (sc. Ξενοφάνους) λέγεται μαθητής. Theophr. ap. Alex. Met. I 3, 984 b. τούτῳ (sc. Ξενοφάνει) ἐπιγενόμενος Παρμ.

b. Xenophanem Theophrastus dicit. Quare vulgo transponuntur verba Παρμ. Πύρ. Ἐλ. διήκ. Ξεν., sed cf. Diels, Dox. 103.

c. Cum Pythagoreis coniungitur etiam a Callimacho ap. Procl. in Parm. IV 5 Cousin. Strabo VI 1 p. 252. οἱ μὲν κτίσαντες Φωκαιεῖς Ὑέλην — οἱ δὲ νῦν Ἐλέαν ὀνομάζουσιν, ἐξ ἧς Παρμενίδης καὶ Ζήνων ἐγένοντο ἄνδρες Πυθαγόρειοι. Quod minus ad doctrinam pertinet — etsi κοσμολογία certe vestigiis non caret —, quam ad vitae similitudinem; ut est in Cebet. tab. 2: Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον. Tale aliquid etiam Laertii illud sive Sotionis ἀκολουθεῖν significat. Et pergit illo loco Strabo: δοκεῖ δέ μοι καὶ δι' ἐκείνους καὶ ἔτι πρότερον εὐνομηθῆναι. similitudo Pythagoreorum

d. De hac (Apollodori) computatione v. Diels, Mus. Rh. XXXI 35. Z. I[4] 509. Dubitandum est, sitne praeter aequalitatem quandam Heracliti aliud ullum fundamentum. Aliter Plato Parm. 127 B, ubi narratur: οἳ ἀφίκοιντό ποτε εἰς Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Παρμενίδης. τὸν μὲν οὖν Παρμενίδην εὖ μάλα δὴ πρεσβύτην εἶναι, σφόδρα πολιόν, καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα · Ζήνωνα

δὲ ἐγγὺς ἐτῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. Ibidem 127 C: Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον. Cf. Theaet. 183 E. Soph. 217 C; reprehendit ea, quae de Parmenide Plato rettulisset, Athen. XI 505 F. Summam sane philosopho illi eidemque poetae libertatem ac licentiam vindicamus in temporibus personisque sermonum variandis — qua de re scr. Zeller, acad. Berl. 1873, class. phil. 79 —; sed de Parmenidis illo itinere certa, ni fallor, et vult et potest narrare. Venerunt igitur Athenas c. a. 455—450.

Platonis iudicium e. Cf. Plut. Colot. 32. Plato eum summa veneratione adficit, v. Theaet. 183 E: Μέλισσον μὲν καὶ τοὺς ἄλλους, οἳ ἓν ἑστὸς λέγουσι τὸ πᾶν, αἰσχυνόμενος μὴ φορτικῶς σκοπῶμεν, ἧττον αἰσχύνομαι ἢ ἕνα ὄντα Παρμενίδην. Παρμενίδης δέ μοι φαίνεται, τὸ τοῦ Ὁμήρου, αἰδοῖός τέ μοι ἅμα δεινός τε. συμπροσέμιξα γὰρ δὴ τῷ ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτῃ καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον. Aristotelis iudicium v. Met. I 5. 986 b 27, RP 84; Timonis Phliasii ap. Diog. IX 23.

poema περὶ φύσεως Diog. VIII 55. Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν (Empedoclem) γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως λόγον ἐξενεγκεῖν [a]. 92

a. Cf. Diog. IX 22. Sext. Math. VII 111; Galen. RP 109 b. Nostram Parmenidei libri notitiam Simplicii potissimum doctrinae et quasi providentiae (v. RP 95) debemus, in comm. ad Physica et ad libr. de Caelo. Reliquias coll. Brandis Comment. Eleat. I; Karsten* Philos. Graec. Vet. Reliq. I 2. Amsterd. 1835; Mullach, Aristot. de Melisso Xenoph. Gorg. disp. 111—151. Mullach FPG I 114. Th. Vatke, Parm. doctr., Berl. 1864. H. Stein*, in Symbol. phil. Bonnens., 1864, p. 763.

exordium carminis Parmenides ap. Sext. Math. VII 111. Ἐναρχόμενος γοῦν τοῦ περὶ φύσεως γράφει τὸν τρόπον τοῦτον· 93

*) Sinistrum latus (Karstenii et) Mullachii, dextrum Steinii numeros indicat.

N. 93. — vs. 28—30 etiam Diog. IX 22. vs. 28—32 ap. Simpl. de Cael. 138r. — 29. 30 Plut. Colot. 13; Clem. Strom. V 682 P.; Procl. in Plat. Tim. II 105. — 31. 32 desunt ap. Sextum, suppl. e Simplicio. — vs. 6—10 nos eodem quo Sextus praebet ordine edimus; transp. Karsten. — 3. Sextus legit δαίμονος. Stein δαίμονες (Solis filiae). Cetera a multis temptata. Cod. ἣ κατὰ πάντα τῇ φέρει. πᾶν πάντῃ Boeckh. πάντα σαφῆ Brandis. πάντ' ἀσινῆ Meineke. πάντ' ἀιδῆ vel ἀδαῆ alii. ἣ καὶ πάντ' αὐτὴ (i e. quemvis) G. Hermann. πάντα μάθῃ Stein. E Sexti interpretatione, satis inepta per se illa quidem, huc pertinent verba ἐπὶ τὴν ἁπάντων ὁδηγεῖ γνῶσιν. Recepimus κατὰ πάντ' αὐτῇ, sed ut πάντα sit acc. neutr. plur. Diels adhibet vs. 32 et Verg. VI 565: ipsa deum poenas docuit perque omnia duxit. 9. ἀχθόμενος Stein. 20. ἀρηρότα cd., ἀρηρότας· ᾗ Hermann. Post. v. 10 (21) aliquantum omissum esse ab eo, unde Sex-

Ἵπποι ταί με φέρουσιν, ὅσον τ᾽ ἐπὶ θυμὸς ἱκάνοι, 1
πέμπον, ἐπεί μ᾽ ἐς ὁδὸν βῆσαν πολύφημον ἄγουσαι
δαίμονος ἣ κατὰ πάντ᾽ αὐτὴ φέρει εἰδότα φῶτα. 3
τῇ φερόμην, τῇ γάρ με πολύφραστοι φέρον ἵπποι 17
5 ἅρμα τιταίνουσαι, κοῦραι δ᾽ ὁδὸν ἡγεμόνευον. 18
8 ἄξων δ᾽ ἐν χνοιῇσιν ἵει σύριγγος ἀυτὴν 19
9 αἰθόμενος (δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσι
10 κύκλοις ἀμφοτέρωθεν), ὅτε σπερχοίατο πέμπειν 21
6 Ἡλιάδες κοῦραι, προλιποῦσαι δώματα νυκτός, 4
7 εἰς φάος, ὠσάμεναι κρατῶν ἄπο χερσὶ καλύπτρας. 5
ἔνθα πύλαι νυκτός τε καὶ ἤματός εἰσι κελεύθων, 6
καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός,
αὐταὶ δ᾽ αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις·
τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς.
15 τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισι 10
πεῖσαν ἐπιφραδέως, ὥς σφιν βαλανωτὸν ὀχῆα
ἀπτερέως ὤσειε πυλέων ἄπο. ταὶ δὲ θυρέτρων
χάσμ᾽ ἀχανὲς ποίησαν ἀναπτάμεναι, πολυχάλκους
ἄξονας ἐν σύριγξιν ἀμοιβαδὸν εἱλίξασαι,
20 γόμφοις καὶ περόνησιν ἀρηρότε· τῇ ῥα δι᾽ αὐτῶν 15
ἰθὺς ἔχον κοῦραι κατ᾽ ἀμαξιτὸν ἅρμα καὶ ἵππους. 16
καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ 22
δεξιτερὴν ἕλεν, ὧδε δ᾽ ἔπος φάτο καί με προσηύδα·
ὦ κοῦρ᾽, ἀθανάτῃσι συνήορος ἡνιόχοισιν,
25 ἵπποις ταί σε φέρουσιν ἱκάνων ἡμέτερον δῶ, 25
χαῖρ᾽, ἐπεὶ οὔ τί σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι
τήνδ᾽ ὁδόν (ἦ γὰρ ἀπ᾽ ἀνθρώπων ἐκτὸς πάτου ἐστίν)
ἀλλὰ θέμις τε δίκη τε. χρεὼ δέ σε πάντα πυθέσθαι,
ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεμὲς ἦτορ
30 ἠδὲ βροτῶν δόξας, τῇς οὐκ ἔνι πίστις ἀληθής. 30
ἀλλ᾽ ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα
χρὴ δοκίμως κρῖναι διὰ παντὸς πάντα περῶντα.

Exordium carminis et venustate et maiestate conspicuum. Rapit nos in medias res: equi quibus vehor ducebant me quo animus ferret.

---

tus illa transscripserit, Stein censet. — 27. pro ἐκτὸς Stein τηλοῦ. — 29. Sext., Plut., Diog. ἀτρεκές, cet. ἀτρεμές. — 32. κρῖναι Karsten. Cod. εἶναι. Peyron ἰέναι. Mullach γνῶναι. Bergk δοκιμωσέμεναι. — Ap. Sext. versibus 1—30 adiunguntur 52—57 λείπεται.

Vs. 10 *σπερχοίατο* ei qui ordinem mutant referunt ad equos. 13. *αὐταὶ* sunt portae ipsae, i. e. postes oppos. liminibus. *πλῆνται* rectum videtur. *αἰθέρι πεπτέαται* Lobeck. *αἰθέριαι πηκταί* Seidler. *κληστοί* Lachmann. *πλῆντ' εὐκελάδοισι* Bergk. 17. *ταί* sunt *πύλαι*, non *κοῦραι*. — Quaeritur quae dea (22) inde a versu 24 loquens inducatur. Nec Veritatem censeo (v. 29) nec Necessitatem (v. 138) nec illam *δαίμονα*, quae est in vs. 128, nec vero *Δίκην* (v. 14), quam Sextus putat. Nullam nominatam fuisse, indicium est in Procli verbis, ad Plat. Parm. p. 34 (Cousin) *ἐκεῖνο δὲ πρεσβυτικῆς εἶναι διανοίας καθορᾶν καὶ οὐδὲ ἀνθρωπίνης, ὡς ἐν τοῖς ποιήμασί φησι (Παρμενίδης) ἀλλὰ νύμφης ὑψιπύλης* (vs. 11 sq.) *τινός*. Quaecunque est, certe hoc dicit: oportet te omnia percipere, tam veritatem exactam quam vulgares hominum opiniones, non quod ulla sit fides earum, sed quia omnia percensere decet. Iidem versus indicant quae partes fuerint carminis, cf. RP 99. Nam una continet *τὰ πρὸς ἀλήθειην*, altera *τὰ πρὸς δόξαν* vel *τὰ δοξαστά*. Iam hoc loco ponimus, quae RP 99 in memoria erunt reponenda, Arist. Met. I 3. 984ᵇ. *τῶν μὲν οὖν ἓν φασκόντων εἶναι τὸ πᾶν οὐθενὶ συνέβη τὴν τοιαύτην συνιδεῖν αἰτίαν* (sc. *τῆς κινήσεως*), *πλὴν εἰ ἄρα Παρμενίδῃ, καὶ τούτῳ κατὰ τοσοῦτον ὅσον οὐ μόνον ἕν, ἀλλὰ καὶ δύο πως τίθησιν αἰτίας εἶναι.*

duplex via — Parmenides ap. Procl. in Plat. Tim. 105; Simpl. Phys. 25ʳ. 116 D. 94 A

Εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας,
αἵπερ ὁδοὶ μοῦναι διζήσιός εἰσι νοῆσαι·
ἡ μέν, ὅπως ἔστιν τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι,
veritas — *πειθοῦς ἐστι κέλευθος, ἀληθείῃ γὰρ ὀπηδεῖ·*
ἡ δ', ὡς οὐκ ἔστιν τε καὶ ὡς χρεών ἐστι μὴ εἶναι·
τὴν δή τοι φράζω παναπειθέα ἔμμεν ἀταρπόν·
οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ἐόν, οὐ γὰρ ἀνυστόν,
οὔτε φράσαις [a]. *τὸ γὰρ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι.*

opinio hominum — Parmenides ap. Simpl. Phys. 19ʳ. 86 D. et 25ʳ. 117 D. 94 B

Χρὴ τὸ λέγειν τε νοεῖν τ' ἐὸν ἔμμεναι. ἔστι γὰρ εἶναι,
μηδὲν δ' οὐκ εἶναι [b]*· τά σ' ἐγὼ φράζεσθαι ἄνωγα.*
πρώτης γάρ σ' ἀφ' ὁδοῦ ταύτης διζήσιος εἴργω·

Nr. 94. Simplicius praebet vs. 35 — *οὔτε φράσαις* 40. Vs. 40 *τὸ — εἶναι* om. etiam Proclus, servant Clemens et Plotinus. — 38. *παναπειθέα* Procl. *παναπεύθεα* Simpl. *παναπειθῆ* Stein. — 39. *ἀνυστόν* Simpl. *ἐφικτόν* Procl. — 43. *χρή σε λέγειν τε νοεῖν τ', ἐὸν ἔμμεναι* Grauert. — 44. *τάγ' ἐγὼ* codex D. Vulg. *τά σε*. Corr. Bergk, de Empedocl. prooem. 27. — 45. *εἴργω* suppl. Diels, Simpl. 117, 6. — 46. *ἀπὸ τῆσδ' ἡ* Stein.

αὐτὰρ ἔπειτ᾽ ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν
πλάζονται δίκρανοι [c] · *ἀμηχανίη γὰρ ἐν αὐτῶν* 55
στήθεσιν ἰθύνει πλαγκτὸν νόον · οἱ δὲ φορεῦνται
κωφοὶ ὁμῶς τυφλοί τε τεθηπότες, ἄκριτα φῦλα,
50 *οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται*
κοὐ ταὐτόν · πάντων δὲ παλίντροπός [c] *ἐστι κέλευθος.* 59

94 C Plato Soph. 237 A. *Τετόλμηκεν ὁ λόγος οὗτος ὑποθέσθαι τὸ μὴ ὂν εἶναι · ψεῦδος γὰρ οὐκ ἂν ἄλλως ἐγίγνετο ὄν. Παρμενίδης δὲ ὁ μέγας, ὦ παῖ, παισὶν ἡμῖν οὖσιν ἀρχόμενός τε καὶ διὰ τέλους τοῦτο ἀπεμαρτύρατο, πεζῇ τε ὧδε ἑκάστοτε λέγων καὶ μετὰ μέτρων ·* τὸ μὴ ὄν

52 *Οὐ γὰρ μή ποτε τοῦτο δαμῇ* [d], *φησίν, εἶναι μὴ ἐόντα ·* 60
ἀλλὰ σὺ τῆσδ᾽ ἀφ᾽ ὁδοῦ διζήσιος εἶργε νόημα.

94 D Sext. Math. VII 111 versui 53 hos addit continuos.

μηδέ σ᾽ ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω 33
55 *νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν*
καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον 35
ἐξ ἐμέθεν ῥηθέντα · μόνος δ᾽ ἔτι μῦθος ὁδοῖο 36. 62
λείπεται, ὡς ἔστιν.

ratio docet cognoscere τὸ ὄν

a. Plat. Soph. 238 C. *συννοεῖς οὖν ὡς οὔτε φθέγξασθαι δυνατὸν ὀρθῶς οὔτ᾽ εἰπεῖν οὔτε διανοηθῆναι τὸ μὴ ὂν αὐτὸ καθ᾽ αὑτό, ἀλλ᾽ ἔστιν ἀδιανόητόν τε καὶ ἄρρητον καὶ ἄφθεγκτον καὶ ἄλογον*; Paulo ante Parmenidis versum conclamatissimum (52) commemoraverat, v. **RP** 94 C.

b. Plato Parm. 163 C. *τοῦτο τὸ μὴ ἔστι λεγόμενον ἁπλῶς σημαίνει ὅτι οὐδαμῶς οὐδαμῇ ἐστιν οὐδέ πῃ μετέχει οὐσίας τό γε μὴ ὄν. — οὔτε ἄρα εἶναι δύναιτο ἂν τὸ μὴ ὄν, οὔτε ἄλλως οὐσίας μετέχειν.*

c. Inde a versu 46 Heraclitum impugnari vidit Bernays Mus. Rh. VII 115; dissentit Zeller I[4] 670, quod Heracliti librum non ante 478 scriptum, Parmenideum aut non recentiorem aut etiam antiquiorem esse veri simile sit. Similitudines hic quidem non putat tanti esse.

d. Repetit eos versus Plato ibidem 258 D. Quod in cod. fertur *τοῦτ᾽ οὐδαμῇ*, corr. Stein (postquam *δαμῇς* praeiit Steinhart *Melet. Plotin.* p. 58); cuius inventum nunc confirmat Simplic. 29[v]. 135, 21 D. tum 31[r]. 143, 31 D. tum 53[v]. 244, 1 D. — Hoc dicit: nec enim unquam hoc vincatur (cogatur), esse ea quae non sint. Heindorf coniecerat *δαῇς*, Karsten solutam esse orationem *οὐ γὰρ — ἐόντα.* Nimirum quae antecedunt *πεζῇ τε — λέγων* et hic falso interpretatus est et si qui pedestri oratione scripsisse Parmenidem tradunt (Suidas s. v.).

Simplic. Phys. 31$_r$. 144, 25 D. *Καὶ εἴ τῳ μὴ δοκῶ γλίσχρος, ἡδέως ἂν τὰ περὶ τοῦ ἑνὸς ὄντος ἔπη τοῦ Παρμενίδου μηδὲ πολλὰ ὄντα τοῖςδε τοῖς ὑπομνήμασι παραγράψαιμι διά τε τὴν πίστιν τῶν ὑπ' ἐμοῦ λεγομένων καὶ διὰ τὴν σπάνιν τοῦ Παρμενιδείου συγγράμματος. ἔχει δὲ οὑτωσὶ τὰ μετὰ τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν·* 95

μοῦνος δ' ἔτι μῦθος ὁδοῖο
λείπεται, ὡς ἔστιν. ταύτῃ δ' ἐπὶ σήματ' ἔασι
πολλὰ μάλ', ὡς ἀγένητον[a] *ἐὸν καὶ ἀνώλεθρόν ἐστιν,*
οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀτέλεστον·

nec ortum nec periturum

οὐδέ ποτ' ἦν οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν,
ἓν ξυνεχές. τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ;
πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ἐόντος ἐάσω
φάσθαι σ' οὐδὲ νοεῖν· οὐ γὰρ φατὸν οὐδὲ νοητὸν
ἐστὶν ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν καὶ χρέος ὦρσεν,
ὕστερον ἢ πρόσθεν τοῦ μηδενὸς ἀρξάμενον[b] *φῦν;*
οὕτως ἢ πάμπαν πέλεναι χρεών ἐστιν ἢ οὐχί.
οὔτε ποτ' ἐκ πῃ ἐόντος ἐφήσει πίστιος ἰσχὺς
γίνεσθαί τι παρ' αὐτό· τοῦ εἵνεκεν οὔτε γενέσθαι
οὔτ' ὄλλυσθαι[c] *ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν,*
ἀλλ' ἔχει.

a. Explicat hanc argumentationem Simplicius loco altero, 17 r p. 78, 24 D. *ταῦτα δὴ περὶ τοῦ κυρίως ὄντος λέγων ἐναργῶς ἀποδείκνυσιν, ὅτι ἀγένητον τοῦτο τὸ ὄν· οὔτε γὰρ ἐξ ὄντος, οὐ γὰρ προϋπῆρχεν ἄλλο ὄν· οὔτε ἐκ τοῦ μὴ ὄντος, οὐδὲ γὰρ ἔστι τὸ μὴ ὄν. καὶ διὰ τί δὴ τότε, ἀλλὰ μὴ καὶ πρότερον ἢ ὕστερον ἐγένετο; ἀλλ' οὐδὲ ἐκ τοῦ πῇ μὲν ὄντος πῇ δὲ μὴ ὄντος, ὡς τὸ γενητὸν γίνεται· οὐ γὰρ ἂν τοῦ ἁπλῶς ὄντος προϋπάρχοι τὸ πῇ μὲν ὂν πῇ δὲ μὴ ὄν, ἀλλὰ μετ' αὐτὸ ὑφέστηκε.*

N. 95. vs. 57—70 Simpl. Phys. 17 r. 78 D. vs. 59 *ὡς ἀγένητον* — Simpl. Phys. 61. 7 r. 30 D. — vs. 57. Stein *μόνης*. — 60. Simpl. semel 26 r. 120, 23 D. *ἀγένητον*, cf. vs. 59. Idem ter *ἀτέλεστον*. Preller *ἀτάλαντον*, conl. Empedocl. vs. 79, RP 132, b. Parmenid. 93 et 103. — Brandis: *οὐδ' ἀτέλεστον*, conl. v. 88. — 61. *οὔ ποτ' ἔην* Karsten. — 62. *γένναν* tiam Empedocl. 87. — 66. infinitivum *φῦν* agnovit Buttmann Mus. Ant. Stud. I 1, 246. *ἀρξαμένου* commend. Torstrik. — 67. *πέλεμεν* Karsten. — 68. *οὔτε* Diels, conl. vs. 63. Cod. *οὐδέ*. Deinceps Simplic. *ἔκ γε μὴ ὄντος*, et *ἐκ μὴ ὄντος*. Karsten *ἐκ τοῦ ἐόντος*. Stein *ἔκ γε πέλοντος*. Diels: „ex Simplicii paraphrasi *ἔκ πῃ ἐόντος* efficias", p. 78, 21.

b. A nihilo si ortum esset, quae necessitas iussisset prius aut posterius nasci?

c. Idem evincunt quae sequuntur; pergit enim Simplic. 31 v. 145 D. ἡ [1] δὲ κρίσις περὶ τούτων ἐν τῷδ' ἔνεστιν·

ἔστιν ἢ οὐκ ἔστιν· κέκριται δ' οὖν ὥσπερ ἀνάγκη,
τὴν μὲν ἐᾶν ἀνόητον, ἀνώνυμον (οὐ γὰρ ἀληθὴς
ἐστὶν ὁδός), τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.
πῶς δ' ἂν ἔπειτα πέλοι [2] τὸ ἐόν; πῶς δ' αὖ κε γένοιτο;
εἰ γὰρ ἔγεντ', οὐκ ἔστ', οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι.
τὼς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπυστος ὄλεθρος.

Cf. Plat. Theaet. 180 DE. ἄλλοι αὖ τἀναντία τούτοις ἀπεφήναντο, οἷον ἀκίνητον τελέθειν ᾧ πάντ' ὄνομ' εἶναι, καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διισχυρίζονται, ὡς ἕν τε πάντα ἐστὶ καὶ ἕστηκεν αὐτὸ ἐν αὑτῷ, οὐκ ἔχον χώραν ἐν ᾗ κινεῖται. Iidem 181 A appellantur οἱ τοῦ ὅλου στασιῶται.

96 Parmenides ap. Simplic. Phys. 31 v. 145, 23 D.

Οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον· integrum aequale inmotum
οὐδέ τι τῇ μᾶλλον, τό κεν εἴργοι μιν συνέχεσθαι,
οὐδέ τι χειρότερον· πᾶν δ' ἔμπλεόν ἐστιν ἐόντος.
τῷ ξυνεχὲς πᾶν ἐστιν, ἐὸν γὰρ ἐόντι πελάζει [a]. —
αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν
ἔστιν ἄναρχον, ἄπαυστον, ἐπεὶ γένεσις καὶ ὄλεθρος
τῆλε μάλ' ἐπλάγχθησαν, ἀπῶσε δὲ πίστις ἀληθής.
τωὐτόν τ' ἐν τωὐτῷ τε μένον καθ' ἑωυτό τε κεῖται·
χοὔτως ἔμπεδον αὖθι μένει· κρατερὴ γὰρ ἀνάγκη

1) His verbis, partim sane dactylicis, Karsten, qui ἔστιν in ex. Aldino invenerat, versum 71 complevit, quasi Parmenidis esset propositio ac non Simplicii intercapedo. Cf. Stein p. 787. — 2) 75. cod. πέλοι τὸ ἐόν. Stein ἔπειτ' ἀπόλοιτο πέλον, recte ad sententiam. Conieceram olim πέσοι pro πέλοι itemque 76 ποτ' ἔμελλε πεσεῖσθαι pro ποτε μέλλει ἔσεσθαι. 75. αὖ Stein. ἂν cd.

N. 96. Simplicius ponit 78 et 81 etiam f. 19 r. Vs. 82—94: f. 17 v et 9 r. Vs. 85—89: f. 7 r. Vs. 86—89: f. 9 r. — Vs. 79. πῃ Mullach. Sed cf. 105. — „μᾶλλον (sc. ἐόν cf. v. 107 K., 111 St. i. q. περισσόν Emped. v. 91 St.): κενεόν Stein, cui obstat χειρότερον." Diels. Propius certe μεῖζον, v. 104. — 84. τῇδε libri. Corr. Scaliger τῆλε. — 87. Simpl. 7 r ἔχει τέ μιν. — 88. Simpl. 7 r et 9 r μὴ ἐόν, 31 v μὴ ὄν. Et interpretatur sane μὴ ὄν 9 r. 40, 7 D. Stein tuetur μὴ ἐόν p. 790; putat duorum versuum partes mansisse, alterius priorem, alterius posteriorem: mediam esse lacunam. Preller omisso μὴ refert ἐὸν (si esset) ad ἐπιδευές, Zeller ad ἀτελεύτητον.

πείρατος ἐν δεσμοῖσιν ἔχει, τό μιν ἀμφὶς ἐέργει.
οὕνεκεν οὐκ ἀτελεύτητον [b] *τὸ ἐὸν θέμις εἶναι·*
ἐστὶ γὰρ οὐκ ἐπιδευές· ἐὸν δ' ἂν παντὸς ἐδεῖτο [c].

a. Parmen. ap. Clem. Strom. 653 P.

λεῦσσε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως· 37
οὐ γὰρ ἀποτμήξεις τῇ ἐὸν τῇ ἐόντος ἔχεσθαι,
οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κόσμον
οὔτε συνιστάμενον. 40

Vs. 90: quamvis remota intuere, inquit dea, ut praesentia. Stein mavult: *λεῦσσε δ' ὁμῶς ἀπεόν τε νόῳ παρεόν τε βεβαίῳ.* Vs. 91: *ἀποτμήξει*, si recte se habeat, pro intransitivo accipiendum putat Zeller. Cavet, nisi fallor, poeta ne dividi posse *τὸ ὄν* opinemur, quasi particulare quoddam *ὄν* quod hic sit cum altero tali, quod illic, copulatum sit ac non unum universale individuum.

b. Arist. Phys. III 6. 207 a 11: *τὸ ὅλον οὗ μηδέν ἐστιν ἔξω· οὗ δ' ἐστὶν ἀπουσία ἔξω, οὐ πᾶν, ὅ τι ἂν ἀπῇ. ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν ἐστίν. τέλειον δ' οὐδὲν μὴ ἔχον τέλος· τὸ δὲ τέλος πέρας. διὸ βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ ἄπειρον τὸ ὅλον φησίν, ὁ δὲ τὸ ὅλον πεπεράνθαι μεσσόθεν ἰσοπαλές.* Cf. Ar. Phys. I 2.

c. Singulas argumenti partes Simplicius (qui v. 89 *μὴ ἐόν* legit) 9 r. 40, 7 D. in hunc modum conectit: *ὡς γὰρ τὸ μὴ ὄν, φησίν, ἐνδεὲς πάντων ἐστίν, οὕτως τὸ ὂν ἀνενδεὲς καὶ τέλειον. τὸ δὲ κινούμενον ἐνδεὲς ἐκείνου, δι' ὃ κινεῖται· τὸ ἄρα ὂν οὐ κινεῖται.* Cum moveri *τὸ ὄν* Parm. negat, vs. 82—84 tempus, vs. 85—87 locum respicere videtur.

Parmenides ap. Simplic. Phys. 31 v. 146, 7 D. 97

cogitare et esse

Τωὐτὸν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκέν ἐστι νόημα· 96
οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧ πεφατισμένον [a] *ἐστίν,*

N. 96 a. vs. 91 cod. *ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος.* Ego susp. *τῇ — τῇ*, cf. 105 et 108; 79; cf. etiam quod sequitur *πάντῃ.* — Karsten *ἀποτμηξεῖται ἐὸν μετ'.* Brandis (Stein) *ἀποτμήξεις.*

N. 97. vs. 94 — *νοεῖν* 96 etiam ap. Simpl. 19 r. — vs. 96. Simpl. 19 r: *οὐδὲν γὰρ ἔστιν ἢ ἔσται.* Preller inseruit *ἢ* ante *ἔστιν.* Bergk: *οὐδ' ἦν γὰρ ἢ ἔστιν ἢ ἔσται.* At apud Simpl. 31 v leg. *οὐδ' εἰ χρόνος ἐστὶν.* Unde Stein: *οὐδὲν χρέος*, simili usu atque *χρῆμα.* Nos id q. s. l. — 98. *οὖλον* Simpl. Phys. 19 r et 31 v. Idem 31 v *πάντ' ὠνόμασται*, 19 r *πάντ' ὄνομα ἔσται*, al. cod. *ὀνόμασται.* Vera igitur haec est versus forma, quam Simpl. utcunque Parmenidis carmen ipsum inspexit exhibet: *οὖλον — ὄνομ' ἔσται.* Sed ferebatur etiam alia forma, v. Plat. Theaet. 108 E: (*οἶον*) *ἀκίνητον τελέθειν τῷ πάντ' ὄνομ' εἶναι* (orat. obl.) quam ex eo libro haustam Simplicius quoque bis posuit, 7 r et 31 r. Ceterum Plato scr. *οἷον* (i. e. velut, nam exempli causa hoc dictum profert); Simpl. legit *οἶον* (interpr. *μόνον* 7 r), etsi in cod. Simpl. const. *οἷον.*

εὑρήσεις τὸ νοεῖν. οὐδὲ χρόνος [b] *ἔστιν ἢ ἔσται*
ἄλλο πάρεξ [c] *τοῦ ἐόντος· ἐπεὶ τό γε Μοῖρ' ἐπέδησεν*
οὖλον ἀκίνητόν τ' ἔμεναι. τῷ πάντ' ὄνομ' ἔσται [d],
ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ,
γίνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐκί,
καὶ τόπον ἀλλάσσειν, διά τε χρόα φανὸν ἀμείβειν.

a. Idem esse cogitare atque id quod cogitetur, efficit ea re, quod cogitatio nusquam sine eo, quod subsit, inveniatur, in quo nomen suum reppererit. Steinium si audimus, Parmenides, ut argumentum confirmaret, vocabulum ipsum *νοεῖν* (per anagramma?) a verbo *ἐόν* originem ducere adiecit: sic enim p. 791 interpr. v. *ἐν ᾧ πεφατ. ἐστίν.*

b. Ea quoque notio refertur inter nomina ab hominibus ficta (98). Cur ita statuat, docet v. 77, tum 100. Magis etiam perspicuum erit, si contrarium comparaverimus. Ut de Anaximandro Hippol. I 6 Dox. 559, 19 *λέγει δὲ χρόνον ὡς ὡρισμένης τῆς γενέσεως καὶ τῆς οὐσίας καὶ τῆς φθορᾶς*, vel de Platone Theophrastus ap. Simpl. Phys. 165 r Dox. 492, 2 *τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναι.* Quid igitur statuere necesse erat eum quem *στασιώτην τοῦ ὅλου* Plato appellat?

c. Simpl. Phys. 25 r. 115, 11 D. *τὸν Παρμενίδου λόγον, ὡς ὁ Ἀλέξανδρος ἱστορεῖ, ὁ μὲν Θεόφραστος οὕτως ἐκτίθεται ἐν τῷ πρώτῳ τῆς φυσικῆς ἱστορίας· „τὸ παρὰ τὸ ὂν οὐκ ὄν· τὸ οὐκ ὂν οὐδέν· ἓν ἄρα τὸ ὄν“.* Cf. Arist. Met. I 5. 986 b 28.

d. „Propterea nomina tantummodo sunt, quaecunque mortales statuerunt opinantes esse vera, nasci atque interire, esse et non esse, locum mutare, colorem vertere.“

98 Parmenides ap. Simplic. Phys. 31 v. 146, 15 D.

Ἧι δ' ἄρ' ἔχει πεῖρας πύματον, τετελεσμένον ἐστὶ globus aequaliter tornatus
πάντοθεν, εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ,
μεσσόθεν ἰσοπαλὲς [a] *πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον*
οὔτε τι βαιότερον πέλεναι χρεών ἐστι τῇ ἢ τῇ.
οὔτε γὰρ οὐκ ἐόν ἐστι, τό κεν παύοι μιν ἱκνεῖσθαι
εἰς ὁμόν, οὔτ' ἐὸν ἔστιν ὅπως εἴη κεν ἐόντος
τῇ μᾶλλον τῇ δ' ἧσσον [b], *ἐπεὶ πᾶν ἐστιν ἄσυλον.*
εἰ γὰρ πάντοθεν ἶσον ὁμῶς ἐν πείρασι κύρει.

Nr. 98. vs. 103—105 Plat. Soph. 244 E. Ps.-Arist. de Melisso c. 2. Stob. Ecl. I 352. Denique saepius. — vs. 102. *ᾗ δ' ἄρ' ἔχει* corr. *αὐτὰρ ἐπεὶ* cod. *ἐπὶ* Karsten. *ἐὸν* Stein. *αὐτὰρ ἐπεὶ πεῖρας πύματον, τετελ. ἐ. πάντ.* interpr. Diels: „quoniam terminus est finis extremus, illud perfectum absolutumque est.“ — vs. 109. cod. *οἱ γὰρ,* Diels conicit *εἰ γὰρ* vel *ᾗ γάρ.*

a. Philop. in Arist. Phys. III 12. *τουτέστιν ἴσον ἐκ τοῦ μέσου πανταχόθεν ἀπέχον, ἵνα σφαιρικὸν αὐτὸ δείξῃ.*

b. Plat. Parm. 150 E. *καὶ μὴν καὶ αὐτό γε τὸ ἓν πρὸς ἑαυτὸ οὕτως ἂν ἔχοι· μήτε μέγεθος ἐν ἑαυτῷ μήτε σμικρότητα ἔχον οὔτε ἂν ὑπερέχοιτο οὔτ' ἂν ὑπερέχοι ἑαυτοῦ, ἀλλ' ἐξ ἴσου ὂν ἴσον ἂν εἴη ἑαυτῷ.*

Parmenides ap. Simplic. Phys. 9 r. 38, 30 D. 99

a veritate transit ad opiniones

Ἐν τῷ σοι παύσω πιστὸν λόγον ἠδὲ νόημα
ἀμφὶς ἀληθείης· δόξας δ' ἀπὸ τοῦδε [a] βροτείας
μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν [b] ἀκούων.

principia duo contraria

Μορφὰς γὰρ κατέθεντο δύο γνώμαις [c] ὀνομάζειν·
τῶν μίαν οὐ χρεών ἐστιν, ἐν ᾧ πεπλανημένοι εἰσίν,
ἀντία δ' ἐκρίναντο δέμας καὶ σήματ' ἔθεντο
χωρὶς ἀπ' ἀλλήλων, τῇ [d] μὲν φλογὸς αἰθέριον πῦρ
λεπτὸν ἀραιὸν ἐλαφρὸν ἑωυτῷ πάντοσε τωὐτόν,
τῷ δ' ἑτέρῳ μὴ τωὐτόν· ἀτὰρ κἀκεῖνο [e] κατ' αὐτοῦ
ἀντία, νύκτ' ἀδαῆ, πυκινὸν δέμας ἐμβριθές τε. [f]
τῶν σοι ἐγὼ διάκοσμον [g] ἐοικότα πάντα φατίζω,
ὡς οὐ μήποτέ τίς σε βροτῶν γνώμη παρελάσσῃ.

a. His in versibus est conclusio prioris, praefatio alterius partis. Simpl. Phys. 31 v. 146, 26 D. haec subicit: *ταῦτα μὲν οὖν τὰ περὶ τοῦ ἑνὸς ὄντος ἔπη τοῦ Παρμενίδου. μεθ' ἃ λοιπὸν περὶ τῶν δοξαστῶν διαλέγεται ἄλλας ἀρχὰς ἐν ἐκείνοις ὑποτιθέμενος, ὧν καὶ Ἀριστοτέλης ἐν τοῖς ἑξῆς* (I 5. 188a 20) *μνημονεύει λέγων· „καὶ γὰρ Παρμενίδης θερμὸν καὶ ψυχρὸν ἀρχὰς ποιεῖ, ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν."* Quae ratio sit harum inter se partium, v. Arist. Met. I 5. 986b 31. *ἀναγκαζόμενος δ' ἀκολουθεῖν* (sc. *ὁ Παρμενίδης*) *τοῖς φαινομένοις, καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ* ignis, terra *δύο τὰς ἀρχὰς πάλιν τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων· τούτων δὲ τὸ μὲν κατὰ τὸ ὂν τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν.* Cf. Gen. et Corr. I 3. 318b 6. Minus accurate, quia

---

N. 99. vs. 110—112 Simpl. 7 r. 31 v. vs. 113—119 Simpl. 7 r paulo infra, et 39 r; de Caelo 137 r. — vs. 113. *γνώμαις* 7 r et partim 39 r. *γνώμας* 9 r. Idem suadet Stein 794.— 117. *λεπτὸν* correxi. cod. 7 r *ἤπιον*, deinde partim *τὸ* partim *ὄν*, tum *μέγ' ἀραιόν*. 9 r et 39 r *ἤπιον ἀραιὸν ἐλαφρὸν* pars integra verba, pars vestigia; in uno 9 r *ἤπιον ὂν μέγ'*. Tollunt *ἐλαφρὸν* quasi glossema Karsten, Preller, Stein. Inde *ἤπιον ἐόν, μέγ' ἀραιόν* Karsten, *ἠπιόφρον* Preller, *ἤπιον ἔμμεν ἀραιόν* Bergk 1842. Mihi praeter *λεπτὸν* etiam *λαμπρόν* aptum visum est. — 118. cod. *κατ' αὐτὸ τἀντία* et similia. *κατ' αὐτοῦ ἀντία* Stein. — 120. *φατίζω* Meineke Anal. Alex. 183. — 121. *γνώμη* cod., *γνώμῃ* Stein.

Aristoteleis notionibus utitur, interpr. Parmenidis sententiam Theophrastus ap. Alex. in Metaph. 24, 5. Doxogr. 482. *τούτῳ* (Xenophani) *δ' ἐπιγενόμενος Παρμενίδης — ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀΐδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων, οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγένητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχάς, πῦρ καὶ γῆν, τὸ μὲν ὡς ὕλην, τὸ δ' ὡς αἴτιον καὶ ποιοῦν.* Unde pendet Hippol. Ref. I 11. Dox. 564, 21. Similiter Cic Acad. II 118 *Parm. ignem qui moveat, terram quae ab eo formetur.*

b. Simpl. Phys. 9 r. 39, 10 D. *δοξαστὸν οὖν καὶ ἀπατηλὸν τοῦτον καλεῖ τὸν λόγον οὐχ ὡς ψευδῆ ἁπλῶς, ἀλλ' ὡς ἀπὸ τῆς νοητῆς ἀληθείας εἰς τὸ φαινόμενον καὶ δοκοῦν καὶ αἰσθητὸν ἐκπεπτωκότα.*

c. „Homines animis statuerunt duas dicere formas. Atqui alteram non oportuit, qua in re isti falluntur.“ Error est, quod duas statuunt. Unam debebant. — Parum recte interpr. Simplic. 7 r. 31, 8 D. *πεπλανῆσθαι δέ φησι τοὺς τὴν ἀντίθεσιν τῶν τὴν γένεσιν συνιστώντων στοιχείων μὴ συνορῶντας ἢ μὴ σαφῶς ἀποκαλύπτοντας.*

d. Alteri *μορφῇ* ignem attribuunt aetherium, tenuem illum et sui per omnia similem, alterius dissimilem.

e. Ea videlicet pars opinionum vulgarium, quae erat de calido sive igneo elemento, poetae fere probatur; modo ne etiam alterum illud contra positum putarent, noctem sine luce, corpus solidum ac grave.

f. Addit Simpl. Phys. 7 v. 31, 3 D. *καὶ δὴ καὶ καταλογάδην μεταξὺ τῶν ἐπῶν ἐμφέρεταί τι ῥησείδιον ὡς αὐτοῦ Παρμενίδου, ἔχον οὕτως. „Ἐπὶ τῷδέ ἐστι τὸ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ φάος καὶ τὸ μαλθακὸν καὶ τὸ κοῦφον, ἐπὶ δὲ τῷ πυκνῷ ὠνόμασται τὸ ψυχρὸν καὶ ὁ ζόφος καὶ σκληρὸν καὶ βαρύ· ταῦτα γὰρ ἀπεκρίθη ἑκατέρως ἑκάτερα.* Quod *ῥησείδιον* Preller e commentatore nescio quo, Stein e Melissi libro in id carminis Parmenidei exemplum, quo Simplicius usus est, transisse putat.

g. Plut. adv. Col. 13, 6. *ὅς γε καὶ διάκοσμον πεποίηται, καὶ στοιχεῖα μιγνύς, τὸ λαμπρὸν καὶ σκοτεινόν, ἐκ τούτων τὰ φαινόμενα πάντα καὶ διὰ τούτων ἀποτελεῖ· καὶ γὰρ περὶ γῆς εἴρηκε πολλὰ καὶ περὶ οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων, καὶ γένεσιν ἀνθρώπων ἀφήγηται καὶ οὐδὲν ἄρρητον — τῶν κυρίων παρῆκεν.*

100 Parmenides ap. Simplic. Phys. 39 r. 180, 9 D.

Αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται [a] 125 lux et nox
καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς,
πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου,
ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδέν [b].

a. „Iam quoniam omnia sunt ad duo principia revocata et suum de quoque praedicatum est sive sua cuique vis tributa, universum com-

pletum est simul luce et nocte, aequali utraque, quoniam neutri quidquam cum altera commune est.“ Aequales dicere videtur quae sint aequaliter discretae.

b. Simplic. l. c. addit: *εἰ δὲ μηδετέρῳ μέτα μηδέν, καὶ ὅτι ἀρχαὶ ἄμφω καὶ ὅτι ἐναντίαι, δηλοῦται.* Quo sedes versuum 122—125 definiatur: post vs. 119 pergit Simplicius *καὶ μετ' ὀλίγα πάλιν.*

Simplic. Phys 9 r. 39, 12 D. post vs. 121. *Μετ' ὀλίγα* 101 A
δὲ πάλιν περὶ τῶν δυεῖν στοιχείων εἰπὼν ἐπάγει καὶ τὸ ποιητικὸν λέγων οὕτως·

126 *Αἱ γὰρ στεινότεραι* [a] *πλῆνται πυρὸς ἀκρήτοιο,*
αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα·
dea genetrix *ἐν δὲ μέσῳ τούτων* [b] *δαίμων, ἣ πάντα κυβερνᾷ.* 135
⟨πάντῃ γὰρ στυγεροῖο τόκου καὶ μίξιος ἄρχει.
130 *πέμπουσ' ἄρσενι θῆλυ μιγὲν τό τ' ἐναντίον αὖθις*
ἄρσεν θηλυτέρῳ [c]*.⟩*

ταύτην καὶ θεῶν αἰτίαν εἶναί φησι, λέγων

132 *πρώτιστον μὲν Ἔρωτα* [d] *θεῶν μητίσατο πάντων* 139

καὶ τὰ ἑξῆς. καὶ τὰς ψυχὰς πέμπειν ποτὲ μὲν ἐκ τοῦ ἐμφανοῦς εἰς τὸ ἀειδές, ποτὲ δὲ ἀνάπαλίν φησιν.

Parmenides ap. Clem. Strom. V 732 P. 101 B

133 *Εἴσῃ δ' αἰθερίην τε φύσιν τά τ' ἐν αἰθέρι πάντα*
caelestia *σήματα καὶ καθαρῆς εὐαγέος ἠελίοιο*
135 *λαμπάδος ἔργ' ἀίδηλα καὶ ὁππόθεν ἐξεγένοντο,*
ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης
καὶ φύσιν. εἰδήσεις τε καὶ οὐρανὸν ἀμφὶς ἔχοντα,
ἔνθεν ἔφυ τε καὶ ὥς μιν ἄγουσ' ἐπέδησεν Ἀνάγκη
πείρατ' ἔχειν ἄστρων.

Parmenides ap. Simplic. de Caelo 137. 101 C

140 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη* 129

N. 101. vs. 126. Cod. *πύηντο* vel *πάηντο.* Stein *ἔφυεν.* Karsten *ποίηντο.* Diels *πλῆντο.* Bergk *πλῆνται.* Cod. *ἀκρήτοις* vel *ἀκρίτοις,* corr. Stein. vs. 129—131 hic quoque supplevimus, ut sunt ap. Simpl. 7 v. 31, 13 D. versus 127—131 continui. — 129. cod. *πάντα.* Stein *πᾶσιν.* Mullach *πάντῃ.* 130. *μιγῆν, τό τ'* Bergk 1864. *μιγῆναι ἐναντία τ' αὖθις* Preller.

αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ Ὄλυμπος
ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡρμήθησαν
γίγνεσθαι [e].

101 D Stob. Ecl. I 482. *Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ· μικτὰς δὲ ἄλλας ἐκ φωτὸς καὶ σκότους μεταξὺ τούτων· καὶ τὸ περιέχον* [f] *δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν, ὑφ' ᾧ πυρώδης στεφάνη· καὶ τὸ μεσαίτατον πασῶν περὶ ὃ πάλιν πυρώδης. τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἅπασιν αἰτίαν* [1] *πάσης κινήσεως καὶ γενέσεως* [2] *ὑπάρχειν, ἥντινα καὶ δαίμονα* [g] *κυβερνῆτιν καὶ κληδοῦχον ἐπονομάζει, δίκην τε καὶ ἀνάγκην.* circuli

a. Ex orbibus circulisve putat universum compositum, *στεφάνας* quas dicit. Hoc nomen est supplendum; plura docet Stobaeus **RP** 101 D.

b. Id ne ad mixtos tantum orbes referamus (ut Stob. fecit l. c. **RP** 101 D *τῶν συμμιγῶν τὴν μεσαιτάτην*) cavet Simpl. Phys. 8 r. 34, 14 D: *τὴν στοιχειώδη ἀντίθεσιν* (Empedocles) *ὡς καὶ Παρμενίδης ἐθεάσατο καὶ ποιητικὸν αἴτιον ἐκεῖνος μὲν ἓν κοινόν, τὴν ἐν μέσῳ πάντων ἱδρυμένην καὶ πάσης γενέσεως αἰτίαν δαίμονα, τίθησιν, οὗτος δὲ καὶ ἐν τοῖς ποιητικοῖς αἰτίοις τὴν ἀντίθεσιν ἐθεάσατο.* Cf. Iambl. Theol. Arithm. 8. *ἐοίκασι δὲ κατά γε ταῦτα κατηκολουθηκέναι τοῖς Πυθαγορείοις οἵ τε περὶ Ἐμπεδοκλέα καὶ Παρμενίδην . . . φάμενοι τὴν μοναδικὴν φύσιν Ἑστίας τρόπον ἐν μέσῳ ἱδρῦσθαι.*

c. Quare non mirum quod Plutarchus Amator. 13 eam *Ἀφροδίτην* appellat.

d. De Amore Parmenideo Arist. Met. I 4. 984 b 25. *κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν πρώτιστον μέν, φησίν, ἔρωτα θεῶν μητίσατο πάντων.* Cf. Plat. Symp. 178 B. Generati sunt deinceps ceteri dei, de quibus more antiquiorum poetarum *παλαιὰ πράγματα* narravit, v. Plat. Symp. 195 C. Cic. D. Nat. I 11 **RP** 101 a.

e. Horum fragmentorum (133—139 et 140—143) quia utrumque fere eodem in argumento versetur, Stein p. 797 demonstrare ingreditur, a Clemente falsum auctoris nomen traditum, Parmenidem pro Empedocle nominatum esse. Sed enim plane ignoramus qui fuerit utroque loco sententiarum conexus, unde ea fragmenta abrupta sunt. Quid, si posterius illud interrogantis fuit poetae, id autem, quod prius numerari solet, deae respondentis?

---

1) Cod. *ἀπάσαις τε καί.* Davis *ἀπάσαις τοκέα* (sic Diels). Krische *ἀπάσαις αἰτίαν* (sic Wachsmuth). Stein *ἅπασι τοκέα.* Zeller *ἀρχὴν τόκου τε καί.* 2) An *τὴν μεσαιτάτην αἰτίαν ἅπασι τόκου τε καὶ πάσης κινήσεως καὶ γεννήσεως?* Cf. vs. 129.

f. De hoc Stob. l. bene meruit Krische, *Forschungen*, 97—116. Extremus orbis, solidus ille et qui omnia complectitur, certe est ἔσχατος Ὄλυμπος, v. 141. Subter eum est orbis igneus, caelum stellatum. Medius orbis, solidus ipse quoque, terram significat, ut ait Diog. IX 21: *πρῶτος δ' οὗτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ καὶ ἐν μέσῳ κεῖσθαι.* Qui circum hunc est orbis igneus, aer videtur intellegendus esse.

g. Cum dea genetrice confusae sunt, quae praeterea per hoc carmen deae minores commemorantur; ut vs. 14 *δίκη κληδοῦχος*, 138 *ἀνάγκη*. Omnia vero turbat Cic. D. Nat. I 11. Dox. 534: *Nam Parmenides quidem commenticium quiddam coronae simile efficit* (*στεφάνην* *appellat*), *continente ardore lucis orbem, qui cingat caelum, quem appellat deum; in quo neque figuram divinam neque sensum quisquam suspicari potest, multaque eiusdem modi monstra; quippe qui bellum, qui discordiam, qui cupiditatem ceteraque generis eiusdem ad deum revocet.*

hominum generatio — Diog. IX 22. Dox. 482. *Γένεσίν τε ἀνθρώπων ἐξ ἰλύος* 102 A
πρῶτον γενέσθαι. [a]

unde pendeat cogitatio — Arist. Met. III 5. 1009 [b] 17. *Ἐμπεδοκλῆς μεταβάλλοντας* 102 B
τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν· — — 21. *καὶ Παρμενίδης δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον·*

146 *Ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσις μελέων πολυκάμπτων,* 149
τὼς νόος ἀνθρώποισι παρέστηκεν· τὸ γὰρ αὐτὸ
ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα. [b]

de sensibus — Theophr. de Sens. 3. Dox. 499. *Παρμενίδης μὲν γὰρ ὅλως* 102 C
οὐδὲν ἀφώρικεν (sc. *περὶ αἰσθήσεων*), *ἀλλὰ μόνον ὅτι δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρῃ τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἄλλην γίνεσθαι τὴν διάνοιαν, βελτίω δὲ καὶ καθαρωτέραν τὴν διὰ τὸ θερμόν· οὐ μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρίας· ὡς γὰρ ἑκάστοτε — φησίν — ἔχειν κρᾶσιν μελέων πολυπλάγκτων* [1] cet. 4. *τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν ὡς ταὐτὸ λέγει· διὸ καὶ τὴν μνήμην καὶ τὴν λήθην ἀπὸ τούτων* [c] *γίνεσθαι διὰ τῆς κράσεως. ἂν δ' ἰσάζωσι τῇ μίξει, πότερον ἔσται φρονεῖν ἢ οὔ, καὶ τίς ἡ*

N. 102. vs. 146. *ἑκάστοτ'* cod. plur., *ἕκαστος* vulg., *κρᾶσιν* cod. — Apud. Theophr. primus versus pendet e. v. *φησίν*. Ibidem *κρᾶσις* Stephanus. In vs. 147 *παρίσταται* cod., corr. e Theophr.

1) sequuntur reliqui 3 vs., ut supra editi sunt.

διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῷ ἐναντίῳ καθ᾽ αὑτὸ ποιεῖ τὴν αἴσθησιν φανερόν, ἐν οἷς φησι τὸν νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰσθάνεσθαι διὰ τὴν ἔκλειψιν τοῦ πυρός, ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι, καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν [d].

a. E Theophrasto hausta. Censorinus Di. Nat. 4, 8 tradit de hominum generatione Parmenidi similem fuisse opinionem atque Empedocli (**RP** 137). Alio loco Censorin. 6, 5. Dox. 191. *inter se certare feminas et mares, et penes utrum victoria sit, eius habitum referri auctor est Parmenides.* Versus, qui huc pertinent, latine conversos servavit Caelius Aurelianus de Morb. Chron. IV 9. p. 545 Wetst. *Parmenides in libris quos de natura scripsit eventu inquit conceptionis molles aliquando seu subactos homines generari . . . .*

(Karsten) 150 femina virque simul Veneris cum germina miscent, 143
unius in formam[1] diverso ex sanguine virtus
temperiem servans bene condita corpora fingit. 145
at si virtutes permixto semine pugnent
nec faciant unam permixto in corpore dirae [?],
155 nascentem gemino vexabunt semine sexum.

Vult enim seminum praeter materias esse virtutes quae si se ita miscuerint ut eiusdem corporis faciant unam, congruam sexui generent voluntatem; si autem permixto semine corporeo virtutes separatae permanserint, utriusque veneris natos appetentia sequatur.

b. E temperie corporis constituitur cognitionis natura. Quod praevalet, est cogitatio, Theophr. l. c.: *δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις.* Alii id quo compleatur et conficiatur corpus (*τὸ ἔμπλεων,* cf. 80 et 124), alii plus vel plurimum vel potentius significari putant.

c. Non *τῶν στοιχείων* sed *ἀπὸ τοῦ αἰσθάνεσθαι καὶ τοῦ φρονεῖν.*

d. In fine partis alterius hos fuisse versus testatur Simpl. de Cael. 509 b. *παραδοὺς δὲ τὴν τῶν αἰσθητῶν διακόσμησιν ἐπήγαγε πάλιν·*

151 *οὕτω τοι κατὰ δόξαν ἔφυν τάδε νῦν τε ἔασι*
καὶ μετέπειτ᾽ ἀπὸ τοῦδε τελευτήσουσι τραφέντα·
τοῖς δ᾽ ὄνομ᾽ ἄνθρωποι κατέθεντ᾽ ἐπίσημον ἑκάστῳ.

---

1) Sic Diels Doxogr. 193[1]. Tradita: venis informans.

Zeno.

vita Diog. IX 25. *Ζήνων Ἐλεάτης. τοῦτον Ἀπολλόδωρός φησιν ἐν Χρονικοῖς φύσει μὲν Τελευταγόρου, θέσει δὲ Παρμενίδου* [a]. — *διακήκοε Παρμενίδου καὶ γέγονεν αὐτοῦ παιδικά.* — *φησὶ δὲ Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς* [b], *ὥσπερ Ἐμπεδοκλέα ῥητορικῆς.* 26. *γέγονε δὲ ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ* [c]. *φέρεται γοῦν αὐτοῦ βιβλία* [d] *πολλῆς συνέσεως* [e] *γέμοντα* [f]. 103

aetas **a.** De aetate Plat. Parm. 127 B, **RP** 91. Consentit fere (sed dubium an nulla propria aut nova auctoritate) Diog. IX 29 *ἤκμαζε δ' οὗτος κατὰ τὴν ἐνάτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα.* Nimirum aequum videbatur decies quaternis annis discipulum minorem facere quam magistrum; v. Diels, Mus. Rhen. XXXI 35. Et hac ratione inducta minus iam credibile erat, Zenonem Parmenidi in deliciis fuisse, quod a Platone relatum nonnullis vehementer displicuerat, cf. Athen. XI 505 F. Ipsam adoptionem eos ad avertendam talem suspicionem commentos esse conicit Z. I⁴ 535 [1], cum insuper Platonicum illud *πατρὸς Παρμενίδου* Soph. 241 D in hanc sententiam interpretati sint.

b. Item Diog. VIII 57 et Sext. Math. VII 7. At illud dubia auctoritate Diog. III 48. *διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην,* nam statim addit Aristotelem aliter tradidisse. Nihil certius de forma libri indicat Arist. El. Soph. 10. 170ᵇ 22. *οἷον ἴσως τὸ ὂν ἢ τὸ ἓν πολλὰ σημαίνει, ἀλλὰ καὶ ὁ ἀποκρινόμενος καὶ ὁ ἐρωτῶν Ζήνων ἓν οἰόμενος εἶναι ἠρώτησε.*

c. Bene meritus est de legibus patriae, v. Strab. VI 252 **RP** 91 c. Libertatem civium contra tyrannum defendere conatus, cum deprehensus esset, summam inter cruciatus constantiam praebuit. Sed variat fama actae rei et memoria nominum; v. Diod. Sic. Exc. Vales. 557; Plut. adv. Colot. 32; Diog. IX 26. 27; Cousin *nouveaux fragments philosophiques* p. 107.

liber eius **d.** Plures nominat Suidas ad v. *Ζήνων: ἔριδες, ἐξήγησις Ἐμπεδοκλέους, πρὸς τοὺς φιλοσόφους, περὶ φύσεως.* De uno ex iis (si non fuit



unicus) Zenonem ipsum disputantem facit Plat. Parm. 128 C. Ἔστι δὲ τό γε ἀληθὲς βοήθειά τις ταῦτα τὰ γράμματα τῷ Παρμενίδου λόγῳ πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς, εἰ ἕν ἐστι, πολλὰ καὶ γελοῖα συμβαίνει πάσχειν τῷ λόγῳ καὶ ἐναντία αὐτῷ. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς τοὺς τὰ πολλὰ λέγοντας καὶ ἀνταποδίδωσι ταὐτὰ καὶ πλείω, τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, ἡ εἰ πολλά ἐστιν ἢ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. διὰ τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν, ὥστε οὐδὲ βουλεύσασθαι ἐξεγένετο, εἴτ᾽ ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς εἴτε μή.

e. Argumenta tractata significat Plat. Phaedr. 261 D. τὸν οὖν Ἐλεατικὸν Παλαμήδην λέγοντα οὐκ ἴσμεν τέχνῃ, ὥστε φαίνεσθαι τοῖς ἀκούουσι τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλά, μένοντά τε αὖ καὶ φερόμενα; Plut. Pericl. 4: διήκουσε δὲ Περικλῆς καὶ Ζήνωνος τοῦ Ἐλεάτου, πραγματευομένου περὶ φύσιν ὡς Παρμενίδης, ἐλεγκτικὴν δέ τινα καὶ δι᾽ ἐναντιολογίας εἰς ἀπορίαν κατακλείουσαν ἐξασκήσαντος ἕξιν. ὥσπερ καὶ Τίμων ὁ Φλιάσιος εἴρηκε διὰ τούτων· ratio disputandi

ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνὸν
Ζήνωνος πάντων ἐπιλήπτορος.

Quos Timonis versiculos hi excipiunt, apud Diog. IX 25,

ἠδὲ Μελίσσου
πολλῶν φαντασμῶν ἐπάνω, παύρων γε μὲν εἴσω.

f. Scripserunt de eo Gerling, de Zenonis paralogismis motum spectantibus, Marburg. 1825. Ed. Wellmann, *Zenos Beweise gegen die Bewegung, Progr. Frankfurt a. O. 1870.* F. Schneider, in Philologi vol. XXXV, 1876, p. 612.

104 Simplic. Phys. 255 r. Διὰ τοῦτο λύει (Ἀριστοτέλης) καὶ τὸν Ζήνωνος τοῦ Ἐλεάτου λόγον, ὃν ἤρετο [a] Πρωταγόραν τὸν σοφιστήν. Εἰπὲ γάρ μοι, ἔφη, ὦ Πρωταγόρα, ἆρα ὁ εἷς κέγχρος καταπεσὼν ψόφον ποιεῖ ἢ τὸ μυριοστὸν τοῦ κέγχρου; τοῦ δὲ εἰπόντος μὴ ποιεῖν, Ὁ δὲ μέδιμνος, ἔφη, τῶν κέγχρων καταπεσὼν ποιεῖ ψόφον ἢ οὔ; τοῦ δὲ ψοφεῖν εἰπόντος τὸν μέδιμνον, Τί οὖν, ἔφη ὁ Ζήνων, οὐκ ἔστι λόγος τοῦ μεδίμνου τῶν κέγχρων πρὸς τὸν ἕνα καὶ τὸ μυριοστὸν τοῦ ἑνός; τοῦ δὲ φήσαντος εἶναι, Τί οὖν, ἔφη ὁ Ζήνων, οὐ καὶ τῶν ψόφων ἔσονται λόγοι πρὸς ἀλλήλους οἱ αὐτοί; ὡς γὰρ τὰ ψοφοῦντα, καὶ οἱ ψόφοι. τούτου δὲ οὕτως ἔχοντος, εἰ ὁ μέδιμνος τοῦ κέγχρου ψοφεῖ, ψοφήσει καὶ ὁ εἷς κέγχρος καὶ τὸ μυριοστὸν τοῦ κέγχρου. granum et acervus

a. Si non e libro Zenonis omnis haec argumentatio at ratio ipsa ex sententia eius hausta est. Testis Arist. Phys. VII 5. 250a 20. ὁ Ζήνωνος λόγος οὐκ ἀληθής, ὡς ψοφεῖ τῆς κέγχρου ὁτιοῦν μέρος cet.

redarguitur notio multitudinis Simplic. Phys. 30r. 139, 5 D. Ἐν μέντοι τῷ συγγράμματι 105 A
αὐτοῦ πολλὰ ἔχοντι ἐπιχειρήματα καθ᾽ ἕκαστον δείκνυσιν, ὅτι τῷ πολλὰ εἶναι λέγοντι συμβαίνει τὰ ἐναντία λέγειν· ὧν ἕν ἐστιν ἐπιχείρημα, ἐν ᾧ δείκνυσιν ὅτι, εἰ πολλά ἐστι, καὶ μεγάλα ἐστὶ καὶ μικρά· μεγάλα μὲν ὥστε ἄπειρα τὸ μέγεθος εἶναι, μικρὰ δὲ οὕτως ὥστε μηθὲν ἔχειν μέγεθος.

e parvitate infinita 139, 9. Ἐν δὴ τούτῳ δείκνυσιν ὅτι οὗ μήτε μέγεθος μήτε πάχος μήτε ὄγκος μηθείς ἐστιν, οὐδ᾽ ἂν εἴη τοῦτο. „εἰ γὰρ ἄλλῳ ὄντι, φησί, προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι. καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττόν ἐστι, μηδὲ αὖ προσγινομένου αὐξήσεται, δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν [a] ἦν οὐδὲ τὸ ἀπογενόμενον“. καὶ ταῦτα οὐχὶ τὸ ἓν ἀναιρῶν ὁ Ζήνων λέγει, ἀλλ᾽ ὅτι μέγεθος ἔχει ἕκαστον τῶν πολλῶν καὶ ἀπείρων, τῷ πρὸ τοῦ λαμβανομένου ἀεί τι εἶναι, διὰ τὴν ἐπ᾽ ἄπειρον τομήν· ὃ δείκνυσι προδείξας ὅτι οὐδὲν ἔχει μέγεθος ἐκ τοῦ ἕκαστον τῶν πολλῶν ἑαυτῷ ταὐτὸν εἶναι καὶ ἕν [b].

e bipartitione Simpl. Phys. 30 v. 140, 28 D. Πάλιν γὰρ δεικνὺς ὅτι, εἰ 105 B
πολλά ἐστι, τὰ αὐτὰ πεπερασμένα ἐστὶ καὶ ἄπειρα, γράφει ταῦτα κατὰ λέξιν ὁ Ζήνων· „Εἰ πολλά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα. εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστί, πεπερασμένα ἂν εἴη. εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστί, καὶ πάλιν ἐκείνων ἕτερα μεταξύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί.“ καὶ οὕτως μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομίας ἔδειξε [c].

e magnitudine infinita Simpl. Phys. 30 v. 140, 34 D. Τὸ δὲ κατὰ μέγεθος, πρό- 105 C
τερον κατὰ τὴν αὐτὴν ἐπιχείρησιν. προδείξας γὰρ ὅτι, εἰ μὴ ἔχοι μέγεθος τὸ ὄν, οὐδ᾽ ἂν εἴη, ἐπάγει· „Εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ πάχος, καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ περὶ τοῦ προύχοντος [d] ὁ αὐτὸς λόγος· καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τι. ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν· οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχατον ἔσται, οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται. οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα, μικρὰ μέν, ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δέ, ὥστε ἄπειρα εἶναι.“



a. Eudemus (*ἐν τοῖς Φυσικοῖς*) apud Simpl. Phys. 30ʳ. 138, 32 D. (et 21ʳ. 97, 12 D.) *καὶ Ζήνωνά φασι λέγειν, εἴ τις αὐτῷ τὸ ἓν ἀποδοίη τί ποτέ ἐστιν, ἕξειν τὰ ὄντα λέγειν. ἠπόρει δὲ ὡς ἔοικε διὰ τὸ τῶν μὲν αἰσθητῶν ἕκαστον κατηγορικῶς τε πολλὰ λέγεσθαι καὶ μερισμῷ, τὴν δὲ στιγμὴν μηθὲν τιθέναι· ὃ γὰρ μήτε προστιθέμενον αὔξει μήτε ἀφαιρούμενον μειοῖ οὐκ ᾤετο τῶν ὄντων εἶναι.* Postrema leguntur etiam ap. Arist. Met. III 4. 1001ᵇ 7. Quod argumentandi genus secus intellegentes nonnulli Unum a Zenone sublatum esse affirmant, velut Alex. Aphrod. ap. Simpl. 30ʳ; Seneca Ep. 88 extr.

b. Cohaerent haec cum loco tertio **RP** 105 C.

c. Arist. Phys. I 3. 187ᵃ 1. *ἔνιοι δ'* (atomicos dicit) *ἐνέδοσαν τοῖς λόγοις ἀμφοτέροις, τῷ μὲν ὅτι πάντα ἕν, — τῷ δὲ ἐκ τῆς διχοτομίας, ἄτομα ποιήσαντες μεγέθη.* Antea de Parmenide et Melisso disputaverat, Zenonem non diserte nominaverat. Unde factum, id quod Simpl. narrat 30ʳ. 139, 24 D. *Πορφύριος καὶ τὸν ἐκ τῆς διχοτομίας λόγον Παρμενίδου φησὶν εἶναι, ἓν τὸ ὂν ἐκ ταύτης πειρωμένου δεικνύναι.* Quod ille statim 140, 21 D. idoneis causis refutat.

d. Id quod praetentum alteri ab alio quodam illud disiungit. Z. I⁴ 543. Diels *ἀπέχειν* ad *μέγεθος*, *προέχειν* ad *πάχος* refert.

106 Simpl. Phys. 130ᵛ. 562, 3 D. *Ὁ Ζήνωνος λόγος ἀναιρεῖν ἐδόκει τὸ εἶναι τὸν τόπον ἐρωτῶν οὕτως· „Εἰ ἔστιν ὁ τόπος, ἔν τινι ἔσται· πᾶν γὰρ ὂν ἔν τινι· τὸ δὲ ἔν τινι καὶ ἐν τόπῳ. ἔσται ἄρα καὶ ὁ τόπος ἐν τόπῳ, καὶ τοῦτο ἐπ' ἄπειρον· οὐκ ἄρα ἔστιν ὁ τόπος* ᵃ." io spatii

a. Ar. Phys. IV 1. 209ᵃ 23. *ἡ γὰρ Ζήνωνος ἀπορία ζητεῖ τινα λόγον· εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, δῆλον ὅτι καὶ τοῦ τόπου τόπος ἔσται, καὶ τοῦτο εἰς ἄπειρον πρόεισιν.* IV 3. 210ᵇ 22. *ὃ δὲ Ζήνων ἠπόρει, ὅτι εἰ ἔστι τι ὁ τόπος, ἐν τίνι ἔσται, λύειν οὐ χαλεπόν· οὐδὲν γὰρ κωλύει ἐν ἄλλῳ μὲν εἶναι τὸν πρῶτον τόπον, μὴ μέντοι ὡς ἐν τόπῳ ἐκείνῳ, ἀλλ' ὥσπερ ἡ μὲν ὑγίεια ἐν θερμοῖς ὡς ἕξις, τὸ δὲ θερμὸν ἐν σώματι ὡς πάθος· ὥστ' οὐκ ἀνάγκη εἰς ἄπειρον ἰέναι.* Cf. Eudem. ap. Simpl. Phys. 131ʳ. 563, 18 D.

107 A Arist. Phys. VI 9. 239ᵇ 9. *Τέτταρες δ' εἰσὶ λόγοι περὶ κινήσεως Ζήνωνος οἱ παρέχοντες τὰς δυσκολίας τοῖς λύουσιν· πρῶτος μὲν ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος, περὶ οὗ διείλομεν ἐν τοῖς πρότερον* ᵃ *λόγοις.* notio movendi

107 B 239ᵇ 14. *Δεύτερος δ' ὁ καλούμενος Ἀχιλλεύς· ἔστι δ' οὗτος, ὅτι τὸ βραδύτερον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ* Achilles

τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον ὅθεν ὥρμησε τὸ φεῦγον, ὥστ' ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον [b].

sagitta 239 b 30. Τρίτος δ' ὁ νῦν ῥηθείς, ὅτι ἡ ὀϊστὸς φερομένη ἕστηκεν. συμβαίνει δὲ παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν [c]· μὴ διδομένου γὰρ τούτου οὐκ ἔσται ὁ συλλογισμός. 107 C

239 b 33. Τέταρτος δ' ὁ περὶ τῶν ἐν τῷ σταδίῳ κινουμένων ἴσων ὄγκων παρ' ἴσους, τῶν μὲν ἀπὸ τέλους τοῦ σταδίου, τῶν δ' ἀπὸ μέσου, ἴσῳ τάχει, ἐν ᾧ συμβαίνειν οἴεται ἴσον εἶναι χρόνον τῷ διπλασίῳ τὸν ἥμισυν. ἔστι δ' ὁ παραλογισμὸς ἐν τῷ τὸ μὲν παρὰ κινούμενον τὸ δὲ παρ' ἠρεμοῦν τὸ ἴσον μέγεθος ἀξιοῦν τῷ ἴσῳ τάχει τὸν ἴσον φέρεσθαι χρόνον [d]. 107 D

a. Ar. Phys. VI 2. 233 a 11. *μέγεθος ἅπαν ἐστὶ συνεχές· τὰς αὐτὰς γὰρ καὶ τὰς ἴσας διαιρέσεις ὁ χρόνος διαιρεῖται καὶ τὸ μέγεθος.* 233 a 21. *διὸ καὶ ὁ Ζήνωνος λόγος ψεῦδος λαμβάνει τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν ἢ ἅψασθαι τῶν ἀπείρων καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. διχῶς γὰρ λέγεται καὶ τὸ μῆκος καὶ ὁ χρόνος ἄπειρον, καὶ ὅλως πᾶν τὸ συνεχές, ἤτοι κατὰ διαίρεσιν ἢ τοῖς ἐσχάτοις. τῶν μὲν οὖν κατὰ ποσὸν ἀπείρων οὐκ ἐνδέχεται ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ, τῶν δὲ κατὰ διαίρεσιν ἐνδέχεται· καὶ γὰρ αὐτὸς ὁ χρόνος οὕτως ἄπειρος. ὥστε ἐν τῷ ἀπείρῳ καὶ οὐκ ἐν τῷ πεπερασμένῳ συμβαίνει διιέναι τὸ ἄπειρον, καὶ ἅπτεσθαι τῶν ἀπείρων τοῖς ἀπείροις, οὐ τοῖς πεπερασμένοις.* Cf. Schol. Arist. Phys. 407 b Br., ubi hoc exemplum adicitur: *εἰ γὰρ κινοῖτό τι ἐπὶ πηχυαίου μεγέθους ἐν μιᾷ ὥρᾳ, ἐπειδὴ ἐν παντὶ μεγέθει ἄπειρά ἐστι σημεῖα, ἀνάγκη πάντων ἅψασθαι τῶν σημείων τοῦ μεγέθους τὸ κινούμενον· διελεύσεται ἄρα τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, ὅπερ ἀδύνατον.*

Achilles b. Simpl. Phys. 237 r. *Ἀχιλλεὺς οὖν ὁ λόγος ἀπὸ τοῦ παραληφθέντος ἐν αὐτῷ Ἀχιλλέως ἐκλήθη, ὃν ἀδύνατόν φησιν ὁ λόγος τὴν χελώνην διώκοντα καταλαβεῖν.* Pergit Arist. Phys. VI 9. 239 b 17. *ἔστι δὲ καὶ οὗτος ὁ αὐτὸς λόγος τῷ διχοτομεῖν, διαφέρει δ' ἐν τῷ διαιρεῖν μὴ δίχα τὸ προσλαμβανόμενον μέγεθος.* 239 b 22. *ἐν ἀμφοτέροις γὰρ συμβαίνει μὴ ἀφικνεῖσθαι πρὸς τὸ πέρας διαιρουμένου πως τοῦ μεγέθους· ἀλλὰ πρόσκειται ἐν τούτῳ ὅτι οὐδὲ τὸ τάχιστον τετραγῳδημένον ἐν τῷ διώκειν τὸ βραδύτατον.*

sagitta c. Arist. Phys. VI 9. 239 b 5. *Ζήνων δὲ παραλογίζεται· εἰ γὰρ ἀεί, φησίν, ἠρεμεῖ πᾶν ἢ κινεῖται* [1], *ὅταν ᾖ κατὰ τὸ ἴσον, ἔστι δ' ἀεὶ τὸ*

---

1) *ἢ κινεῖται* eicit Zeller, *ᾗ κινεῖται* Gerling. His certe praetulerim *κεῖται.* Postea ⟨*κατὰ τὸ ἴσον*⟩ addit Zeller. Omnino malim sic resti-

φερόμενον ἐν τῷ νῦν <κατὰ τὸ ἴσον>, ἀκίνητον τὴν φερομένην εἶναι οἰστόν. τοῦτο δ' ἐστὶ ψεῦδος· οὐ γὰρ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν ἀδιαιρέτων, ὥσπερ οὐδ' ἄλλο μέγεθος οὐδέν. Satis verbose Simpl. Phys. 236 v. *Ὁ δὲ Ζήνωνος λόγος προλαβών, ὅτι πᾶν ὅταν ᾖ κατὰ τὸ ἴσον ἑαυτῷ ἢ κινεῖται* [?] *ἢ ἠρεμεῖ, καὶ ὅτι οὐδὲν ἐν τῷ νῦν κινεῖται, καὶ ὅτι τὸ φερόμενον ἀεὶ ἐν τῷ ἴσῳ αὐτῷ ἐστι καθ' ἕκαστον νῦν, ἐῴκει συλλογίζεσθαι οὕτως· τὸ φερόμενον βέλος ἐν παντὶ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ἐστιν, ὥστε καὶ ἐν παντὶ τῷ χρόνῳ· τὸ δὲ ἐν τῷ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ὂν οὐ κινεῖται. ἠρεμεῖ ἄρα, ἐπειδὴ μηδὲν ἐν τῷ νῦν κινεῖται, τὸ δὲ μὴ κινούμενον ἠρεμεῖ, ἐπειδὴ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ. τὸ ἄρα φερόμενον βέλος ἕως φέρεται ἠρεμεῖ κατὰ πάντα τὸν τῆς φορᾶς χρόνον.*

d. Simpl. Phys. 238r. *Ὁ μὲν οὖν λόγος — εὐηθέστατος —, ὥς φησιν Εὔδημος, διὰ τὸ προφανῆ τὸν παραλογισμὸν ἔχειν.* Optime hoc argumentum explicatur a Baylio, Dict. hist. crit. art., Zenon. lit. F. Z. I⁴ 549. De omnibus v. suo loco Ueberweg, *Syst. d. Logik.*

108 Diog. IX 29. *Ἀρέσκει δ' αὐτῷ τάδε· κόσμους* [a] *εἶναι κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ λαμβανόντων εἰς ἄλληλα τὴν μεταβολήν· γένεσίν τ' ἀνθρώπων ἐκ γῆς εἶναι καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων κατὰ μηδενὸς τούτων ἐπικράτησιν.* physica [?]

a. Quod Zeno plures mundos statuisse perhibetur, veri simile est nomen Eleatici philosophi cum Stoico esse confusum. Reliqua quamquam minus offendunt, tamen dubium an ipse physica non explicaverit. Idem cadit in Melissum, cf. Zeller I⁴. 537². 561. De eis, quae utrique apud Stob. Ecl. I 60 tribuuntur, v. RP 116.

---

tuere principium: *εἰ γὰρ ἀεὶ ἠρεμεῖ πᾶν ἢ κινεῖται* (propositio maior), *ἠρεμεῖ δέ, ὅταν ᾖ κατὰ τὸ ἴσον* (prima assumptio), *ἔστι δ' ἀεὶ* cet. Vitium Simplicio antiquius nec ab eo perspectum.

Melissus.

---

vita Diog. IX 24. *Μέλισσος Ἰθαγένους Σάμιος. οὗτος ἤκουσε*
Παρμενίδου[a]*· ἀλλὰ καὶ εἰς λόγους ἦλθεν Ἡρακλείτῳ*[a]*· ὅτε καὶ* 109
συνέστησεν[a] *αὐτὸν τοῖς Ἐφεσίοις ἀγνοοῦσι, καθάπερ Ἱπποκράτης*
Δημόκριτον Ἀβδηρίταις. γέγονε δὲ καὶ πολιτικὸς ἀνὴρ καὶ ἀπο-
δοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος· ὅθεν καὶ ναύαρχος[b] *αἱ-*
ρεθεὶς ἔτι καὶ μᾶλλον ἐθαυμάσθη ἢ[1] *διὰ τὴν οἰκείαν ἀρετήν*[c].
— — *φησὶ δ' Ἀπολλόδωρος ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρ-*
την καὶ ἰγδοηκοστὴν Ὀλυμπιάδα.

a. De his merito dubitaveris.

b. Samii ol. 84, 4 = 441 Atheniensium classem vicerunt. Ducem fuisse Melissum testatur Aristoteles ap. Plut. Pericl. 26. *Μέλισσος ὁ Ἰθαγένους ἀνὴρ φιλόσοφος στρατηγῶν τότε τῆς Σάμου* cet. Cf. Plut. Them. 2. adv. Colot. 32 p. 1126 B. Suid. s. v. *Μέλιτος*. Congruit Apollodori computatio, v. Clinton F. H. ann. 440. Cf. Diels, Mus. Rhen. XXXI 40.

liber **c.** Opus quod reliquit unicum *περὶ τοῦ ὄντος* inscriptum fuisse ait Suid. l. c., *περὶ φύσεως* Galen. ad Hippocr. d. Natur. Hom. I p. 5; de Elem. sec. Hippocr. I 9, p. 487 Kuehn. *τὰ γὰρ τῶν παλαιῶν ἅπαντα περὶ φύσεως ἐπιγέγραπται, τὰ Μελίσσου, τὰ Παρμενίδου, τὰ Ἐμπεδοκλέους, Ἀλκμαίωνός τε καὶ Γοργίου, καὶ Προδίκου, καὶ τῶν ἄλλων ἁπάντων.* Coniungit utrumque Simpl. Phys. 15 v. 70, 16 D. *Μέλ. καὶ τὴν ἐπιγραφὴν οὕτως ἐποιήσατο τοῦ συγγράμματος περὶ φύσεως ἢ περὶ τοῦ ὄντος.* Simplicium eundem, non Alexandrum Aphrod. et Nicol. Damasc., antestari debuit, cum latine titulum exprimit *de ente et natura*, Bessarion in Calumn. Platon. II 11. Ionica dialecto scriptum erat; de partibus v. **RP** 113 a. Reliquias Simplicio maximam partem debemus. Tractavit eas Brandis Comment. Eleat. III, p. 186, Mullach Arist. de Melisso, X., G. p. 80. FPG. I 259. Libri eius, qui olim inscribebatur de Xenophane Zenone Gorgia, cap. I et II ad Melissum pertinere evicit Spalding, Vindiciae Philosophorum Megaric., Berl. 1793. Cf. Brandis l. c. Kern, *Festschrift zur Stettiner Philologenversammlung.*

τὸ ὄν Simpl. Phys. 22 v. 103, 13 D. *Τοῖς γὰρ τῶν φυσικῶν* 110
ἀξιώμασι χρησάμενος ὁ Μέλισσος περὶ γενέσεως καὶ φθορᾶς

---

1) ἢ addidi.

ἄρχεται τοῦ συγγράμματος οὕτως· [fr. 1] „Εἰ μὲν μηδὲν ἔστι, περὶ τούτου τί ἂν λέγοιτο ὡς ἐόντος τινός; εἰ δέ τι ἔστιν, ἤτοι γενόμενόν ἐστιν ἢ αἰεὶ ἐόν. ἀλλ' εἰ γενόμενον, ἤτοι ἐξ ἐόντος ἢ ἐξ οὐκ ἐόντος· ἀλλ' οὔτε ἐκ μὴ ἐόντος οἷόν τε γενέσθαι τι (οὔτε ἄλλο μὲν οὐδὲν ἐόν, πολλῷ δὲ μᾶλλον τὸ ἁπλῶς ἐόν) οὔτε ἐκ τοῦ ἐόντος· εἴη γὰρ ἂν οὕτως καὶ οὐ γίνοιτο. οὐκ ἄρα γινόμενόν ἐστι τὸ ἐόν. αἰεὶ ἐὸν ἄρα ἐστίν. Οὐδὲ φθαρήσεται τὸ ἐόν. οὔτε γὰρ ἐς τὸ μὴ ἐὸν οἷόν τε τὸ ἐὸν μεταβάλλειν (συγχωρεῖται γὰρ καὶ τοῦτο ὑπὸ τῶν φυσικῶν) οὔτε ἐς ἐόν. μένοι γὰρ ἂν πάλιν οὕτω γε καὶ οὐ φθείροιτο. οὔτε ἄρα γέγονε τὸ ἐόν, οὔτε φθαρήσεται· αἰεὶ ἄρα ἦν τε καὶ ἔσται [a]." semper fuit semper erit

a. Simile Melissi fr. 6 ap. Simpl. 34v. 162, 24 D. αἰεὶ ἦν ὅ τι ἦν καὶ αἰεὶ ἔσται. εἰ γὰρ ἐγένετο, ἀναγκαῖόν ἐστι πρὶν γενέσθαι εἶναι μηδέν. εἰ τοίνυν τύχοι [1] μηδὲν ἐόν, οὐδαμὰ ἂν γένοιτο οὐδὲν ἐκ μηδενός. Priorem argumenti partem amplificat Ps.-Aristoteles, de Melisso X. G. 1. 974a 2. ἀίδιον εἶναί φησιν εἴ τι ἔστιν, εἴπερ μὴ ἐνδέχεσθαι γενέσθαι μηδὲν ἐκ μηδενός. εἴτε γὰρ ἅπαντα γέγονεν εἴτε μὴ πάντα, δεῖν ἀμφοτέρως ἐξ οὐδενὸς γενέσθαι ἂν τὰ οὕτως γιγνόμενα. ἁπάντων τε γὰρ γιγνομένων οὐδὲν προϋπάρχειν. εἰ δ' ὄντων τινῶν ἀεὶ ἕτερα προσγίγνοιτο, πλέον ἂν καὶ μεῖζον τὸ ἓν [3] γεγονέναι· ᾧ δὴ πλέον καὶ μεῖζον, τοῦτο γενέσθαι ἂν ἐξ οὐδενός. οὐ [4] γὰρ ἐν ἐλάττονι τὸ πλέον, οὐδ' ἐν τῷ μικροτέρῳ τὸ μεῖζον ὑπάρχειν. Cf. Brandis, Comm. El 186.

111 Melissus ap. Simpl. Phys. 22v. 103, 24 D. Ἀλλ' ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, τὸ δ' ἐὸν οὐ γέγονεν, οὐκ ἂν ἔχοι ἀρχήν. ἔτι δὲ τὸ φθειρόμενον τελευτὴν ἔχει. εἰ δέ τί ἐστιν ἄφθαρτον, τελευτὴν οὐκ ἔχει. τὸ ἐὸν ἄρα ἄφθαρτον ἐὸν τελευτὴν οὐκ ἔχει. τὸ δὲ μήτε ἀρχὴν ἔχον μήτε τελευτὴν ἄπειρον τυγχάνει ἐόν· ἄπειρον ἄρα τὸ ἐόν [a]. infinitum

Melissi fr. 8 ap. Simpl. Phys. 24r. 109, 31 D. Ἀλλ' ὥσπερ ἔστιν αἰεί, οὕτω καὶ τὸ μέγαθος ἄπειρον αἰεὶ χρὴ εἶναι. Cf. Ps.-Arist. de Melisso X. G. 974a 9. Tempus et spatium confundi apparet. Quare ille (una cum Xenophane) vituperatur ab Aristotele, Met. I 5. 986b 26, ὡς ὄντες μικρὸν ἀγροικότεροι, v. RP 84. Cf. Phys. I 3. 186a 7. ἀμφότεροι γὰρ ἐριστικῶς συλλογίζονται, καὶ Μέλισσος καὶ Παρμενίδης· καὶ γὰρ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσιν αὐτῶν οἱ λόγοι· μᾶλλον δ' ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν, ἀλλ' ἑνὸς ἀτόπου δοθέντος τἆλλα

---

1) Cod. E εἰ τύχοι νῦν μηδὲν ἦν. „Latere videtur ὅτε τοίνυν": Diels, cf. RP p. 108, 14. — 2) τὰ οὕτως mea c. (οὕτως „ut isti volunt"), cod. αὐτῶν. τὰ desideravit Brandis Comm. Eleat. 187. — 3) Brandis ὄν. — 4) Tradita: τῷ γὰρ ἐλάττονι τὸ πλέον.

συμβαίνει· τοῦτο δ' οὐθὲν χαλεπόν. ὅτι μὲν οὖν παραλογίζεται Μέλισσος, δῆλον· οἴεται γὰρ εἰληφέναι, εἰ τὸ γενόμενον ἔχει ἀρχὴν ἅπαν, ὅτι καὶ τὸ μὴ γενόμενον οὐκ ἔχει. (Rectene sententiarum ordinem hic vituperator aut acceperit aut exprimat, dubium; v. Z. I[4] 554[3]). εἶτα καὶ τοῦτο ἄτοπον, τὸ παντὸς οἴεσθαι εἶναι ἀρχὴν τοῦ πράγματος καὶ μὴ τοῦ χρόνου, καὶ γενέσεως μὴ τῆς ἁπλῆς ἀλλὰ καὶ ἀλλοιώσεως, ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς. Planius eadem Simpl. 23[v]. 109, 7 D. Aristot. Soph. El. 6. 168[b] 35. ἢ πάλιν, ὡς ἐν τῷ Μελίσσου λόγῳ, τὸ αὐτὸ εἶναι λαμβάνει τὸ γεγονέναι καὶ ἀρχὴν ἔχειν, ἢ τὸ ἴσοις γίνεσθαι καὶ ταὐτὸ μέγεθος λαμβάνειν. ὅτι γὰρ τὸ γεγονὸς ἔχει ἀρχήν, καὶ τὸ ἔχον ἀρχὴν γεγονέναι ἀξιοῖ, ὡς ἄμφω ταὐτὰ ὄντα τῷ ἀρχὴν ἔχειν, τό τε γεγονὸς καὶ τὸ πεπερασμένον. Credas Melissum, sentientem rem illis non absolutam, diversa genera conectere voluisse extremis verbis fr. 7, ap. Simpl. Phys. 23[v]. 109, 20 D. ὅτε τοίνυν οὐκ ἐγένετο, ἔστι δέ, αἰεὶ ἦν καὶ αἰεὶ ἔσται, καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτήν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν ποτε γινόμενον) καὶ τελευτήν (ἐτελεύτησε γὰρ ἄν ποτε γινόμενον)· εἰ δὲ μήτε ἤρξατο μήτε ἐτελεύτησεν αἰεί τε ἦν καὶ αἰεὶ ἔσται, οὐκ ἔχει ἀρχὴν οὐδὲ τελευτήν· οὐ γὰρ αἰεὶ εἶναι ἀνυστὸν ὅ τι μὴ πᾶν ἐστι.

unum Melissus ap. Simpl. Phys. 22[v]. 103, 28 D. Εἰ δὲ ἄπειρον, ἕν. εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πείρατα [a] πρὸς ἄλληλα. ἄπειρον δὲ τὸ ἐόν· οὐκ ἄρα πλείω τὰ ἐόντα· ἓν ἄρα τὸ ἐόν. 112

a. Melissi fr. 10 ap. Simpl. Phys. 24[r]. 110, 5 D. ἀπὸ δὲ τοῦ ἀπείρου τὸ ἓν συνελογίσατο ἐκ τοῦ· εἰ μὴ ἓν εἴη, περανεῖ πρὸς ἄλλο. Ps.-Arist. de Melisso X. G. 974[a] 13 addit ἓν δὲ ὂν ὅμοιον εἶναι πάντῃ· εἰ γὰρ ἀνόμοιον, πλείω ὄντα οὐκ ἂν ἔτι ἓν εἶναι, ἀλλὰ πολλά. His et fr. 15, ap. Simpl. 24[r]. 109, 33 D. εἰ διῄρηται τὸ ἐόν, κινεῖται· κινεόμενον δὲ οὐκ ἂν εἴη ἅμα iam ad proximum argumentum quod est de motu transducimur.

i ιotum Melissi fr. 4, ap. Simpl. Phys. 22[v]. 103, 30 D. Ἀλλὰ μὴν εἰ ἕν, καὶ ἀκίνητον. τὸ γὰρ ἓν ὁμοῖον αἰεὶ ἑωυτῷ· τὸ δὲ ὁμοῖον οὔτ' ἂν ἀπολλύοιτο, οὔτ' ἂν μέζον γίνοιτο, οὔτε μετακοσμέοιτο· οὔτε ἀλγεῖ, οὔτε ἀνιᾶται [1]. εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἓν εἴη. τὸ γὰρ ἡντιναοῦν κίνησιν κινεόμενον ἔκ τινος καὶ ἐς ἕτερόν τι μεταβάλλει. οὐδὲν δὲ ἦν ἕτερον παρὰ τὸ ἐόν· οὐκ ἄρα τοῦτο κινήσεται [a]. 113

nihil vacui Fr. 5 ap. Simpl. 104, 4 D. Καὶ κατ' ἄλλον δὲ τρόπον οὐδὲν

---

1) Mullach ἀλγέοι et ἀνιῷτο.

κενεόν ἐστι τοῦ ἐόντος. τὸ γὰρ κενεὸν οὐδέν ἐστιν. οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐ κινεῖται οὖν τὸ ἐόν· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, κενεοῦ μὴ ἐόντος. ἀλλ' οὐδὲ ἐς ἑωυτὸ συσταλῆναι δυνατόν. εἴη γὰρ ἂν οὕτως ἀραιότερον ἑωυτοῦ καὶ πυκνότερον. τοῦτο δὲ ἀδύνατον. τὸ γὰρ ἀραιὸν ἀδύνατον ὁμοίως πλῆρες εἶναι τῷ πυκνῷ. ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ· τὸ δὲ κενεὸν οὐκ ἔστιν. εἰ δὲ πλῆρές ἐστι τὸ ἐὸν ἢ μή, κρίνειν χρὴ τῷ ἐσδέχεσθαί τι αὐτὸ ἄλλο ἢ μή· εἰ γὰρ μὴ ἐσδέχεται, πλῆρες. εἰ δὲ ἐσδέχοιτό τι, οὐ πλῆρες· εἰ οὖν μὴ ἔστι κενεόν, ἀνάγκη πλῆρες εἶναι· εἰ δὲ τοῦτο, μὴ κινεῖσθαι, οὐχ ὅτι μὴ δυνατὸν διὰ πλήρεος κινεῖσθαι, ὡς ἐπὶ τῶν σωμάτων λέγομεν, ἀλλ' ὅτι πᾶν τὸ ἐὸν οὔτε ἐς ἐὸν δύναται κινεῖσθαι (οὐ γὰρ ἔστι τι παρ' αὐτό) οὔτε ἐς τὸ μὴ ἐόν· οὐ γὰρ ἔστι τὸ μὴ ἐόν [b].

a. Eadem in brevius contracta ap. Ps.-Arist. de Melisso X. G. 974 [a] 14. *ἀΐδιον δὲ ὂν ἄπειρόν τε καὶ ὅμοιον πάντῃ, ἀκίνητον εἶναι τὸ ἕν· οὐ γὰρ ἂν κινηθῆναι μὴ εἴς τι ὑποχωρῆσαν· ὑποχωρῆσαι δὲ ἀνάγκην εἶναι ἤτοι εἰς πλῆρες ἰὸν ἢ εἰς κενόν. τούτων δὲ τὸ μὲν οὐκ ἂν δέξασθαι, τὸ πλῆρες, τὸ δὲ οὐκ εἶναι οὐδέν, τὸ κενόν.* De vacui notione Teichmüller, *Stud. z. Gesch. d. Begr.* 553. Ex fr. 4 et 5 aliisque similibus, quae fuerit totius libri dispositio, conici potest. Etenim praecipuis argumentis in ingressu operis ad compendium propositis, deinde singula capita copiosius pertractavit, addita simul, id quod ex libro Pseudaristoteleo colligas, dissentientium refutatione. Ex accuratiore argumentorum explicatione haec adicere non alienum erit, quae sunt ap. Simpl. Phys. 24 [r]. 111, 19 D.

Fr. 11. *Οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον πᾶν. καὶ οὔτ' ἂν ἀπόλοιτο οὔτε μέζον γίνοιτο, οὔτε μετακοσμέοιτο· οὔτε ἀλγεῖ οὔτε ἀνιᾶται. εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἔτι ἓν εἴη. εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὅμοιον εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι· εἰ τοίνυν τριχὶ μιῇ μυρίοισιν* [1] *ἔτεσιν ἑτεροῖον γίνοιτο τὸ πᾶν, ὀλεῖσθαι* [2] *ἂν ἐν τῷ παντὶ χρόνῳ.*

Fr. 12. *Ἀλλ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γίνεται. ὅτε δὲ μήτε προσγίνεται μηδὲν μήτε ἀπόλλυται μήτε ἑτεροιοῦται, πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων τι εἴη; εἰ μὲν γάρ τι ἐγίνετο ἑτεροῖον, ἤδη ἂν καὶ μετακοσμηθείη.*

Fr. 13. *Οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο αἰεὶ εἶναι χρῆμα ἀλγέον, οὐδὲ ἔχειν* [3] *ἴσην δύναμιν τῷ ὑγιέϊ· οὔτ' ἂν ὅμοιον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινο-*

---

1) Brandis *εἰ τοίνυν τρισμυρίοισι.* Explicat Kern. — 2) Libri *ὀλεῖται* Preller *ὀλέοιτο.* — 3) Vulg. *οὐδ' ἔχει.* Preller *οὐδ' ἂν ἔχοι.*

μένου, κοὐκ ἂν ἔτι ὁμοῖον εἴη. οὐδ' ἂν τὸ ὑγιὲς ἀλγῆσαι δύναιτο· ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γένοιτο. καὶ περὶ τοῦ ἀνιᾶσθαι ωὑτὸς λόγος τῷ ἀλγέοντι.

b. Admodum simile fr. 14, Simpl. Phys. 24ʳ. 112, 6—15 D.

non est corporale

Melissus ap. Simpl. Phys. 24ʳ. 110, 1 D. et 19ʳ. 87, 6 D. 114
Εἰ μὲν ἐὸν ἔστι [1], *δεῖ αὐτὸ ἓν εἶναι· ἓν δὲ ἐόν, δεῖ αὐτὸ σῶμα* [a] *μὴ ἔχειν. εἰ δὲ ἔχοι πάχος, ἔχοι ἂν μόρια* [b] *καὶ οὐκέτι ἓν εἴη.*

a. Nihilominus Aristoteles Met. I 5, **RP** 84, Melisso unitatem materialem *τὸ κατὰ τὴν ὕλην ἕν*, Parmenidi *τὸ κατὰ τὸν λόγον* tribuit. Sed latius patere notionem *ὕλην* quam *σῶμα*, monet Zeller I⁴. 556⁴.

b. Cf. Ps.-Arist. de Melisso X. G. 2. 976ᵃ.

tollit multitudinem

Melissi fr. 17, ap. Simpl. de Caelo 137ʳ. (Schol. Aristot. 509ᵇ.) 115
cf. Aristocl. ap. Eus. Pr. Ev. XIV 17. *Μέγιστον μὲν ὦν σημήιον οὗτος ὁ λόγος, ὅτι ἓν μόνον ἔστι. ἀτὰρ καὶ τάδε σημήια. εἰ γὰρ ἦν πολλά, τοιαῦτα χρῆν* [2] *αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι. εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ σίδηρος καὶ χρυσὸς καὶ πῦρ, καὶ τὸ μὲν ζωὸν* [3] *τὸ δὲ τεθνηκός, καὶ μέλαν καὶ λευκὸν καὶ τὰ ἄλλα πάντα ὅσσα οἱ ἄνθρωποί φασιν εἶναι ἀληθέα* [4], *εἰ δὴ ταῦτα ἔστι καὶ* [5] *ἡμέες ὀρθῶς ὁρέομεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν* [6], *καὶ μὴ μεταπίπτειν μηδὲ γίνεσθαι ἑτεροῖον* [7], *ἀλλ' αἰεὶ εἶναι ἕκαστον οἷόν περ ἔστιν* [7]. *νῦν δέ φαμεν ὀρθῶς ὁρῆν καὶ ἀκούειν καὶ συνιέναι· δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμόν, καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρόν, καὶ τὸ ζωὸν* [8] *ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γίνεσθαι, καὶ ταῦτα πάντα ἑτεροιοῦσθαι, καὶ ὅ τι ἦν τε καὶ ὃ νῦν ἔστιν* [9] *οὐδὲν ὁμοῖον εἶναι, ἀλλ' ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων* [10] *καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκεῖ εἶναι πᾶν, ὥστε συμβαίνει μήτε ὁρῆν*

1) Vulg. *εἴη.* — 2) Vulg. *χρή.* — 3) Simpl. *ζῷον*, Aristocl. *ζῶν.* — 4) Simpl. *τὰ ἄλλα, ὅσα φασὶν εἶναι ἄνθρωποι.* — 5) Arist. *ἢ καί.* — 6) Arist. *εἶναι ἐχρῆν, καὶ τὸ ἐὸν τοιοῦτον, οἷον πρῶτον ἔδοξεν ἡμῖν εἶναι.* — 7) Arist. *ἕτερον, ἀλλ' εἶναι ὅμοιον, οἷόν περ ἐστὶ ἕκαστον.* — 8) Arist. *ζῶν*, Simpl. *ζῷον.* — 9) Simpl. om. *ἔστιν.* — 10) Libri *ὁμοῦ ῥέων.* Bergk *ὁμουρέων* „digito conterminus, aptatus". Conieceram *ἐν πυρὶ ἐών*, iungebamque verba *σκληρὸς ἐὼν τῷ δακτύλῳ*, nisi quod sententia subesse videtur ‚gutta cavat lapidem'.

μήτε τὰ ἐόντα γινώσκειν, ἐξ ὕδατός τε γῆ καὶ λίθος γίνεσθαι. οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογεῖ· φαμένοις γὰρ εἶναι πολλὰ ἀίδια καὶ εἴδεά τε καὶ ἰσχὺν ἔχοντα πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρεομένου. δῆλον τοίνυν ὅτι οὐκ ὀρθῶς ὁρέομεν [1], οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι. οὐ γὰρ ἂν μετέπιπτεν, εἰ ἀληθέα ἦν, ἀλλ' ἦν, οἷόν περ ἐδόκει ἕκαστον, τοιοῦτον· τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρέσσον οὐδέν. ἢν δὲ μεταπέσῃ, τὸ μὲν ἐὸν [2] ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν. οὕτως οὖν εἰ πολλὰ ἦν [3], τοιαῦτα χρῆν [4] εἶναι, οἷόν περ τὸ ἕν.

Io. Philop. in Arist. Phys. *B*, 3 [b]. ὁ Μέλισσος [a] ἐν τοῖς πρὸς ἀλήθειαν ἓν εἶναι λέγων τὸ ὂν ἐν τοῖς πρὸς δόξαν δύο φησὶν εἶναι τὰς ἀρχὰς τῶν ὄντων, πῦρ καὶ ὕδωρ [b]. principia

a. Aut ipse adstipulatus est Parmenidis doctrinae, aut nomen eius cum illo confusum. Quae olim ferebantur ap. Stob. Ecl. I 60. *Μέλισσος καὶ Ζήνων τὸ ἓν καὶ πᾶν καὶ μόνον ἀΐδιον καὶ ἄπειρον τὸ ἕν, καὶ τὸ μὲν ἓν τὴν ἀνάγκην, ὕλην δὲ αὐτῆς* [5] *τὰ τέσσαρα στοιχεῖα, εἴδη δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν*, nunc ita correcta sunt, ut ad Eleaticos prior tantum pars, *Μέλισσος — ἄπειρον*, pertineat, altera sit Empedoclis. Cf. Wachsmuth p. 35. Diels, mus. rh. 36, 345. Z. I⁴ 537². Idque eo rectius factum est quoniam pergit Stobaeus: *λέγει δὲ καὶ τὰ στοιχεῖα θεοὺς καὶ τὸ μῖγμα τούτων τὸν κόσμον* <*ὅς*> *καί ποτε ἀναλυθήσεται* <*ἐς*> *τὸ* [6] *μονοειδές· καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς.*

b. Diog. IX 24. *ἀλλὰ καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.*

---

1) Simpl. *ἑωρῶμεν*. — 2) Coni. Brandis, *Gesch. d. Philos.* I 403. Cod. *τὸ μέσον*. — 3) Vulg. *εἴη*. — 4) Vulg. *χρή*. — 5) Wachsmuth *αὐτοῦ*. — 6) Pro v. corruptis *καὶ προστανα λυθήσεται τὸ* posuimus Wachsmuthi coniecturam (p. 36).

Anaxagoras.

vita Strabo XIV 3, 36. p. 645. Κλαζομένιος ἦν ἀνὴρ ἐπιφανὴς Ἀναξαγόρας ὁ φυσικός, Ἀναξιμένους ὁμιλητής. 117 A

Diog. II 7. Λέγεται δὲ κατὰ Ξέρξου διάβασιν εἴκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο [a]. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν τῇ ἑβδομηκοστῇ Ὀλυμπιάδι (500—497), τεθνηκέναι δὲ τῷ πρώτῳ ἔτει τῆς ὀγδοηκοστῆς [1] ὀγδόης (428). ἤρξατο δὲ φιλοσοφεῖν, Ἀθήνησιν ἐπὶ Καλλίου [2], ἐτῶν εἴκοσιν ὤν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ· ἔνθα καί φασιν αὐτὸν ἔτη διατρῖψαι τριάκοντα [b]. 117 B

Plut. Pericl. 32. Καὶ ψήφισμα Διοπείθης ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας, ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν [c]. — — Ἀναξαγόραν δὲ φοβηθεὶς (sc. ὁ Περικλῆς) ἐξέπεμψε καὶ προὔπεμψεν ἐκ τῆς πόλεως. 117 C

Diog. II 14. Καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον αὐτόθι κατέστρεψεν. 117 D

a. De aetate cf. Diels Mus. Rhen. XXXI 27. C. F. Hermann de philos. Ionic. aetat. p. 10 et 18 putat natum 534, mortuum 462, Athenis versatum c. 497—466. Quam opinionem Z. I⁴ 865 refutat. Similem Unger nuper protulit. Anaximenis eum auditorem fuisse alii quoque tradunt (Cic. Deor. Nat. I 26). Obstat ratio temporum. Solet hunc excipere in diadochorum ordine.

b. Callias sive Calliades (sunt enim variae formae nominis eiusdem) ἄρχων ἐπώνυμος fuit anno 480. Ambigue aut falso positus est locativus Ἀθήνησιν. Laertius scriptum viderat Ἀθήνησιν ἄρχοντος Καλλίου.

---

1) Vulg. ἑβδομηκοστῆς. Error e versu superiore natus. — 2) Cobet Καλλιάδου.

Nam anno 480 neque Athenis versari nec docere alios A. potuit, sed Clazomenis tum coepit sapientiae operam dare. Athenis fuit [1] fere 460—430. Ibi Pericle familiariter usus est, v. Plat. Phaedr. 270 A. πᾶσαι ὅσαι μεγάλαι τῶν τεχνῶν, προσδέονται ἀδολεσχίας καὶ μετεωρολογίας φύσεως πέρι· τὸ γὰρ ὑψηλόνουν τοῦτο καὶ πάντῃ τελεσιουργὸν ἔοικεν ἐντεῦθέν ποθεν εἰσιέναι. ὃ καὶ Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο· προσπεσὼν γάρ, οἶμαι, τοιούτῳ ὄντι Ἀναξαγόρᾳ μετεωρολογίας ἐμπλησθεὶς καὶ ἐπὶ φύσιν νοῦ τε καὶ ἀνοίας ἀφικόμενος, ὧν δὴ πέρι τὸν πολὺν λόγον ἐποιεῖτο Ἀναξαγόρας, ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέχνην τὸ πρόσφορον αὐτῇ. Cf. Alcib. I. 118 C. Plut. Pericl. 4. Ὁ δὲ πλεῖστα Περικλεῖ συγγενόμενος καὶ μάλιστα περιθεὶς ὄγκον αὐτῷ καὶ φρόνημα δημαγωγίας ἐμβριθέστερον, ὅλως τε μετεωρίσας καὶ συνεξάρας τὸ ἀξίωμα τοῦ ἤθους, Ἀναξαγόρας ἦν ὁ Κλαζομένιος, ὃν οἱ τότ' ἄνθρωποι Νοῦν προσηγόρευον (addit causas huius cognominis). Cf. ib. 5; 6; ineptam fabellam 16. Periclis amicus

c. De causis cur Athenis exul factus sit cf. Diodor. XII 39, qui eo loco de causis belli Peloponnesiaci disputat; Plutarch. vit. Niciae 23. Diog. II 12—14. Apud quem quod § 12 Satyrus dicit οὐ μόνον ἀσεβείας ἀλλὰ καὶ μηδισμοῦ εἰσαχθῆναι τὴν δίκην, ipse videat quo iure. De accusatione v. Plat. Apol. 26 D. Leg. XII 967 C. Exitus varie narratur. Plut. Nic. 23 m: Ἀναξαγόραν εἱρχθέντα μόλις περιεποιήσατο Περικλῆς. exilium 434/3

Alii discipuli eius. Strabo XIV 3, 36, p. 645 διήκουσαν δὲ τούτου Ἀρχέλαος ὁ φυσικὸς καὶ Εὐριπίδης ὁ ποιητής. De hoc eius auditore cf. Köhler, *Anax. und Eur.*, progr. Bückeburg 1873. Hartung, Eurip. restit. I 109. 118. 139. Wilamowitz, Anal. Eurip. 162. Et videtur poeta hunc respicere sapientem egregiis illis versibus ap. Clem. Strom. IV 25, p. 643 P. (Cf. Fr. Trag. Nauck): ὄλβιος ὅστις τῆς ἱστορίας | ἔσχε μάθησιν, μήτε πολιτῶν | ἐπὶ πημοσύνας μήτ' εἰς ἀδίκους | πράξεις ὁρμῶν, || ἀλλ' ἀθανάτου καθορῶν φύσεως | κόσμον ἀγήρω, τίς τε συνέστη | καὶ ὅπῃ καὶ ὅπως· || τοῖς τοιούτοις οὐδέποτ' αἰσχρῶν | ἔργων μελέτημα προσίζει. Euripides eius auditor

118 Plut. vit. Niciae 23. Ὁ πρῶτος σαφέστατόν τε πάντων καὶ θαρραλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς [a] λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας οὔτ' αὐτὸς ἦν παλαιὸς οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόρρητος ἔτι καὶ δι' ὀλίγων καὶ μετ' εὐλαβείας τινὸς ἢ πίστεως βαδίζων. studia

a. De defectionibus Hippol. Ref. I 8, 9. Dox. 562, 22. ἐκλείπειν δὲ τὴν σελήνην γῆς ἀντιφραττούσης, ἐνίοτε δὲ καὶ τῶν ὑποκάτω τῆς σελήνης, τὸν δὲ ἥλιον ταῖς νουμηνίαις σελήνης ἀντιφραττούσης κτλ. Theophrasteus et hic locus est et Stobaei, Dox. 360 b 23. 493, 3. De lunae luce Plato Crat. 409 A. B. Saxum casurum e sole praedicit ol. 78, 2. Diog. II 10. φασὶ δ' αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμὸν γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. Cf. Plut. Lysand. 12. Plin. H. N. II 58. Io. Lyd. de ostentis 7. Clinton F. H. a. 468.

---

1) Sed vide H. Diels, *Seneca und Lucan*, Acad. Berol. 1885, p. 8 [1].

liber Librum περὶ φύσεως inscripserat. Exordium ap. Diog. II 6, qui eum librum ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον fuisse dicit, v. RP 122 A. Ionice eum scripsisse cernitur ex fragmentis a Simplicio maximam partem servatis. Unum tantummodo librum edidisse narratur Diog. I 16. Quod igitur est ap. Plut. de exil. 17 titulus περὶ κύκλου τετραγωνισμοῦ, incertum an adumbratio ab illo in carcere facta significetur. Quae autem a Vitruvio VII, praef. 11, commemoratur ἀκτινογραφίη, h. e. de scaenarum architectura, quemadmodum ad aciem oculorum struendae sint, potest ad librum de natura rerum referri; cf. Zévort, *dissert. sur la vie et la doctrine d'Anaxagore*, Paris 1848, p. 36. In mathematicis numeratur a Ps.-Platone Anterast. 132 A. Item Procl. ad Euclid. II 19 πολλῶν ἐφήψατο κατὰ γεωμετρίαν.

Homerum allegorice interpretatur. Diog. II 11. δοκεῖ δὲ πρῶτος, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἐπὶ πλέον δὲ προστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνόν, γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι τοῦ ποιητοῦ περὶ τὴν φυσικὴν πραγματείαν. Cf. Lobeck, Aglaoph. 156. Simpl. Phys. 35 v. 166, 17 D. Θεόφραστος ἐν τῷ περὶ Ἀναξαγόρου δευτέρῳ, cf. ib. 6 v. 27, 11 D. et Diog. V 42, Suid. v. Θεόφρ.

Ed. Schaubach, Anax. Claz. fragm. Lips. 1827. W. Schorn, Anax. Claz. et Diog. Apoll. fr., Bonn 1829. F. Panzerbieter, de fragm. An. ordine, Meining. 1836. Fr. Breier, *die Philos. d. Anax. nach Aristot.*, Berl. 1840. Cf. W. Dilthey[1], *Einl. in die Geisteswissensch.* (Berl. 1883), I 201. Ceteros v. Ueberweg § 24.

oriri coniunctio, interire diremptio Simpl. Phys. 34v. 163, 20 D. Σαφῶς δὲ Ἀναξαγόρας ἐν τῷ πρώτῳ τῶν Φυσικῶν τὸ γίνεσθαι καὶ ἀπόλλυσθαι συγκρίνεσθαι καὶ διακρίνεσθαι λέγει γράφων οὕτως· [fr. 17 Schorn] Τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι[a] οὐκ ὀρθῶς νομίζουσιν οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι[b]. 119

elementa a. Arist. Met. I 3. 984 a 11: Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου (Ἐμπεδοκλέους), τοῖς δ' ἔργοις (doctrina) ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς· σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον, ἄλλως δ' οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια. De verbis καθάπερ ὕδωρ ἢ πῦρ (RP 125 a) Bonitz in comm. 68: h. e. prope omnes illas res, numero infinitas, quae partes habent ipsi rei similes eundem in modum atque aqua et ignis, principia esse voluit neque aliam nisi miscendi et discernendi mutationem subire. Cf. Z. I[4] 876[1]. Arist. de Caelo III 3. 302 a 28. Ἀναξαγόρας δ' Ἐμ-

1) Quae ratio intercedat inter Anax. opiniones physicas et metaphysicas.

πεδοκλεῖ ἐναντίως λέγει περὶ τῶν στοιχείων. ὁ μὲν γὰρ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις στοιχεῖά φησιν εἶναι τῶν σωμάτων καὶ συγκεῖσθαι πάντ' ἐκ τούτων, Ἀναξαγόρας δὲ τοὐναντίον· τὰ γὰρ ὁμοιομερῆ στοιχεῖα (λέγω δ' οἷον σάρκα καὶ ὀστοῦν καὶ τῶν τοιούτων ἕκαστον), ἀέρα δὲ καὶ πῦρ μῖγμα τούτων καὶ τῶν ἄλλων σπερμάτων πάντων· εἶναι γὰρ ἑκάτερον αὐτῶν ἐξ ἀοράτων ὁμοιομερῶν πάντων ἠθροισμένον. Cf. Arist. Gen. et Corr. I 1 (RP 125). — Etenim quae Anaxagoras vocaverat *σπέρματα* vel *χρήματα* vel *σπέρματα τῶν χρημάτων* (RP 120), ea Aristoteles appellavit ὁμοιομερ
ὁμοιομερῆ, quo nomine complecti solet omnes res, quae e partibus constent et sui et totius similibus, cf. Gen. et Corr. I 1. 314 [a] 18: *ὁ μὲν γὰρ τὰ ὁμοιομερῆ στοιχεῖα τίθησιν, οἷον ὀστοῦν καὶ σάρκα καὶ μυελὸν καὶ τῶν ἄλλων ὧν ἑκάστου συνώνυμον τὸ μέρος ἐστίν.* Quod nomen ad posteriores propagatur, quasi ab ipso auctore traditum; velut Lucretius I 830 scribit:

nunc et Anaxagorae scrutemur homoeomerian
quam Grai memorant.

Deinceps rem describit v. 834:

principio, rerum quom dicit homoeomerian,
ossa videlicet e pauxillis atque minutis
ossibus hic, et de pauxillis atque minutis
visceribus viscus gigni, sanguenque creari
sanguinis inter se multis coeuntibus guttis
ex aurique putat micis consistere posse
aurum, et de terris terram concrescere parvis,
ignibus ex ignis, umorem umoribus esse,
cetera consimili fingit ratione putatque.

Pluraliter *ὁμοιομερείας* dicunt aetate etiam recentiore Plutarchus Pericl. 4. Sext. Pyrrh. III 33. Sext. Math. III 33; X 252. Diog. II 8.

b. Plac. V 19. Dox. 430 [a]: *ὡς καὶ Ἀναξαγόρας καὶ Εὐριπίδης·*

θνῄσκει δ' οὐδὲν τῶν γιγνομένων
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὰς ἑτέρας ἀπέδειξεν.

120 Simpl. Phys. 33[v]. 155, 23 D. Ὅτι δὲ Ἀναξαγόρας ἐξ μῖγμ
ἑνὸς μίγματος ἄπειρα τῷ πλήθει ὁμοιομερῆ ἀποκρίνεσθαί φησιν πάντων μὲν ἐν παντὶ ἐνόντων, ἑκάστου δὲ κατὰ τὸ ἐπικρατοῦν χαρακτηριζομένου, δηλοῖ διὰ τοῦ πρώτου τῶν Φυσικῶν λέγων ἀπ' ἀρχῆς· [fr. 1] „Ὁμοῦ χρήματα πάντα ἦν ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν [a]. καὶ πάντων ὁμοῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος· πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα [b]· ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖσι σύμπασι καὶ πλήθεϊ καὶ μεγάθεϊ." καὶ μετ' ὀλίγον· [fr. 2] „Καὶ γὰρ ἀήρ τε καὶ αἰθὴρ ἀποκρίνονται ἀπὸ τοῦ πολλοῦ τοῦ περιέχοντος [1]. καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ

1) Schorn ci. *τοῦ τὰ πολλὰ περιέχοντος.* Cf. Simpl. 157, 7 D.

πλῆθος.“ καὶ μετ᾽ ὀλίγα· [fr. 3] „Τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖσι συγκρινομένοισι, καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς“ [c]. [fr. 4] „Πρὶν δὲ ἀποκριθῆναι“ [1], φησί, „πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων, τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων πλήθους [2] οὐδὲν ἐοικότων ἀλλήλοισιν. οὐδὲ γὰρ τῶν ἄλλων οὐδὲν ἔοικε τῷ ἑτέρῳ τὸ ἕτερον.“ ὅτι δὲ οὐδὲ γίνεται οὐδὲ φθείρεταί τι τῶν ὁμοιομερῶν, ἀλλ᾽ ἀεὶ τὰ αὐτά ἐστι, δηλοῖ λέγων· [fr. 14] „τούτων δὲ οὕτω διακεκριμένων γινώσκειν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω. οὐ γὰρ ἀνυστὸν πάντων πλείω εἶναι, ἀλλὰ πάντα ἴσα αἰεί.“ τοῦτα μὲν οὖν περὶ τοῦ μίγματος καὶ τῶν ὁμοιομερειῶν.

a. Infinitum et unum. Ar. Phys. I 4. 187 a 26. ἔοικε δὲ Ἀναξαγόρας ἄπειρα οὕτως οἰηθῆναι διὰ τὸ ὑπολαμβάνειν τὴν κοινὴν δόξαν τῶν φυσικῶν εἶναι ἀληθῆ, ὡς οὐ γινομένου οὐδενὸς ἐκ τοῦ μὴ ὄντος· διὰ τοῦτο γὰρ οὕτω λέγουσιν, ἦν ὁμοῦ τὰ πάντα, καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι. Comparatur cum superioribus philosophis, qui ipsi quoque obscuram quandam attigerint materiae imaginem, ab Ar. Met. XII 2. 1069 b 20: καὶ τοῦτ᾽ ἐστὶ τὸ Ἀναξαγόρου ἕν (βέλτιον γὰρ ἢ ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου. Ar. Phys. III 5. RP 122 c. Theophr. ap. Simpl. Phys. 6 v. RP 12 c.

b. Aether ignem caelestem et quidquid calidum lucidum tenue est, aer contraria significat, nisi fallitur Aristoteles Meteor. I 3. 339 b 21, de Caelo I 3. 270 b 24, cf. RP 124 A.

c. ἡδονή sapor vel medium quiddam inter odorem et saporem, cf. de Diog. Apoll. RP 164 a.

νοῦς Aristot. Met. I 3. 984 b 8. Μετὰ δὲ τούτους [a] καὶ τὰς 121
τοιαύτας ἀρχὰς ὡς οὐχ ἱκανῶν οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων φύσιν, πάλιν ὑπ᾽ αὐτῆς τῆς ἀληθείας, ὥσπερ εἴπομεν, ἀναγκαζόμενοι τὴν ἐχομένην ἐζήτησαν ἀρχήν· τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν ἔχειν τὰ δὲ γίγνεσθαι τῶν ὄντων ἴσως οὔτε πῦρ οὔτε γῆν οὔτ᾽ ἄλλο τῶν τοιούτων οὐδὲν οὔτ᾽ εἰκὸς αἴτιον εἶναι οὔτ᾽ ἐκείνους οἰηθῆναι· οὐδ᾽ αὖ τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ [b]

---

1) ταῦτα additur Simpl. 8 r. 34, 21 D. — 2) πλῆθος ci. Schorn.

τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς εἶχεν. νοῦν δή τις εἰπὼν εἶναι, καθάπερ ἐν τοῖς ζῴοις, καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου καὶ τῆς τάξεως πάσης οἷον νήφων ἐφάνη παρ' εἰκῇ λέγοντας τοὺς πρότερον.

a. Eos dicit qui naturam rerum ex elementis solis nullo movente ortam statuerint.

b. Negat quidquam fortuito fieri (etsi vocabula ipsa Stoicorum potius quam Anaxagorae putanda sunt). Plac. I 29. Dox. 326 [a]: *Ἀναξαγόρας καὶ οἱ Στωικοὶ* (sc. *τὴν τύχην*) *ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ.* Paulo aliter Alex. Aphr. de Fato 2. *Ἀναξαγόρας — λέγει — μηδὲν τῶν γινομένων γίνεσθαι καθ' εἱμαρμένην, ἀλλ' εἶναι κενὸν τοῦτο τοὔνομα.* Cf. Plut. Pericl. 4.

122 A Diog. II 6. Ἀναξαγόρας — πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν, ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον· „Πάντα χρήματα ἦν ὁμοῦ [a]· εἶτα [b] ὁ νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε." mundi dispositor

122 B Aristot. Phys. VIII 1. 250 [b] 24. Φησὶ γὰρ ἐκεῖνος, ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων [c] τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν [d] καὶ διακρῖναι [e]. auctor movendi

a. Habes in brevius contracta ea quae integra fere sunt ap. Simplic. l. c. **RP** 120. Cf. Simpl. de Cael. 145. *λέγει γὰρ ὅτι ἦν ὁμοῦ πάντα χρήματα, νοῦς δὲ αὐτὰ διακρίνας διεκόσμησε.*

b. Simpl. Phys. 273 [r]: *ὁ δὲ Εὔδημος μέμφεται τῷ Ἀναξαγόρᾳ οὐ μόνον ὅτι μὴ πρότερον οὖσαν ἄρξασθαί ποτε λέγει τὴν κίνησιν, ἀλλ' ὅτι καὶ περὶ τοῦ διαμένειν ἢ λήξειν ποτὲ παρέλιπεν εἰπεῖν, καίπερ οὐκ ὄντος φανεροῦ.*

c. Arist. Phys. III 5. 205 [b] 1. *Ἀναξαγόρας δ' ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς· στηρίζειν γὰρ αὐτὸ αὐτό φησι τὸ ἄπειρον· τοῦτο δέ, ὅτι ἐν αὑτῷ· ἄλλο γὰρ οὐδὲν περιέχειν, ὡς, ὅπου ἄν τι ᾖ, πεφυκὸς ἐνταῦθα εἶναι.*

d. Quid intersit inter *νοῦν* et *ψυχήν.* Arist. de An. I 2. 404 [b] 1. *Ἀναξαγόρας δ' ἧττον διασαφεῖ περὶ αὐτῶν· πολλαχοῦ μὲν γὰρ τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς τὸν νοῦν λέγει, ἑτέρωθι δέ, τοῦτον εἶναι τὴν ψυχήν· ἐν ἅπασι γὰρ αὐτὸν ὑπάρχειν τοῖς ζῴοις, καὶ μεγάλοις καὶ μικροῖς, καὶ τιμίοις καὶ ἀτιμοτέροις.* — 405 [a] 14: *χρῆται δ' ἀμφοῖν ὡς μιᾷ φύσει, πλὴν ἀρχήν γε τὸν νοῦν τίθεται μάλιστα πάντων· μόνον γοῦν φησιν αὐτὸν τῶν ὄντων ἁπλοῦν εἶναι καὶ ἀμιγῆ τε καὶ καθαρόν. ἀποδίδωσι δ' ἄμφω τῇ αὐτῇ ἀρχῇ, τό τε γινώσκειν καὶ τὸ κινεῖν, λέγων νοῦν κινῆσαι τὸ πᾶν.* Adde de An. III 4 et quae ad locum **RP** 123 disputat Breier p. 54. qualis sit ipse

e. Mentem illam deum ab eo esse nominatam testes minus locupletes

perhibent. Cic. Acad. II 118. *Anaxagoras materiam infinitam, sed ex ea particulas, similes inter se, minutas; eas primum confusas, postea in ordinem adductas mente divina.* Stob. Ecl. I 56. Dox. 302[b] 15. Ἀναξαγόρας νοῦν κοσμοποιὸν τὸν θεόν. Augustin. civ. VIII 2. Sext. Math. IX 6. νοῦν, ὅς ἐστι κατ' αὐτὸν θεός.

νοῦς describitur

123 Anaxagoras ap. Simpl. 33[v]. 156, 13 D. Περὶ δὲ τοῦ νοῦ τάδε γέγραφε· τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει [1], νόος δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμικται οὐδενὶ χρήματι, ἀλλὰ μοῦνος αὐτὸς [2] ἐφ' ἑωυτοῦ ἐστιν· εἰ μὴ γὰρ ἐφ' ἑωυτοῦ ἦν, ἀλλά τεῳ ἐμέμικτο ἄλλῳ, μετεῖχεν ἂν ἁπάντων χρημάτων, εἰ ἐμέμικτό τεῳ· ἐν παντὶ γὰρ παντὸς μοῖρα [a] ἔνεστιν, ὥσπερ ἐν τοῖσι πρόσθεν μοι λέλεκται, καὶ ἂν ἐκώλυεν [b] αὐτὸν τὰ συμμεμιγμένα, ὥστε μηδενὸς χρήματος κρατεῖν ὁμοίως, ὡς καὶ μοῦνον ἐόντα ἐφ' ἑωυτοῦ. ἔστι γὰρ λεπτότατόν [c] τε πάντων χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον, καὶ ὅσα γε ψυχὴν ἔχει καὶ μέζω καὶ ἐλάσσω [3], πάντων νόος κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νόος ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν [d]. καὶ πρῶτον ἀπὸ τοῦ σμικροῦ ἤρξατο περιχωρεῖν, ἐπεὶ δὲ πλέον περιχωρεῖ [4], καὶ περιχωρήσει ἐπὶ πλέον. καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα, πάντα ἔγνω νόος. καὶ ὁκοῖα ἔμελλεν ἔσεσθαι καὶ ὁκοῖα ἦν, ὅσα [5] νῦν μὴ ἔστι, καὶ ὁκοῖα ἔστι, πάντα διεκόσμησε νόος, καὶ τὴν περιχώρησιν ταύτην, ἣν νῦν περιχωρεῖ τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ οἱ ἀποκρινόμενοι. ἡ δὲ περιχώρησις αὕτη ἐποίησεν ἀποκρίνεσθαι. καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμὸν καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρὸν καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. μοῖραι δὲ πολλαὶ πολλῶν εἰσι. παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου [e], πλὴν νόου. νόος δὲ πᾶς ὅμοιός ἐστι, καὶ ὁ μέζων καὶ ὁ ἐλάσσων. ἕτερον δὲ οὐδέν ἐστιν ὅμοιον οὐδενί [6], ἀλλ' ὅτεων [7] πλεῖστα ἔνι, ταῦτα ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν [f].

---

1) Adiciendum ex 35[r]. Dox. 164, 24. — 2) Altero loco 176, 33 D. μοῦνον αὐτό. Ceterum vere et ionice ἐπ' εωυτοῦ. — 3) Altero loco 177, 2 D. τὰ μέζω καὶ τὰ ἐλάσσω. — 4) ἔπειτε πλέον περιεχώρεε Ritter. — 5) Corr. Diels ex 177, 5. — 6) Altero loco 165, 14 D. Simplicius adicit οὐδενὶ ἑτέρῳ, ἀπείρων ὄντων, quod recepit Schorn. — 7) Vulgo ὅτω. Schorn τεῳ. ὅτεων corr. Preller, cf. οἷ δὲ πλεῖστον ἔχει Simplic. 163, 4 D.

a. Explicat hanc sententiam Ar. Phys. I 4, 187 b 1. *διό φασι πᾶν ἐν παντὶ μεμῖχθαι, διότι πᾶν ἐκ παντὸς ἑώρων γινόμενον· φαίνεσθαι δὲ διαφέροντα καὶ προσαγορεύεσθαι ἕτερα ἀλλήλων ἐκ τοῦ μάλισθ' ὑπερέχοντος διὰ πλῆθος ἐν τῇ μίξει τῶν ἀπείρων. εἰλικρινῶς μὲν γὰρ ὅλον λευκὸν ἢ μέλαν ἢ γλυκὺ ἢ σάρκα ἢ ὀστοῦν οὐκ εἶναι, ὅτου δὲ πλεῖστον ἔχει, τοῦτο δοκεῖν εἶναι τὴν φύσιν τοῦ πράγματος.* Cf. Anax. ap. Simpl. Phys. 35 r. 164, 26 D. Simpl. Phys. 6 v. 27, 5 D. *Πάντα γὰρ τὰ ὁμοιομερῆ, οἷον ὕδωρ ἢ πῦρ ἢ χρυσόν, ἀγένητα μὲν εἶναι καὶ ἄφθαρτα, φαίνεσθαι δὲ γινόμενα καὶ ἀπολλύμενα συγκρίσει καὶ διακρίσει μόνον, πάντων μὲν ἐν πᾶσιν ὄντων, ἑκάστου δὲ κατὰ τὸ ἐπικρατοῦν ἐν αὐτῷ χαρακτηριζομένου. χρυσὸς γὰρ φαίνεται ἐκεῖνο, ἐν ᾧ πολὺ χρυσίον ἐστί, καίτοι πάντων ἐνόντων.*

b. Arist. Phys. VIII 5. 256 b 24. *διὸ καὶ Ἀναξαγόρας ὀρθῶς λέγει, τὸν νοῦν ἀπαθῆ φάσκων καὶ ἀμιγῆ εἶναι, ἐπειδήπερ κινήσεως ἀρχὴν αὐτὸν ποιεῖ εἶναι· οὕτω γὰρ ἂν μόνως κινοίη ἀκίνητος ὢν καὶ κρατοίη ἀμιγὴς ὤν.*

c. Anaxag. ap. Simpl. Phys. 67 r. 300, 31 D. *ἐπεὶ ἤρξατο ὁ νόος κινεῖν, ἀπὸ τοῦ κινεομένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ νόος πᾶν τοῦτο διεκρίθη· κινεομένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι.*

d. Prima tantum movendi origo a mente; cetera efficit ipsa *περιχώρησις*. Deficere philosophum a principio suo Plato aliique arguunt. Plat. Phaedo 97 B. *ἀκούσας μέν ποτε ἐκ βιβλίου τινός, ὡς ἔφη, Ἀναξαγόρου, ἀναγιγνώσκοντος καὶ λέγοντος, ὡς ἄρα νοῦς ἐστιν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον κτλ.* — 98 B. *ἀπὸ δὴ θαυμαστῆς ἐλπίδος ᾠχόμην φερόμενος, ἐπειδὴ προϊὼν καὶ ἀναγιγνώσκων ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ διακοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατα αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα.* Cf. Plato Leg. XII 967 B. C. Arist. Met. I 4. 985 a 18. *Ἀναξαγόρας τε γὰρ μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν, καὶ ὅταν ἀπορήσῃ διὰ τίν' αἰτίαν ἐξ ἀνάγκης ἐστί, τότε παρέλκει αὐτόν, ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γιγνομένων ἢ νοῦν.* I 7. 988 b 8. *οἱ μὲν γὰρ νοῦν λέγοντες ἢ φιλίαν ὡς ἀγαθὸν μέν τι ταύτας τὰς αἰτίας τιθέασιν, οὐ μὴν ὡς ἕνεκά γε τούτων ἢ ὂν ἢ γιγνόμενόν τι τῶν ὄντων, ἀλλ' ὡς ἀπὸ τούτων τὰς κινήσεις οὔσας λέγουσιν.* Simpl. Phys. 73 v. 327, 26 D. *Ἀναξαγόρας δὲ τὸν νοῦν ἐάσας, ὥς φησιν Εὔδημος, καὶ αὐτοματίζων τὰ πολλὰ συνίστησιν.*

principio suo ipse parum utitur

e. Anaxagoras ap. Simpl. Phys. 38 r. 176, 29 et 175, 12 D. *οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκει οὔτε τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ οὔτε τὸ ψυχρὸν ἀπὸ τοῦ θερμοῦ.*

f. Argumentantem faciunt [1] ex alimentis corporum et incrementis

---

1) Ipse Anaxagoras dixit (v. Diels, *Hermes* XIII 4) *πῶς γὰρ ἂν ἐκ μὴ τριχὸς γίνοιτο θρὶξ καὶ σὰρξ ἐκ μὴ σαρκός;* Schol. in Gregor. Naz. Migne 36, 911.

Plac. I 3. Dox. 279 [a]. ἐδόκει αὐτῷ ἀπορώτατον εἶναι, πῶς ἐκ τοῦ μὴ ὄντος δύναταί τι γίνεσθαι ἢ φθείρεσθαι εἰς τὸ μὴ ὄν. τροφὴν γοῦν προσφερόμεθα ἁπλῆν καὶ μονοειδῆ, οἷον τὸν Δημήτριον ἄρτον, τὸ ὕδωρ πίνοντες· καὶ ἐκ ταύτης τῆς τροφῆς τρέφεται θρὶξ φλὲψ ἀρτηρία νεῦρα ὀστᾶ καὶ τὰ λοιπὰ μόρια. τούτων οὖν γινομένων ὁμολογητέον ἐστίν, ὅτι ἐν τῇ τροφῇ τῇ προσφερομένῃ πάντα ἐστὶ τὰ ὄντα, καὶ ἐκ τῶν ὄντων πάντα αὔξεται. — 279 [a] 21. ἀπὸ τοῦ οὖν ὅμοια τὰ μέρη εἶναι ἐν τῇ τροφῇ τοῖς γεννωμένοις ὁμοιομερείας αὐτὰς ἐκάλεσε (non ipse, v. **RP** 119 a) καὶ ἀρχὰς τῶν ὄντων ἀπεφήνατο. Cf. Lucret. I 875. Simpl. Phys. 106 [r]. 460, 12 D. Arist. Gen. Anim. I 18.

generantur mundi partes

Anaxag. ap. Simpl. Phys. 38 [v]. 179, 3 D. [fr. 8 Schorn]. 124 A „Τὸ μὲν πυκνόν", φησί, „καὶ διερὸν καὶ ψυχρὸν καὶ ζοφερὸν ἐνθάδε συνεχώρησεν, ἔνθα νῦν <ἡ γῆ [a]>, τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν [1] ἐξεχώρησεν ἐς τὸ πρόσω τοῦ αἰθέρος." καὶ τὰ μὲν ἀρχοειδῆ ταῦτα καὶ ἁπλούστατα [b] ἀποκρίνεσθαι λέγει· ἄλλα δὲ τούτων συνθετώτερα ποτὲ μὲν συμπήγνυσθαι λέγει ὡς σύνθετα, ποτὲ δὲ ἀποκρίνεσθαι ὡς τὴν γῆν. οὕτως γάρ φησιν· [fr. 9 Schorn] „Ἀπὸ τούτων ἀποκρινομένων συμπήγνυται γῆ· ἐκ μὲν γὰρ τῶν νεφελέων ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ· οὗτοι δὲ ἐκχωρέουσι μᾶλλον τοῦ ὕδατος [2]".

caelestia

Hippol. I 8 Dox. 562, 14. Ἥλιον [c] δὲ καὶ σελήνην καὶ 124 B πάντα τὰ ἄστρα λίθους [d] εἶναι ἐμπύρους συμπεριληφθέντας [3] ὑπὸ τῆς αἰθέρος [e] περιφορᾶς.

a. Quae uncis continentur verba ἡ γῆ suppleta sunt ex Hippol. I 8, 2 Dox. 561, 27. κινήσεως δὲ μετέχειν τὰ πάντα ὑπό τε νοῦ κινούμενα συνελθεῖν τὰ ὅμοια. καὶ τὰ μὲν κατὰ τὸν οὐρανὸν κεκοσμῆσθαι ὑπὸ τῆς ἐγκυκλίου κινήσεως· τὸ μὲν οὖν πυκνὸν καὶ ὑγρὸν καὶ τὸ σκοτεινὸν καὶ ψυχρὸν καὶ πάντα τὰ βαρέα συνελθεῖν ἐπὶ τὸ μέσον, ἐξ ὧν παγέντων τὴν γῆν ὑποστῆναι· τὰ δ' ἀντικείμενα τούτοις τὸ θερμὸν καὶ τὸ λαμπρὸν καὶ τὸ ξηρὸν καὶ τὸ κοῦφον εἰς τὸ πρόσω τοῦ αἰθέρος ὁρμῆσαι.

b. Aer et aether dicuntur, v. **RP** 120. Ar. de Caelo III. 3. 302 [b] 4. τὸ γὰρ πῦρ καὶ τὸν αἰθέρα προσαγορεύει ταὐτό. Theophr. sens. 59 Dox. 516, 5: τὸ μὲν μανὸν καὶ λεπτὸν θερμόν, τὸ δὲ πυκνὸν καὶ παχὺ ψυχρόν, ὥσπερ Ἀναξαγόρας διαιρεῖ τὸν ἀέρα καὶ τὸν αἰθέρα. Ceterum cave ne ἁπλούστατα falso interpreteris; cf. **RP** 125 et Arist. de Caelo III 3. 302 [a] 28 **RP** 119.

1) Schorn ex Hippol. I 8 (Dox. 562, 3, **RP** 124 a) inseri vult καὶ τὸ λαμπρόν. — 2) Ultima verba οὗτοι — ὕδατος ex Simpl. 33 [v]. 155, 22 D. quo loco quod legitur λίθος συμπήγνυται Schornio placuit. — 2) Usener ἐμπυρισθέντας cf. Plac. II 13, **RP** 124 e.

c. Diog. II 8: *οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον καὶ μείζω τῆς Πελοποννήσου.*

d. Plato Leg. XII 967 C. *τὰ πρὸ τῶν ὀμμάτων πάντα αὐτοῖς ἐφάνη τὰ κατ' οὐρανὸν φερόμενα μεστὰ εἶναι λίθων καὶ γῆς καὶ πολλῶν ἄλλων ἀψύχων σωμάτων διανεμόντων τὰς αἰτίας παντὸς τοῦ κόσμου.* Cf. Plat. Apol. 26 D.

e. Plac. II 13. Dox. 341 a 12. *Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς καὶ καταφλέξαντα τούτους ἠστερικέναι.* Cf. Plut. Lysandr. 12.

125 Arist. Gen. et Corr. I 1. 314 a 24. *Ἐναντίως δὲ φαίνονται λέγοντες οἱ περὶ Ἀναξαγόραν τοῖς περὶ Ἐμπεδοκλέα* [a]. *ὁ μὲν γάρ φησι πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν στοιχεῖα τέσσαρα καὶ ἁπλᾶ εἶναι μᾶλλον ἢ σάρκα καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα τῶν ὁμοιομερῶν· οἱ δὲ ταῦτα μὲν ἁπλᾶ καὶ στοιχεῖα, γῆν δὲ καὶ πῦρ καὶ ὕδωρ καὶ ἀέρα σύνθετα· πανσπερμίαν* [b] *γὰρ εἶναι τούτων.* comparantur Empedoclis elementa

a. Empedoclis et Anaxagorae elementa quomodo differant, idem persequitur, de Caelo III 3. 302 a 28, RP 119 a. Pugnantia tradere videtur Metaph. I 3, RP 119 a. Sed enim illa quae post *τὰ ὁμοιομερῆ* sequuntur verba *καθάπερ ὕδωρ ἢ πῦρ* exempli causa Aristoteles de sua (non Anaxagorae) sententia adicit. Nisi Bonitzii rationem amplecti malumus: „eundem in modum atque (apud Emp.) aqua et ignis.“ Cf. eius comment. 68, RP 119 a. Z. I[4] 876[1]. Est enim scriptor recens ab Emped. doctrina.

b. Nam haec quidem (elementa quatuor) mixtam esse ex illis (corporibus finitis) congeriem.

126 Arist. Phys. VI 6. 213 a 22. *Οἱ μὲν οὖν δεικνύναι πειρώμενοι ὅτι οὐκ ἔστιν* (sc. *τὸ κενόν* [a]), *οὐχ ὃ βούλονται λέγειν οἱ ἄνθρωποι κενόν, τοῦτ' ἐξελέγχουσιν ἀλλ' ἁμαρτάνοντες λέγουσιν, ὥσπερ Ἀναξαγόρας καὶ οἱ τοῦτον τὸν τρόπον ἐλέγχοντες. ἐπιδεικνύουσι γὰρ ὅτι ἔστι τι ὁ ἀήρ, στρεβλοῦντες τοὺς ἀσκοὺς καὶ δεικνύντες ὡς ἰσχυρὸς ὁ ἀὴρ καὶ ἐναπολαμβάνοντες ἐν ταῖς κλεψύδραις* [b]. vacuum

a. Duabus rebus *ὁμοιομερῆ* diversa esse ab atomis significat Lucr. I 843:

Nec tamen esse ulla idem ex parte in rebus inane
concedit neque corporibus finem esse secandis.

Ipse Anax. ap. Simpl. Phys. 35 r. 164, 17 D. *οὔτε γὰρ τοῦ σμικροῦ, φησίν, ἐστὶ τό γε ἐλάχιστον, ἀλλ' ἔλασσον ἀεί. τὸ γὰρ ἐὸν οὐκ ἔστι*

τομῇ [1] οὐκ εἶναι· ἀλλὰ καὶ τοῦ μεγάλου ἀεί ἐστι μεῖζον. καὶ ἴσον ἐστὶ τῷ σμικρῷ πλῆθος, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ σμικρόν.

b. De hoc loco cf. Teichmüller, *Stud. z. Gesch. d. Begr.* 554.

animantia Theophr. Hist. Plant. III 1, 4. Ἀναξαγόρας μὲν τὸν ἀέρα πάντων φάσκων ἔχειν σπέρματα καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά. 127 A

Diog. II 9. Ζῷα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους, ὕστερον δὲ ἐξ ἀλλήλων [a]. 127 B

Plut. Qu. Nat. 1. Ζῷον γὰρ ἔγγειον τὸ φυτὸν εἶναι οἱ περὶ — Ἀναξαγόραν — οἴονται. 127 C

Pseud.-Arist. de Plant. I 1. 815 a 15. Ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι (sc. τὰ φυτὰ) καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων. — καὶ νοῦν καὶ γνῶσιν εἶπεν ἔχειν τὰ φυτά [b]. 127 D

a. Similia ap. Hippol. I 8, 12. Dox. 563, 7; Irenaeus adv. Haer. II 14, 2. *Anaxagoras — dogmatizavit facta animalia decidentibus e caelo in terram seminibus.* Cf. RP 16.

b. Anaxag. ap. Simpl. Phys. 35 r. 164, 23 D. ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν νόου· ἔστιν οἷσι δὲ καὶ νόος ἔνι. In Stob. Ecl. I 790 Dox. 392 b 3 Anaxagoras cum aliis dicitur docuisse θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν. Praestant homines subtilitate instrumenti, v. Arist. Part. Anim. IV 10. 687 a 7. Ἀναξαγόρας μὲν οὖν φησι διὰ τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι τῶν ζῴων ἄνθρωπον, cf. Plut. de Frat. Am. 2, de Fortun. 3. Dubium est quorsum illud pertineat, Plac. V 20. Dox. 432 a 11: Ἀναξαγόρας πάντα τὰ ζῷα λόγον ἔχειν τὸν ἐνεργητικόν, τὸν δ' οἱονεὶ νοῦν μὴ ἔχειν τὸν † παθητικόν, τὸν λεγόμενον τοῦ νοῦ ἑρμηνέα. Cf. Z. I⁴ 905⁴ et Diels Dox. l. c. Contrarium veri similius.

Non in terra sola sunt animalia ratione praedita. Anaxag. ap. Simpl. Phys. 8 r. 35, 1 D. χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖσι συγκρινομένοισι καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς, καὶ ἀνθρώπους τε συμπαγῆναι καὶ τὰ ἄλλα ζῷα ὅσα ψυχὴν ἔχει. καὶ τοῖσί γε ἀνθρώποισιν εἶναι καὶ πόλιας συνῳκημένας [2] καὶ ἔργα κατεσκευασμένα, ὥσπερ παρ' ἡμῖν, καὶ ἠέλιόν τε αὐτοῖσιν εἶναι καὶ σελήνην καὶ τὰ ἄλλα, ὥσπερ παρ' ἡμῖν, καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀνήϊστα συνενεικάμενοι εἰς τὴν οἴκησιν χρέονται. Cf. Z. I⁴ 901⁴. Eadem fere Simpl. Phys. 33 v. 157, 9.

---

1) τομῇ ci. Zeller I⁴ 884³ pro τὸ μή. — 2) 33 v. 157, 12 D. συνῳκημένας.

128 Sext. Math. VII 90. Ὁ μὲν φυσικώτατος Ἀναξαγόρας, ὡς ἀσθενεῖς διαβάλλων τὰς αἰσθήσεις, ὑπὸ ἀφαυρότητος αὐτῶν, φησίν, οὐ δυνατοί ἐσμεν κρίνειν τἀληθές [a]. τίθησι δὲ πίστιν [b] αὐτῶν τῆς ἀπιστίας τὴν παρὰ μικρὸν τῶν χρωμάτων ἐξαλλαγήν· εἰ γὰρ δύο λάβοιμεν χρώματα, μέλαν καὶ λευκόν, εἶτα ἐκ θατέρου εἰς θάτερον κατὰ σταγόνα παρεκχέοιμεν, οὐ δυνήσεται ἡ ὄψις διακρίνειν τὰς παρὰ μικρὸν μεταβολάς, καίπερ πρὸς τὴν φύσιν ὑποκειμένας [c]. sensus

a. Ipsam rationem a sensibus parum distinxisse memoratur, Arist. Met. IV 5. 1009 b 25. *Ἀναξαγόρου δὲ καὶ ἀπόφθεγμα μνημονεύεται πρὸς τῶν ἑταίρων τινάς, ὅτι τοιαῦτ' αὐτοῖς ἔσται τὰ ὄντα οἷα ἂν ὑπολάβωσιν.* Cf. Cic. Acad. I 44.

b. Ar. Phys. I 4. 187 a 36. *ἐξ ὄντων μὲν καὶ ἐνυπαρχόντων γίγνεται (τὸ πᾶν), διὰ μικρότητα δὲ τῶν ὄγκων ἐξ ἀναισθήτων ἡμῖν.* Cf. de Caelo III 3. Tamen illud perperam interpretatur Aristoteles Met. IV 4. 1007 b 25. *καὶ γίγνεται δὴ τὸ τοῦ Ἀναξαγόρου, ὁμοῦ πάντα χρήματα· ὥστε μηδὲν ἀληθῶς ὑπάρχειν.* Idem 1012 a 26. Z. I[4] 911 [1]. Aliter Sext. Math. VII 140. *τῆς τῶν ἀδήλων καταλήψεως τὰ φαινόμενα, ὥς φησιν Ἀναξαγόρας* (sc. *εἶναι κριτήρια*). Quamquam etiam sic falluntur sensus, v. Sext. Pyrrh. I 33. *νοούμενα δὲ* (sc. *ἀντιτίθεμεν*) *φαινομένοις, ὡς ὁ Ἀναξαγόρας τῷ λευκὴν εἶναι τὴν χιόνα ἀντετίθει ὅτι ἡ χιὼν ὕδωρ ἐστὶ πεπηγός, τὸ δὲ ὕδωρ ἐστὶ μέλαν, καὶ ἡ χιὼν ἄρα μέλαινά ἐστιν.* Cf. Cic. Acad. II 100. Sext. Math. VII 91. *Ἀναξαγόρας κοινῶς τὸν λόγον ἔφη κριτήριον εἶναι.*

c. Theophrastus de Sensibus 27, Dox. 507, 7. *Ἀναξαγόρας δὲ γίγνεσθαι μὲν* (*τὰς αἰσθήσεις*) *τοῖς ἐναντίοις· τὸ γὰρ ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου· καθ' ἑκάστην δ' ἰδίᾳ πειρᾶται διαριθμεῖν.* 29. *ἅπασαν δ' αἴσθησιν μετὰ λύπης, ὅπερ ἂν δόξειεν ἀκόλουθον εἶναι τῇ ὑποθέσει· πᾶν γὰρ τὸ ἀνόμοιον ἁπτόμενον πόνον παρέχει.*

Empedocles.

vita Diog. VIII 51. Ἐμπεδοκλῆς[1] — Μέτωνος ἦν υἱὸς τοῦ 129
Ἐμπεδοκλέους, Ἀκραγαντῖνος[a]. 52. Ἀπολλόδωρος δ' ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς φησιν ὡς

„ἦν μὲν Μέτωνος υἱός, εἰς δὲ Θουρίους[b]
αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους
ὁ Γλαῦκος ἐλθεῖν φησιν."

εἶθ' ὑποβάς·

„οἱ δ' ἱστοροῦντες ὡς πεφευγὼς οἴκοθεν
εἰς τὰς Συρακούσας μετ' ἐκείνων ἐπολέμει[c]
πρὸς τὰς Ἀθήνας ἀγνοεῖν τελέως ἐμοὶ
δοκοῦσιν· ἢ γὰρ οὐκέτ' ἦν ἢ παντελῶς
ὑπεργεγηρακώς, ὅπερ οὐχὶ φαίνεται.
Ἀριστοτέλης γὰρ αὐτὸν ἑξήκοντ' ἐτῶν
ἔτι δ' Ἡρακλείδης φησὶ τετελευτηκέναι."

ὁ δὲ τὴν πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα (a. 496) νενικηκὼς

„κέλητι, τούτου πάππος ἦν ὁμώνυμος."

54. ἀκοῦσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διὰ τῆς ἐνάτης ἱστο-
studia ρεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπίᾳ[d] τότε, καθὰ καὶ Πλάτων, τῶν λόγων ἐκωλύθη μετέχειν. 55. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι[e]. 58. φησὶ δὲ Σάτυρος ἐν τοῖς βίοις ὅτι καὶ ἰατρὸς[f]

1) Sturz, Emp. vita et philos., carm. reliq., Lipsiae 1805. S. Karsten, Emp. carm. reliq., Amst. 1838. H. Stein, Emp. fragm., Bonnae 1852. Th. Bergk, de prooemio Emp., Berol. 1839. Cf. Bergk, *Kleine Schriften* II 1—66. K. Steinhart, in Ersch. Gruber. encycl. sect. I vol. 34. Panzerbieter, *Beitr. z. Kritik u. Erkl. d. Emped.*, Meining. 1844. Idem in *Zeitschr. f. A. W.* 1845. Schneidewin in Philol. vol. XV. Mullach FPG vol. I. H. Diels, *Gorgias und Empedocles*, Acad. Berol. 1884. — De dialecto: R. Merzdorf in commentat. philol. (in hon. G. Curtii) Lipsiae 1875. Critica: H. Diels, studia Emp., *Hermes* XV 161—179 (1880). — In sinistro margine Steinii, in dextro Karstenii numeros indicamus.

ἦν καὶ ῥήτωρ [g] *ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν.* 59. *τοῦτόν φησιν ὁ Σάτυρος λέγειν, ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι* [f]. 67. *περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφορός ἐστιν ὁ λόγος* [h]. 77. *τὰ μὲν οὖν Περὶ φύσεως αὐτῷ καὶ οἱ Καθαρμοὶ εἰς ἔπη τείνουσι πεντακισχίλια* [i].

a. Diog. 51. *Ἡρακλείδης ἐν τῷ περὶ νόσων, ὅτι λαμπρᾶς ἦν οἰκίας ἱπποτροφηκότος τοῦ πάππου.* Cf. Sturz 98, Karsten 5. Patris Metonis haud parvae in r. p. vices, v. Diog. VIII 72, Diod. bibl. XI 53. Magna etiam ipsius apud cives erat auctoritas, qua ad libertatem patriae adversus tyrannos defendendam usus esse traditur, v. Aristot. et Timaeum ap. Diog. VIII 63—67; 72. Agrigentum tunc et numero civium et opibus cummaxime floruisse constat ex Diod. XIII 84.

b. Propterea Diog. VIII 74: *ἤκμασε κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα* (444). De Apollodori verbis v. Diels Mus. Rhen. XXXI 37, qui vixisse Emp. statuit 484—424. At Zeller *Grundriss* 61 fere 495—435; quod Diels nunc probat, *Gorg. u. Emp.* p. 2 [2]. Aliter Unger, Acad. Bavar. 1883, p. 140; *Philologus* Suppl. IV 513. — Arist. Met. I 3. 984 [a] 11. *Ἀναξαγόρας τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου, τοῖς δ' ἔργοις ὕστερος κτλ.*, quo de loco v. Bonitzii comment. 67 et **RP** 119 a.

c. Significari a. 425 putat Steinhart p. 85.

d. Diog. 55. *Φησὶ δὲ Νεάνθης ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων. ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίωσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῷ. — — τίνος μέντοι γ' αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς οὐκ εἶπε· τὴν γὰρ περιφερομένην πρὸς Τηλαύγους ἐπιστολὴν ὅτι μετέσχεν Ἱππάσου καὶ Βροντίνου, μὴ εἶναι ἀξιόπιστον.* studia

e. Simpl. Phys. 6 [v]. 25, 19 D. *Ἐμπ. οὐ πολὺ κατόπιν τοῦ Ἀναξαγόρου γεγονὼς Παρμενίδου δὲ ζηλωτὴς καὶ πλησιαστὴς καὶ ἔτι μᾶλλον τῶν Πυθαγορείων.* Mira et inepta apud Diog. VIII 56; cf. Suid. *Παρμενίδης*, Olympiod. in Plat. Gorg. ap. Sturz p. 34. Ab Aristotele identidem cum Anaxagora coniungitur propter similitudinem. Quid? qui Anaxagorae discipulum eum fuisse affirmant; Diog. 56. Sed de omni hac re v. Zeller I [4] 743—747.

f. De medicae artis peritia Plin. H. N. 36, 27, 202. De magicis artibus v. ipsius vs. 24—32 ap. Diog. VIII 60. Mirabilia facta: noxios ventos Agrigento prohibet, Diog. 60; apud Selinuntios amnium commixtione pestem sedat, Diog. 70; mulierem resuscitat, quae mortua videbatur, Diog. 61 et 67, quae res in Heraclidis erat libro *περὶ νόσων* narrata (vel *περὶ τῆς ἄπνου*). Cf. Diels, *Emp. u. Gorg.*, p. 2 [2]. Alia testimonia Z. I [4] 681 not. Non iniucundum est, ipsum audire in exordio *καθαρμῶν* (Diog. 62) profitentem, quibus nominibus cives se venerentur: artes

ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος 389
ναίετ' ἀν' ἄκρα πόλευς, ἀγαθῶν μελεδήμονες ἔργων, 390
ξείνων αἰδοίων λιμένες, κακότητος ἄπειροι,
355 *χαίρετ'· ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος, οὐκέτι θνητὸς*

πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις·
τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι· οἱ δ' ἅμ' ἕπονται
μυρίοι, ἐξερέοντες ὅπῃ πρὸς κέρδος ἀταρπός,
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων,
δηρὸν δὴ χαλεπῇσι πεπαρμένοι ἀμφ' ὀδύνῃσι,
παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

g. De rhetorica Diog. VIII 57. *Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ φησι πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν*, cf. Sext. Math. VII 6. Quintilianus III 1, 8 Gorgiam (483—385) eius discipulum habitum esse confirmat. Certe Gorgias iuvenis in naturalibus quaestionibus physici illius auctoritatem amplexus eiusdemque poetae exemplum in dicendi genere secutus est; v. Diels, *Emp. u. Gorg.* p. 2 sq. 25.

mors

h. Heraclides Ponticus apud Diog. VIII 67 tradit sacrificio instituto post epulas amicos eius somno se dedisse, *ὡς δ' ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος.* Itaque divinitus eum de terra sublatum esse visum. Hippobotus vero, ibid. 69, Aetnae craterem insiluisse, cf. Horat. ep. II 3, 464; Karsten 54. Alias fabulas de morte eius v. Diog. 73 et 74. At idem in § 71: *τούτοις δ' ἐναντιοῦται Τίμαιος, ῥητῶς λέγων ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον καὶ τὸ σύνολον οὐκ ἐπανῆλθεν.* — 72. *τετελεύτηκεν οὖν ἐν Πελοποννήσῳ* (ex Timaeo).

cripta

i. De scriptis eius disserunt Sturz, Karsten, Stein. Alterum est carmen *περὶ φύσεως*, ad Pausaniam, medicum ut videtur, scriptum, alterum *Καθαρμοὶ* ad Agrigentinos de vita sancte et caste agenda. Amborum versus plus 450 extant. Veterum iudicia v. Diog. VIII 66. 70. Platonis minorem habet admirationem, v. Soph. 242 E: *Σικελαὶ Μοῦσαι μαλακώτεραι.* Aristotelis severiora iudicia collegit Zeller I⁴ 741⁴. Certe is Democritum Parmenidem Anaxagoram praetulit. Idem tamen ap. Diog. VIII 57. *ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος.* Timon fr. 49, Sillogr. p. 166 W. *Ἐμπεδοκλῆς ἀγοραίων ληκητὴς ἐπέων.* Summas vero laudes ei, ut de Neoplatonicis non dicam, tribuit perpetuus imitator Lucretius I 716.

de humana cognitione

Sextus Math. VII 123. *Λέγει δὲ (Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος) περὶ μὲν τοῦ μὴ ἐν ταῖς αἰσθήσεσι τὴν κρίσιν τἀληθοῦς ὑπάρχειν οὕτως·* 130

Στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται[1]*·*
πολλὰ δὲ δείλ' ἔμπαια τά τ' ἀμβλύνουσι μερίμνας.
παῦρον δὲ ζωῆς ἀβίου μέρος ἀθρήσαντες,
ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν,

1) Cf. Vol. Herc. C. A. VII c. 22.

αὐτὸ μόνον πεισθέντες ὅτῳ προσέκυρσεν ἕκαστος
πάντοσ' ἐλαυνόμενος, τὸ δ' ὅλον μὰψ εὔχεται εὑρεῖν·
οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ
οὔτε νόῳ περιληπτά.

124. περὶ δὲ τοῦ μὴ εἶναι εἰς τὸ παντελὲς ἄληπτον τὴν ἀλήθειαν, ἀλλ' ἐφ' ὅσον ἱκνεῖται ὁ ἀνθρώπινος λόγος ληπτὴν ὑπάρχειν, διασαφεῖ τοῖς προκειμένοις ἐπιφέρων·

σὺ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης, — de suo studio veritatis
πεύσεαι οὐ πλέον ἠὲ βροτείη μῆτις ὄρωρε.

καὶ διὰ τῶν ἑξῆς ἐπιπλήξας τοῖς πλέον ἐπαγγελλομένοις γιγνώσκειν, παρίστησιν ὅτι τὸ δι' ἑκάστης αἰσθήσεως λαμβανόμενον πιστόν ἐστι, τοῦ λόγου τούτων ἐπιστατοῦντος, καίπερ πρότερον καταδραμὼν τῆς ἀπ' αὐτῶν πίστεως. φησὶ γάρ·

11 Ἀλλὰ θεοί, τῶν μὲν μανίην ἀποτρέψατε γλώσσης,
ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν.
καὶ σέ, πολυμνήστη λευκώλενε παρθένε Μοῦσα,
ἄντομαι, ὧν θέμις ἐστὶν ἐφημερίοισιν ἀκούειν,
πέμπε παρ' Εὐσεβίης ἐλάουσ' εὐήνιον ἅρμα.

Vs. 2. στεινοπόροι Preller in Zimmermanni Annal. 1837, p. 155 ex Theophr. sens. 7. — Vs. 3. libri πολλὰ δὲ δειλεμπέα τά τ' ἀμβλ. Procl. in Tim. 175. ὃ καὶ Ἐμπ. ἡμῶν κατοδυρόμενος ἔφη· πολλὰ δὲ δείν' ἔπεα, τά τε ἀμβλ. μερίμνας· πολλὰ γὰρ ἐμπίπτοντα τοῖς ὄντως ἡμῖν δειλοῖς — ἀμβλύνει τὴν τῶν ὄντων θεωρίαν. Corr. Bergk et Emperius. δείν' ἔμπαια Karsten. — Vs. 4. libri ζωῆσι vel ζώοισι βίου. Corr. Scaliger. — Vs. 7. libri τὸ δὲ ὅλον εὔχεται. Corr. Stein. τὸ δ' ὅλον πᾶς Bergk. — Vs. 8. οὕτως Diog. IX 73, Sext. αὕτω, superscr. o, vel αὐτός. — Vs. 9. δ' add. Bergk. — Vs. 10. οὐ πλεῖόν γε trad., οὐ πλέον ἦγε Bergk, nisi malis βροτοῖς ἤ. οὐ πλείων γε Hermann. ὃ πλεῖστόν γε βροτείη μῆτις ὄπωπεν P. πεύσεαι οὐ πλέον' ἠὲ Karsten. οὐ πλέον ἠέ Stein. Hoc dicit: Tu ergo, quandoquidem in hanc vitam delatus es, quantum humana ratio valet cognosces. — Vs. 14. „Concede mihi ut quantum fas est mortalibus audiam, tuque prosequere me a Pietate agili curru profecta.“ Bergk vs. 15 (*Kl. Schr.* II 26): πέμπε δέ μ' Εὐσ. ἐλ. εὐ. ἅρμα. — Post vs. 15 RP lacunam indicaverant, quod reliqua responderet Musa, nam vulg. est σέ γ', quod etiam Karsten defendit. Quae sequuntur obscurum est quorsum pertineant. Bergkii illud βιήσεαι sic adhibeas: „ac nolim me cogas coronas sumere ea condicione ut plus quam fas sit dicam.“ Ibycus, fr. 24. δέδοικα μή τι πὰρ θεοῖς ἀμβλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω. (Monuit H. Diels).

μηδέ μέ γ' εὐδόξοιο βιήσεαι ἄνθεα τιμῆς
πρὸς θνητῶν ἀνελέσθαι, ἐφ' ᾧ θ' ὁσίης πλέον εἰπεῖν
θάρσεϊ, καὶ τότε δὴ σοφίης ἐπ' ἄκροισι θοάζειν.
ἀλλ' ἄγ' ἄθρει πάσῃ παλάμῃ πῇ δῆλον ἕκαστον,
μήτε τιν' ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν
ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης,
μήτε τι τῶν ἄλλων, ὅπῃ πόρος ἐστὶ νοῆσαι,
γυίων πίστιν ἔρυκε, νόει δ' ᾗ δῆλον ἕκαστον [a].

a. Est pars exordii carminis de natura rerum, quo de vitae brevitate et miseria, de humanae cognitionis angustiis, de sensuum fallaciis queritur. Nihilominus se veritatem, quantum quidem humani ingenii acies valeat, explicaturum, adiuvantibus Musa et Pietate. Cf. Xenophan. RP 87. Parmenid. vs. 30, RP 93. Adde Cic. Acad. pr. II 74. Patet errare eos, qui Empedoclem Scepticis adnumerandum putabant, v. Cic. Acad. post. I 12; Diog. IX 73.

elementa Plac. I 3, 20. Dox. 286. Ἐμπεδοκλῆς Μέτωνος Ἀκρα- 131 A
γαντῖνος τέτταρα μὲν λέγει στοιχεῖα, πῦρ ἀέρα ὕδωρ γῆν, δύο δὲ ἀρχικὰς δυνάμεις, φιλίαν τε καὶ νεῖκος· ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ διαιρετικόν. φησὶ δὲ οὕτως·

33 τέσσαρα τῶν πάντων ῥιζώματα [a] πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος [b] ἠδ' Ἀιδωνεύς,
Νῆστίς θ', ἣ δακρύοις [c] τέγγει κρούνωμα [1] βρότειον.

Δία μὲν γὰρ λέγει τὴν ζέσιν καὶ τὸν αἰθέρα, Ἥρην δὲ φερέσβιον τὸν ἀέρα, τὴν δὲ γῆν τὸν Ἀιδωνέα. Νῆστιν δὲ καὶ κρούνωμα βρότειον οἱονεὶ τὸ σπέρμα καὶ τὸ ὕδωρ. Cf. Sext. Math. IX 362. X 315. Hippol. Ref. VII 29.

Plac. I 30. Dox. 326. Ἐμπεδοκλῆς φύσιν μηδενὸς εἶναι, 131 B
μῖξιν δὲ τῶν στοιχείων καὶ διάστασιν· γράφει γὰρ οὕτως ἐν τῷ πρώτῳ Φυσικῶν·

Vs. 16. Vulg. βιήσεται. Bergk σύ γ' — βιήσεαι — ἀναδεῖσθαι. — Vs. 17. libri ἐφωθοείης, ἐφ' ᾧ θοείης, ἐφ' ᾧ θώῃς. Clem. Strom. V, 628 P. ἐφ' ᾧθ' ὁσίης. Deinceps libri εἰπεῖν. θάρσει καὶ τότε δὴ — θοάζει vel θοάζῃ. Praeeunte Hermanno corr. Bekker. θόαζε Panz. — Vs. 19. Libri ἀλλὰ γὰρ ἄθρει πᾶς. Corr. Bergk. — Vs. 20. Bergk τι. Bergk et Bekker πιστήν. Steinhart: πίστιν πλέον ἢ κατὰ κούρην. Panz. πιστοῦ. — Vs. 22. Vulg. ὁπόσῃ. Corr. Karsten. Stein ὁπόσων. — Vs. 23. δ' Karsten pro vulgato θ'.

1) De locutione τέγγει κρούνωμα v. Lobeck ad Soph. Aiac. Vs. 376.

36 Ἄλλο δέ τοι ἐρέω· φύσις οὐδενός ἐστιν ἁπάντων 77
θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή,
ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων
ἐστί, φύσις δ' ἐπὶ τοῖς [1] ὀνομάζεται ἀνθρώποισιν [d].

a. Quatuor elementa primum Empedoclem statuisse affirmat Aristoteles Met. I 4, 985 a 31. I 7, 988 a 27; Gen. et Corr. II 1, 328 b 33. Plato primus στοιχεῖα nominavit, v. Eudem. ap. Simpl. phys. 2 r. 7, 13 D. et Diog. III 24.

b. Schneidewin *Philologus* VI 156 coniungit adiectivum φερέσβιος cum Plutonis nomine. Et decepit illud Heraclitum, Diogenem (VIII 76), Stobaeum, Hippolytum, alios (Z. I⁴ 686 [1]), ut Iunonem pro terra acciperent. De hoc errore cf. Diels Dox. 89 et 90. Videlicet Iuno est aer, Pluto terra, Νῆστις aqua, nomine ducto a νάω, ut ναρός, Νηρεύς. Apud Siculos colebatur quaedam dea Nestis, v. Eustath. Il. p. 1180, 14. Aliis locis aliis nominibus eadem elementa appellat, v. 78; 333, 211, 215; 197, 377; 187, 198, 203. Cf. Karsten p. 334; Krische p. 125. — nomina mythologica

c. Lucr. I 34
in saxis ac speluncis permanat aquarum
liquidus umor et uberibus flent omnia guttis.

d. Similes versus 45—54, ap. Plut. Colot. 12: 347 — nihil oritur nihil interit

νήπιοι, οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
οἳ δὴ γίγνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν
ἤ τι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἁπάντῃ.
ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γενέσθαι 81
καί τ' ἐὸν ἐξαπολέσθαι ἀνήνυστον καὶ ἄπυστον [2]·
αἰεὶ γὰρ στήσονται ὅπῃ κέ τις αἰὲν ἐρείδῃ.
οὐκ ἂν ἀνὴρ τοιαῦτα σοφὸς φρεσὶ μαντεύσαιτο,
ὡς ὄφρα μέν τε βιοῦσι, τὸ δὴ βίοτον καλέουσι,
τόφρα μὲν οὖν εἰσὶν καί σφιν πάρα δειλὰ καὶ ἐσθλά,
πρὶν δὲ πάγεν τε βροτοὶ καὶ ἐπεὶ λύθεν, οὐδὲν ἄρ' εἰσίν.

e*. Elementa nec facta neque interitura. Arist. Met. I 3. 984 a 8. Ἐμπεδοκλῆς δὲ τὰ τέτταρα .... ταῦτα γὰρ ἀεὶ διαμένειν καὶ οὐ γίγνεσθαι ἀλλ' ἢ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα εἰς ἕν τε καὶ ἐξ ἑνός.

f*. Ipsa non ex antiquiore aliquo orta. Arist. Gen. et Corr. I 8. 325 b 19. Ἐμπεδοκλεῖ δὲ τὰ μὲν ἄλλα φανερὸν ὅτι μέχρι τῶν στοιχείων ἔχει τὴν γένεσιν καὶ τὴν φθοράν, αὐτῶν δὲ τούτων πῶς γίνεται καὶ φθείρεται τὸ σωρευόμενον μέγεθος οὔτε δῆλον οὔτε ἐνδέχεται λέγειν αὐτῷ μὴ λέγοντι καὶ τοῦ πυρὸς εἶναι στοιχεῖον, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἁπάντων. De Ritteri dubitationibus Z. I⁴ 691 [1].

---

1) Arist. Met. IV 4 1015 a 2 φύσις δ' ἐπὶ τοῖς. In Placitis: δὲ βροτοῖς. — 2) Cf. Diels, *Hermes* XV p. 162.

g*. Quatuor principia nonnunquam in duo contrahere videtur. Ar. Met. I 4. 985 a 31: ἔτι δὲ τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα τέτταρα πρῶτος εἶπεν· οὐ μὴν χρῆταί γε τέτταρσιν, ἀλλ' ὡς δυσὶν οὖσι μόνοις, πυρὶ μὲν καθ' αὑτὸ τοῖς δ' ἀντικειμένοις ὡς μιᾷ φύσει, γῇ τε καὶ ἀέρι καὶ ὕδατι. λάβοι δ' ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν. Idem Gen. et Corr. II 3, 330 b 19. ἔνιοι δ' εὐθὺς τέτταρα λέγουσιν, οἷον Ἐμπεδοκλῆς· συνάγει δὲ καὶ οὗτος εἰς τὰ δύο· τῷ γὰρ πυρὶ τἆλλα πάντα ἀντιτίθησιν.

h*. Duo paria principiorum diversorum. Simpl. Phys. 43 r. 197, 10 D. Ἐμπ. γοῦν, καίτοι δύο ἐν τοῖς στοιχείοις ἐναντιώσεις ὑποθέμενος θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ εἰς μίαν τὰς δύο συνεκορύφωσε τὴν τοῦ νείκους καὶ τῆς φιλίας, ὥσπερ καὶ ταύτην εἰς μονάδα τὴν τῆς ἀνάγκης.

amor et discordia

Empedocles ap. Simpl. Phys. 34 r. 158, 1 D. 132

Δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι.
δοιὴ δὲ θνητῶν γένεσις, δοιὴ δ' ἀπόλειψις·
τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀλέκει τε,
ἡ δὲ πάλιν διαφυομένων θρυφθεῖσα διέπτη a.
καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα Νείκεος ἔχθει.
οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι
ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι,
τῇ μὲν γίγνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ᾗ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.

* * *

Ἀλλ' ἄγε μύθων κλῦθι· μάθη γάρ τοι φρένας αὔξει·
ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων, πείρατα μύθων
δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι

N. 132. Vs. 65. Stein θρεφθεῖσα. — Vs. 67—73 etiam ap. Simpl. de Caelo. — Vs. 68. 69 ap. Simpl. Phys. 6 v. 25 D; 8 r. 33 D; 310 r; Diog. VIII 76. — Vs. 67. Simpl. 8 r. εἰς ἕνα κόσμον. — Vs. 68. Simpl. 310 r, 8 r, δίχ' ἕκαστα. 34 r δίχα πάντα. — Vs. 69 qui ap. Simpl. hoc loco intercidit, adscitus est e fol. 7 v. 33, 26 D. — Vs. 69—73. Arist. Phys. VIII 1 250 b 30 (Bekker ἠμὲν—ἠδὲ). — Vs. 73. ἀκίνητον Bergk, ακινητί Panzerbieter. — Vs. 74. Simpl. μέθη, Bergk μάθη

ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι,
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος,
Νεῖκός τ' οὐλόμενον δίχα τῶν ἀτάλαντον ἑκάστῳ [b]
καὶ Φιλότης ἐν τοῖσιν ἴση μῆκός τε πλάτος τε [c]·
τὴν σὺ νόῳ δέρκου, μηδ' ὄμμασιν ἧσο τεθηπώς·
ἥτις καὶ θνητοῖσι νομίζεται ἔμφυτος ἄρθροις,
τῇ τε φίλα [d] φρονέουσι καὶ ἄρθμια ἔργα τελοῦσι,
Γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην·
τὴν οὔτις γ' ἴσσοισιν ἑλισσομένην δεδάηκε
θνητὸς ἀνήρ· σὺ δ' ἄκουε λόγων στόλον οὐκ ἀπατηλόν.
* * *
Ταῦτα γὰρ ἶσά [e] τε πάντα καὶ ἥλικα γένναν ἔασι,
τιμῆς δ' ἄλλης ἄλλο μέδει, πάρα δ' ἦθος ἑκάστῳ.
[ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο.]
καὶ πρὸς τοῖς οὔτ' ἄλλ' ἐπιγίνεται οὐδ' ἀπολήγει·
εἴτε γὰρ ἐφθείροντο διαμπερές, οὐκέτ' ἂν ἦσαν
* * *
Οὐδέ τι τοῦ παντὸς κενεὸν [f] πέλει οὐδὲ περισσόν·
τοῦτο δ' ἐπαυξήσειε τὸ πᾶν τί κε καὶ πόθεν ἐλθόν;
πῇ δὲ καὶ ἐξαπολοίατ', ἐπεὶ τῶνδ' οὐδὲν ἔρημον;
ἀλλ' αὔτ' [g] ἐστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα [h]
γίνεται ἄλλοθεν ἄλλα καὶ ἠνεκές, αἰὲν ὁμοῖα.

a. Hoc dicit: mortalia ex elementis immortalibus gignuntur, vel cum e sphaero, quem vocat, res prodeunt vel cum redeunt in eundem; eadem utroque tempore recidunt, modo seiunctione continuata modo con-

---

Vs. 77—80. Simpl. Phys. 6 v. 26, 1 D. — V. 78—80. Sextus Math. IX 10; X 317. — Vs. 78. Simpl. ἀέρος s. ἠέρος ἄπλετον ὕψος. — Clem. αἰθέρος ἄπλετον ὕψος. Plut. Discr. Adul. et Am. 32. αἰθέρος ἤπιον ὕψος. — Vs. 79. ἕκαστον Simpl. ἀπάντῃ Sextus utroque loco. ἑκάστῳ Panzerbieter, ἀπάλαιστον ἑκάστῳ Usener. — Vs. 82. Bergk et Karsten ἐνίζεται. — Vs. 83. καὶ ἄρ' ὅμοια cod. F. ἰδ' ὁμοίια Aldina. — Vs. 85. Simpl. οὔτις μετ' ὅσοισιν vel ὅσσοισιν. Panzerb. ὅλοισιν. — Vs. 87. Excidisse aliquid vidit Stein. Agitur de elementis, cf. Arist. Gen. Corr. II 6. Propterea is versus, qui seq. ap. Simpl., ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο, eiciendus videbatur. Et est alia eius sedes Simpl. 8 r. — V. 89. καὶ πρὸς τοῖς οὔτ' ἄρτι Simpl. cod. DE. Sturz καὶ πρὸς τοῖς ἄρα οὔτε τι γίνεται. **RP** olim: τοῖσιν ἄρ' οὔτ'. — Vs. 90. Vulg. ἐφθ. διαμπερές, οὐκέτ'. — Vs. 91 extat in Placitis I 18. Dox. 316, 2. Adiecit Stein coll. Ps.-Arist. de Meliss. 2. — Vs. 93. πῇ δέ κε καὶ κῆρυξ ἀπόλοιτο Simpl. cod. DE. Corr. Stein. — Vs. 95. cod. ἄλλοτε.

iunctione. Z. I[4] 683, 4 fin.; cf. Panzerbieter *Beitr.* 7, Steinhart p. 94, Stein p. 38.

b. *Νεῖκος ἀτάλαντον ἁπάντῃ* [1] significaret undique aequalibus ponderibus libratum s. omni ex parte aequale; aptius *Φιλία* dicitur *ἴση μῆκός τε πλάτος τε.*

Amor et discordia. — Simpl. Phys. 6 v. 25, 21 D. *τὰ μὲν σωματικὰ στοιχεῖα ποιεῖ τέτταρα, πῦρ καὶ ἀέρα καὶ ὕδωρ καὶ γῆν, ἀίδια μὲν ὄντα πλήθει καὶ ὀλιγότητι, μεταβάλλοντα δὲ κατὰ τὴν σύγκρισιν καὶ διάκρισιν, τὰς δὲ κυρίως ἀρχάς, ὑφ᾽ ὧν κινεῖται ταῦτα, φιλίαν καὶ νεῖκος. δεῖ γὰρ διατελεῖν ἐναλλὰξ κινούμενα τὰ στοιχεῖα, ποτὲ μὲν ὑπὸ τῆς φιλίας συγκρινόμενα, ποτὲ δὲ ὑπὸ τοῦ νείκους διακρινόμενα· ὥστε καὶ ἓξ εἶναι κατ᾽ αὐτὸν τὰς ἀρχάς. καὶ γὰρ ὅπου μὲν ποιητικὴν δίδωσι δύναμιν τῷ νείκει καὶ τῇ φιλίᾳ, ὅταν λέγῃ* (seq. vs. 67. 68 St.), *ποτὲ δὲ τοῖς τέτταρσιν ὡς ἰσόστοιχα συντάττει καὶ ταῦτα, ὅταν λέγῃ* (sq. vs. 76—79 St.). (Theophr. fr. 3, Dox. 477.)

c. Arist. Gen. et Cor. I 1. *Ἐμπεδοκλῆς τὰ μὲν σωματικὰ τέσσαρα, τὰ δὲ πάντα μετὰ τῶν κινούντων ἓξ τὸν ἀριθμόν.*

Aeterna sunt. Cf. Hippolyt. Ref. VII 29 (emend. Schneidewin l. c.)

110 *ἦ γὰρ καὶ πάρος ἦν τε καὶ ἔσσεται, οὐδέ ποτ᾽, οἴω,*
τούτων ἀμφοτέρων κεινώσεται ἄσπετος αἰών,

et eum versum qui memoratur ap. Simplic. Phys. 8 r (34 r). 33, 19 D.

112 *ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο* [2].

Varia nomina amoris *φιλία, φιλότης, ἁρμονία, Ἀφροδίτη, στοργή, γηθοσύνη, Κύπρις,* discordiae *Νεῖκος, Κότος, Δῆρις, Ἄρης.*

d. Ad boni et mali notionem revocantur. Arist. Met. I 4. 984 b 32: *ἐπεὶ δὲ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐνεφαίνετο ἐν τῇ φύσει, καὶ οὐ μόνον τάξις καὶ τὸ καλὸν ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν . . . . οὕτως ἄλλος τις φιλίαν εἰσήνεγκε καὶ νεῖκος, ἑκάτερον ἑκατέρων αἴτιον τούτων. εἰ γάρ τις ἀκολουθοίη καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν Φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν, τὸ δὲ Νεῖκος τῶν κακῶν· ὥστ᾽ εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ᾽ ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον αὐτὸ τἀγαθόν ἐστι καὶ τῶν κακῶν τὸ κακόν.* Similiter Plut. de Iside 48, 370. *Ἐμπ. δὲ τὴν ἀγαθουργὸν ἀρχὴν Φιλότητα καὶ Φιλίαν, πολλάκις δὲ Ἁρμονίαν καλεῖ θεμερῶπιν, τὴν δὲ χείρονα Νεῖκος οὐλόμενον καὶ Δῆριν αἱματόεσσαν.*

e. Quatuor elementorum eadem est vis atque copia. De hac aequalitate disputat Arist. Gen. et Corr. II 6. 333 a 20.

f. Vacuum esse omnino negat. — Arist. de Caelo IV 2. 390 a 19. *ἔνιοι μὲν οὖν τῶν μὴ φασκόντων εἶναι κενὸν οὐδὲν διώρισαν περὶ κούφου καὶ βαρέος οἷον Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς.* Theophr. sens. 13.

---

1) Pro voc. *ἁπάντῃ* faciunt Arat. 22 *ἔχει δ᾽ ἀτάλαντον ἁπάντῃ | μεσσηγὺς γαῖαν,* et Parmen. 103 *ἰσοπαλὲς πάντῃ.* — 2) Simpl. fol. 34 *χρόνοιο.*

Dox. 503. ἔτι δὲ πότερον οἱ πόροι κενοὶ ἢ πλήρεις; εἰ μὲν γὰρ κενοί, συμβαίνει διαφωνεῖν ἑαυτῷ, φησὶ γὰρ ὅλως οὐκ εἶναι κενόν· εἰ δὲ πλήρεις, ἀεὶ ἂν αἰσθάνοιτο τὰ ζῷα. Cf. Lucret. I 742.

g. Empedocles ap. Simpl. Phys. 34 r. 159, 24 D.

108 αὐτὰ γὰρ ἔστιν ταῦτα. δι' ἀλλήλων δὲ θέοντα 136
γίγνεται ἀλλοιωπά, τόσον [1] διὰ κρᾶσις ἀμείβει.

h. Foramina atque effluvia. — Plut. Qu. Nat. 19, 3. σκόπει δὴ κατ' Ἐμπεδοκλέα γνοὺς ὅτι „πάντων εἰσὶν ἀπορροαὶ ὅσσ' ἐγένοντο"· οὐ γὰρ ζῴων μόνον οὐδὲ φυτῶν, οὐδὲ γῆς καὶ θαλάττης, ἀλλὰ καὶ λίθων ἄπεισιν ἐνδελεχῶς πολλὰ ῥεύματα καὶ λίθων καὶ σιδήρου. Arist. Gen. et Corr. I 8. 324 b 26. τοῖς μὲν οὖν δοκεῖ πάσχειν ἕκαστον διά τινων πόρων εἰσιόντος τοῦ ποιοῦντος ἐσχάτου καὶ κυριωτάτου (quae sequuntur v. RP 139 d, p. 147) — 324 b 34. μίγνυσθαί φησιν ὅσων οἱ πόροι σύμμετροί εἰσιν.

Emped. v. 284. (272) οἴνῳ ὕδωρ μὲν μᾶλλον ἐνάρθμιον αὐτὰρ ἐλαίῳ
οὐκ ἐθέλει.

Emped. v. 189 (329):

ὣς δ' αὔτως ὅσα κρᾶσιν ἐπαρτέα μᾶλλον ἔασιν,
ἀλλήλοις ἔστερκται, ὁμοιωθέντ' Ἀφροδίτῃ,
ἐχθρὰ ⟨δὲ⟩ πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα [2],
γέννῃ τε κράσει τε καὶ εἴδεσιν ἐκμακτοῖσιν.

i*. Ab Aristotele dicitur in describenda vi illorum principiorum parum sibi constare. Met. I 4. 985 a 21. καὶ Ἐμπ. ἐπὶ πλέον μὲν τούτου (Ἀναξαγόρου, RP 123 d) χρῆται τοῖς αἰτίοις, οὐ μὴν οὔθ' ἱκανῶς, οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον· πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν Φιλία διακρίνει, τὸ δὲ Νεῖκος συγκρίνει. ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα διίστηται τὸ πᾶν ὑπὸ τοῦ νείκους, τό τε πῦρ εἰς ἓν συγκρίνεται καὶ τῶν ἄλλων στοιχείων ἕκαστον. ὅταν δὲ πάλιν πάντα ὑπὸ τῆς φιλίας συνίωσιν εἰς τὸ ἕν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν. Cf. Ar. Gen. et Corr. I 1. II 6. Metaph. III 4. 1000 a 24. καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως αὐτῷ, Ἐμπεδοκλῆς, καὶ οὗτος ταὐτὸν πέπονθεν· τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν τῆς φθορᾶς τὸ Νεῖκος, δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο γεννᾶν ἔξω τοῦ ἑνός· ἅπαντα γὰρ ἐκ τούτου τἆλλά ἐστι πλὴν ὁ θεός (RP 133). λέγει γοῦν·

Aristotelis iudicium

104 ἐξ ὧν [3] πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔσθ' ὅσα τ' ἔσται ὀπίσσω [4], 132
δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες,
θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς,
καί τε θεοὶ δολιχαίωνες [5].

Metaph. 1000 b 9. ἀλλ' ὅθεν δὴ ὁ λόγος, τοῦτό γε φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι αἴτιον. ὁμοίως δ' οὐδ' ἡ φιλότης τοῦ εἶναι· συνάγουσα γὰρ εἰς τὸ ἓν φθείρει τἆλλα.

---

1) Corr. Diels, *Hermes* XV 163, ad Simpl. p. 159. — 2) ἄμικτα Karsten, cl. vs. 176, RP p. 138. — 3) Amorem et discordiam dicit. — 4) Simpl. Phys. 34 r. 159, 21 D. ἐκ τούτων γὰρ πάντ' ὅσα τ' ἦν ὅσα τ' ἔστι καὶ ἔσται. — 5) Simpl. supplet vs. τιμῇσι φέριστοι.

k*. Sorti ac Fato locum dat. — Arist. Gen. et Cor. II 6. 334 a 1. *διέκρινε μὲν γὰρ τὸ νεῖκος, ἠνέχθη δ' ἄνω ὁ αἰθὴρ οὐχ ὑπὸ τοῦ νείκους, ἀλλ' ὁτὲ μέν φησιν ὥσπερ ἀπὸ τύχης, „οὕτω γὰρ συνέκυρσε θέων τοτέ, ἄλλοθι δ' ἄλλως", ὁτὲ δέ φησι πεφυκέναι τὸ πῦρ ἄνω φέρεσθαι.* Ar. Phys. VIII 1. 252 a 5. *ἔοικε τὸ οὕτω λέγειν πλάσματι μᾶλλον. ὁμοίως δὲ καὶ τὸ λέγειν ὅτι πέφυκεν οὕτως καὶ ταύτην δεῖ νομίζειν εἶναι ἀρχήν, ὅπερ ἔοικεν Ἐμπεδοκλῆς ἂν εἰπεῖν, ὡς τὸ κρατεῖν καὶ κινεῖν ἐν μέρει τὴν φιλίαν καὶ τὸ νεῖκος ὑπάρχει τοῖς πράγμασιν ἐξ ἀνάγκης, ἠρεμεῖν δὲ τὸν μεταξὺ χρόνον.*

l*. Caute sunt accipiendae recentiorum interpretationes. Plac. I 26. Dox. 321: *Ἐμπεδοκλῆς οὐσίαν ἀνάγκης αἰτίαν χρηστικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων.* Cf. Simpl. Phys. 43r, RP 131 h. Stob. Ecl. I 60 (excidit nomen Empedoclis): *τὸ μὲν ἓν τὴν Ἀνάγκην, ὕλην δὲ αὐτῆς* [1] *τὰ τέσσαρα στοιχεῖα, εἴδη δὲ τὸ Νεῖκος καὶ τὴν Φιλίαν.* Hippolyt. Ref. VII 29. *Ἀνάγκην καλῶν τὴν ἐξ ἑνὸς εἰς πολλὰ κατὰ τὸ Νεῖκος καὶ ἐκ πολλῶν εἰς ἓν κατὰ τὴν Φιλίαν μεταβολήν.*

Σφαῖρος Simplic. Phys. 272 v. (med.) *Εὔδημος* [*Ἐμπεδοκλῆς* Peyron] *δὲ τὴν ἀκινησίαν ἐν τῇ τῆς Φιλίας ἐπικρατείᾳ κατὰ τὸν Σφαῖρον ἐκδέχεται. ἐπειδὰν ἅπαντα συγκριθῇ,* 133 A

135 *ἔνθ' οὔτ' Ἠελίοιο διείδεται ὠκέα γυῖα,* 72

ἀλλ', ὥς φησιν,

οὕτως Ἁρμονίης πυκινῷ κρύφῳ ἐστήρικται 59

138 *Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέϊ γαίων.* [a]

ἀρξαμένου δὲ πάλιν τοῦ Νείκους ἐπικρατεῖν, τότε πάλιν κίνησις ἐν τῷ Σφαίρῳ γίγνεται·

142 *πάντα γὰρ ἑξείης πελεμίζετο γυῖα θεοῖο.* [b] 70

— — *λέγει δὲ καὶ ταῦτα Ἐμπεδοκλῆς ἐπὶ τῆς τοῦ Νείκους ἐπικρατείας·*

139 *αὐτὰρ ἐπεὶ μέγα Νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη* 66
ἐς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο,
ὅς σφιν ἀμοιβαῖος πλατέος παρ' ἐλήλαται Ὅρκου [c].

ἀκοσμία Plut. Fac. lun. 12, p. 926. *Ὅρα καὶ σκόπει —, μὴ διάλυσίν τινα κόσμου φιλοσοφῇς καὶ τὸ Νεῖκος ἐπάγῃς τὸ Ἐμ-* 133 B

1) Wachsmuth *αὐτοῦ*. De omni hoc loco RP 116 a. Z. I⁴ 537².

N. 133, vs. 135. Libri *ὠκέα γυῖα* (cf. vs. 142), Bergk *ὠκέα αἴγλη*, Karsten *ὀξέα αὐγή*. Libri *διείδεται*. Karsten *δεδίσσεται* (e Plutarchi cd.) vel *δεδίσκεται*, i. e. *δείκνυται*. — Vs. 137. Libri deter. *κρύφα*, K. *κρύφῳ* (cod. A), Stein *κύτει*. — Vs. 139—141 etiam ap. Arist. Met. III 4. 1000 b 14.

πεδοκλέους τοῖς πράγμασι, μᾶλλον δὲ τοὺς παλαιοὺς κινῇς Τιτᾶνας ἐπὶ τὴν φύσιν καὶ Γίγαντας[d] *καὶ τὴν μυθικὴν ἐκείνην καὶ φοβερὰν ἀκοσμίαν καὶ πλημμέλειαν ἐπιδεῖν ποθῇς· „χωρὶς τὸ βαρὺ πᾶν καὶ χωρὶς τὸ κοῦφον“,*

135 *ἔνθ' οὔτ' ἠελίοιο δεδίσκεται ἀγλαὸν εἶδος,*[e] 72
οὐδὲ μὲν οὐδ' αἴης λάσιον μένος οὐδὲ θάλασσα,

ὥς φησιν Ἐμπεδοκλῆς· οὐ γῆ θερμότητος μετεῖχεν, οὐχ ὕδωρ πνεύματος, οὐκ ἄνω τι τῶν βαρέων, οὐ κάτω τι τῶν κούφων, ἀλλ' ἄκρατοι καὶ ἄστοργοι καὶ μονάδες αἱ τῶν ὅλων ἀρχαί, μὴ προσιέμεναι σύγκρισιν ἑτέρου πρὸς ἕτερον μηδὲ κοινωνίαν, ἀλλὰ φεύγουσαι καὶ ἀποστρεφόμεναι —, ἄχρις οὗ τὸ ἱμερτὸν ἧκεν ἐπὶ τὴν φύσιν ἐκ προνοίας, Φιλότητος ἐγγενομένης καὶ Ἀφροδίτης καὶ Ἔρωτος, ὡς Ἐμπεδοκλῆς λέγει καὶ Παρμενίδης καὶ Ἡσίοδος[f].

a. „Cum omnia (ab Amore scilicet) consociata sunt, tum neque ignis comparet neque aqua (nam sequebantur alii versus, id quod apparet ex Plutarcho), sed Harmoniae denso involucro constrictus est Sphaerus orbiculatus et fruitur quiete per omnes partes diffusa. Deinde, invalescente Discordia, movetur, quassatis omnibus deinceps membris dei“ (i. e. Sphaeri). Cf. Philop. ad Arist. de Gen. et Corr. I 5[r]. (med.) *Ἐμπ. φησι τῆς Φιλίας κρατούσης τὰ πάντα ἓν γίγνεσθαι καὶ τὸν Σφαῖρον ἀποτελεῖν ἄποιον ὑπάρχοντα, ὡς μηκέτι μήτε τὴν τοῦ πυρὸς μήτε τῶν ἄλλων τινὸς σώζεσθαι ἐν αὐτῷ ἰδιότητα.*

b. Eundem etiam neutro genere esse appellatum testatur Simplic. 258[r]. *καὶ θεὸν ἐπονομάζει καὶ οὐδετέρως ποτὲ καλεῖ· Σφαῖρον ἔην.* Aristoteles plerumque *τὸ ἕν*, nonnunquam *τὸν θεόν* dicit.

c. Delapso eo tempore quod iis (amori et contentioni) a valido sacramenti numine quasi ductum, h. e. definitum est. Bonitz ad Ar. Met. III 4. 1000[b] 14—16. Z. I[4] 710[1]. Libri *παρελήλαται* (quod defendit Mullach) et *παρελήλατο.*

d. Gigantes cum Discordia Empedoclis comparat etiam Procl. in Plat. Parm. p. 659 Stallb.: *ἐνταῦθα γὰρ τὸ Ἐμπεδόκλειον Νεῖκος καὶ ὁ γιγαντικὸς πόλεμος, ἐκεῖ δὲ ἡ Φιλία καὶ ἡ ἕνωσις καὶ ἡ ἑνοποιὸς τῶν ὅλων θεός.*

e. Versus 135 videtur idem esse atque ille quem commemorat Simplicius, ut alter his versibus ad effectum Discordiae, alter ad Sphaerum describendum usus sit, rectius sine dubio Simplicius, cum Solis nomine ut aliis locis significetur ignis: quod fraudi fuisse videtur Plutarcho. Cf. Stein p. 46. Reliqua nescio an ad Discordiae effectum describendum pertinuerint, veluti *χωρὶς τὸ βαρύ* etc. aliaque ex Empedocle excerpta, veluti *ἄκρατοι καὶ ἄστοργοι.* Versum effinxit Sturz:

143 *χωρὶς πᾶν τὸ βαρὺ χωρίς τε τὸ κοῦφον* <*ἔθηκεν*>.

Vs. 136. Libri *γένος.* Corr. Bergk. Cf. Emp. vs. 377 et Parmenidis vs. 143 *ἄστρων θερμὸν μένος.*

Melius Diels *Hermes* XV 161:

χωρὶς γὰρ βαρὺ πᾶν καὶ χωρὶς κοῦφον ⟨ἔθηκεν⟩. 71

Aristotelis iudicium

f. Aristoteles Met. III 1, 996 a 4 inter Pythagoreorum et Empedoclis sententiam ita distinguit: *ἔτι δὲ τὸ πάντων χαλεπώτατον καὶ πλείστην ἀπορίαν ἔχον, πότερον τὸ ἓν καὶ τὸ ὄν, καθάπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων ἔλεγεν, οὐχ ἕτερόν τί ἐστιν ἀλλ' οὐσία τῶν ὄντων ἢ οὔ, ἀλλ' ἕτερόν τι τὸ ὑποκείμενον, ὥσπερ Ἐμπεδοκλῆς φησι Φιλίαν, ἄλλος δέ τις πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ ἀέρα.* III 4. 1001 a 12. *οἱ δὲ περὶ φύσεως, οἷον Ἐμπεδοκλῆς, ὡς εἰς γνωριμώτερον ἀνάγων, λέγει ὅ τι τὸ ἓν [ὂν] ἐστιν. δόξειε γὰρ ἂν λέγειν τοῦτο τὴν Φιλίαν εἶναι· αἰτία γοῦν ἐστιν αὕτη τοῦ ἓν εἶναι πᾶσιν*: quibus locis *ἡ Φιλία* dicitur eodem sensu quo ab Eudemo *ἡ τῆς Φιλίας ἐπικράτεια.*

g*. Aliis locis Aristoteles Sphaerum appellat *Ἐμπεδοκλέους τὸ μῖγμα*, comparata plerumque doctrina Anaxagorae. Met. XI 2. 1069 b 20. *καὶ τοῦτο (τὸ δυνάμει ὄν, μὴ ον δὲ ἐνεργείᾳ) ἐστὶ τὸ Ἀναξαγόρου ἕν (βέλτιον γὰρ ἢ ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου.* Cf. Phys. I 4. 187 a 22 (**RP** 12 c.) *ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας· ἐκ τοῦ μίγματος γὰρ καὶ οὗτοι ἐκκρίνουσι τἆλλα.* Duas res vituperat. Met. XI 10. 1075 b 1. *ἀτόπως δὲ καὶ Ἐμπεδοκλῆς· τὴν γὰρ φιλίαν ποιεῖ τὸ ἀγαθόν· αὕτη δ' ἀρχὴ καὶ ὡς κινοῦσα (συνάγει γάρ) καὶ ὡς ὕλη· μόριον γὰρ τοῦ μίγματος. εἰ δὴ καὶ τῷ αὐτῷ συμβέβηκε καὶ ὡς ὕλῃ ἀρχῇ εἶναι καὶ ὡς κινοῦντι, ἀλλὰ τό γ' εἶναι οὐ ταὐτό. κατὰ πότερον οὖν φιλία; ἄτοπον δὲ καὶ τὸ ἄφθαρτον εἶναι τὸ νεῖκος· τοῦτο δ' ἐστὶν αὐτὸ ἡ τοῦ κακοῦ φύσις.*

h*. Subtilius in omnem eius de generatione doctrinam inquirit Aristot. Gen. et Corr. I 1. 315 a 3. *Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐναντία λέγειν καὶ πρὸς τὰ φαινόμενα καὶ πρὸς αὑτὸν αὐτός. ἅμα μὲν γὰρ οὔ φησιν ἕτερον ἐξ ἑτέρου γίγνεσθαι τῶν στοιχείων οὐδέν, ἀλλὰ τἆλλα πάντα ἐκ τούτων, ἅμα δ', ὅταν εἰς ἓν συναγάγῃ τὴν ἅπασαν φύσιν πλὴν τοῦ Νείκους* (**RP** 134), *ἐκ τοῦ ἑνὸς γίγνεσθαι πάλιν ἕκαστον.* — 19. *ἄδηλον δὲ καὶ πότερον ἀρχὴν αὐτῶν θετέον τὸ ἓν ἢ τὰ πολλά, λέγω δὲ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτων. ᾗ μὲν γὰρ ὡς ὕλη ὑπόκειται, ἐξ οὗ μεταβάλλοντα διὰ τὴν κίνησιν γίγνονται γῆ καὶ πῦρ, τὸ ἓν στοιχεῖον. ᾗ δὲ τοῦτο μὲν ἐκ συνθέσεως γίγνεται συνιόντων ἐκείνων, ἐκεῖνα δ' ἐκ διαλύσεως, στοιχειωδέστερα ἐκεῖνα καὶ πρότερα τὴν φύσιν.* II 6. 333 b 19. *ὁ δὲ τὴν μῖξιν μόνον ἐπαινεῖ. καίτοι τά γε στοιχεῖα διακρίνει οὐ τὸ Νεῖκος, ἀλλ' ἡ Φιλία τὰ φύσει πρότερα τοῦ θεοῦ· θεοὶ δὲ καὶ ταῦτα.* Dicit elementa, ex quibus Amoris effectu misceatur Sphaerus ille sive Unum, unde elementa *τὰ φύσει πρότερα*. Ac Met. XII 6. 1072 a 4 actum ab eo priorem, potentiam posteriorem poni arguit.

Simplicii

i*. Aequius rationem Empedoclis aliorumque philosophorum examinat Simplicius de Caelo p. 488 Schol. Brand. *οὗτοι οὖν γενητὸν καὶ ἄφθαρτον λέγοντες τὸν κόσμον τὴν γένεσιν οὐχ ὡς ἀπὸ χρόνου φασὶ δεῖν ἀκούειν, ἀλλ' ἐξ ὑποθέσεως εἰρημένην, διδασκαλίας χάριν τῆς τάξεως τῶν ἐν αὐτῷ προτέρων τε καὶ συνθετωτέρων.* Itaque Empedocles ceterique

physici τὴν τῶν συνθέτων ἀπὸ τῶν ἁπλῶν γένεσιν κατὰ τὸν ἐξ ὑποθέσεως τοῦτον τρόπον φαίνονται παραδιδόντες, ἀπὸ τῶν νῦν ὁρωμένων τὴν ἀνάλυσιν ποιούμενοι τὴν ἐπὶ τὰ ἁπλᾶ, καὶ τὴν ἐκ τῶν ἁπλῶν σύνθεσιν ἐξιστοροῦντες ὡς εἰ καὶ προϋπῆρχε τῷ χρόνῳ τὰ ἐξ ὧν γίγνεται τὰ γιγνόμενα. Cavendum autem ait ne talem Empedocli sententiam tribuamus ut principia ista quondam seorsum exstitisse voluerit.

k*. E sphaero est mundus. Ar. de Caelo III 2. 301 a 14. ἐκ διεστώτων δὲ καὶ κινουμένων οὐκ εὔλογον ποιεῖν τὴν γένεσιν. 300 b 19. διὸ καὶ Ἐμπεδοκλῆς παραλείπει τὴν ἐπὶ τῆς φιλότητος. οὐ γὰρ ἂν ἠδύνατο συστῆσαι τὸν οὐρανὸν ἐκ κεχωρισμένων μὲν κατασκευάζων, σύγκρισιν δὲ ποιῶν διὰ τὴν φιλότητα· ἐκ διακεκριμένων γὰρ συνέστηκεν ὁ κόσμος τῶν στοιχείων. ὥστ' ἀναγκαῖον γίνεσθαι ἐξ ἑνὸς καὶ συγκεκριμένου.

Sphaerus ipse non est mundus. Simpl. de Caelo 139 v 16 (Schol. Ar. 489 b 22): Ἐμπ. διάφορα τῶν παρ' αὐτῷ κόσμων τὰ εἴδη ἔλεγεν, ὡς καὶ ὀνόμασι χρῆσθαι διαφόροις, τὸν μὲν σφαῖρον τὸν δὲ κόσμον κυρίως καλῶν.

Interpretes Aristotelis alii Sphaerum dicunt αἴτιον ποιητικόν, alii monadem Pythagoreorum comparant, errantes illi quidem in eo, quod Sphaerum perhibent esse mundum intelligibilem (κόσμον νοητόν), cui sit oppositus mundus adspectabilis (κόσμος αἰσθητός): qua in re Neoplatonicorum opiniones ad veterem philosophum transferunt; v. Sturz 277, Karsten 369, cf. 326.

l*. De interitu rerum. Ar. Met. III 4. 1000 b 17. ἀλλ' ὅμως τοσοῦτόν γε μόνον λέγει ὁμολογουμένως· οὐ γὰρ τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα ποιεῖ τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. Illud vero vix dubium quin ex Heracliti opinionibus falso huc translatum sit, quod est apud Hippolytum I 3, Dox. 558, 17: συνεστάναι ἐκ πυρὸς τὰ πάντα καὶ εἰς πῦρ ἀναλυθήσεσθαι.

134 Empedocles ap. Simpl. Phys. 7 v. 32, 13 D.; de Caelo p. 507 r. Schol. Brand. generatio mundi

Αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων,
τὸν πρότερον κατέλεξα, λόγου λόγον ἐξοχετεύων
κεῖνον· Ἐπεὶ Νεῖκος μὲν ἐνέρτατον ἵκετο βένθος [a]
δίνης, ἐν δὲ μέσῃ Φιλότης στροφάλιγγι γένηται,
ἐν τῇ δὴ τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι,
οὐκ ἄφαρ, ἀλλὰ θεληματὰ συνιστάμεν' ἄλλοθεν ἄλλα.
⟨τῶν δὲ συνερχομένων ἐξ ἔσχατον [b] *ἵστατο Νεῖκος.⟩*

Nr. 134. Vs. 170. Sic Bergk, cf. *Kl. Schr.* II 26 not. Libri λόγῳ λόγον — κεῖνον. Iidem ὑποχετεύων vel ἐποχετεύων vel ἐξοχετεύων. — Vs. 173. Bergk ἔνθ' ἤδη. — Vs. 174. Simpl. Phys. Ald. θέλιμνα, Karsten ἀλλ' ἐθελυμνά, plerique ἐθεληματά.

πολλὰ δ᾽ ἄμιχθ᾽ ἕστηκε [c] *κεραιομένοισιν ἐναλλάξ,*
ὅσσ᾽ ἔτι Νεῖκος ἔρυκε μετάρσιον· οὐ γὰρ ἀμεμφέως
πὼ πᾶν ἐξέστηκεν ἐπ᾽ ἔσχατα τέρματα κύκλου,
ἀλλὰ τὰ μέν τ᾽ ἐνέμιμνε μελέων τὰ δέ τ᾽ ἐξεβεβήκει.
ὅσσον δ᾽ αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπῄει
ἠπιόφρων Φιλότητος ἀμεμφέος ἄμβροτος ὁρμή·
αἶψα δὲ θνήτ᾽ ἐφύοντο τὰ πρὶν μάθον ἀθάνατ᾽ εἶναι·
ζωρά τε τὰ πρὶν ἄκρητα, διαλλάξαντα κελεύθους·
τῶν δέ τε μισγομένων χεῖτ᾽ ἔθνεα μυρία θνητῶν,
παντοίῃς ἰδέῃσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.

a. „Ex quo Discordia in infimum recessit verticem, Amor in medium globum penetravit, iam omnia in unum coeunt, non repente, sed sponte tamen consistentia aliunde alia, quorum e congressu discordia relegatur ad extremos fines. Multa tamen non mixta restant, quaecunque Discordia tenet; nondum enim omnis illa recesserat ad extremas orbis oras, verum pars eius membrorum remansit, pars excessit. Qua autem Discordia refugit, ea tenus insequitur Amoris impetus. Statim mortalia fiunt quae prius erant immortalia, mixta quae prius pura, in se invicem commeantia“ etc. — Describuntur alternantes vices Amoris et Discordiae, quibus conficitur omnis elementorum concretio et discretio h. e. perpetua rerum generatio et dissolutio. Cf. Plato Soph. 242 E. *Ἰάδες δὲ καὶ Σικελαί τινες ὕστερον Μοῦσαι ξυννενοήκασιν ὅτι συμπλέκειν ἀσφαλέστατον ἀμφότερα καὶ λέγειν ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθρᾳ δὲ καὶ φιλίᾳ συνέχεται. διαφερόμενον γὰρ ἀεὶ ξυμφέρεται, φασὶν αἱ συντονώτεραι τῶν Μουσῶν* (Heraclitus **RP** 27, p. 28)· *αἱ δὲ μαλακώτεραι* (Empedocles) *τὸ μὲν ἀεὶ ταῦθ᾽ οὕτως ἔχειν ἐχάλασαν, ἐν μέρει δὲ τοτὲ μὲν ἓν εἶναί φασι τὸ πᾶν καὶ φίλον ὑπ᾽ Ἀφροδίτης, τοτὲ δὲ πολλὰ καὶ πολέμιον αὐτὸ αὑτῷ διὰ Νεῖκός τι.* Arist. Phys. VIII 1. 250 b 26. *ἢ ὡς Ἐμπεδοκλῆς, ἐν μέρει κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν· κινεῖσθαι μὲν ὅταν ἡ Φιλία ἐκ πολλῶν ποιῇ τὸ ἓν ἢ τὸ Νεῖκος πολλὰ ἐξ ἑνός, ἠρεμεῖν δ᾽ ἐν τοῖς μεταξὺ χρόνοις, λέγων οὕτως· ἡ μὲν ἓν ἐκ πλεόνων* (seq. vs. 69—73, **RP** 132).

b. Eum versum Schneidewinus huc referendum duxit. Exstat ap. Stob. Ecl. I 286, ubi adsuitur versibus 33—35, **RP** 131. Arist. Met.

Nr. 134. Vs. 176. Phys. *κερασμένοισιν* et *κερασσαμένοισιν.* — Vs. 177. *ἀμεμφέως* recte Phys., de Caelo *ἀμφαφέως* libri, unde *ἀφαυρῶς* volebat Stein. *ἅμ᾽ ἀμφίς* Panzerb. — *ἀμυσχρῶς* et *ἀθαμβέως* adscripserat Bergk, *Kl. Schr.* II 48 not. Vs. 178. Stein *πάντως ἐξέστηκεν.* Bergk *ἐς τὸ πὰν ἐξέστηκεν.* — Vs. 180. Brandis *ὑπεκροθέοι.* — Vs. 181. Stein *ἠπιόφρων Φιλότης τε καὶ ἔμπεσεν ἄμβρ. ὁρμή.* — Vs. 182. Cf. Theophr. ap. Athen. X 424 A; Arist. Poet. 25, 1461 a 25; Eustath. Il. p. 746, 57. Apud Arist. *ζωρά τε πρὶν κέκρητο.* Bergk *ζωρά τε, πρὶν τὰ κέκρητο.*

III 4, 1000 a 32 (post verba posita RP 132, i). *καὶ χωρὶς δὲ τούτων δῆλον· εἰ γὰρ μὴ ἦν τὸ Νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, ὥς φησιν· ὅταν γὰρ συνέλθῃ, τότε ἔσχατον ἵστατο Νεῖκος. διὸ καὶ συμβαίνει αὐτῷ τὸν εὐδαιμονέστατον θεὸν* (h. e. Sphaerum) *ἧττον φρόνιμον εἶναι τῶν ἄλλων· οὐ γὰρ γνωρίζει τὰ στοιχεῖα πάντα· τὸ γὰρ Νεῖκος οὐκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ*, cf. RP 139.

c. Male interpretantur hos versus quicunque auctores statuunt, mundum hunc non esse nisi particulam quandam universi, reliquas partes inertem esse materiam, i. e. manere etiam nunc sphaerum illum. Est hic error in Plac. I 5. Dox. 291 a 15: *Ἐμπεδοκλῆς δὲ κόσμον μὲν ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλὰ ὀλίγον τι τοῦ παντὸς μέρος, τὸ δὲ λοιπὸν ἀργὴν ὕλην.* Immo temporum ordine, non locorum serie, hic mundus sphaerum illum sequitur. Sic accipimus Simplicii verba (de Caelo 139 v 16), RP 133 k.

135 A Plac. II 6. Dox. 334. *Ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα* [a] *πρῶτον διακριθῆναι, δεύτερον δὲ τὸ πῦρ, ἐφ' ᾧ τὴν γῆν, ἐξ ἧς ἄγαν περισφιγγομένης τῇ ῥύμῃ τῆς περιφορᾶς ἀναβλύσαι τὸ ὕδωρ* [b]*· ἐξ οὗ θυμιαθῆναι τὸν ἀέρα, καὶ γενέσθαι τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ τοῦ πυρός, πιληθῆναι δὲ ἐκ τῶν ἄλλων τὰ περίγεια* [c]. — ordo elementorum prodeuntium

135 B Achilles ad. Arat. c. 4. p. 128. *Ὁ Ἐμπεδοκλῆς οὐ δίδωσι τοῖς στοιχείοις ὡρισμένους τόπους, ἀλλ' ἀντιπαραχωρεῖν ἀλλήλοις φησίν, ὥστε καὶ τὴν γῆν μετέωρον φέρεσθαι, καὶ τὸ πῦρ ταπεινότερον* [d]. — loca

a. Inter aetherem et aerem parum distinxit Empedocles. Sed apparet hoc loco dici aerem tenuiorem caeli stellati, quo mundus omnis cingitur, cf. Emp. ap. Clem. Strom. V 674 P. — aether, aer.

130 *εἰ δ' ἄγε νῦν τοι ἐγὼ λέξω πρῶθ' ἥλιον ἀρχήν,* 182
ἐξ ὧν ἐξεγένοντο τὰ νῦν ἐσορώμενα πάντα,
γαῖά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀήρ,
Τιτὰν ἠδ' αἰθὴρ σφίγγων πέρι κύκλον ἅπαντα. 185

Aer primus secernitur. Ignis evolat. Duo hemisphaeria. Plutarch. ap. Euseb. Praep. Ev. I 8. Dox. 582, 4. *Ἐμπεδοκλῆς — ἐκ πρώτης φησὶ τῆς τῶν στοιχείων κράσεως ἀποκριθέντα τὸν ἀέρα περιχυθῆναι κύκλῳ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν καὶ οὐκ ἔχον ἑτέραν χώραν ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου. εἶναι δὲ κύκλῳ περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια, τὸ μὲν καθόλου πυρός, τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρός, ὅπερ οἴεται τὴν νύκτα εἶναι. τὴν δὲ ἀρχὴν τῆς κινήσεως συμβῆναι ἀπὸ τοῦ τετυχηκέναι κατὰ τὸν ἀθροισμὸν ἐπιβρίσαντος τοῦ πυρός.* De igne exstant verba Empedoclis ap. Eustath. Od. I 320, p. 1419, 30. *τὸ ἀνόπαια — δοκεῖ τισιν ἀντὶ τοῦ ἀνωφερὴς εἶναι ὡρμημένοις ἐκ τῶν Ἐμπεδοκλέους εἰπόντος ἐπὶ πυρὸς τὸ „καρπαλίμως δ' ἀνόπαιον".*

terra **b.** Cur terra non cadat. Aristot. de Caelo II 13. *τὴν γῆν πάντες ὅσοι τὸν οὐρανὸν γεννῶσιν ἐπὶ τὸ μέσον συνελθεῖν φασιν· ὅτι δὲ μένει, ζητοῦσι τὴν αἰτίαν, καὶ λέγουσιν οἱ μὲν — ὥσπερ Ἐμπεδοκλῆς, τὴν τοῦ οὐρανοῦ φορὰν κύκλῳ περιθέουσαν καὶ θᾶττον φερομένην τὴν τῆς γῆς φορὰν κωλύειν, καθάπερ τὸ ἐν τοῖς κυάθοις ὕδωρ· καὶ γὰρ τοῦτο κύκλῳ τοῦ κυάθου φερομένου πολλάκις κάτω τοῦ χαλκοῦ γιγνόμενον ὅμως οὐ φέρεται κάτω πεφυκὸς φέρεσθαι διὰ τὴν αὐτὴν αἰτίαν.* Eadem ratione totus mundus continetur. Aristot. de Caelo II 1. 284 a 24: *οὔτε δὴ τοῦτον τὸν τρόπον ὑποληπτέον, οὔτε διὰ τὴν δίνησιν θάττονος τυγχάνοντα φορᾶς τῆς οἰκείας ῥοπῆς ἔτι σώζεσθαι τοσοῦτον χρόνον, καθάπερ Ἐμπεδοκλῆς φησιν.*

mare Mare sudoris instar. Ar. Meteor. II 3. 357 a 24: *ὁμοίως δὲ γελοῖον καὶ εἴ τις εἰπὼν ἱδρῶτα τῆς γῆς εἶναι τὴν θάλατταν οἴεταί τι σαφὲς εἰρηκέναι, καθάπερ Ἐμπεδοκλῆς· πρὸς ποίησιν μὲν γὰρ οὕτως εἰπὼν ἴσως εἴρηκεν ἱκανῶς (ἡ γὰρ μεταφορὰ ποιητικόν), πρὸς δὲ τὸ γνῶναι τὴν φύσιν οὐχ ἱκανῶς.* Plac. III 16. Dox. 381. *Ἐμπ. ἱδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπὶ τὸ πλεῖον πίλησιν.*

caelum **c.** Plac. II 11. Dox. 339. *Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα.* Caelum igitur conflatum est ex aere s. aethere et ignis vi conglaciatum, nam igni tribuit

sol vim congelandi, v. Aristot. Probl. XXIV 11. De sole Plut. ap. Eus. I 8. Dox. 582, 11. *ὁ δὲ ἥλιος τὴν φύσιν οὐκ ἔστι πῦρ ἀλλὰ τοῦ πυρὸς ἀντανάκλασις, ὁμοία τῇ ἀφ' ὕδατος γινομένῃ.* Plut. Pyth. orac. 12, p. 400. *Ἐμπεδοκλέους καταγελᾶτε φάσκοντος τὸν ἥλιον περιαυγῆ ἀνακλάσει φωτὸς οὐρανίου γενόμενον, αὖθις*

151 *ἀνταυγεῖν πρὸς Ὄλυμπον ἀταρβήτοισι προσώποις,* 188

ubi Olympus dicitur caelum aetherium, cuius lux purior sole tanquam

luna speculo collecta ad nos transmittatur. De luna Plut. ap. Euseb. I 8. Dox. 582, 12. *σελήνην δέ φησιν συστῆναι καθ' ἑαυτὴν ἐκ τοῦ ἀποληφθέντος ἀέρος ὑπὸ τοῦ πυρός. τοῦτον γὰρ παγῆναι καθάπερ καὶ τὴν χάλαζαν· τὸ δὲ φῶς αὐτὴν ἔχειν ἀπὸ τοῦ ἡλίου.* Eandem, si Achillem (ad Arat. 16 p. 77) audimus, *ἀπόσπασμα τοῦ ἡλίου* appellavit. Cf. ipsius versum ibidem traditum:

154 *κυκλοτερὲς περὶ γαῖαν ἑλίσσεται ἀλλότριον φῶς* [1]. 190

motus recentium elementorum Initio perturbationes elementorum. Dies longiores. Tzetz. Exeg. Il. p. 42, 17: *κατὰ γὰρ Ἐμπεδοκλέα τὸν φυσικὸν καὶ μετὰ τὸ γῆν φανῆναι καὶ θάλασσαν ἀτάκτως ἔτι τὰ στοιχεῖα κεκίνητο, ποτὲ μὲν τοῦ πυρὸς ὑπερνικῶντος καὶ καταφλέγοντος, ὁτὲ δὲ τῆς ὑδατώδους ὑπερβλυζούσης καὶ κατακλυζούσης ἐπιρροῆς. καὶ τὸν ἥλιον δὲ ὁ αὐτὸς διὰ τὸ*

---

1) Ad lunam referebat Stein etiam versum 152 (193) *ἡ δὲ φλὸξ ἱλάειρα μιννυθαδίης τύχε γαίης*, Simpl. Phys. 74v. 331, 7 D. E contextu verborum Simplicii conicias significari partem corporis. Stein mutabat *τύχεν αὐγῆς*. Oculum dici intellexit Blass, cf. Diels, *Gorg. u. Emp.* p. 12 not. 2.

ἄτακτόν φησι τῆς φορᾶς καὶ ἀστήρικτον τοσοῦτόν τι τῇ ἡμερησίῳ βραδύνειν πορείᾳ, ὅσος νῦν καιρός ἐστιν ὁ ἑπτάμηνος. Cf. Karsten p. 423—437. Plac. V 18. Dox. 427.

d. Aristot. Phys. II 4. 196 ª 20. *ὥσπερ Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ' ὅπως ἂν τύχῃ. λέγει γοῦν ἐν τῇ κοσμοποιίᾳ ὡς οὕτω συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως. καὶ τὰ μόρια τῶν ζῴων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν οὗτος.* Gen. et Corr. II 7. *ὁτὲ δέ φησι πεφυκέναι τὸ πῦρ ἄνω φέρεσθαι, ὁ δ' αἰθήρ, φησί, μακρῇσι κατὰ χθόνα δύετο ῥίζαις.* Nam etiam in terrae visceribus aetherem et ignem latere censebat, cf. Procl. Tim. III 141. (vs. 162) *πολλὰ δ' ἔνερθ' οὔδεος* [1] *πυρὰ καίεται* (207 K.), cum propter calidos fontes tum propterea quod igni omnem durandi atque congelandi vim tribuit; qua etiam saxa, scopulos, lapides effecta putat, v. Arist. Probl. XXIV 11. Venus humore res emollit, Discordia calore exsiccat, cf. Plutarch. de Pr. Frig. 16 et hos versus ap. Simpl. de Caelo p. 507ʳ Br.

215 *ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄμβρῳ,* 209
ἠδέα ποιπνύουσα [2] *θοῷ πυρὶ δῶκε κρατῦναι.*

Animalia omnia ait gigni in sicco; Arist. de respirat. 14. 477ᵇ 7. *Ἐ. τὴν ἐξ ἀρχῆς αὐτῶν* (scil. *ζῴων* etiam *ἐνύδρων*) *σύστασιν λέγων γενέσθαι μὲν ἐν τῷ ξηρῷ φησι, φεύγοντα δ' ἐλθεῖν εἰς τὸ ὑγρόν.* 477 ª 32. *φάσκων τὰ θερμότατα καὶ πῦρ ἔχοντα πλεῖστον τῶν ζῴων ἔνυδρα εἶναι, φεύγοντα τὴν ὑπερβολὴν τῆς ἐν τῇ φύσει θερμότητος.*

136 Plac. V 26, 4. Dox. 438. *Ἐμπεδοκλῆς πρῶτα τὰ δένδρα τῶν ζῴων* [a] *ἐκ γῆς ἀναδῦναί φησι, πρὶν τὸν ἥλιον † περιαπλωθῆναι* [b] *καὶ πρὶν ἡμέραν καὶ νύκτα διακριθῆναι· διὰ δὲ συμμετρίαν τῆς κράσεως τὸν τοῦ ἄρρενος καὶ τοῦ θήλεος περιέχειν λόγον· αὔξεσθαι δὲ ὑπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρόμενα, ὥστε γῆς εἶναι μέρη, καθάπερ καὶ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας μέρη.* arbores

a. Cf. quae exponit Lucretius V 780—789. Plantas ab Empedocle *ζῷα* appellari testatur etiam Arist. de Plant. I 1. 815 ª 15, ᵇ 16.

b. Hoc RP (ut fere Sturz et Karsten) volebant significare „antequam sol radios suos expanderat, scilicet circa terram". Sed vocabulum inepte traditum est, v. Diels Dox. 439 not. *περικυκλωθῆναι* veri similiter Reiske.

137 Plac. V 19. Dox. 430. *Ἐμπεδοκλῆς τὰς πρώτας* [a] *γενέσεις τῶν ζῴων καὶ φυτῶν μηδαμῶς ὁλοκλήρους γενέσθαι, ἀσυμ-* animantia

---

1) Recte traditur *οὔδεος* (bisyll. leg. *οὖδευς*, cf. vs. 353 *πόλευς*). — 2) Var. lect. *ἠδέ' ἀποπνέουσα, εἰ δὲ ἀποπνοίουσα*, Brandis *ἡ δ' ἀποποιπνύουσα*, Karsten *εἴδεα ποιπνύουσα*, Stein *αἰθέρ' ἐπιπνείουσα.*

φυέσι δὲ τοῖς μορίοις διεζευγμένας· τὰς δὲ δευτέρας [b] συμφυομένων τῶν μερῶν εἰδωλοφανεῖς· τὰς δὲ τρίτας [c] τῶν ὁλοφυῶν [1]· τὰς δὲ τετάρτας [d] οὐκέτι ἐκ τῶν ὁμοίων, οἷον ἐκ γῆς καὶ ὕδατος, ἀλλὰ δι᾽ ἀλλήλων ἤδη, τοῖς μὲν πυκνωθείσης τῆς τροφῆς, τοῖς δὲ καὶ τῆς εὐμορφίας τῶν γυναικῶν ἐπερεθισμὸν τοῦ σπερματικοῦ κινήματος ἐμποιησάσης. τῶν δὲ ζῴων πάντων γένη διακριθῆναι διὰ τὰς ποιὰς κράσεις [e].

quatuor tempora

a. Prima generatio. Emped. apud Simplic. de Caelo 512 Br.:

244 ᾗ πολλαὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν, 232
γυμνοὶ δ᾽ ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων,
ὄμματά τ᾽ οἶ᾽ ἐπλανᾶτο πενητεύοντα μετώπων.

Vs. 244 saepius commemorat Aristoteles, velut de Caelo III 2. 300 b 29: καθάπερ Ἐμπ. φησὶ γίνεσθαι ἐπὶ τῆς φιλότητος κτλ. i. e. impellente vi amoris, non, dum amor dominatur. Cf. de Anima III 6. 430 a 30: ubi post hunc versum adicit ἔπειτα συντίθεσθαι τῇ φιλίᾳ.

Paulum inflexit haec Censorinus de die nat. 4, 8 (Dox. 189): *primo membra singula ex terra quasi praegnate passim edita deinde coisse et effecisse solidi hominis materiam igni simul et umori permixtam. haec eadem opinio etiam in Parmenide Veliensi fuit, pauculis exceptis ab Empedocle dissensis* (**RP** 102). Cf. Zeller, *Berl. Akad.* 1878, p. 114.

Ar. Phys. II 8. 198 b 29: ὅπου μὲν οὖν ἅπαντα συνέβη ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως· ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται, καθάπερ Ἐμπ. λέγει τὰ βουγενῆ ἀνδρόπρωρα.

b. De secundo satu. Emped. apud Simpl. de Caelo 512 Br.:

251 αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων, 235
ταῦτά τε συμπίπτεσκον, ὅπῃ συνέκυρσεν ἕκαστα,
ἄλλα τε πρὸς τοῖς πολλὰ διηνεκῆ ἐξεγένοντο.

Cf. Arist. Phys. II 8 et Aelian. H. A. XVI 19: (Ἐ. φησὶ ζῷα) γίνεσθαί τινα συμφυῆ καὶ κράσει μορφῆς μὲν διάφορα, ἑνώσει δὲ σώματος συμπλακέντα. ἃ δὲ λέγει, ταῦτά ἐστι·

257 πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι 238
βουγενῆ ἀνδρόπρωρα, τὰ δ᾽ ἔμπαλιν ἐξανατέλλειν
ἀνδροφυῆ βούκρανα, μεμιγμένα τῇ μὲν ἀπ᾽ ἀνδρῶν,
τῇ δὲ γυναικοφυῆ, στείροις ἠσκημένα γυίοις.

Cf. Lucret. V 834—839. Vocabulo εἰδωλοφανεῖς, quod est in Placitis, apte exprimitur abortiva infirmitas horum monstrorum, quae naturae res creare conanti exciderant imperfecta atque enormia.

---

1) Vulg. ἀλληλοφυῶν. Corr. Karsten.

Vs. 257. 258. plerique corrigunt: ἐφύοντο, ἐξανέτελλον. — Vs. 260. Vulg. σκιεροῖς. Panzerb. διεροῖς. Karsten χλιεροῖς. Hercher θιμβροῖς. Corr. Diels, *Hermes* XV 168.

c. Tertio satu orti sunt *τύποι οὐλοφυεῖς*. Simplic. Phys. 86 v. 381, 31 D.

νῦν δ' ἄγ', ὅπως ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν
ἐννυχίους ὅρπηκας ἀνήγαγε κρινόμενον πῦρ,
τῶνδε κλύ'· οὐ γὰρ μῦθος ἀπόσκοπος οὐδ' ἀδαήμων.
οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον,
ἀμφοτέρων ὕδατός τε καὶ οὔδεος αἶσαν ἔχοντες·
τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι,
οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας
οὔτ' ἐνοπὴν οἷόν τ' ἐπιχώριον ἀνδράσι γυῖον.

Mullach FPG I 65: *τύποι οὐλοφυεῖς* integra hominum simulacra, in quibus nulla sexus diversitas notatur, sed quae maribus aeque ac feminis habentur. Compares Platonicum illud commentum Symp. 189, et Lucretii versum V 837.

d. Quarto denique satu non amplius elementorum mixtione, sed mutuis conubiis procreata sunt animalia, v. Karsten 463. Dubium utrum ad hunc an ad primum statum referas quae sunt apud Simpl. Phys. 258 r v. *καὶ γὰρ καὶ ἐνταῦθα τὸ Νεῖκος καὶ τὴν Φιλίαν παρὰ μέρος ἐπικρατεῖν ἐπί τ' ἀνθρώπων καὶ ἰχθύων καὶ θηρίων καὶ ὀρνέων Ἐμπεδοκλῆς φησι τάδε γράφων·*

τοῦτον μὲν βροτέων μελέων ἀριδείκετον ὄγκον·
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα
γυῖα, τὰ σῶμα λέλογχε, βίου θαλέθουσιν ἐν ἀκμῇ·
ἄλλοτε δ' αὖτε κακῇσι διατμηθέντ' Ἐρίδεσσι
πλάζεται ἄνδιχ' ἕκαστα περὶ ῥηγμῖνι βίοιο.
ὡς δ' αὔτως θάμνοισι καὶ ἰχθύσιν ὑδρομελάθροις
θηρσί τ' ὀρειλεχέεσσιν ἰδὲ πτεροβάμοσι κύμβαις.

e. Sequuntur haec: *Τὰ μὲν ⟨ὑγρὰ⟩ οἰκειότερον εἰς τὸ ὕδωρ τὴν ὁρμὴν ἔχειν, τὰ δ' εἰς ἀέρα ἀναπτῆναι ὅσ' ἂν πυρῶδες ἔχῃ τὸ πλέον, τὰ δὲ βαρύτερα ἐπὶ τὴν γῆν, τὰ δὲ ἰσόμοιρα τῇ κράσει πᾶσι τοῖς χωρίοις σύμφωνα εἶναι.* Sic Diels Doxogr. p. 431 verba corrupta refinxit.

138 A Arist. de Part. An. I 1. 642 a 17. *Ἀρχὴ γὰρ ἡ φύσις* λόγος *μᾶλλον τῆς ὕλης. ἐνιαχοῦ δέ που αὐτῇ καὶ Ἐμπεδοκλῆς περιπίπτει, ἀγόμενος ὑπ' αὐτῆς τῆς ἀληθείας, καὶ τὴν οὐσίαν καὶ τὴν φύσιν ἀναγκάζεται φάναι τὸν λόγον εἶναι, οἷον ὀστοῦν ἀποδιδοὺς τί ἐστιν· οὔτε γὰρ ἕν τι τῶν στοιχείων λέγει αὐτὸ οὔτε δύο ἢ τρία οὔτε πάντα, ἀλλὰ λόγον τῆς μίξεως αὐτῶν.* τῆς μίξεως

Vs. 266. *εἴδεος* (i. e. *ἴδεος*) libri. — Vs. 269. *οἷόν τ'* Diels *Hermes* XV 169. Libri *οἷα τ'*. — Vs. 249. *θαλέθουσιν* Karsten pro *θαλέθοντος*. — Vs. 253. Vulg. *ὀρειμελέεσσιν*. Corr. Schneider.

ossa certis portionibus mixta

De Anima I 5. 410 ᵃ 1. *Οὐ γὰρ ὁπωςοῦν ἔχοντα τὰ στοιχεῖα τούτων* (sc. *τῶν συνθέτων*) *ἕκαστον, ἀλλὰ λόγῳ τινὶ καὶ συνθέσει, καθάπερ φησὶ καὶ Ἐμπεδοκλῆς τὸ ὀστοῦν·* 138 C

198 *ἡ δὲ Χθὼν ἐπίηρος* [a] *ἐν εὐστέρνοις χοάνοισιν* 211
τὼ δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο
201 (*ἁρμονίης* [b] *κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν*) [c].

a. Tellus benigna. *τὼ δύο μέρη* opponuntur alteris duabus partibus ab ipsa terra suppeditatis.

b. Vs. 201 addunt commentatores ut Simpl. Phys. 66 ᵛ. 300, 21 D. Simplicius ad h. l. *χόανα παρὰ τῷ ποιητῇ* (Iliad. 6, 470), *ἐν οἷς ἡ τῶν μιγνυμένων γίγνεται κρᾶσις* —, *ἃ καὶ εὔστερνα ὡς πλατέα διὰ τὸ χωρητικὸν καλεῖ. μίγνυσι δὲ πρὸς τὴν τῶν ὀστῶν γένεσιν τέσσαρα μὲν πυρὸς μέρη, διὰ τὸ ξηρὸν καὶ λευκὸν χρῶμα ἴσως πλείστου λέγων μετέχειν αὐτὰ πυρός, δύο δὲ γῆς καὶ ἓν μὲν ἀέρος, ἓν δὲ ὕδατος, ἃ δὴ ἄμφω Νῆστιν αἴγλην προσαγορεύει, Νῆστιν μὲν διὰ τὸ ὑγρόν, ἀπὸ τοῦ νάειν καὶ ῥεῖν, αἴγλην δὲ ὡς διαφανῆ.* Similiter Philop. de An. E, 16.

c. De aliarum partium compositione. Simpl. Phys. 7 ᵛ. 32, 5 D.

203 *ἡ δὲ Χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα* 215
Ἡφαίστῳ τ' ὄμβρῳ τε καὶ αἰθέρι παμφανόωντι,
Κύπριδος ὁρμισθεῖσα τελείοις ἐν λιμένεσσιν,
εἴτ' ὀλίγον μείζων εἴτε πλεόνεσσιν [1] *ἐλάσσων.*
ἐκ τῶν αἷμά τε γέντο καὶ ἄλλης εἴδεα σαρκός.

caro nervi

Plac. V 22. Dox. 434. *Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γεννᾶσθαι ἐκ τῶν ἴσων τῇ κράσει τεττάρων στοιχείων, τὰ δὲ νεῦρα πυρὸς καὶ γῆς τῶν διπλασίων μιχθέντων· τοὺς δὲ ὄνυχας τοῖς ζῴοις γεννᾶσθαι τῶν νεύρων, καθὸ τῷ ἀέρι συνέτυχε, περιψυχθέντων· ὀστᾶ δὲ δυεῖν μὲν ὕδατος καὶ τῶν ἴσων γῆς, τεττάρων δὲ πυρὸς συγκραθέντων μερῶν. ἱδρῶτα δὲ καὶ δάκρυον γίνεσθαι τοῦ αἵματος τηκομένου καὶ παρὰ τὸ λεπτύνεσθαι διαχεομένου* [2]. Accuratius inquirenti nonnulla sunt obscura. Arist. de An. I 4 408 ᵃ 13. *ὁμοίως δὲ ἄτοπον καὶ τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μῖξις τῶν στοιχείων, καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν. συμβήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν καὶ κατὰ πᾶν τὸ σῶμα, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμιγμένων, ὁ δὲ τῆς μίξεως λόγος ἁρμονία καὶ ψυχή. ἀπαιτήσειε δ' ἄν τις τοῦτό γε καὶ παρ' Ἐμπεδοκλέους· ἕκαστον γὰρ αὐτῶν λόγῳ τινί φησιν εἶναι. πότερον οὖν*

---

1) Vs. 206. Sic corr. Panzerb. Tradita verba *πλέον ἐστί* Stein explicat: elementorum gravius quodque tenuiorem, levius largiorem molem habet. — 2) *καὶ — διαχεομένου* suppl. Diels e Galeni H. Phil. 126, Doxogr. 645. — Pugnantia componere conatur Karsten p. 452.

λόγος ἐστὶν ἡ ψυχή· ἢ μᾶλλον ἕτερόν τι οὖσα ἐγγίγνεται τοῖς μέλεσιν; ἔτι δὲ πότερον ἡ Φιλία τῆς τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ τὸν λόγον; καὶ αὕτη (i. e. *Φιλία*) *πότερον ὁ λόγος ἐστὶν ἢ παρὰ τὸν λόγον ἕτερόν τι;* cf. **RP** 132, k.

139 A Arist. de Anima I 2. 404[b] 7. *Ὅσοι μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι τὸ ἔμψυχον ἀπέβλεψαν, οὗτοι τὸ κινητικώτατον ὑπέλαβον τὴν ψυχήν· ὅσοι δ' ἐπὶ τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι δὲ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες ταύτας, οἱ δὲ μίαν ταύτην, ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων, εἶναι δὲ καὶ ἕκαστον ψυχὴν*[a] *τούτων, λέγων οὕτω·* Similia similibus cognoscuntur

333 *γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,* 321
αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀίδηλον,
στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ[b].

139 B Ibid. III 3. 427[a] 21. *Οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τ' αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ Ἐμπεδοκλῆς εἴρηκε·* cognitio et sensus

330 *πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν*[c], 318

καὶ ἐν ἄλλοις·

ὅθεν σφίσιν αἰεὶ 319
332 *καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται.*

τὸ δ' αὐτὸ τούτοις βούλεται καὶ τὸ Ὁμήρου „τοῖος γὰρ νόος ἐστίν". πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν ὥσπερ τὸ αἰσθάνεσθαι ὑπολαμβάνουσιν, καὶ αἰσθάνεσθαί τε καὶ φρονεῖν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ καὶ ἐν ταῖς κατ' ἀρχὰς λόγοις διωρίσαμεν[d].

139 C Theophr. de Sens. 10. Dox. 502. *Ὡσαύτως δὲ λέγει (Ἐμπεδοκλῆς) καὶ περὶ φρονήσεως καὶ ἀγνοίας· τὸ μὲν γὰρ φρονεῖν εἶναι τοῖς ὁμοίοις, τὸ δ' ἀγνοεῖν τοῖς ἀνομοίοις, ὡς ἢ ταὐτὸν ἢ παραπλήσιον ὂν τῇ αἰσθήσει τὴν φρόνησιν. διαριθμησάμενος γὰρ ὡς ἕκαστον ἑκάστῳ γνωρίζομεν ἐπὶ τέλει προσέθηκεν ὡς*

336 *ἐκ τούτων ⟨γὰρ⟩ πάντα πεπήγασιν ἁρμοσθέντα*[1] 324
καὶ τούτοις φρονέουσι καὶ ἥδοντ' ἠδ' ἀνιῶνται·

διὸ καὶ τῷ αἵματι μάλιστα φρονεῖν· ἐν τούτῳ γὰρ μάλιστα[2] *κεκρᾶσθαι πάντα τὰ στοιχεῖα*[e] *τῶν μερῶν·* 11. *ὅσοις μὲν οὖν* sanguis mixtio bona

---

1) Vs. 336. Theophr. *ὡς ἐκ τούτων πάντα κτλ.* Stein hos vs. subiunxit iis qui sunt 333—335. — 2) *πάντα* ex coni. Useneri; *ἐστὶ* libri; quod del. Mullach. *τῶν μερῶν* pendet ex v. *τούτῳ*.

mala *ἴσα καὶ*[1] *παραπλήσια μέμικται καὶ μὴ διὰ πολλοῦ μηδ' αὖ μικρὰ μηδ' ὑπερβάλλοντα τῷ μεγέθει, τούτους φρονιμωτάτους εἶναι καὶ κατὰ τὰς αἰσθήσεις ἀκριβεστάτους, κατὰ λόγον δὲ καὶ τοὺς ἐγγυτάτω τούτων· ὅσοις δὲ ἐναντίως, ἀφρονεστάτους. καὶ ὧν μὲν μανὰ καὶ ἀραιὰ κεῖται τὰ στοιχεῖα, νωθροὺς καὶ ἐπιπόνους· ὧν δὲ πυκνὰ καὶ κατὰ μικρὰ τεθραυσμένα, τοὺς δὲ τοιούτους ὀξέως φερομένους καὶ πολλοῖς ἐπιβαλλομένους ὀλίγα ἐπιτελεῖν διὰ τὴν ὀξύτητα τῆς τοῦ αἵματος φορᾶς. οἷς δὲ καθ' ἕν τι μόριον ἡ μέση κρᾶσίς ἐστι, ταύτῃ σοφοὺς ἑκάστους εἶναι· διὸ τοὺς μὲν ῥήτορας ἀγαθούς, τοὺς δὲ τεχνίτας, ὡς τοῖς μὲν ἐν ταῖς χερσί, τοῖς δὲ ἐν τῇ γλώττῃ τὴν κρᾶσιν οὖσαν· ὁμοίως δ' ἔχειν καὶ κατὰ τὰς ἄλλας δυνάμεις.*

a. Parum accurate hoc Aristoteles conclusit. Empedocles enim cum res externas eo cognosci dicit, quod quae in hominis natura sint elementa in rerum natura similia sui et quasi cognata adgnoscant, animum neque ex elementis composuit neque esse omnino a corpore diversum statuit. Ad corporis naturam mixtam et compositam eas quas animo tribuere solemus facultates revocavit. Z. I[4] 725[2].

b. Versus a multis repetiti, velut a Sexto Math. I 303. VII 92. 121. Cf. Mullach FPG I 72. Eodem spectans Sext. Math. VII 115 et 120 Empedoclem ait quot rerum principia tot veritatis iudicia (*κριτήρια*) statuere; id quod illum non fuisse concessurum conicias.

c. „Pro re praesenti consilium succrescit hominibus h. e. ab externis rebus pendet.“ Qui sequitur versus, ap. Ar. Met. III 5 (cf. **RP** 102 B) plenior exstat:

331 *ὅσσον τ' ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ*
καὶ τὸ φρονεῖν ἀλλοῖα παρίστατο,

h. e. ut quisque variato corpore mutatur, ita varie cogitat. Aristoteles comparat Homer. Od. *σ*, 136:

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε,

quod imitatur Archilochus ap. Diog. IX 71.

d. Respicit libr. I 2. Emp. etiam bestiis et plantis quendam intellectum tribuebat, v. Sext. Math. VIII 286. *ὁ δὲ Ἐμπεδοκλῆς ἔτι παραδοξότερον πάντα ἠξίου λογικὰ τυγχάνειν, καὶ οὐ ζῷα μόνον ἀλλὰ καὶ φυτά, ῥητῶς γράφων·*

231 *πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.*

De sensibus quid statuerit, refert Theophr. Sens. 7. Dox. 500. *Ἐμπεδοκλῆς — φησὶ τῷ ἐναρμόττειν (τὰς ἀπορροὰς) εἰς τοὺς πόρους τοὺς ἑκάστης (αἰσθήσεως) αἰσθάνεσθαι· διὸ καὶ οὐ δύνασθαι τὰ ἀλλήλων κρίνειν, ὅτι τῶν μὲν εὐρύτεροί πως, τῶν δὲ στενώτεροι τυγχάνουσιν οἱ πόροι πρὸς τὸ*

1) An ᾗ? Cf. 502, 8 **RP** p. 145, 28.

αἰσθητόν, ὡς τὰ μὲν οὐχ ἁπτόμενα διευτονεῖν [1], τὰ δ' ὅλως εἰσελθεῖν οὐ δύνασθαι. (de visu.) πειρᾶται δὲ καὶ τὴν ὄψιν λέγειν, ποία τίς ἐστι· καί φησι τὸ μὲν ἐντὸς αὐτῆς εἶναι πῦρ, τὸ δὲ περὶ αὐτὸ γῆν καὶ ἀέρα, δι' ὧν διιέναι λεπτὸν ὂν καθάπερ τὸ ἐν τοῖς λαμπτῆρσι φῶς. τοὺς δὲ πόρους ἐναλλὰξ κεῖσθαι τοῦ τε πυρὸς καὶ τοῦ ὕδατος, ὧν τοῖς μὲν τοῦ πυρὸς τὰ λευκά, τοῖς δὲ τοῦ ὕδατος τὰ μέλανα γνωρίζειν· ἐναρμόττειν γὰρ ἑκατέροις ἑκάτερα. φέρεσθαι δὲ τὰ χρώματα πρὸς τὴν ὄψιν διὰ τὴν ἀπορροήν. 9. (de auditu.) τὴν δ' ἀκοὴν ἀπὸ τῶν ἔξωθεν γίνεσθαι ψόφων. ὅταν γὰρ ὑπὸ τῆς φωνῆς κινηθῇ, ἠχεῖν ἐντός· ὥσπερ γὰρ εἶναι κώδωνα [2] τῶν ἴσων ἤχων τὴν ἀκοὴν ἣν προσαγορεύει σάρκινον ὄζον [3]. κινουμένην δὲ παίειν τὸν ἀέρα πρὸς τὰ στερεὰ καὶ ποιεῖν ἦχον. (de odoratu.) ὄσφρησιν δὲ γίνεσθαι τῇ ἀναπνοῇ· διὸ καὶ μάλιστα ὀσφραίνεσθαι τούτους, οἷς σφοδροτάτη τοῦ ἄσθματος ἡ κίνησις· ὀσμὴν δὲ πλείστην ἀπὸ τῶν λεπτῶν καὶ τῶν κούφων ἀπορρεῖν. περὶ δὲ γεύσεως καὶ ἁφῆς οὐ διορίζεται καθ' ἑκατέραν οὔτε πῶς οὔτε δι' ἃ γίγνονται, πλὴν τὸ κοινὸν ὅτι τῷ ἐναρμόττειν τοῖς πόροις αἴσθησίς ἐστιν.

visus — auditus — odoratus

Arist. Gen. et Corr. I 8. 324 b 26. τοῖς μὲν οὖν δοκεῖ πάσχειν ἕκαστον διά τινων πόρων εἰσιόντος τοῦ ποιοῦντος ἐσχάτου καὶ κυριωτάτου, καὶ τοῦτον τὸν τρόπον καὶ ὁρᾶν καὶ ἀκούειν ἡμᾶς φασι καὶ τὰς ἄλλας αἰσθήσεις αἰσθάνεσθαι πάσας· ἔτι δὲ ὁρᾶσθαι διά τε ἀέρος καὶ ὕδατος καὶ τῶν διαφανῶν, διὰ τὸ πόρους ἔχειν ἀοράτους μὲν διὰ σμικρότητα πυκνοὺς δὲ καὶ κατὰ στοῖχον, καὶ μᾶλλον ἔχειν τὰ διαφανῆ μᾶλλον. Arist. de sensu 2. 437 b 23 (cf. ib. 10): Ἐμπ. δ' ἔοικε νομίζοντι ὁτὲ μὲν ἐξιόντος τοῦ φωτός, ὥσπερ εἴρηται πρότερον, βλέπειν· λέγει γοῦν οὕτως·

πόροι

ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον
χειμερίην διὰ νύκτα, πυρὸς σέλας αἰθομένοιο
ἅψας, παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς [4],
οἵτ' ἀνέμων μὲν πνεῦμα διασκιδνᾶσιν ἀέντων,
φῶς δ' ἔξω διαθρῷσκον, ὅσον ταναώτερον ἦεν,
λάμπεσκεν κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν·
ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ
λεπτῇσίν τ' ὀθόνῃσι [5] λοχάζετο κύκλοπα κούρην·
⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν [6]
αἳ δ' ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφινάοντος,
πῦρ δ' ἔξω διαθρῷσκον, ὅσον ταναώτερον ἦεν . . .

ὁτὲ μὲν οὖν οὕτως ὁρᾶν φησιν, ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων. Cf. Alex. ad. h. l.

1) διεκπνεῖν susp. Usener. — 2) Schneider κ. τῶν ἔσω ἤχων. κώδωνα Placitorum auctor IV 16, 1 tintinnabulum interpretatur, Zeller I⁴ 724, 2 tubam. Cf. Diels Dox. p. 501. — 3) Vulg. ὄζον (? = ἄκρον). Wimmer αὐλόν. Diels olim dubitanter ὀστοῦν. — 4) Cf. Bergk, *Kl. Schr.* II 43. — „Lucernae quae laminis corneis circumdatae ventorum vim illisam velut detergent neque intra permeare sinunt.“ Diels *Hermes* XV 171. Idem *Gorg. u. Emp.* p. 11 sq. de hac Emp. opinione et de Alcmaeone eius auctore disputavit. — 5) λεπτῇσίν τ' Diels. λεπτῆς εἰν Panzerb. λεπτῇσι χθονίῃσι Scaliger cum aliquot cod. — 6) Cf. Blass, *Fleckeisens Jahrb.* 1883 p. 19.

e. Empedocles ap. Stob Ecl. I 1026

sanguis

327 *αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθορόντος,* 315
τῇ τε νόημα μάλιστα κυκλίσκεται ἀνθρώποισιν·
αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

τεθραμμένη intellegenda est *κραδίη*, v. Censorin. d. Die Nat. 6; si alios audimus, *φρήν*. De omni hac opinione cf. Cic. Tusc. I 19. Plut. ap. Eus. I 8. Dox. 582. *τὸ δὲ ἡγεμονικὸν οὔτε ἐν κεφαλῇ οὔτε ἐν θώρακι, ἀλλ' ἐν αἵματι· ὅθεν καθ' ὅτι ἂν μέρος τοῦ σώματος πλεῖον ᾖ παρεσπαρμένον, κατ' ἐκεῖνο προτερεῖν τοὺς ἀνθρώπους.* Sed v. Z. I[4] 725, 3.

deorum natura

Empedocles ap. Hippol. Ref. VII 31, p. 254. 140 A

338 *Εἰ γὰρ ἐφημερίων ἕνεκέν τί σοι, ἄμβροτε Μοῦσα* [1],
ἡμετέρης ἔμελεν μελέτας διὰ φροντίδος ἐλθεῖν,
εὐχομένῳ νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι. [a]

Empedocles ap. Clem. Strom. VI, p. 733 P. 140 B

342 *ὄλβιος ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον,* 354
δειλὸς δ' ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.

nihil in iis humanae figurae

Empedocles ap. Clem. Strom. V, p. 644 P. 140 C

344 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν* [b] 356
ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπερ τε μεγίστη
πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει.

Empedocles ap. Ammon. in Arist. de Interpret. 199 v. Schol. Arist. 135 b. 140 D

347 *οὔτε γὰρ ἀνδρομέῃ* [2] *κεφαλῇ κατὰ γυῖα κέκασται* [c],
οὐ μὲν ἀπὸ [3] *νώτοιο δύο κλάδοι ἀίσσονται,* 360
οὐ πόδες, οὐ θοὰ γοῦν', οὐ μήδεα λαχνήεντα,
350 *ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον,*
φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν. [d]

a. Sunt haec e libro tertio. Tzetz. Chil. VII 522. *Ἐμπ. ἐν τῷ τρίτῳ τε τῶν φυσικῶν δεικνύων τίς ἡ οὐσία τοῦ θεοῦ κατ' ἔπος οὕτω λέγων* (vs. 350. 351).

b. Cf. Lucr. V 101—104, tum Empedoclis ipsius vs. 81 (108 K.) *τὴν σὺ νόῳ δέρκευ μηδ' ὄμμασιν ἧσο τεθηπώς.*

c. Eosdem tradunt Tzetz. Chil. XIII 79. Hippol. Ref. VII 29. Ammonius praemittit haec: *ὁ Ἀκραγαντῖνος σοφὸς ἐπιρραπίζων τοὺς περὶ θεῶν ὡς ἀνθρωποειδῶν ὄντων παρὰ τοῖς ποιηταῖς λεγομένους μύ-*

1) De 338—341 v. Schneidewin *Philologus* VI 167. — 2) Vs. 347. Tzetz. *οὐ μὲν γὰρ βροτέῃ κεφαλῇ.* Sic Stein. — 3) *ἀπὸ* Merzdorf, vulg. *ἀπαί.*

θους ἐπήγαγε προηγουμένως μὲν περὶ Ἀπόλλωνος περὶ οὗ ἦν αὐτῷ προσεχὴς ὁ λόγος, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τοῦ θείου παντὸς ἁπλῶς ἀποφαινόμενος· seq. vs. 347—351. Cur de Apolline potissimum? Diog. VIII 57. γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα τήν τε τοῦ Ξέρξου διάβασιν καὶ προοίμιον εἰς Ἀπόλλωνα ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ ἢ θυγάτηρ, ὥς φησιν Ἱερώνυμος. Nihilominus dubitatur quem deum divinis illis versibus dicat, tum de omni numinis notione Empedoclea. Apud Hippolytum quidem versibus 348 et 349 subiungitur haec versus species: ἀλλὰ Σφαῖρος ἔην καὶ ἴσος ἐστὶν αὐτῷ [1]. Postea addit Hippolytus: θεὸν καλῶν τὸ ἓν καὶ τὴν ἐκείνου ἑνότητα, ἐν ᾧ ἦν πρὶν ὑπὸ τοῦ Νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ Νείκους διακόσμησιν. Ipsius nimirum versus 138 et 142 (RP p. 134) eo ducebant. Cf. Arist. Met. III 4 (RP 134, b) ὁ εὐδαιμονέστατος θεός. Inde Wirthius putat unum numen divinum ab eo absolute positum esse Sphaerum illum; de qua opinione v. Z. I[4] 736[2].

d. Hinc fortasse ducta sunt quae de ratione divina, qua omnia elementa et principia rerum temperentur, reperimus ap. Sext. Math. VII 122. ἄλλοι δὲ ἦσαν οἱ λέγοντες κατὰ τὸν Ἐμπεδοκλέα κριτήριον εἶναι τῆς ἀληθείας οὐ τὰς αἰσθήσεις, ἀλλὰ τὸν ὀρθὸν λόγον, τοῦ δὲ ὀρθοῦ λόγου τὸν μέν τινα θεῖον ὑπάρχειν τὸν δὲ ἀνθρώπινον, ὧν τὸν μὲν θεῖον ἀνέξοιστον εἶναι τὸν δὲ ἀνθρώπινον ἐξοιστόν. Cavendum tamen ne quam doctrinam cognitionis ab eo conditam putemus. Sequuntur apud Sextum quae RP 130 posita sunt. — Hippolyt. Ref. VII 31, p. 254. μέσον δὲ εἶναι τῶν διαφόρων ἀρχῶν δίκαιον λόγον, καθ' ὃν συγκρίνεται τὰ διῃρημένα ὑπὸ τοῦ Νείκους καὶ προσαρμόζεται κατὰ τὴν Φιλίαν τῷ ἑνί. τοῦτον δὲ αὐτὸν τὸν δίκαιον λόγον τὸν τῇ φιλίᾳ συναγωνιζόμενον Μοῦσαν ὁ Ἐ. προσαγορεύων καὶ αὐτὸς αὐτῷ συναγωνίζεσθαι παρακαλεῖ.

θεῖος λόγος

141 A Empedocles ap. Plut. de Exilio 17. (vs. 369. 371. 373. 374. 381). Hippol. VII 29 (vs. 369. 370. 372—383). Plut. de Iside 26 (vs. 377—380):

animi in vitam terrestrem depressi

Ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν [a], 1
ἀίδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις·
εὖτέ τις ἀμπλακίῃσι φρενῶν φίλα γυῖα μιήνῃ 3
† [αἵματι ἢ] ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ
δαίμων [b], οἵ τε μακραίωνος λελάχασι βίοιο, 4

---

1) Schneidewinus: ἀλλὰ Σφαῖρος ἔεις καὶ πάντοθεν ἴσος ἑαυτῷ. — Vs. 374. Vulgo φόνῳ. Corr. Panzerb. — Vs. 372 mutilatus et corruptus. Hippol. ὃς καί, Stein, Parmenid. 774 ἢ ὃς καὶ ἐπίορκον. Schneidewin supplevit αἵμασιν ἤ, Mull. αὔτως ἤ. Dubitandum est etiam de forma ἁμαρτήσας. — Vs. 373. Plut. δαίμονες οἵ τε μακραίωνες λελόγχασι, Hippol. δαιμόνιοί τε μακραίωνος λελάχασι. Nos cum Schneidewino.

τρίς μιν μυρίας ὧρας ἀπὸ μακάρων ἀλάλησθαι, 5
375 φυόμενον παντοῖα διὰ χρόνου εἴδεα θνητῶν,
ἀργαλέας [c] βιότοιο μεταλλάσσοντα κελεύθους.
αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει, 16
πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
380 ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες·
τῶν καὶ ἐγὼ νῦν [d] εἰμι, φυγὰς θεόθεν καὶ ἀλήτης,
Νείκεϊ μαινομένῳ πίσυνος.

ipsius migrationes

Empedocles ap. Diog. VIII 77, Clem. Strom. p. 750 P., 141 B alios multos:

383 ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε 380
θάμνος τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔλλοπος ἰχθύς.

Empedocles ap. Clem. Strom. III p. 516 P. 141 C

385 κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον, [e] 13
ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν, 21
αὐχμηραί τε νόσοι καὶ σήψιες ἔργα τε ῥευστά.

a. Plutarchus addit locum: ἐν ἀρχῇ τῆς φιλοσοφίας προσαναφωνήσας κτλ. Videntur haec ex carmine, quod Καθαρμοὶ inscriptum erat, deprompta esse: quo quae de animarum lapsu et migratione sentiret exposuerat et quo pacto lustrationibus ac vita sancte casteque agenda pristinus status recuperari posset. Vs. 369. Ἀνάγκης χρῆμα est fatum s. decretum Necessitatis, velut Plat. Phaedr. 248 C dicit θεσμὸς Ἀδραστείας. — Vs. 374. Voc. ὧραι apparet significari annos. Aliorum poena nescio an sempiterna. Quamquam etiam ad vivos pertinere possunt quae sunt ap. Clem. Protr. p. 23:

445 τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν 420
οὔποτε δειλαίων ἀχέων λωφήσετε θυμόν.

Vs. 384. ἔλλοπος ἰχθύς est mutus piscis, cf. Lucret. II 343; Plut. Symp. VIII 8.

b. Haec doctrina male intellecta est a Stob. Ecl. I 1048, p. 446 Wachsm. αὐτῆς τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ Ἐμπ. δαίμων ἀνηγόρευται

Vs. 374 et 375. Orig. c. Cels. VIII 53. — Vs. 375. Hippol. φυομένους. Corr. Stein. Orig. γινομένην παντοίαν διὰ χρόνον ἰδέαν. — Vs. 377—380. Ex Plutarchi l. de Iside 26 et Hippolyti l. c. adiecit Stein. Vs. 379. φαέθοντος ex Hippol., alias ἀκάμαντος. — Vs. 381. Variant libri: ὡς, τήν, τώς. Hippol. τῶν. — Vs. 384 Saepissime c., sed memoriter et variato piscis adiectivo: ἔλλοπος, ἔμπνους, ἔμπυρος, ἔμπορος, ἄμφορος, νήχυτος, φαίδιμος. ἐξ ἁλὸς Hippol. 14, 9 D, Cedrenus (Suidas?), Proclus in r. p. (Mai Spicilegium VIII 692). — Vs. 385. Hierocl. in Carm. Aur. p. 254 ἀτερπέα χῶρον. De seq. versibus v. Stein p. 80.

402 σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι 379
καὶ μεταμπίσχουσα τὰς ψυχάς. Daemones (373) propter scelera commissa ex divinis sedibus detrusi (374) tam diu per omnes mundi partes (377—380) vagantur et per omnium corporum formas mutantur (375), donec poena persoluta reditum ad superos meruerint: qua in migratione obtemperant Discordiae (Νείκεϊ μαινομένῳ πίσυνος, vs. 382). Subeunt avium, piscium, omnium animalium formas, etiam plantarum et arborum, nam haec quoque sunt animatae, v. **RP** 136, a. Quarum mutationum est alia praestantior alia deterior. Cf. Aelian. Hist. An. XII 7. λέγει δὲ καὶ Ἐμπ. τὴν ἀρίστην εἶναι μετοίκησιν τὴν τοῦ ἀνθρώπου, εἰ μὲν εἰς ζῷον ἡ λῆξις αὐτὸν μεταγάγοι, λέοντα γίνεσθαι· εἰ δὲ εἰς φυτόν, δάφνην· ἃ δὲ Ἐ. λέγει, ταῦτά ἐστιν·

438 ἐν θήρεσσι λέοντες ὀρειλεχέες χαμαιεῦναι 382
γίγνονται, δάφναι δ' ἐνὶ δένδρεσιν ἠυκόμοισιν.

c. Postremo in praestantiores adscendunt naturas. Emp. ap. Clem. Strom. IV 632 P; V 722 P:

447 εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ 384
καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται,
ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῇσι φέριστοι,
450 ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, αὐτοτράπεζοι,
εὔνιες ἀνδρείων ἀχέων, ἀπόκηροι, ἀτειρεῖς.

Cf. Stob. Ecl. Phys. I 60 καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς.

d. Eodem fere spectat vs. 388: Ἄτης ἂν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν. Ante hanc vitam beatissimum se fuisse significat ap. Clem. Strom. 569 P.

390 ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου
ὧδε λιπὼν κατὰ γαῖαν ἀναστρέφομαι μετὰ θνητῶν.

Lamentantis hanc vitam sunt etiam haec ap. Clem. Strom. 516 P.

400 ὢ πόποι, ὢ δειλὸν θνητῶν γένος, ὢ δυσάνολβον,
τοίων ἔκ τ' ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε.

Nec differunt quae tradit Hippol. Ref. I 4. Dox. 559. Ἐ. πάντα τὸν καθ' ἡμᾶς τόπον ἔφη κακῶν μεστὸν εἶναι καὶ μέχρι μὲν σελήνης τὰ κακὰ φθάνειν ἐκ τοῦ περὶ γῆν τόπου ταθέντα, περαιτέρω δὲ μὴ χωρεῖν, ἅτε καθαρωτέρου τοῦ ὑπὲρ τὴν σελήνην παντὸς ὄντος τόπου.

e. Meminisse se ea et expertum esse fingit. Nimirum etiam eam regionem vidit, ubi oppositorum inter se principiorum, notionum, condicionum aeterna esset rixa et pugna; ap. Plut. Tranq. An. p. 474.

Vs. 402 etiam ap. Plut. de esu carn. 998 C, ubi scrib. ἀλλογνῶτι. Wakefield et Lobeck ἀλλόχρωτι, Lobeck Phryn. 607 etiam ἀλλογνῆτι. Stein αἰολόχρωτι. — Vs. 390. Vulg. ὄλβου. — Vs. 391. Clemens: ὥς φησιν Ἐμπ. ὧδε λιπὼν μετὰ θνητῶν ἀναστρέφεται. Bergk ὄλβου ὧδε λιπὼν λειμῶνας ἀν. κατὰ θν. Stein 390 ὄλβου, 391 πεσών, θνητοῖς.

393 ἔνθ' ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις [1],
Δῆρίς θ' αἱματόεσσα καὶ Ἁρμονίη θεμερῶπις,
Καλλιστώ τ' Αἰσχρή τε, Θόωσά τε Δηναίη τε,
Νημερτής τ' ἐρόεσσα μελάγκουρός τ' Ἀσάφεια,
Φυσώ τε Φθιμένη τε καὶ Εὐναίη καὶ Ἔγερσις κτλ.

Quos versus Plutarchus ad bonos malosque genios hominum vitae additos refert. Opponit tenebras et lucem, discordiam et concordiam, pulchritudinem et turpitudinem, celeritatem et tarditatem cet.

animalia necare nefas

Aristot. Rhet. I 13. 1373 b 14. Ὡς Ἐμπεδοκλῆς λέγει 142 A περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον,

426 ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος 404
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς.

aureum saeculum

Empedocles ap. Porphyr. de Abstin. II 21 et 27. Athen. 142 B XII 510 D (vs. 405—411).

405 Οὐδέ τις ἦν κείνοισιν [a] Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς 368
οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,
ἀλλὰ Κύπρις βασίλεια.
τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο
στακτοῖς τε ζώροισι μύροισί τε δαιδαλεόδμοις
σμύρνης τ' ἀκρήτου θυσίαις λιβάνου τε θυώδους,
ξουθῶν τε σπονδὰς μελιτῶν ῥιπτοῦντες ἐς οὖδας·
ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός [b],
ἀλλὰ μύσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον,
θυμὸν ἀπορραίσαντας ἐέδμεναι ἠέα γυῖα [c].

a. Describitur hic aureum quoddam saeculum, quo nullae fuerint animalium immolationes; cf. vs. 421 (364)

ἦσαν γὰρ κτίλ' ἅπαντα καὶ ἀνθρώποισι προςηνῆ,
θῆρές τ' οἰωνοί τε φιλοφροσύνη τε δεδήει
δένδρεα δ' ἐμπεδόφυλλα καὶ ἐμπεδόκαρπα τεθήλει,
καρπῶν ἀφθονίῃσι κατήρεα πάντ' ἐνιαυτόν.

communitas animalium

b. Sext. Math. IX 127. οἱ μὲν οὖν περὶ τὸν Πυθαγόραν καὶ τὸν Ἐμπεδοκλέα καὶ τῶν Ἰταλῶν πλῆθός φασι μὴ μόνον ἡμῖν πρὸς ἀλλήλους καὶ πρὸς τοὺς θεοὺς εἶναί τινα κοινωνίαν, ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν

---

1) Cf. Diels, *Gorg. u. Emp.* p. 21.

Vs. 426. αὐγῆς libri fere omnes, αὖ γῆς Scaliger, Becker, Roemer. — Vs. 409. Vulgatam γραπτοῖς τε ζῴοισι tuetur Z. I[4] 734, 3. Corr. Bernays. — Vs. 414. Formam ἐέδμεναι non ferendam vidit Merzdorf l. c.

ζῴων. ἓν γὰρ ὑπάρχειν πνεῦμα (stoica admiscet) *τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον, τὸ καὶ ἑνοῦν ἡμᾶς πρὸς ἐκεῖνα. διόπερ καὶ κτείνοντες αὐτὰ καὶ ταῖς σαρξὶν αὐτῶν τρεφόμενοι ἀδικήσομέν τε καὶ ἀσεβήσομεν ὡς συγγενεῖς ἀναιροῦντες. — καὶ Ἐμπεδοκλῆς πού φησιν·*

428 *οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε* 416
ἀλλήλους δάπτοντες ἀκηδείῃσι νόοιο;

καὶ

430 *μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας* 410 carnem edentes exsecratur
σφάζει ἐπευχόμενος μέγα νήπιος· οἱ δὲ φορεῦνται,
λισσόμενοι θύοντος, ὁ δὲ νήκουστος ὁμοκλέων
σφάξας ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα,
ὡς δ' αὔτως πατέρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες
435 *θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν.* 415

Cf. Plut. de Esu Carn. II 3 et ipsum Emp. ap. Porphyr. de Abstin. II 31:

436 *οἴμοι ὅτ' οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ,*
πρὶν σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.

c. Sacrificia incruenta etiam a Pythagoreis et Orphicis commendantur, v. Plato Leg. VI 782 C. Alia quoque ad Pythagoreorum instar praecipit; cf. Theon. Smyrn. Arithm. I, p. 19 Bull., p. 15, 9 Hiller. *ὁ μὲν γὰρ Ἐμπ. κρηνάων ἀπὸ πέντε ταμόντα, φησίν, ἀτειρέϊ χαλκῷ*[1] *δεῖν ἀπορρύπτεσθαι.*

Illud vero merito admiratus est Plut. de Cohib. Ira 16, p. 464. *ἐπὶ πᾶσι τοίνυν τὸ μὲν τοῦ Ἐμπεδοκλέους μέγα καὶ θεῖον ἡγούμην, τὸ Νηστεῦσαι κακότητος.*

---

1) Codex in litura *πέντ' ἀνιμῶντας ἀτ. χ.* Cf. Vahlen ad Ar. poet. 21 et Diels, *Hermes* XV 173, qui exempli causa tales effinxit versus:

443 *κρηνάων ἄπο πέντε ταμὼν ἐν ἀτειρέι χαλκῷ*
χεῖρας ἀπόρρυψαι.

Vs. 431. *οἱ δὲ πορεῦνται λισσόμενοι θύοντες* Libri. *πονεῦνται* Hermann. *οἱ δ' ἐπορεῦνται* Bergk. *ὃς δ' ἐπαρᾶται* Lobeck. *ὓς δ' ἐβόησε* Mullach. *ὃς δ' ἀπόρουσε* Stein. *φορεῦνται* (at illi trahuntur) Diels p. 173. Idem dubit. *ἀλλάξαντε — φίλω υἱώ.* — Vs. 432. Libri *ὁ δ' ἀνήκουστος.* Bergk *θύοντος· ὁ δὲ νήκουστος ὁμοκλέων.*

Leucippus et Democritus.

Leucippus Theophrastus ap. Simpl. Phys. 7 ^{r}. 28, 4 D. *Λεύκιππος δὲ ὁ Ἐλεάτης ἢ Μιλήσιος* [a] — *ἀμφοτέρως γὰρ λέγεται περὶ αὐτοῦ — κοινωνήσας Παρμενίδῃ* [b] *τῆς φιλοσοφίας οὐ τὴν αὐτὴν ἐβάδισε Παρμενίδῃ καὶ Ξενοφάνει περὶ τῶν ὄντων ὁδόν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν.* (Doxogr. 483, 11.) 143

a. Idem voc. pro *Μήλιος* legendum ap. Diog. IX 30; certe Milesius dicitur ap. Clem. Protrept. 43 D aliosque auctores.

b. Diog. IX 30. *οὗτος ἤκουσε Ζήνωνος.* Cum Eleatis coniungitur Leucippus etiam apud Arist. Gen. et Corr. I 8. 325 ^{a} 2—36. Aristo-
libri teles Leucippum primum atomos excogitasse censet. Libri eius, unde Aristoteles et Theophrastus sapientiam ipsius cognoverant, vulgo Democriteis videntur inserti fuisse; Diog. IX 46 (Democriti) *Μέγας διάκοσμος, ὃν οἱ περὶ Θεόφραστον Λευκίππου φασὶν εἶναι.* Dubitanter etiam is qui scripsit de Melisso 6, 980 ^{a} 7. *ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις.* At fidenter Stob. Ecl. I 160. Dox. 321 b. *Λεύκιππος … λέγει ἐν τῷ Περὶ νοῦ.* Quae verba cum ex Theophrasto hausta sint, frustra librum illum Heeren et Mullach vindicant Democrito. Simpl. Phys. 6 ^{r}. 25, 1 D. *Διογένης ὁ Ἀπολλωνιάτης τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε τὰ μὲν κατὰ Ἀναξαγόραν, τὰ δὲ κατὰ Λεύκιππον λέγων.* (Doxogr. 477.) Aristot. de Gen. et Corr. I 8 (**RP** 148 A). *περὶ πάντων ἑνὶ λόγῳ διωρίκασι Λεύκιππος καὶ Δημόκριτος.* Quo loco quae sequuntur, ex ipsius Leucippi sunt libro: *τοῦ ὄντος οὐθὲν μὴ ὂν φησιν εἶναι.*

fueritne Leucippus Mira narrat Diog. X 13, quo loco Epicurum dixit negasse antiquis philosophis se quidquam debere: *ἀλλ' οὐδὲ Λεύκιππόν τινα γεγενῆσθαί φησι φιλόσοφον . . . . ὃν ἔνιοί φασι . . . . διδάσκαλον Δημοκρίτου γεγενῆσθαι.* Epicuri iactationi Erwinus Rhode tantum tribuit, ut oratione apud philologos Treviris 1879 habita (cf. *Jahrb. f. Philol.* 1882,
fuit p. 741) fuisse Leucippum ipse quoque negaverit. Praetulit Aristotelis et Theophrasti auctoritatem, revocavit Leucippum eique *Μέγαν διάκοσμον* illum reddidit H. Diels, in Actis Philol. Stettin. 1881 editis. Accedit quod Leucippi sententiae non omnes cum Democriteis congruunt, v. Diels

97[7]; tum quod iam ante Democritum, qui circa annum 420 floruisse putandus est, reperiuntur apud alios vestigia doctrinae atomorum, e Leucippo nimirum haustae. Detexit ea apud Anaxagoram Zeller I[4] 920; de Melisso cf. ibid. 852; de Diogene vero Apolloniate Diels l. c. 105—108.

149 A Arist. de Caelo III 4. 303 a 4, de Gener. Animal. II 6. 742 b 20. Δημόκριτος ὁ Ἀβδηρίτης [a]. Democriti vita

149 B Diog. IX 41. *Γέγονε δὲ τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῷ Μικρῷ διακόσμῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα. συντετάχθαι δέ φησι τὸν Μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως* [b] *τριάκοντα καὶ ἑπτακοσίοις. γεγόνοι δ' ἄν, ὡς μὲν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, κατὰ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα· ὡς δὲ Θρασύλος ἐν τῷ ἐπιγραφομένῳ Τὰ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων κατὰ τὸ τρίτον ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἐνιαυτῷ, φησί, πρεσβύτερος ὢν Σωκράτους* [c].

a. Diog. IX 34. *Ἀβδηρίτης ἢ ὥς ἔνιοι Μιλήσιος.* Abderitici sermonis proprietatem in libris Democriteis deprehendisse sibi videbantur grammatici, v. Menag. in Diog. IX 47.

b. De omni hoc loco Diels Mus. Rhen. XXXI 29. Annus Troianus certe non ad Eratosthenis rationem 1184/3; haec enim Democriti erat temporibus ignota. Thrasylus vero etiam 10 annis altius repetit ab anno 1194/3, unde annum effecit 470. At fortasse 1150 (cf. ten Brink, *Philologus* VI 589) is est annus, quem Democritus (et Ephorus?) statuit. — Diversa ap. Diodor. XIV 11. *περὶ τὸν αὐτὸν χρόνον* (404) *καὶ Δημόκριτος ὁ φιλόσοφος ἐτελεύτησε βιώσας ἔτη ἐνενήκοντα* (de cuius errore Diels l. c. 31). Summa annorum variatur: 109 Lucianus, Macrob. 18 et Hipparchus ap. Diog. IX 43; paene 108 Censorin. de Die Nat. XV 10 tradit.

c. Democritum philosophum extitisse ante Socratem cernitur ex Aristotelis Met. XIII 4. 1078 b 20; de Part. An. I 1. 642 a 26. Ar. Meteorol. II 7. *Ἀναξαγόρας . . ὁ Κλαζομένιος καὶ πρότερος Ἀναξιμένης ὁ Μιλήσιος ἀπεφήναντο καὶ τούτων ὕστερος Δημόκριτος ὁ Ἀβδηρίτης.* Respici Democritum non nominatum a Platone Republ. X 583 B et Phileb. 43 D, docet Hirzel, *Unters.* I 141.

145 A Clem. Strom. I p. 357 P. *Τάδε λέγει Δημόκριτος — —, ἦ σεμνυνόμενός φησί που ἐπὶ τῇ πολυμαθίᾳ· „Ἐγὼ δὲ τῶν κατ' ἐμεωυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην ἱστορέων τὰ μήκιστα, καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον, καὶ λογίων ἀνθρώπων πλείστων ἐσήκουσα, καὶ γραμμέων συνθέσιος μετὰ* itinera

ἀποδέξιος[1] οὐδείς κώ με παρήλλαξεν, οὐδ᾽ οἱ Αἰγυπτίων καλεόμενοι Ἀρπεδονάπται[2], σὺν τοῖς δ᾽ ἐπὶ πᾶσιν ἐπ᾽ ἔτε᾽ ὀγδώκοντα ἐπὶ ξείνης ἐγενήθην." [3] ἐπῆλθε γὰρ Βαβυλῶνά τε καὶ Περσίδα καὶ Αἴγυπτον τοῖς τε Μάγοις καὶ τοῖς ἱερεῦσι μαθητεύων.

quos sapientes viderit aut audierit Diog. IX 34. Οὗτος Μάγων [a] τινῶν διήκουσε καὶ Χαλδαίων, Ξέρξου τοῦ βασιλέως ἐπιστάτας τῷ πατρὶ αὐτοῦ καταλιπόντος ἡνίκ᾽ ἐξενίσθη [a] παρ᾽ αὐτῷ, καθά φησι καὶ Ἡρόδοτος· παρ᾽ ὧν τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν ἔτι παῖς ὤν. ὕστερον δὲ Λευκίππῳ [b] παρέβαλε καὶ Ἀναξαγόρᾳ [c] κατά τινας, ἔτεσιν ὢν αὐτοῦ νεώτερος τετταράκοντα. Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης ἀλλ᾽ ἀρχαῖαι, τὸν δ᾽ ὑφῃρῆσθαι· 35. διασύρειν τ᾽ αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτὸν, ὅτι δὴ μὴ προσήκατο [d] αὐτόν. 145 B

a. Herodotus nec VII 109 nec VIII 120 neque usquam tale quidquam prodit. Diog. IX 35. *τοῖς τε γυμνοσοφισταῖς φασί τινες συμμῖξαι αὐτὸν ἐν Ἰνδίᾳ καὶ ἐς Αἰθιοπίαν ἐλθεῖν.* Cf. Aeliani Var. Hist. IV 29. *τὴν παρὰ Δαμασίππου τοῦ πατρὸς οὐσίαν εἰς τρία μέρη νεμηθεῖσαν τοῖς ἀδελφοῖς τοῖς τρισί, τἀργύριον μόνον λαβὼν ἐφόδιον τῆς ὁδοῦ τὰ λοιπὰ τοῖς ἀδελφοῖς εἴασε. διὰ ταῦτά τοι καὶ Θεόφραστος αὐτὸν ἐπῄνει ὅτι περιῄει κρείττονα ἀγερμὸν ἀγείρων Μενελάου καὶ Ὀδυσσέως.* Diod. I 98, 3: *ὑπολαμβάνουσι δὲ καὶ Δημόκριτον παρ᾽ αὐτοῖς* (sc. *Αἰγυπτίοις*) *ἔτη διατρῖψαι πέντε καὶ πολλὰ διδαχθῆναι τῶν κατὰ τὴν ἀστρολογίαν.* Demetr. Magnes (*ἐν ὁμωνύμοις*) ap. Diog. IX 36. *δοκεῖ δὲ καὶ Ἀθήναζε ἐλθεῖν καὶ μὴ σπουδάσαι γνωσθῆναι δόξης καταφρονῶν, καὶ εἰδέναι μὲν Σωκράτην, ἀγνοεῖσθαι δὲ ὑπ᾽ αὐτοῦ. Ἦλθον γάρ, φησίν, εἰς Ἀθήνας, καὶ οὔτις με ἔγνωκεν.* Ibid. 37 Demetrius Phalereus negat eum Athenas venisse.

b. Leucippi *ἑταῖρος* appellatur, Ar. Met. I 4. 985 b 4. Simpl. Phys. 7 r. 28, 15 D.

---

1) De significatione cf. Herod. I 1. 207 extr.; II 101 in. — 2) Euseb. Praep. Ev. X 4 *Ἀρσεπεδονάπται.* Sturz de dial. Maced. p. 98. — 3) Haec aperte corrupta sunt, cf. Diod. apud RP 145 a. Numerum *ὀγδώκοντα (π')* ex *πέντε (π)* ortum existimat Papencordt, de Atomicorum doctrina 10. Scribendum Prellero videbatur: *Ἀρπεδονάπται, σὺν τοῖσι ἐπ᾽ ἔτεα πέντε ἐγενήθην.* Verba *ἐπὶ πᾶσιν* et *ἐπὶ ξείνης* addita esse ab eo, qui *πέντε* numerum in *ὀγδώκοντα* mutavisset, ut ne infinitum illud tempus apud solos Aegyptios Democritus moratus esse videretur. Cf. Clinton. F. H. ann. 381. Fortasse aliud quiddam latet.

c. Anaxagoram ab eo auditum esse non magis veri simile quam Pythagoreos. Quamquam est apud Diog. IX 38. *δοκεῖ δέ, φησὶν ὁ Θρασύλος, ζηλωτὴς γεγονέναι καὶ τῶν Πυθαγορικῶν. ἀλλὰ καὶ αὐτοῦ τοῦ Πυθαγόρου μέμνηται θαυμάζων αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι. — πάντως μέντοι τῶν Πυθαγορικῶν τινος ἀκοῦσαί φησιν αὐτὸν Γλαῦκος ὁ Ῥηγῖνος, κατὰ τοὺς αὐτοὺς χρόνους αὐτῷ γεγονώς. φησὶ δὲ καὶ Ἀπολλόδωρος ὁ Κυζικηνὸς Φιλολάῳ αὐτὸν συγγεγονέναι.*

d. Obliviscitur hic scriptor, antea, Diog. II 14, contrarium se retulisse: (*Ἀναξ.*) *ἔδοξε . . . Δημοκρίτῳ ἀπεχθῶς ἐσχηκέναι, ἀποτυχὼν τῆς πρὸς αὐτὸν κοινολογίας.*

146 A Diog. IX 45. *Τὰ δὲ βιβλία αὐτοῦ καὶ Θρασύλος ἀναγέγραφε κατὰ τάξιν οὕτως ὡσπερεὶ καὶ τὰ Πλάτωνος, κατὰ τετραλογίαν* [a]. libri

146 B Cic. Orat. 67. Itaque video visum esse nonnullis Platonis et Democriti locutionem, etsi absit a versu, tamen quod incitatius feratur et clarissimis verborum luminibus utatur, potius poema putandum quam comicorum poetarum [b]. genus dicendi

a. Sequitur conspectus librorum Democriti, de quo v. Schleiermacher, Op. Omn. III. sect. III 292—305. Mullach Democr. fragm. 100—159. Fr. Nietzsche, *Beitr. z. Quellenkunde u. Kritik d. Laertius Diog., Gratul.-Schr., Basel* 1870, p. 22: de Thrasyli indice librorum Dem. Plurima eum scripsisse refert idem Diog. I 16. Quae nomini eius adhaerent librorum fragmenta et tituli, ad omnia fere genera artium pertinent: physicam mathematicam ethicam musicam grammaticam mechanicam meteorologiam geographiam. Cf. Seneca Ep. 90, 32. Vitruv. de Archit. praef. Agathem. Comp. Geogr. I 1 hunc inter eos nominat, quibus ducibus geographia plurimum profecerit. Item nomen Democriti creberrime legitur in Eudoxi[1] q. f. arte et in *παραπήγμασι* Gemini et Ptolemaei. Quod Thrasylus 15 tetralogias librorum Democriteorum disposuit, non obstat, quominus nonnullos incertae fidei eum recepisse credamus. Erw. Rhode in Act. Phil. Trever. Lips. 1880, p. 70[1] suspectas habet quaecunque Democriti de animalibus et plantis opiniones ferantur apud scriptores Theophrasto recentiores. Moralium vero sententiarum tantam esse turbam ac colluvionem ut diiudicari iam non queat, quae genuinae sint quae falsae (ibid. 70[2]). Austerior etiam censor est Rose, de Arist. libr. ord. 6. At Lortzing statuit, libros *περὶ εὐθυμίης* et *ὑποθήκας* Democriti esse (*über d. eth. Fragm. d. Demokr. Progr. Berl.* 1873). Cf. R. Hirzel, *Hermes* XIV 354—407. Vehementer aberrat a vero auctor Suidae v. *Δημόκριτος· γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε Μέγας Διάκοσμος* (is vero Leucippi est v. **RP** 143, b) *καὶ τὸ Περὶ φύσεως κόσμου.* Thrasylus grammaticus idemque mathematicus, qui *τὰ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων* composuit (**RP** 144) vixit temporibus Tiberii, v. C. F. Hermann Ind. lect. Gotting. 1852/53.

1) *Εὐδόξου τέχνη* ed. Brunet de Presle p. 74.

b. Cf. Cic. de Orat. I 49; Dionys. Hal. de Comp. Verb. 24 Plut. Symp. V 7, p. 683. *τὸν ἄνδρα τῇ λέξει δαιμονίως λέγειν καὶ μεγαλοπρεπῶς*. Varia ornatissimae orationis exempla congessit Papencordt, de Atom. doctr. (Berol. 1832) I 19.

Democriti Abd. op. fragmenta collegit etc. F. W. A. Mullach, Berol. 1843. Cf. FPG I 330. Memorandi praeterea: J. F. W. Burchard, Democr. philosophiae de sensibus fragm., Minden 1830; *Fragm. d. Moral d. Dem.*, Minden 1834. Fr. Heimsoeth, Dem. de anima doctrina, Bonn 1835. B. ten Brink, anecdota Epicharmi, Democriti rel., *Philologus*, VI 577 (1851); Dem. de se ipso testimonia, ib. 589; VII 354; Dem. liber *περὶ ἀνθρώπου φύσιος* ib. VIII 414. Democritea, ib. XXIX 605 (1870). Ed. Johnson, *d. Sensualismus d. Dem.* etc., progr., Plauen 1868. Natorp, *Forschungen* p. 164—208.

plenum et vacuum Aristot. Met. I 4. 985 b 4. *Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος* 147 *αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι, λέγοντες οἷον τὸ μὲν ὄν* [a], *τὸ δὲ μὴ ὄν, τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν τὸ ὄν, τὸ δὲ κενόν γε καὶ μανὸν τὸ μὴ ὄν (διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν* [1] *τοῦ σώματος), αἴτια δὲ τῶν ὄντων ταῦτα ὡς ὕλην. καὶ καθάπερ οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐσίαν τἆλλα τοῖς πάθεσιν αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι* διαφοραί *τῶν παθημάτων, τὸν αὐτὸν τρόπον καὶ οὗτοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. ταύτας μέντοι τρεῖς εἶναι λέγουσι, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν* [b] *γάρ φασι τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει γὰρ τὸ μὲν Α τοῦ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Ζ τοῦ Ν θέσει.*

a. Plut. adv. Colot. 4, 2: *(Δημόκριτος) διορίζεται μὴ μᾶλλον τὸ δὲν ἢ τὸ μηδὲν εἶναι· δὲν μὲν ὀνομάζων τὸ σῶμα, μηδὲν δὲ τὸ κενόν, ὡς καὶ τούτου φύσιν τινὰ καὶ ὑπόστασιν ἰδίαν ἔχοντος.*

b. Differentia est non qualitatis sed tantummodo quantitatis. Plut. adv. Colot. 8, 4: *τί γὰρ λέγει Δημόκριτος; οὐσίας ἀπείρους τὸ πλῆθος ἀτόμους τε καὶ ἀδιαφόρους ἔτι δ' ἀποίους καὶ ἀπαθεῖς ἐν τῷ κενῷ φέρεσθαι διεσπαρμένας. ὅταν δὲ πελάσωσιν ἀλλήλαις ἢ συμπέσωσιν ἢ περιπλακῶσι, φαίνεσθαι τῶν ἀθροιζομένων τὸ μὲν ὕδωρ, τὸ δὲ πῦρ, τὸ δὲ φυτόν, τὸ δ' ἄνθρωπον· εἶναι δὲ πάντα τὰς ἀτόμους ἰδέας* (al. *ἰδίως*) *ὑπ' αὐτοῦ καλουμένας, ἕτερον δὲ μηδέν.*

Quomodo argumentatus sit Democritus, aperit Aristoteles, de Gen. et Corr. I 7, 323 b 10: *Δημόκριτος — φησὶ — τὸ αὐτὸ καὶ ὅμοιον*

1) *τοῦ κενοῦ τὸ σῶμα* ci. Schwegler.

εἶναι τό τε ποιοῦν καὶ τὸ πάσχον· οὐ γὰρ ἐγχωρεῖν τὰ ἕτερα καὶ διαφέροντα πάσχειν ὑπ' ἀλλήλων, ἀλλὰ κἂν ἕτερα ὄντα ποιῇ τι εἰς ἄλληλα, οὐχ ᾗ ἕτερα, ἀλλ' ᾗ ταὐτόν τι ὑπάρχει, ταύτῃ τοῦτο συμβαίνειν αὐτοῖς.

148 A Aristot. de Gen. et Corr. I 8. 324^{b} 35. Ὁδῷ δὲ μάλιστα καὶ περὶ πάντων ἑνὶ λόγῳ διορίκασι Λεύκιππος καὶ Δημόκριτος, ἀρχὴν ποιησάμενοι κατὰ φύσιν ἥπερ ἐστίν. ἐνίοις γὰρ τῶν ἀρχαίων ἔδοξε τὸ ὂν ἐξ ἀνάγκης ἓν εἶναι καὶ ἀκίνητον κτλ. 325^{a} 23. Λεύκιππος δ' ἔχειν ᾠήθη λόγους· οἵτινες πρὸς τὴν αἴσθησιν ὁμολογούμενα λέγοντες οὐκ ἀναιρήσουσιν οὔτε γένεσιν οὔτε φθορὰν οὔτε κίνησιν καὶ τὸ πλῆθος τῶν ὄντων. ὁμολογήσας δὲ ταῦτα μὲν τοῖς φαινομένοις, τοῖς δὲ τὸ ἓν κατασκευάζουσιν [1] ὡς οὔτε ἂν κίνησιν οὖσαν ἄνευ κενοῦ τό τε κενὸν μὴ ὄν, καὶ τοῦ ὄντος οὐθὲν μὴ ὄν φησιν εἶναι. τὸ γὰρ κυρίως ὂν παμπληθὲς ὄν· ἀλλ' εἶναι τὸ τοιοῦτον οὐχ ἕν, ἀλλ' ἄπειρα τὸ πλῆθος ^{a} καὶ ἀόρατα διὰ σμικρότητα τῶν ὄγκων. ταῦτα δ' ἐν τῷ κενῷ φέρεσθαι (κενὸν ^{b} γὰρ εἶναι), καὶ συνιστάμενα μὲν γένεσιν ποιεῖν, διαλυόμενα δὲ φθοράν. ποιεῖν δὲ καὶ πάσχειν ᾗ τυγχάνουσιν ἁπτόμενα· ταύτῃ γὰρ οὐχ ἓν εἶναι. καὶ συντιθέμενα δὲ καὶ περιπλεκόμενα γεννᾶν· ἐκ δὲ τοῦ κατ' ἀλήθειαν ἑνὸς οὐκ ἂν γενέσθαι πλῆθος, οὐδ' ἐκ τῶν ἀληθῶς πολλῶν ἕν, ἀλλ' εἶναι τοῦτ' ἀδύνατον· ἀλλ' ὥσπερ Ἐμπεδοκλῆς καὶ τῶν ἄλλων τινές φασι πάσχειν διὰ πόρων, οὕτω πᾶσαν ἀλλοίωσιν καὶ πᾶν τὸ πάσχειν τοῦτον γίνεσθαι τὸν τρόπον, διὰ τοῦ κενοῦ γιγνομένης τῆς διαλύσεως καὶ τῆς φθορᾶς, ὁμοίως δὲ καὶ τῆς αὐξήσεως, ὑπεισδυομένων στερεῶν ^{c}. σχεδὸν δὲ καὶ Ἐμπεδοκλεῖ ἀναγκαῖον λέγειν, ὥσπερ καὶ Λεύκιππός φησιν· εἶναι γὰρ ἄττα στερεά, ἀδιαίρετα δέ, εἰ μὴ πάντῃ πόροι συνεχεῖς εἰσιν.

a) ἄτομοι describuntur

b) sunt in vacuo

148 B Theophrastus apud Simplic. Phys. 7^{r}. 28, 7 D. Dox. 483, 14. Ἐκείνων [2] γὰρ ἓν καὶ ἀκίνητον καὶ ἀγένητον καὶ πεπερασμένον ποιούντων τὸ πᾶν καὶ τὸ μὴ ὂν μηδὲ ζητεῖν συγχωρούντων, οὗτος (Leucippus) ἄπειρα καὶ ἀεὶ κινούμενα ὑπέθετο στοιχεῖα τὰς ἀτόμους καὶ τῶν ἐν αὐτοῖς σχημάτων ἄπειρον τὸ πλῆθος διὰ τὸ μηδὲν μᾶλλον τοιοῦτον ἢ τοιοῦτον εἶναι καὶ γένεσιν καὶ μεταβολὴν ἀδιάλειπτον ἐν τοῖς οὖσι θεωρῶν. ἔτι δὲ οὐδὲν μᾶλλον τὸ ὂν ἢ τὸ μὴ ὂν ὑπάρχειν, καὶ αἴτια ὁμοίως εἶναι τοῖς γινομένοις ἄμφω. τὴν γὰρ

1) Eleatas dicit, Melissum maxime, v. Z. I^{4} 557^{1}, Natorp, *Forschungen* p. 169. — 2) Parmenidem commemoravit et Xenophanem. Initium v. RP 133.

τῶν ἀτόμων οὐσίαν ναστὴν καὶ πλήρη ὑποτιθέμενος ὂν ἔλεγεν εἶναι καὶ ἐν τῷ κενῷ φέρεσθαι, ὅπερ μὴ ὂν ἐκάλει καὶ οὐκ ἔλαττον τοῦ μὴ ὄντος εἶναί φησι. παραπλησίως δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος ὁ Ἀβδηρίτης ἀρχὰς ἔθετο τὸ πλῆρες καὶ τὸ κενόν, ὧν τὸ μὲν ὂν τὸ δὲ μὴ ὂν ἐκάλει· ὡς γὰρ ὕλην τοῖς οὖσι τὰς ἀτόμους ὑποτιθέντες τὰ λοιπὰ γεννῶσι ταῖς διαφοραῖς αὐτῶν. τρεῖς

tres atomorum differentiae

δέ εἰσιν αὗται ῥυσμὸς τροπὴ διαθιγή, ταὐτὸν δὲ εἰπεῖν σχῆμα καὶ θέσις καὶ τάξις. πεφυκέναι γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου κινεῖσθαι καὶ φέρεσθαι τὰ συγγενῆ πρὸς ἄλληλα καὶ τῶν σχημάτων ἕκαστον εἰς ἑτέραν ἐγκοσμούμενον σύγκρισιν ἄλλην ποιεῖν διάθεσιν· ὥστε εὐλόγως ἀπείρων οὐσῶν τῶν ἀρχῶν πάντα τὰ πάθη καὶ τὰς οὐσίας ἀποδώσειν ἐπηγγέλλοντο, ὑφ᾽ οὗ τέ τι γίνεται καὶ πῶς.

a. Cur ita statuerit v. Aristot. de Caelo III 4. 303 ᵃ 10: *ἐπεὶ διαφέρει τὰ σώματα σχήμασιν, ἄπειρα δὲ τὰ σχήματα, ἄπειρα καὶ τὰ ἁπλᾶ σώματά φασιν εἶναι.*

b. Negat igitur, nisi esset inane, res moveri posse. Praeterea nisi corpora intervallis disiungerentur, futurum esse ut omnia in unum cogerentur, ut ait Lucretius I 520. *Si nil esset quod inane vacaret, omne foret solidum.* De quo argumento Aristoteles Phys. IV 6. 213 ᵃ31: *Οὔκουν τοῦτο δεῖ δεικνύναι* (sc. *τοὺς πειρωμένους δεικνύναι ὅτι οὐκ ἔστι κενόν*), *ὅτι ἔστι τι ὁ ἀήρ, ἀλλ᾽ ὅτι οὐκ ἔστι διάστημα ἕτερον τῶν σωμάτων, οὔτε χωριστὸν οὔτε ἐνεργείᾳ ὄν, ὃ διαλαμβάνει τὸ πᾶν σῶμα ὥστ᾽ εἶναι μὴ συνεχές, καθάπερ λέγουσι Δημόκριτος καὶ Λεύκιππος.* Alia Democriti argumenta ibid. 213 ᵇ 4: *λέγουσι δ᾽ ἓν μὲν* (1) *ὅτι κίνησις ἡ κατὰ τόπον οὐκ ἂν εἴη* (*αὕτη δ᾽ ἐστὶ φορὰ καὶ αὔξησις*)*· οὐ γὰρ ἂν δοκεῖν εἶναι κίνησιν, εἰ μὴ εἴη κενόν· τὸ γὰρ πλῆρες ἀδύνατον εἶναι δέξασθαί τι. εἰ δὲ δέξεται καὶ ἔσται δύο ἐν ταὐτῷ, ἐνδέχοιτ᾽ ἂν καὶ ὁποσαοῦν εἶναι ἅμα σώματα·* 213ᵇ 9. *εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ τὸ μικρότατον δέξεται τὸ μέγιστον·* 213ᵇ 14. *ἕνα μὲν οὖν τρόπον ἐκ τούτων δεικνύουσιν ὅτι ἔστι τι κενόν* (2), *ἄλλον δ᾽ ὅτι φαίνεται ἔνια συνιόντα καὶ πιλούμενα, οἷον καὶ τὸν οἶνόν φασι δέχεσθαι μετὰ τῶν ἀσκῶν τοὺς πίθους, ὡς εἰς τὰ ἐνόντα κενὰ συνιόντος τοῦ πυκνουμένου σώματος.* (3) *ἔτι δὲ καὶ ἡ αὔξησις δοκεῖ πᾶσι γίγνεσθαι διὰ κενοῦ· τὴν μὲν γὰρ τροφὴν σῶμα εἶναι, δύο δὲ σώματα ἀδύνατον ἅμα εἶναι.* (4) *μαρτύριον δὲ καὶ τὸ περὶ τῆς τέφρας ποιοῦνται, ἣ δέχεται ἴσον ὕδωρ ὅσον τὸ ἀγγεῖον τὸ κενόν.*

c. Nulla est alia mutatio atomorum nisi quae fit motu. Ipsae sunt *ἀπαθεῖς*, v. Plut. loc. **RP** 147 b. Arist. de Gen. et Corr. I 8. 325ᵇ 36: *ἀναγκαῖον ἀπαθές τε ἕκαστον λέγειν τῶν ἀδιαιρέτων, οὐ γὰρ οἷόντε πάσχειν ἀλλ᾽ ἢ διὰ τοῦ κενοῦ.* Cf. Ar. de Caelo III 7.

motio

Arist. Met. I 4. 985 ᵇ 19. Περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει 149
τοῖς οὖσι, καὶ οὗτοι παραπλησίως τοῖς ἄλλοις ῥᾳθύμως ἀφεῖσαν.

149 B De Caelo III 2. 300 b 8. *Διὸ καὶ Λευκίππῳ καὶ Δημοκρίτῳ, τοῖς λέγουσιν ἀεὶ κινεῖσθαι τὰ πρῶτα σώματα ἐν τῷ κενῷ καὶ τῷ ἀπείρῳ, λεκτέον τίνα κίνησιν καὶ τίς ἡ κατὰ φύσιν αὐτῶν κίνησις* [b]. *εἰ γὰρ ἄλλο ὑπ' ἄλλου κινεῖται βίᾳ τῶν στοιχείων, ἀλλὰ καὶ κατὰ φύσιν ἀνάγκη τινὰ εἶναι κίνησιν ἑκάστου, παρ' ἣν ἡ βίαιός ἐστιν* [c].

a. Motus atomorum nullo a principio sed ex aeterno tempore (Ciceronis verba, de fin. I 17). Arist. Phys. VIII 1. 252 a 32. *ὅλως δὲ τὸ νομίζειν ἀρχὴν εἶναι ταύτην ἱκανήν, ὅτι ἀεὶ ἢ ἔστιν οὕτως ἢ γίγνεται, οὐκ ὀρθῶς ἔχει ὑπολαβεῖν, ἐφ' ὃ Δημόκριτος ἀνάγει τὰς περὶ φύσεως αἰτίας, ὡς οὕτω καὶ τὸ πρότερον ἐγίνετο· τοῦ δὲ ἀεὶ οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν.* — Cf. Arist. Gen. Anim. V 8. 789 b 2. **motus aeternus**

b. Necessitate omnia fiunt. Stob. Ecl. I 160. Doxogr. 321. *Λεύκιππος πάντα κατ' ἀνάγκην, τὴν δ' αὐτὴν ὑπάρχειν εἱμαρμένην. λέγει γὰρ ἐν τῷ Περὶ νοῦ· οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης.*

c. Turbo atomorum. Sext. Math. IX 113. *κατ' ἀνάγκην μὲν καὶ ὑπὸ δίνης, ὡς ἔλεγον οἱ περὶ Δημόκριτον, οὐκ ἂν κινοῖτο ὁ κόσμος.* Cf. Diog. IX 45. IX 32. *δίνη*

d*. Sua sponte vel casu moveri, parum accurate tradit Aristoteles, Phys. II 4. 196 a 24: *εἰσὶ δέ τινες οἳ καὶ τοὐρανοῦ τοῦδε καὶ τῶν κοσμικῶν αἰτιῶνται τὸ αὐτόματον· ἀπὸ ταὐτομάτου γὰρ γίγνεσθαι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν.* Simpl. Phys. 73 v. 327, 24 D. *ἀλλὰ καὶ Δημόκριτος ἐν οἷς φησι „δεῖνον* [1] *ἀπὸ τοῦ παντὸς ἀποκριθῆναι παντοίων εἰδέων“ (πῶς δὲ καὶ ὑπὸ τίνος αἰτίας μὴ λέγει) ἔοικεν ἀπὸ ταὐτομάτου καὶ τύχης γεννᾶν αὐτόν.* Id immerito criminatur Cic. D. Nat. I 66: ***nulla cogente natura, sed concursu quodam fortuito.*** Rectius idem de Fin. I 20 commemorat concursionem turbulentam. *τὸ αὐτόματον*

e*. Diversa motuum genera. Stob. Ecl. I 394. Dox. 319. *Δημόκριτος ἓν γένος κινήσεως τὸ κατὰ παλμὸν* [2] *ἀπεφαίνετο.* Alex. ad Metaph. I 4. p. 27, 20: *οὗτοι γὰρ* (Leucippus et Democritus) *λέγουσιν ἀλληλοτυπούσας καὶ κρουομένας πρὸς ἀλλήλας κινεῖσθαι τὰς ἀτόμους.* — Simpl. Phys. 9 v. 42, 10 D. *Δημόκριτος φύσει ἀκίνητα λέγων τὰ ἄτομα πληγῇ κινεῖσθαί φησιν.* Cf. Cic. de Fato 46. — Simplic. de Caelo 254 v 27. Schol. Arist. 510 b 30: *οἱ περὶ Δημόκριτον καὶ ὕστερον Ἐπίκουρος τὰς ἀτόμους πάσας ὁμοφυεῖς οὔσας βάρος ἔχειν φασί, τῷ δὲ εἶναί τινα βαρύτερα ἐξωθούμενα τὰ κουφότερα ὑπ' αὐτῶν ὑφιζανόντων ἐπὶ τὸ ἄνω φέρεσθαι· καὶ οὕτω λέγουσιν οὗτοι δοκεῖν τὰ μὲν κοῦφα εἶναι τὰ δὲ βαρέα.* **genera motuum**

---

1) *δεῖνος* = *δῖνος*. Hanc vocem Democriteam ex tradito *δεινόν* restituit Diels p. 327. Mullach *δίνῃ*. Zeller I[4] 818[2] maluit *δείκελα* = *εἴδωλα*. — 2) Z. I[4] 795[2] susp. *πληγήν*, quia ap. Ps.-Plut. scriptum sit *πλάγιον*.

σχήματα Arist. de Gen. et Corr. I 2. Δημόκριτος δὲ καὶ Λεύκιππος ποιήσαντες τὰ σχήματα τὴν ἀλλοίωσιν καὶ τὴν γένεσιν ἐκ τούτων ποιοῦσι, διακρίσει μὲν καὶ συγκρίσει γένεσιν καὶ φθοράν, τάξει δὲ καὶ θέσει ἀλλοίωσιν. ἐπεὶ δ' ᾤοντο τἀληθὲς ἐν τῷ φαίνεσθαι [1], ἐναντία δὲ καὶ ἄπειρα τὰ φαινόμενα, τὰ σχήματα ἄπειρα ἐποίησαν, ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου τὸ αὐτὸ ἐναντίον δοκεῖν ἄλλῳ καὶ ἄλλῳ, καὶ μετακινεῖσθαι μικροῦ ἐμμιγνυμένου, καὶ ὅλως ἕτερον φαίνεσθαι ἑνὸς μετακινηθέντος· ἐκ τῶν αὐτῶν γὰρ τραγῳδία καὶ κωμῳδία γίνεται γραμμάτων [a]. 150

paria paribus congregantur a. Atomi omnium rerum semina, Aristot. de Anima I 2. 404a 4; cf. ed. Trendelenburg. p. 177. Simplic. de Anim. 6r p. 26, 3 Hayduck. πανσπερμίαν αὐτὰ προσαγορεύει ὡς πάντων σπέρματα. Idem Phys. 105 v. 459, 26 D. Similia semper ad similia feruntur. Sext. Math. VII 117. καὶ γὰρ ζῷα, φησίν, ὁμογενέσι ζῴοις συναγελάζεται, ὡς περιστεραὶ περιστεραῖς καὶ γέρανοι γεράνοις καὶ ἐπὶ τῶν ἄλλων ἀλόγων· ὡσαύτως δὲ καὶ περὶ τῶν ἀψύχων, καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων· ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον διακριτικῶς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθῶν καὶ πυροὶ μετὰ πυρῶν, (118) ὅπου δὲ κατὰ τὴν τοῦ κύματος κίνησιν αἱ μὲν ἐπιμήκεις ψηφῖδες εἰς τὸν αὐτὸν τόπον ταῖς ἐπιμήκεσιν ὠθοῦνται, αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν, ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος. Eandem rem aliis exemplis illustrat. Plac. IV 19, 3. Dox. 408: Δημόκριτος καὶ τὸν ἀέρα φησὶν εἰς ὁμοιοσχήμονα θρύπτεσθαι σώματα, καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς θραύσμασι. „κολοιὸς γὰρ παρὰ κολοιὸν ἱζάνει“ καὶ „ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον“. καὶ γὰρ ἐν τοῖς αἰγιαλοῖς αἱ ὅμοιαι ψῆφοι κατὰ τοὺς αὐτοὺς τόπους ὁρῶνται, κατ' ἄλλο μὲν αἱ σφαιροειδεῖς, κατ' ἄλλο δὲ αἱ ἐπιμήκεις. Cf. Magn. Moral. II 11. 1208 b 9. Eodem refer extrema verba testimonii Simpliciani RP 148.

generatio rerum Diog. IX 31. Γίνεσθαι δὲ τοὺς κόσμους οὕτω· φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν, ἅπερ ἀθροισθέντα δίνην ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττώμενα [2], τὰ δὲ λοιπὰ συμμένειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές. 32. τοῦτο [3] δ' οἷον ὑμένα [a] ἀμφεστάλθαι περιέχοντ' ἐν ἑαυτῷ παντοῖα σώματα [b]. 151 A

1) Cf. Natorp p. 164. 2) Plac. IV 19 Dox. 409, 2. Sext. Math. VII 117 p. 215, 32. — 3) τούτῳ — ἀμφίστασθαι E. Rohde. Cd. ἀφίστασθαι. Cf. RP 151 a περιτείνουσι. 151 b. τὸν πέριξ ὑμένα.

151 B Hippolyt. Ref. Haer. I 13. Dox. 565, 8. Ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ· ἀπείρους δὲ εἶναι κόσμους καὶ μεγέθει διαφέροντας, ἐν τισὶ δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἐν τισὶ δὲ μείζω τῶν παρ' ἡμῖν καὶ ἐν τισὶ πλείω. εἶναι δὲ τῶν κόσμων ἄνισα τὰ διαστήματα, καὶ τῇ μὲν πλείους τῇ δὲ ἐλάττους. καὶ τοὺς μὲν αὔξεσθαι, τοὺς δὲ ἀκμάζειν, τοὺς δὲ φθίνειν, καὶ τῇ μὲν γίνεσθαι, τῇ δὲ λείπειν· φθείρεσθαι δὲ αὐτοὺς ὑπ' ἀλλήλων προσπίπτοντας. εἶναι δ' ἐνίους κόσμους ἐρήμους ζῴων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ [c]. — 18. ἀκμάζειν δὲ κόσμον, ἕως ἂν μηκέτι δύνηται ἔξωθέν τι προσλαμβάνειν. mundi innumerabiles

a. Plac. II 7. Dox. 336. Λεύκιππος καὶ Δημόκριτος χιτῶνα κύκλῳ καὶ ὑμένα περιτείνουσι τῷ κόσμῳ (διὰ τῶν ἀγκιστροειδῶν ἀτόμων συμπεπλεγμένον Stob.). involucrum

b. Diogenes IX 32. ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων, λεπτὸν γίνεσθαι τὸν πέριξ ὑμένα, συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης· καὶ οὕτω μὲν γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον. αὐτόν τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα αὔξεσθαι κατὰ τὴν ἐπέκρυσιν τῶν ἔξωθεν σωμάτων· δίνῃ τε φερόμενον αὐτὸν ὧν ἂν ψαύσῃ ταῦτα ἐπικτᾶσθαι. τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα τὸ μὲν πρῶτον κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ εἶτ' ἐκπυρωθέντα τὴν τῶν ἀστέρων ἀποτελέσαι φύσιν. — 33. καὶ πάντα μὲν τὰ ἄστρα διὰ τὸ τάχος τῆς φορᾶς, τὸν δ' ἥλιον ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι, τὴν δὲ σελήνην τοῦ πυρὸς ὀλίγον μεταλαμβάνειν. Cf. Plac. I 4. Dox. 289. Lucret. V 619. Plac. III 13, 4. Dox. 378: Δημόκριτος κατ' ἀρχὰς μὲν πλάζεσθαί τὴν γῆν διά τε μικρότητα καὶ κουφότητα, πυκνωθεῖσαν δὲ τῷ χρόνῳ καὶ βαρυνθεῖσαν καταστῆναι.

c. Cf. Cic. Acad. pr. II 55; 125; Arist. Phys. VIII 1. 250 b 18. ἀλλ' ὁπόσοι μὲν ἀπείρους κόσμους τε εἶναί φασι καὶ τοὺς μὲν γίγνεσθαι τοὺς δὲ φθείρεσθαι τῶν κόσμων, ἀεί φασιν εἶναι κίνησιν.

152 Theophr. de Sensibus 61. Dox. 516. Βαρὺ μὲν οὖν καὶ κοῦφον τῷ μεγέθει διαιρεῖ Δημόκριτος. εἰ γὰρ διακριθείη καθ' ἓν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι, σταθμοῦ ἂν ἐπὶ μεγέθει τὴν φύσιν ἔχειν·[1] οὐ μὴν ἀλλ' ἔν γε τοῖς μικτοῖς κουφότερον grave leve

1) Vulgo εἰ γὰρ διακριθῇ ἔνθεν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι, διαφέρει σταθμὸν ἂν etc. σταθμοῦ Papencordt, διακριθείη et καθ' ἓν Diels. ἓν ἕκαστον Mullach p. 346. Zeller cum Prellero σταθμὸν ἂν ἐπὶ μεγέθει τὴν κρίσιν ἔχειν. Pro τὴν φύσιν Usener coni. τὴν διαφοράν. — Hoc dicit: si res singulae (atomi) secernantur, etiamsi figura sint diversae, ponderis tamen eandem esse ac magnitudinis ratio-

ἂν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δὲ τὸ ἔλαττον. ἐν ἐνίοις μὲν οὕτως εἴρηκεν.

durum molle 62. ἐν ἄλλοις δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. παραπλησίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ· σκληρὸν μὲν γὰρ εἶναι τὸ πυκνόν, μαλακὸν δὲ τὸ μανόν, καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον καὶ τὰ λοιπὰ[1] κατὰ λόγον. διαφέρειν δέ τι τὴν θέσιν καὶ τὴν ἐναπόληψιν τῶν κενῶν τοῦ σκληροῦ καὶ μαλακοῦ καὶ βαρέος καὶ κούφου. διὸ σκληρότερον μὲν εἶναι σίδηρον, βαρύτερον δὲ μόλυβδον· τὸν μὲν γὰρ σίδηρον ἀνωμάλως συγκεῖσθαι καὶ τὸ κενὸν ἔχειν πολλαχῇ καὶ κατὰ μεγάλα, πεπυκνῶσθαι δὲ κατὰ ἔνια, ἁπλῶς δὲ πλέον ἔχειν κενόν. τὸν δὲ μόλυβδον ἔλαττον ἔχοντα κενὸν ὁμαλῶς συγκεῖσθαι καὶ κατὰ πᾶν ὁμοίως[2], διὸ βαρύτερον μέν, μαλακώτερον δ' εἶναι τοῦ σιδήρου.

63. περὶ μὲν οὖν βαρέος καὶ κούφου καὶ σκληροῦ καὶ μαλακοῦ ἐν τούτοις ἀφορίζει. τῶν δὲ ἄλλων αἰσθητῶν οὐδενὸς εἶναι φύσιν, ἀλλὰ πάντα πάθη τῆς αἰσθήσεως[a] ἀλλοιουμένης, ἐξ ἧς γίνεσθαι τὴν φαντασίαν. οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν, ἀλλὰ τὸ σχῆμα μεταπῖπτον ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν· ὅ τι γὰρ ἂν ἄθρουν ᾖ, τοῦτ' ἐνισχύειν ἑκάστῳ, τὸ δ' εἰς μακρὰ διανενεμημένον ἀναίσθητον εἶναι[b]. σημεῖον δ' ὡς οὐκ εἰσὶ φύσει τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι τοῖς ζῴοις, ἀλλ' ὃ ἡμῖν γλυκύ, τοῦτ' ἄλλοις πικρὸν καὶ ἑτέροις ὀξὺ καὶ ἄλλοις δριμύ, τοῖς δὲ στρυφνὸν καὶ τὰ ἄλλα δ' ὡσαύτως.

(ceterae sensuum affectiones non in natura sed in imaginatione)

64. ἔτι δ' αὐτοὺς[3] μεταβάλλειν τῇ κράσει κατὰ τὰ πάθη καὶ τὰς ἡλικίας· ᾗ καὶ φανερόν, ὡς ἡ διάθεσις αἰτία τῆς φαντασίας. ἁπλῶς μὲν οὖν περὶ τῶν αἰσθητῶν οὕτω δεῖν ὑπολαμβάνειν. οὐ μὴν ἀλλ' ὥσπερ καὶ τὰ ἄλλα καὶ ταῦτα ἀνατίθησι τοῖς σχήμασι. πλὴν οὐχ ἁπάντων ἀποδίδωσι τὰς μορφάς, ἀλλὰ μᾶλλον τῶν χυλῶν καὶ τῶν χρωμάτων καὶ τούτων ἀκριβέστερον διορίζει τὰ περὶ τοὺς χυλοὺς ἀναφέρων τὴν φαντασίαν πρὸς ἄνθρωπον.

(et in figuris)

---

nem. Pertinet huc Aristot. de Caelo IV 2. 308 b 35. Nec minus Arist. Gen. et Corr. I 8. 526 a 9. βαρύτερόν γε κατὰ τὴν ὑπεροχήν φησιν εἶναι Δημόκριτος ἕκαστον τῶν ἀδιαιρέτων.

1) Traditum est μάλιστα. Illud coniecit Diels p. 517. — 2) ὁμοίως πυκνόν Schneider, ὁμοίως μανόν Philippson, ὁμοίως πεπυκνῶσθαι dubit. Diels. — 3) Natorp p. 186: ἔστι δὲ τοὺς αὐτοὺς μεταβάλλειν τῇ κράσει τὰ πάθη κατὰ τὰς ἕξεις καὶ ἡλικίας. Omnino cf. Natorp. p. 184—190.

65. τὸν μὲν οὖν ὀξὺν εἶναι τῷ σχήματι γωνοειδῆ τε καὶ πολυκαμπῆ καὶ μικρὸν καὶ λεπτόν, διὰ γὰρ τὴν δριμύτητα ταχὺ καὶ πάντῃ διαδύνεσθαι· τραχὺν δ' ὄντα καὶ γωνοειδῆ συνάγειν καὶ συσπᾶν, διὸ καὶ θερμαίνειν τὸ σῶμα κενότητας ἐμποιοῦντα· μάλιστα γὰρ θερμαίνεσθαι τὸ πλεῖστον ἔχον κενόν. τὸν δὲ γλυκὺν ἐκ περιφερῶν συγκεῖσθαι σχημάτων, οὐκ ἄγαν μικρῶν· διὸ καὶ διαχεῖν ὅλως [1] τὸ σῶμα καὶ οὐ βιαίως, καὶ οὐ ταχὺ πάντα περαίνειν.

a. Simplic. Phys. 119 v. 512, 28 D. Δημόκριτος κατασκευάζειν ἐπιχειρεῖ, ὅτι τὰ χρώματα οὐ συνυπάρχει φύσει τοῖς σώμασιν ἀλλὰ νόμῳ καὶ θέσει τῇ πρὸς ἡμᾶς ἔχει τὸ εἶναι. Theophr. de Sens. 68. 69. Dox. 519. De coloribus idem Dox. 520 sq. 73. τῶν δὲ χρωμάτων ἁπλᾶ μὲν λέγει τέτταρα. λευκὸν μὲν οὖν εἶναι τὸ λεῖον κτλ. 74. τὸ δὲ μέλαν ἐκ τῶν ἐναντίων. ἐκ τραχέων καὶ σκαληνῶν καὶ ἀνομοίων· οὕτω γὰρ ἂν σκιάζειν καὶ οὐκ εὐθεῖς εἶναι τοὺς πόρους οὐδ' εὐδιόδους κτλ. 75 init. ἐρυθρὸν δ' ἐξ οἵωνπερ καὶ τὸ θερμόν, πλὴν ἐκ μειζόνων. 75 extr. τὸ δὲ χλωρὸν ἐκ τοῦ στερεοῦ καὶ τοῦ κενοῦ συνεστάναι. colores

b. Hoc est in longa spatia dispersum. (Schneider: εἰς μικρά). Nulla enim res ex uno atomorum genere constat: omnia sunt in omnibus, v Anaxag. **RP** 123; Simpl. Phys. 73 v; Theophr. de Sensibus 67: ἁπάντων δὲ τῶν σχημάτων οὐδὲν ἀκέραιον εἶναι καὶ ἀμιγὲς τοῖς ἄλλοις, ἀλλ' ἐν ἑκάστῳ πολλὰ εἶναι καὶ τὸν αὐτὸν ἔχειν λείου καὶ τραχέος καὶ περιφεροῦς καὶ ὀξέος καὶ τῶν λοιπῶν. οὗ δ' ἂν ἐνῇ πλεῖστον, τοῦτο μάλιστα ἐνισχύειν πρός τε τὴν αἴσθησιν καὶ τὴν δύναμιν. ἔτι δὲ εἰς ὁποίαν ἕξιν ἂν εἰσέλθῃ, διαφέρειν οὐκ ὀλίγον. καὶ διὰ τοῦτο τὸ αὐτὸ τἀναντία καὶ τἀναντία τὸ αὐτὸ πάθος ποιεῖν ἐνίοτε.

153 Aristot. de Anima I 2. 403 b 28. Φασὶ γὰρ ἔνιοι καὶ μάλιστα καὶ πρώτως ψυχὴν εἶναι τὸ κινοῦν. οἰηθέντες δὲ τὸ μὴ κινούμενον αὐτὸ μὴ ἐνδέχεσθαι κινεῖν ἕτερον, τῶν κινουμένων τι τὴν ψυχὴν ὑπέλαβον εἶναι. ὅθεν Δημόκριτος μὲν πῦρ τι καὶ θερμόν φησιν αὐτὴν εἶναι· ἀπείρων γὰρ ὄντων σχημάτων καὶ ἀτόμων τὰ σφαιροειδῆ πῦρ καὶ ψυχὴν λέγει, οἷον ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, ὧν τὴν μὲν πανσπερμίαν τῆς ὅλης φύσεως στοιχεῖα λέγει. ὁμοίως δὲ καὶ Λεύκιππος. τούτων δὲ τὰ σφαιροειδῆ [a] ψυχήν, διὰ τὸ μάλιστα διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυσμούς [2], καὶ κινεῖν τὰ λοιπά [b] κινούμενα καὶ αὐτά, ὑπο- anima

1) διαχεῖν λείως coni. Diels coll. Theophr. de Caus. Plant. VI 1, 5.
2) Id vocabulum ipsius Abderitae sermonem prodit ut εὐλόγχων **RP** 156. ut μεταπῖπτον **RP** 152 med. (Theophr. Sens. 63), cf. Sext. VII 136, **RP** 157 et Stob. Flor. I 40, **RP** 158 a.

λαμβάνοντες τὴν ψυχὴν εἶναι τὸ παρέχον τοῖς ζῴοις τὴν κίνησιν. διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι τὴν ἀναπνοήν· συνάγοντος γὰρ τοῦ περιέχοντος τὰ σώματα καὶ ἐκθλίβοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζῴοις τὴν κίνησιν διὰ τὸ μηδ' αὐτὰ ἠρεμεῖν μηδέποτε, βοήθειαν γίνεσθαι θύραθεν ἐπεισιόντων ἄλλων τοιούτων ἐν τῷ ἀναπνεῖν· κωλύειν γὰρ αὐτὰ καὶ τὰ ἐνυπάρχοντα ἐν τοῖς ζῴοις ἐκκρίνεσθαι, συνανείργοντα τὸ συνάγον καὶ πηγνύον· καὶ ζῆν δὲ ἕως ἂν δύνωνται τοῦτο ποιεῖν [c].

a. Arist. de Anima I 2. 405 [a] 8. *Δημόκριτος δὲ καὶ γλαφυρωτέρως εἴρηκεν ἀποφαινόμενος διὰ τί τούτων* [sc. *τοῦ κινητικοῦ καὶ γνωριστικοῦ*] *ἑκάτερον* (sc. *ἡ ψυχή*). *ψυχὴν μὲν γὰρ εἶναι ταὐτὸ καὶ νοῦν, τοῦτο δ' εἶναι τῶν πρώτων καὶ ἀδιαιρέτων σωμάτων, κινητικὸν δὲ διὰ λεπτομέρειαν καὶ τὸ σχῆμα· τῶν δὲ σχημάτων εὐκινητότατον τὸ σφαιροειδὲς λέγει· τοιοῦτον* (sc. *εὐκινητότατον*) *δ' εἶναι τόν τε νοῦν καὶ τὸ πῦρ.*

b. Corpus dicit, v. Arist. ibid. 3. 406 [b] 15. *ἔνιοι δὲ καὶ κινεῖν φασι τὴν ψυχὴν τὸ σῶμα ἐν ᾧ ἐστιν, ὡς αὐτὴ κινεῖται, οἷον Δημόκριτος.* 20. *κινουμένας γάρ φησι τὰς ἀδιαιρέτους σφαίρας διὰ τὸ πεφυκέναι μηδέποτε μένειν συνεφέλκειν καὶ κινεῖν τὸ σῶμα πᾶν.* Cf. Lucret. III 370.

c. Similia apud Aristotelem, de Respir. 4.

omnia animata

Plac. IV 4. Dox. 390. Ὁ δὲ Δημόκριτος πάντα [a] μετέχειν φησὶ ψυχῆς ποιᾶς, καὶ τὰ νεκρὰ [b] τῶν σωμάτων, διότι ἀεὶ διαφανῶς [1] τινος θερμοῦ καὶ αἰσθητικοῦ μετέχει τοῦ πλείονος διαπνεομένου. 154

plantarum anima

a. Plut. Qu. Nat. 1, 1: *ζῷον γὰρ ἔγγειον τὸ φυτὸν εἶναι οἱ περὶ Πλάτωνα καὶ Ἀναξαγόραν καὶ Δημόκριτον οἴονται.* Ps.-Aristot. de Plant. 1. 815 [b] 16: *ὁ δὲ Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν εἶπον ἔχειν τὰ φυτά.*

b. Dubitabatur de hac opinione, v. Cic. Tusc. I 82. *Num igitur aliquis dolor aut omnino post mortem sensus in corpore est? Nemo id quidem dicit, etsi Democritum insimulat Epicurus: Democritii negant.*

εἴδωλα

Plac. IV 8. Dox. 395. Λεύκιππος Δημόκριτος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου [a]. 155

a. Simulacra in animos dormientium per corpus delapsa irrumpunt, v.

---

1) Diels Dox. 390 [a] adnotat: *διότι ἀφανῶς E* vix recte. signa enim sunt comarum et unguium crementa, cf. Tertull. de anim. c. 51. vide Hermae vol. XIII, p. 4.

Arist. de Divin. per Somn. 2. *ὥσπερ γὰρ ὅταν κινήσῃ τι τὸ ὕδωρ ἢ τὸν ἀέρα, τοῦθ' ἕτερον ἐκίνησε, καὶ παυσαμένου ἐκείνου συμβαίνει τὴν τοιαύτην κίνησιν προϊέναι μέχρι τινός, τοῦ κινήσαντος οὐ παρόντος, οὕτως οὐδὲν κωλύει κίνησίν τινα καὶ αἴσθησιν ἀφικνεῖσθαι πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας, ἀφ' ὧν ἐκεῖνος* (sc. *Δημόκριτος*) *τὰ εἴδωλα ποιεῖ καὶ τὰς ἀπορροίας.* Plura de hac re apud Plut. Qu. Conv. VIII 10, 2. *φησὶ Δημόκριτος ἐγκαταβυσσοῦσθαι τὰ εἴδωλα διὰ τῶν πόρων εἰς τὰ σώματα καὶ ποιεῖν τὰς κατὰ τὸν ὕπνον ὄψεις ἐπαναφερόμενα· φοιτᾶν δὲ ταῦτα πανταχόθεν ἀπιόντα καὶ σκευῶν καὶ ἱματίων καὶ φυτῶν, μάλιστα δὲ ζῴων ὑπὸ σάλου πολλοῦ καὶ θερμότητος, οὐ μόνον ἔχοντα μορφοειδεῖς τοῦ σώματος ἐκμεμαγμένας ὁμοιότητας . . . ἀλλὰ καὶ τῶν κατὰ ψυχὴν κινημάτων καὶ βουλευμάτων ἑκάστῳ καὶ ἠθῶν καὶ παθῶν ἐμφάσεις ἀναλαμβάνοντα συνεφέλκεσθαι, καὶ προςπίπτοντα μετὰ τούτων ὥσπερ ἔμψυχα φράζειν καὶ διαστέλλειν τοῖς ὑποδεχομένοις τὰς τῶν μεθιέντων αὐτὰ δόξας καὶ διαλογισμοὺς καὶ ὁρμάς, ὅταν ἐνάρθρους καὶ ἀσυγχύτους φυλάττοντα προςμίξῃ τὰς εἰκόνας κτλ.* De maligno oculi coniectu, v. Plut. Qu. Conv. V 7, 6. *ἅ* (sc. *εἴδωλα*) *φησιν ἐκεῖνος ἐξιέναι τοὺς φθονοῦντας οὔτ' αἰσθήσεως ἄμοιρα παντάπασιν οὔτε ὁρμῆς, ἀνάπλεά τε τῆς ἀπὸ τῶν προϊεμένων μοχθηρίας καὶ βασκανίας· μεθ' ἧς ἐμπλασσόμενα καὶ παραμένοντα καὶ συνοικοῦντα τοῖς βασκαινομένοις ἐπιταράττειν καὶ κακοῦν αὐτῶν τό τε σῶμα καὶ τὴν διάνοιαν.*

156 Sext. Math. IX 19. *Δημόκριτος δὲ εἴδωλά*[a] *τινά φησιν ἐμπελάζειν τοῖς ἀνθρώποις, καὶ τούτων τὰ μὲν εἶναι ἀγαθοποιὰ τὰ δὲ κακοποιά· ἔνθεν καὶ εὔχεται εὐλόγχων*[1] *τυχεῖν εἰδώλων· εἶναι δὲ ταῦτα μεγάλα τε καὶ ὑπερμεγέθη καὶ δύσφθαρτα μέν, οὐκ ἄφθαρτα δέ, προσημαίνειν τε τὰ μέλλοντα τοῖς ἀνθρώποις θεωρούμενα καὶ φωνὰς ἀφιέντα. ὅθεν τούτων αὐτῶν φαντασίαν λαβόντες οἱ παλαιοὶ ὑπενόησαν εἶναι θεόν*[b]*, μηθενὸς ἄλλου παρὰ ταῦτα ὄντος θεοῦ τοῦ ἄφθαρτον φύσιν ἔχοντος.* visa

a. Imagines animantes divinitate praeditas commemorat Cicero, D. Nat. I 29; 120. Cf. Krische 147—163.

b. Antiqui cur deos finxerint. Sext. Math. IX 24. *ὁρῶντες γάρ, φησί, τὰ ἐν τοῖς μετεώροις παθήματα οἱ παλαιοὶ τῶν ἀνθρώπων, καθάπερ βροντὰς καὶ ἀστραπὰς κεραυνούς τε καὶ ἄστρων συνόδους* (cometas) *ἡλίου τε καὶ σελήνης ἐκλείψεις, ἐδειματοῦντο, θεοὺς οἰόμενοι τούτων αἰτίους εἶναι.* Non est una quaedam anima mundi sed per mundum diffusa mentis principia (*ἀρχαὶ νοεραί*). Cyrill. c. Iul. I 4. *νοῦν μὲν γὰρ εἶναι τὸν θεὸν ἰσχυρίζεται καὶ αὐτός, πλὴν ἐν πυρὶ σφαιροει-* dei

1) Ita est apud Plut. Def. Orac. 17; Vit. Aemil. Paulli c. 1. Apud Sextum *εὐλόγων*. Cf. RP pag. 165 not. 2.

δεῖ, καὶ αὐτὸν εἶναι τὴν τοῦ κόσμου ψυχήν. Qua de re cf. Krische p. 157 sq. et Plac. II 3. Dox. 330 a. Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰςηγοῦνται καὶ τὸ κενόν, οὔτ' ἔμψυχον (sc. τὸν κόσμον) οὔτε προνοίᾳ διακεῖσθαι,! φύσει δέ τινι ἀλόγῳ. Vulgares de dis opiniones emendat, v. Clem. Cohort. 45 B. ὅθεν οὐκ ἀπεικότως ὁ Δημόκριτος τῶν λογίων ἀνθρώπων ὀλίγους φησὶν ἀνατείναντας τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες, [πάντα] [1] Δία μυθεῖσθαι· καὶ πάντα οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρεῖται καὶ βασιλεὺς οὗτος τῶν πάντων. Cf. Stob. Ecl. II 408.

c *. Homerum allegorice interpretatur. Diog. IX 49. (βιβλίον αὐτοῦ ἐστι) Τριτογένεια· τοῦτο δ' ἔστιν ὅτι τρία γίνεται ἐξ αὐτῆς, ἃ πάντα τἀνθρώπινα ξυνέχει. Cf. Schol. Venet. Iliad. VIII 39.

veritas et cognitio Sext. Math. VII 135. Δημόκριτος δὲ — — „Νόμῳ —", 157 φησί, „γλυκὺ καὶ νόμῳ πικρόν, νόμῳ θερμόν, νόμῳ ψυχρόν, νόμῳ χροιή· ἐτεῇ δὲ ἄτομα καὶ κενόν" [a]. ἅπερ νομίζεται μὲν εἶναι καὶ δοξάζεται τὰ αἰσθητά, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ταῦτα, ἀλλὰ τὰ ἄτομα μόνον καὶ τὸ κενόν. 136. ἐν δὲ τοῖς Κρατυντηρίοις [b] καίπερ ὑπεσχημένος ταῖς αἰσθήσεσι τὸ κράτος τῆς πίστεως ἀναθεῖναι, οὐδὲν ἧττον εὑρίσκεται τούτων καταδικάζων· φησὶ γάρ· „Ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σώματος διαθιγὴν [2] καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων." καὶ πάλιν φησίν· „Ἐτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν ἢ οὐκ ἔστιν οὐ συνίεμεν πολλαχῇ δεδήλωται." 137. ἐν δὲ τῷ Περὶ ἰδεῶν [c] „γινώσκειν τε χρή", φησίν, „ἄνθρωπον τῷδε τῷ κανόνι ὅτι ἐτεῆς ἀπήλλακται". καὶ πάλιν· „Δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος ὅτι ἐτεῇ οὐδὲν ἴδμεν [d] περὶ οὐδενός, ἀλλ' ἐπιρρυσμίη [3] ἑκάστοισιν ἡ δόξις"· καὶ ἔτι· „καίτοι δῆλον ἔσται ὅτι, ἐτεῇ οἷον ἕκαστον, γινώσκειν ἐν ἀπόρῳ ἐστί." καὶ δὴ ἐν μὲν τούτοις πᾶσαν σχεδὸν κινεῖ κατάληψιν, εἰ καὶ μόνων ἐξαιρέτως καθάπτεται τῶν αἰσθήσεων· 138. ἐν δὲ τοῖς Κανόσι [e] δύο φησὶν εἶναι γνώσεις, τὴν μὲν διὰ τῶν αἰσθήσεων τὴν δὲ διὰ τῆς διανοίας, ὧν τὴν μὲν διὰ τῆς διανοίας γνησίην καλεῖ, προσμαρτυρῶν αὐτῇ τὸ πιστὸν εἰς ἀληθείας κρίσιν, τὴν δὲ διὰ τῶν αἰσθήσεων σκοτίην ὀνομάζει, ἀφαιρούμενος αὐτῆς τὸ πρὸς διάγνωσιν τοῦ ἀληθοῦς ἀπλανές. 139. λέγει δὲ κατὰ λέξιν· „Γνώμης δὲ δύο εἰσὶν ἰδέαι,

1) πάντα irrepsit e vs. posteriore. Z. I[4] 836[1] susp. πατέρα. — 2) Dicit τάξιν, v. RP 147 extr. Vulgo διαθήκην. — 3) Hesych. ἐπιρρύσμιον, ἐπιρρέον.

ἡ μὲν γνησίη ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις ἀκοὴ ὀδμὴ γεῦσις ψαῦσις, ἡ δὲ γνησίη, ἀποκεκριμένη δὲ ταύτης.“ εἶτα προκρίνων τῆς σκοτίης τὴν γνησίην ἐπιφέρει λέγων· „Ὅταν ἡ σκοτίη μηκέτι δύνηται μήτε ὁρᾶν ἐπ᾽ ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι, ἀλλ᾽ ἐπὶ λεπτότερον“ [1] — οὐκοῦν καὶ κατὰ τοῦτον ὁ λόγος ἐστὶ κριτήριον, ὃν γνησίην γνώμην καλεῖ [2].

a. Eadem paucis mutatis leguntur apud Galen. de Elem. sec. Hipp. I 2, I 417 K. Sext. Pyrrh. I 213.

b. Apud Diog. IX 47 idem liber memoratur; Suid. v. *Κρατυντήρια — ὅπερ ἐστὶν ἐπικριτικὸν πάντων τῶν γραφέντων αὐτῷ βιβλίων.* Natorp, p. 179, 2.

c. Eius libri nulla mentio ap. Diog.; *ἰδέαι* sunt atomi, v. **RP** 148. Natorp, p. 173, 3.

d. Diog. IX 72. *ἐτεῇ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀληθείη.* Cicero Acad. pr. II 32: *naturam accusa, quae in profundo veritatem, ut ait Democritus, penitus abstruserit;* Acad. post. I 44.

e. De hoc libro Diog. IX 47 c. not. crit. Huebneri. Natorp, p. 180, 1.

f*. Cf. Aristot. Met. IV 5. 1009 ^{a} 38. *ὁμοίως δὲ καὶ ἡ περὶ τὰ φαινόμενα ἀλήθεια ἐνίοις ἐκ τῶν αἰσθητῶν ἐλήλυθεν. τὸ μὲν γὰρ ἀληθὲς οὐ πλήθει κρίνεσθαι οἴονται προσήκειν οὐδ᾽ ὀλιγότητι, τὸ δ᾽ αὐτὸ τοῖς* veritas *μὲν γλυκὺ γευομένοις δοκεῖν εἶναι τοῖς δὲ πικρόν. ὥστ᾽ εἰ πάντες ἔκαμον ἢ πάντες παρεφρόνουν, δύο δ᾽ ἢ τρεῖς ὑγίαινον ἢ νοῦν εἶχον, δοκεῖν ἂν τούτους κάμνειν καὶ παραφρονεῖν, τοὺς δ᾽ ἄλλους οὔ· ἔτι δὲ πολλοῖς τῶν ἄλλων ζῴων τἀναντία περὶ τῶν αὐτῶν φαίνεσθαι καὶ ἡμῖν, καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὑτὸν οὐ ταὐτὰ κατὰ τὴν αἴσθησιν ἀεὶ δοκεῖν. ποῖα οὖν τούτων ἀληθῆ ἢ ψευδῆ, ἄδηλον· οὐθὲν γὰρ μᾶλλον τάδε ἢ τάδε ἀληθῆ, ἀλλ᾽ ὁμοίως· διὸ Δημόκριτός γέ φησιν ἤτοι οὐθὲν εἶναι ἀληθὲς ἢ ἡμῖν γ᾽ ἄδηλον.*

g*. Theophr. de Sens. 58. Dox. 515. *περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν (Δημόκρ.) ὅτι γίγνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρᾶσιν* [3]. *ἐὰν δὲ περίθερμός τις ἢ περίψυχρος γένηται, μεταλλάττειν φησί· διὸ καὶ τοὺς παλαιοὺς* (Hom. Il. XXIII 698, sed cf. **RP** 157 h) *καλῶς τοῦθ᾽ ὑπολαβεῖν, ὅτι ἔστιν ἀλλοφρονεῖν· ὥστε φανερὸν ὅτι τῇ κράσει τοῦ σώματος ποιεῖ τὸ φρονεῖν· ὅπερ ἴσως αὐτῷ καὶ κατὰ λόγον ἐστὶ σῶμα ποιοῦντι τὴν ψυχήν.*

h*. Sentire et cogitare. Arist. de An. I 2. 404 ^{a} 27. (*Δημόκριτος*) *μὲν γὰρ ἁπλῶς ταὐτὸν ψυχὴν καὶ νοῦν· τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινό-*

---

1) „— sed ad tenuiora descendat, in his denique vera illa ac sincera cognitio versatur“: sic fere supplendum. — 2) E. Rohde, *Vortr. Phil. Vers. Trier,* 74, not. — 3) Vulgatum *μετὰ τὴν κίνησιν* corr. Schneider, defendit Zeller I^4 821 [1].

μενον· (in quibus illud, quod de auctore vel instrumento sentiendi et cogitandi referat, Zeller putat Democriteum esse, extremum ab Aristotele ei tribui, cui ceteris concessis hoc consequens visum sit) διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον ὡς Ἕκτωρ κεῖτ' ἀλλοφρονέων [1]. Cf. Arist. Met. IV 5. 1009 b 28. φησὶ δὲ καὶ τὸν Ὅμηρον ταύτην ἔχοντα φαίνεσθαι τὴν δόξαν, ὅτι ἐποίησε τὸν Ἕκτορα, ὡς ἐξέστη ὑπὸ τῆς πληγῆς, κεῖσθαι ἀλλοφρονέοντα, ὡς φρονοῦντας μὲν καὶ τοὺς παραφρονοῦντας, ἀλλ' οὐ ταὐτά.

i*. Pugnantia eum loqui arguit Theophr. Sens. 69. Dox. 519. ἄτοπον δὲ καὶ τὸ πᾶσιν ἀξιοῦν ταὐτὸ φαίνεσθαι τῶν αὐτῶν αἰσθανομένοις καὶ τούτων τὴν ἀλήθειαν ἐλέγχειν, καὶ ταῦτα εἰρηκότα πρότερον τὸ τοῖς ἀνομοίως διακειμένοις ἀνόμοια φαίνεσθαι καὶ πάλιν τὸ μηθὲν μᾶλλον ἕτερον ἑτέρου τυγχάνειν τῆς ἀληθείας.

k*. Differt a scepticis. Sext. Pyrrh. I 213. διαφόρως μέντοι χρῶνται τῇ „οὐ μᾶλλον" φωνῇ οἵ τε Σκεπτικοὶ καὶ οἱ ἀπὸ Δημοκρίτου· ἐκεῖνοι μὲν γὰρ ἐπὶ τοῦ μηδέτερον εἶναι τάττουσι τὴν φωνήν, ἡμεῖς δὲ ἐπὶ τοῦ ἀγνοεῖν πότερον ἀμφότερα ἢ οὐδέτερόν τί ἐστι τῶν φαινομένων. προδηλοτάτη δὲ γίνεται ἡ διάκρισις, ὅταν ὁ Δημόκριτος λέγῃ „ἐτεῇ δὲ ἄτομα καὶ κενόν". ἐτεῇ μὲν γὰρ λέγει ἀντὶ τοῦ ἀληθείᾳ. κατ' ἀλήθειαν δὲ ὑφεστάναι λέγων τάς τε ἀτόμους καὶ τὸ κενόν, ὅτι διενήνοχεν ἡμῶν ... περιττὸν οἶμαι λέγειν.

finis bonorum Diog. IX 45. Τέλος δ' εἶναι τὴν εὐθυμίαν [a], οὐ τὴν 158
αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξηγήσαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι.

tranquillitas a. Εὐθυμίαν Seneca, de Tranquill. 2, 3, interpretatur ***stabilem animi sedem, de qua Democriti volumen egregium est: ego tranquillitatem voco.*** Senecam Democriti libro περὶ εὐθυμίης usum esse, demonstrare conatur R. Hirzel, *Hermes* XIV 354. Stob. Ecl. II 76. τὴν δ' εὐθυμίαν καὶ εὐεστὼ καὶ ἁρμονίαν συμμετρίαν τε καὶ ἀταραξίαν καλεῖ· συνίστασθαι δ' αὐτὴν ἐκ τοῦ διορισμοῦ καὶ τῆς διακρίσεως τῶν ἡδονῶν. Adde simile nomen ἀθαμβίαν e Cic. de fin. V 87. Nomine εὐεστώ item librum inscripserat, Diog. IX 46. Pauca neque ea ipsa enucleate a Democrito de virtute disputata esse ait Cic. de Fin. V 88. Nihilominus plurimae cum eius
sententiae nomine feruntur sententiae et loci communes, quorum farraginem ex bonis et futilibus mixtam reperies apud Orellium Opusc. Gr. Vet. Sentent. I, p. 92—127 et Mullach Democr. 164—204. FPG I 340. Eorum aliquot, qui maxime Democriti esse viderentur, excerpere placuit, ut de moralibus quoque praeceptis eius gustus daretur: Stob. Flor. I 40. Ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου ξυμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας

1) Cf. Düntzer, *Zenodot* 45; La Roche, *homer. Textkritik* p. 31.

κινήσιας ἐμποιεῖν τῇ ψυχῇ. αἱ δ' ἐκ μεγάλων διαστημάτων κινεόμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι. Ib. III 34. Σοφίη ἄθαμβος ἀξίη πάντων, τιμιωτάτη οὖσα. Ib. V 24. Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη εἴ τις μὴ ἐπὶ τοῖσι θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο. Stob. Ecl. II 76. Εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδ' ἐν χρυσῷ, ψυχὴ δ' οἰκητήριον δαίμονος. Stob. Flor. VII 32. Δίκης κῦδος γνώμης θάρσος καὶ ἀθαμβίη, ἀδικίης δὲ δεῖμα ξυμφορῆς τέρμα. Ib. XVI 21. βίος ἀνεόρταστος μακρὴ ὁδὸς ἀπανδόκευτος. Plutarch. de Sanitate 24. πρὸς τούτους (nimium morosos) γὰρ οἶμαι μάλιστα τὸν Δημόκριτον εἰπεῖν ὡς, εἰ τὸ σῶμα δικάσαιτο τῇ ψυχῇ κακώσεως, οὐκ ἂν αὐτὴν ἀποφυγεῖν. Stob. Flor. VI 57. ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου. Clem. Strom. II 421. Δημ. γάμον καὶ παιδοποιίαν παραιτεῖται διὰ τὰς πολλὰς ἐξ αὐτῶν ἀηδίας τε καὶ ἀφολκὰς ἀπὸ τῶν ἀναγκαιοτέρων (fr. 186). Stob. Flor. 76, 16. ὅτεῳ χρήματά ἐστι, παῖδα ποιήσασθαι ἐκ τῶν φίλων (per adoptionem) ἐμοὶ δοκεῖ ἄμεινον εἶναι· — ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει, καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι καὶ μάλιστα κατὰ φύσιν ἕπηται. — ἣν δέ τις ποιῆται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρέεσθαι. Stob. Flor. IX 3. ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν. Fr. 160. χαριστικὸς οὐχ ὁ βλέπων πρὸς τὴν ἀμοιβήν, ἀλλ' ὁ εὖ δρᾶν προῃρημένος. Fr. 116. ἁμαρτίης αἰτίη ἡ ἀμαθίη τοῦ κρέσσονος. Stob. Flor. IX 7. ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

Diogenes Apolloniates.

---

vita Diog. IX 57. *Διογένης Ἀπολλοθέμιδος Ἀπολλωνιάτης* [a], 159
ἀνὴρ φυσικὸς καὶ ἄγαν ἐλλόγιμος. ἤκουσε δέ, ὥς φησιν Ἀντισθένης, Ἀναξιμένους· ἦν δὲ ἐν τοῖς χρόνοις κατ' Ἀναξαγόραν.

a. Patria eius, si Stephanum Byz. (s. v. *Ἀπολλωνία*) audimus, est Cretae oppidum. De aetate v. Clint. F. H. ann. 468 et app. XXI, p. 449 ed. 3. Physicorum fere novissimus. Simplicius Phys. 6 r. 25, 1 D. *καὶ Διογένης δὲ ὁ Ἀπολλωνιάτης σχεδὸν* (scil. excepto Archelao) *νεώτατος γεγονὼς τῶν περὶ ταῦτα* (sc. *τὰ φυσικὰ*) *σχολασάντων τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε, τὰ μὲν κατὰ Ἀναξαγόραν, τὰ δὲ κατὰ Λεύκιππον λέγων· τὴν δὲ τοῦ παντὸς φύσιν ἀέρα καὶ οὗτός φησιν* (dixerat de Anaximene) *ἄπειρον εἶναι καὶ ἀίδιον, ἐξ οὗ πυκνουμένου καὶ μανουμένου καὶ μεταβάλλοντος τοῖς πάθεσι τὴν τῶν ἄλλων γίνεσθαι μορφήν. καὶ ταῦτα μὲν Θεόφραστος ἱστορεῖ περὶ τοῦ Διογένους κτλ.* De Leucippi imitatione Diels Act. Conv. Philol. (Stettin 1881), 105—108. Ibidem demonstratur, Diogenem ab Aristophane in Nubibus (vs. 228 et al.) irrideri; cf. Petersen, Hippocr. scripta ad temp. rat. disposita, Hamb. 1839. E reliquiis quantum iudicare licet, Anaximenis principia videtur secutus esse, sed ita ut post Anaxagoram scripserit et antiquiorem doctrinam adversus eum munire studuerit; quemadmodum tum multi medici (et fuit Diog. medicus, **RP** 165 b) antiquitatis erant tenacissimi.

libri Diog. VI 81. IX 57. *Ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος* 160
ἥδε· „Λόγου παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι, τὴν δὲ ἑρμηνείην ἁπλῆν καὶ σεμνήν.“

In fragmentis, quae sunt a Simplicio servata, castigandis et interpretandis elaboraverunt Panzerbieter, Diogenes Apolloniates, Lips. 1830, et W. Schorn, Anaxagorae et Diogenis fragmenta, Bonnae 1829. Plura olim Diogenis scripta exstitisse, sed solum opus *περὶ φύσεως* ad se pervenisse testatur Simpl. Phys. 32 v. 151, 24 D. *ἰστέον ὡς γέγραπται μὲν πλείονα τῷ Διογένει τούτῳ συγγράμματα, ὡς αὐτὸς ἐν τῷ Περὶ φύσεως ἐμνήσθη καὶ πρὸς φυσιολόγους ἀντειρηκέναι λέγων, οὓς καλεῖ καὶ αὐτὸς σοφιστάς, καὶ Μετεωρολογίαν γεγραφέναι, ἐν ᾗ καὶ*

λέγει περὶ τῆς ἀρχῆς εἰρηκέναι, καὶ μέντοι καὶ περὶ ἀνθρώπου φύσεως, ἐν δέ γε τῷ Περὶ φύσεως, ὃ τῶν αὐτοῦ μόνον εἰς ἐμὲ ἦλθε, προτίθεται μὲν διὰ πολλῶν δεῖξαι, ὅτι ἐν τῇ ὑπ' αὐτοῦ τεθείσῃ ἀρχῇ ἐστι νόησις πολλή. Cf. 6ʳ. 25, 1—13 D. Secundum librum *περὶ φύσεως* commemorat Galenus in Hippocr. VI. Epid. XVII, a, 1006 K.

161 Simpl. Phys. 32ᵛ. 151, 30 D. *Γράφει δὲ εὐθὺς μετὰ τὸ* **omnia sunt ex uno**
προοίμιον τάδε· „Ἐμοὶ δὲ δοκεῖ, τὸ μὲν ξύμπαν εἰπεῖν, πάντα τὰ ἐόντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι. καὶ τοῦτο εὔδηλον· εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ τἆλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κόσμῳ ἐόντα, εἰ τούτων τι ἦν ἕτερον τοῦ ἑτέρου, ἕτερον ἐὸν τῇ ἰδίῃ φύσει, καὶ μὴ τὸ αὐτὸ ἐὸν μετέπιπτε πολλαχῶς καὶ ἡτεροιοῦτο, οὐδαμῇ[1] *οὔτε μίσγεσθαι ἀλλήλοις ἠδύνατο, οὔτε ὠφέλησις τῷ ἑτέρῳ οὔτε βλάβη*[2], *οὐδ' ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον οὔτε ἄλλο γενέσθαι οὐδέν, εἰ μὴ οὕτω συνίστατο ὥστε τωὐτὸ εἶναι. ἀλλὰ πάντα ταῦτα ἐκ τοῦ αὐτοῦ*[a] *ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ ἐς τὸ αὐτὸ ἀναχωρεῖ.“*[b]

a. Arist. de Gen. et Corr. I 6. 322ᵇ 13. *καὶ τοῦτ' ὀρθῶς λέγει Διογένης, ὅτι εἰ μὴ ἐξ ἑνὸς ἦν ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ τὸ πάσχειν ὑπ' ἀλλήλων κτλ.* Respicit haec Theophrastus de Sens. 39. Dox. 510, 13. (*Διογένης εἴρηκεν*) *οὐδὲ γὰρ τὸ ποιεῖν εἶναι καὶ πάσχειν, εἰ μὴ πάντα ἦν ἐξ ἑνός.*

b. Certo temporum orbe confecto hic mundus interit, alius oritur. Simpl. Phys. 257ᵛ: *ὅσοι ἀεὶ μέν φασιν εἶναι κόσμον, οὐ μὴν τὸν αὐτὸν ἀεί, ἀλλὰ ἄλλοτε ἄλλον γινόμενον κατά τινας χρόνων περιόδους, ὡς Ἀναξιμένης τε καὶ Ἡράκλειτος καὶ Διογένης.*

162 Simpl. Phys. 33ʳ. 153, 17 D. *Θαυμαστὸν δὲ ὅτι κατὰ* **principium aeternum**
ἑτεροίωσιν τὴν ἀπ' αὐτοῦ (sc. *τοῦ ἀέρος*) *λέγων τὰ ἄλλα γίνεσθαι ἀΐδιον ὅμως αὐτό φησι λέγων· „καὶ αὐτὸ μὲν τοῦτο καὶ ἀΐδιον καὶ ἀθάνατον σῶμα· τῷ δὲ τὰ μὲν γίνεται τὰ δὲ ἀπολείπει“. καὶ ἐν ἄλλοις· „ἀλλὰ τοῦτό μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀΐδιόν τε καὶ ἀθάνατον καὶ πολλὰ εἰδός ἐστι“.*

163 Simpl. Phys. 32ᵛ. 152, 11 D. *Ἐφεξῆς δὲ δείξας ὅτι ἐστὶν* **ratione praeditum**
ἐν τῇ ἀρχῇ ταύτῃ νόησις πολλή (*„οὐ γὰρ ἄν, φησίν, οἷόν τε*

---

1) Schorn *οὐδ' ἄν.* 2) Schorn post voc. *βλάβη* excidisse putat *ἀπὸ τοῦ ἑτέρου γενέσθαι.*

ἦν οὕτω δεδάσθαι ἄνευ νοήσιος, ὥστε πάντων μέτρα ἔχειν χειμῶνός τε καὶ θέρεος καὶ νυκτὸς καὶ ἡμέρης καὶ ὑετῶν καὶ ἀνέμων καὶ εὐδιέων, καὶ τὰ ἄλλα, εἴ τις βούλεται ἐννοεῖσθαι, εὑρίσκοι ἂν οὕτω διακείμενα, ὡς ἀνυστὸν κάλλιστα") ἐπάγει ὅτι καὶ ἄν-

aer θρωπος καὶ τὰ ἄλλα ζῷα ἐκ τῆς ἀρχῆς ταύτης, ἥτις ἐστὶν ὁ ἀήρ, καὶ ζῇ καὶ ψυχὴν ἔχει καὶ νόησιν, λέγων οὕτως· „ἔτι δὲ πρὸς τούτοισι καὶ τάδε μεγάλα σημήια· ἄνθρωποι γὰρ καὶ τὰ

spiritus ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι. καὶ τοῦτο αὐτοῖσι καὶ ψυχή ἐστι καὶ νόησις, ὡς δεδηλώσεται ἐν τῇδε τῇ συγγραφῇ ἐμφανέως· καὶ ἐὰν τοῦτο ἀπαλλαχθῇ, ἀποθνήσκει καὶ ἡ νόησις ἐπιλείπει" [a].

divinus a. Theophr. Sens. 42. Dox. 511, 12. ὅτι δὲ ὁ ἐντὸς ἀὴρ αἰσθάνεται μικρὸν ὢν μόριον τοῦ θεοῦ, σημεῖον εἶναι, διότι πολλάκις πρὸς ἄλλα τὸν νοῦν ἔχοντες οὔθ' ὁρῶμεν οὔτ' ἀκούομεν. Cf. RP 162 extr. et ea quae Dox. 536 e Cicerone D. Nat. I 29 et Philodemo composita sunt.

aeris natura Simpl. Phys. 33ʳ. 152, 21 D. *Εἶτα μετ' ὀλίγα σαφῶς* 164 ἐπήγαγε· „καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλεόμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου πάντας [1] καὶ κυβερνᾶσθαι καὶ πάντων κρατεῖν· αὐτὸ γάρ μοι τοῦτο θεὸς δοκεῖ [2] εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι· καὶ ἔστιν οὐδὲ ἕν, ὅ τι μὴ μετέχει τούτου. μετέχει δὲ οὐδὲ ἓν ὁμοίως τὸ ἕτερον τῷ ἑτέρῳ, ἀλλὰ πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν· ἔστι γὰρ πολύτροπος, καὶ θερμότερος καὶ ψυχρότερος καὶ ξηρότερος καὶ ὑγρότερος καὶ στασιμώτερος καὶ ὀξυτέρην κίνησιν ἔχων, καὶ ἄλλαι πολλαὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς [a] καὶ χροιῆς ἄπειροι. καὶ πάντων τῶν ζῴων δὲ ἡ ψυχὴ [b] τὸ αὐτό ἐστιν, ἀὴρ θερμότερος [c] μὲν τοῦ ἔξω, ἐν ᾧ εἶμεν, τοῦ μέντοι παρὰ τῷ ἡλίῳ πολλὸν ψυχρότερος. ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν (ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοισιν), ἀλλὰ διαφέρει μέγα μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι. οὐ μέντοι γε ἀτρεκέως γε ὅμοιον οὐδὲν οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον τῷ ἑτέρῳ, πρὶν τὸ αὐτὸ γένηται. ἅτε ὦν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα [d] καὶ πολλά, καὶ οὔτε ἰδέην ἀλλήλοισιν οἰκότα οὔτε δίαιταν οὔτε νόησιν ὑπὸ τοῦ πλήθεος τῶν ἑτεροιωσίων. ὅμως δὲ

1) Schorn. c. πάντα. — 2) Cod. ἀπὸ γάρ μοι τοῦτο ἔθος δοκεῖ: corrupta. αὐτοῦ γάρ μοι τούτου δοκεῖ ἔθος εἶναι Panzerbieter. Recepi ea quae Usener coniecit.

πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει καὶ τὴν ἄλλην νόησιν ἔχει ἀπὸ τοῦ αὐτοῦ πάντα.“

a. Haec vox a Philippsono (*Ὕλη ἀνθρωπίνη* p. 205) vertitur „bona condicio interna“; Panzerbieter: gustus; Zeller: odoratus, coll. Theophr. Sens. 90; alii: sensus habitus, affectio. Cf. Anax. RP 120 c. *ἡδονή*

b. Aristot. de Anima I 2. 405 a 21. *Διογένης δ' ὥσπερ καὶ ἕτεροί τινες ἀέρα (ὑπέλαβε τὴν ψυχήν), τοῦτον οἠθεὶς πάντων λεπτομερέστατον εἶναι καὶ ἀρχήν, καὶ διὰ τοῦτο γινώσκειν τε καὶ κινεῖν τὴν ψυχήν, ᾗ μὲν πρῶτόν ἐστι, καὶ ἐκ τούτου τὰ λοιπά, γινώσκειν, ᾗ δὲ λεπτότατον, κινητικὸν εἶναι.* Hoc loco usus Ritter (H. phil. I 228) statuebat, non vulgarem hunc aerem sed tenuiorem quendam et calore temperatum Diogenis illud elementum esse. At cf. Simpl. Phys. 33 r. 152, 22 D. *ὁ ἀὴρ καλεόμενος ὑπὸ τῶν ἀνθρώπων* (RP 164 init.); itemque paulo infra 153, 16 D. *ἐν δὴ τούτοις σαφῶς φαίνεται λέγων ὅτι ὃν ἄνθρωποι λέγουσιν ἀέρα, τοῦτό ἐστιν ἡ ἀρχή.* Quae deinceps seq., v. RP 162. anima

c. Hinc videntur de ipso eius principio falsae opiniones ortae esse, v. Z. I[4] 239. Ut de Nicolao Damasceno Simpl. 6 v. 25, 8 D. *Νικόλαος μέντοι τοῦτον ἱστορεῖ μεταξὺ πυρὸς καὶ ἀέρος τὸ στοιχεῖον τίθεσθαι.* Illud mireris, esse cum etiam Simplicius his accedat, ut 44 r. 203, 1 D. *μίαν φύσιν ὑποτιθέντες ἐκ ταύτης γεννῶσι τὰ πάντα, ὡς Θαλῆς μὲν ὕδωρ, Ἡράκλειτος δὲ πῦρ, Ἀναξιμένης δὲ ἀέρα, Διογένης δὲ τὸ μεταξύ.*

d. Cetera animalia torpent propter densitatem atque umorem aeris. Plac. V 20 Dox. 432. *Διογένης μετέχειν μὲν αὐτὰ* (sc. *τὰ ζῷα*) *τοῦ νοητοῦ καὶ ἀέρος, διὰ δὲ τὸ τὰ μὲν πυκνότητι, τὰ δὲ πλεονασμῷ τῆς ὑγρασίας . . . . μήτε διανοεῖσθαι μήτ' αἰσθάνεσθαι, προσφερῶς δ' αὐτὰ διακεῖσθαι τοῖς μεμηνόσι, παρεπταικότος τοῦ ἡγεμονικοῦ.* Diels monet, post *ὑγρασίας* intercidisse verbum velut *ἐμποδίζεσθαι* (Reiske) vel *χρῆσθαι* (Wyttenbach).

165 Simpl. Phys. 33r. 153, 13 D. *Καὶ ἐφεξῆς δείκνυσιν ὅτι καὶ τὸ σπέρμα τῶν ζῴων πνευματῶδές*[a] *ἐστι, καὶ νοήσεις γίνονται τοῦ ἀέρος σὺν τῷ αἵματι τὸ ὅλον σῶμα καταλαμβάνοντος διὰ τῶν φλεβῶν· ἐν οἷς καὶ ἀνατομὴν ἀκριβῆ τῶν φλεβῶν*[b] *παραδίδωσιν.* vis per omnes corporis partes diffusa

a. Clem. Paedag. 1 105 D.

b. Descriptio illa venarum ab Aristotele posita est in Hist. Anim. III 2, explicata a Panzerbietero p. 72. Ostendebat quo modo venarum per totum corpus distributarum ope aer ille calidior et rationis particeps, in omnes partes derivatus, omnium et sensuum et cogitationum causa exsisteret. Nec pugnant quae de principatu animi i. e. animae vitalis statuisse fertur. Plac. IV 5. Dox. 391. (*τὸ ἡγεμονικὸν λέγει εἶναι*) *Διογένης ἐν τῇ ἀρτηριακῇ κοιλίᾳ τῆς καρδίας, ἥτις ἐστὶ πνευματική.*

Archelaus.

vita Diog. II 16. Ἀρχέλαος Ἀθηναῖος ἢ Μιλήσιος [a], πατρὸς Ἀπολλοδώρου, ὡς δέ τινες Μύδωνος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος [b] Σωκράτους. οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε καὶ ἐκλήθη φυσικός, παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος. ἔοικε δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς [c]· καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων. παρ' οὗ λαβὼν Σωκράτης τῷ αὐξῆσαι αὐτὸς εὑρεῖν ὑπελήφθη. 169

a. Plerique eum dicunt Atheniensem.

b. Plato Xenophon Aristoteles Archelai nusquam mentionem faciunt. Quod sequitur vb. μετήγαγεν non dicit primum illum advexisse philosophiam sed Atheniensium primum philosophiae operam dedisse.

c. De moribus eum disputasse refertur etiam apud Sext. Math. VII 14. Theophrasti librum περὶ τῶν Ἀρχελάου singularem recenset Diog. V 42.

doctrina Simpl. Phys. 6 v. 27, 23. D. Ἀρχέλαος ὁ Ἀθηναῖος, ᾧ καὶ Σωκράτη συγγεγονέναι φασὶν, Ἀναξαγόρου γενομένῳ μαθητῇ, ἐν μὲν τῇ γενέσει τοῦ κόσμου καὶ τοῖς ἄλλοις πειρᾶταί τι φέρειν ἴδιον [a], τὰς ἀρχὰς δὲ τὰς αὐτὰς [b] ἀποδίδωσιν ἅσπερ Ἀναξαγόρας. οὗτοι μὲν οὖν ἀπείρους τῷ πλήθει καὶ ἀνομογενεῖς τὰς ἀρχὰς λέγουσι, τὰς ὁμοιομερείας τιθέντες ἀρχάς. 170

a. Coniungit Anaxagorae principium cum Anaximeneo. Plac. I 3. Dox. 280. Ἀρχέλαος ἀέρα ἄπειρον καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν. τούτων δὲ τὸ μὲν εἶναι πῦρ τὸ δὲ ὕδωρ. Hippol. RP 171. οὗτος τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα. Hermias, Irris. 11. Dox. 653. Ἀ. ἀποφαινόμενος τῶν ὅλων ἀρχὰς θερμὸν καὶ ψυχρόν. Singulare quiddam, si modo verum, est in Stob. Ecl. I 56 Dox. 302 b. Ἀ. ἀέρα καὶ νοῦν τὸν θεόν, οὐ μέντοι κοσμοποιὸν τὸν νοῦν.

b. Augustin. Civ. Dei VIII 2. *Anaxagorae successit auditor eius Archelaus. Etiam ipse de particulis inter se similibus quibus singula quaeque fierent ita putavit constare omnia ut inesse etiam mentem diceret, quae corpora aeterna i. e. illas particulas coniungendo et dissipando ageret omnia.* Cf. Clemens, Protrept. 43 D.

171 Hippol. Ref. Haer. I 9. Dox. 563, 14. Οὗτος ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ τάς τε ἀρχὰς ὡσαύτως· οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα. εἶναι δὲ ⟨δύο⟩ ἀρχὰς τῆς κινήσεως ⟨ἃς⟩[a] ἀποκρίνεσθαι ἀπ' ἀλλήλων τὸ θερμὸν καὶ τὸ ψυχρόν. καὶ τὸ μὲν θερμὸν κινεῖσθαι, τὸ δὲ ψυχρὸν ἠρεμεῖν.— 563, 24. ἐπικλιθῆναι δὲ τὸν οὐρανόν φησι, καὶ οὕτως τὸν ἥλιον ἐπὶ τῆς γῆς ποιῆσαι φῶς καὶ τὸν ἀέρα ποιῆσαι διαφανῆ καὶ τὴν γῆν ξηράν. λίμνην γὰρ εἶναι τὸ πρῶτον. — 564, 2. περὶ δὲ ζῴων φησίν, ὅτι θερμαινομένης τῆς γῆς τὸ πρῶτον ἐν τῷ κάτω μέρει, ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῷα πολλὰ καὶ οἱ ἄνθρωποι, ἅπαντα τὴν αὐτὴν δίαιταν ἔχοντα, ἐκ τῆς ἰλύος[b] τρεφόμενα· ἦν δὲ ὀλιγοχρόνια. ὕστερον δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις συνέστη. καὶ διεκρίθησαν ἄνθρωποι ἀπὸ τῶν ἄλλων, καὶ ἡγεμόνας καὶ νόμους[b] καὶ τέχνας καὶ πόλεις καὶ τὰ ἄλλα συνέστησαν. νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζῴοις ὁμοίως· χρῆσθαι γὰρ ἕκαστον καὶ τῶν ζῴων τῷ νῷ[1], τὸ μὲν βραδυτέρως τὸ δὲ ταχυτέρως.

principia

mundi generatio

a. Vocabula δύο et ἃς supplevit Diels, ut loco corrupto succurreret. Ritter: εἶναι δ' ἀρχὴν τῆς κινήσεως τὸ ἀποκρίνεσθαι. At cf. Diog. II 16.

b. Diog. II 16. Ἔλεγε — — τὰ ζῷα ἀπὸ τῆς ἰλύος γεννηθῆναι· καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ. Res tam diversae mire coniunguntur. Videtur is locus, qui etiam Hippolyto praesto fuit (Dox. 564, 6—8), male intellectus esse. Certe non propriam quandam de moribus doctrinam condidisse putandus est; v. Z. I⁴ 931⁵.

1) ζῴων τῷ νῷ ed. Diels. Vulg. τῶν σωμάτων ὅσῳ. H. Ritter: τῷ σώματι ὁμοίως. Usener: τῶν ζῴων τῷ νοῆσαι. Cruice: ἕκαστον σῶμα τῷ νόῳ (del. καὶ τῶν).

Hippo.

principium: umidum

Alex. Aphrod. in Arist. Met. I, 3. p. 21, 17 Bonitz. *Ἵππωνα*[a] *ἱστοροῦσιν ἀρχὴν ἁπλῶς τὸ ὑγρὸν ἀδιορίστως ὑποθέσθαι, οὐ διασαφήσαντα πότερον ὕδωρ — ἢ ἀήρ.* 72

a. Samius aut Rheginus vel Metapontinus. Vixisse eum Periclis aetate et a Cratino ea comoedia, quam *Πανόπτας* inscripsit, derisum esse, demonstravit e scholiis Th. Bergk de reliq. Com. Att. (Lips. 1838), 164—181. Disputat de Hippone: Backhuizen von den Brink Var. Lect. ex Hist. Philos. Antiq. L. B. 1842, 36 sq. Schleiermacher Op. philos. III 405. Aristoteles Met. I 3 Hipponem una cum Thalete nominat, nisi quod 984 a 3 addit *Ἵππωνα οὐκ ἄν τις ἀξιώσειε θεῖναι μετὰ τούτων διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας.* Ad quem locum Scholiasta Paris. ap. Brandis p. 534 a 24 adnotat: *ἔλεγε γὰρ μηδὲν ἕτερον εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα, ὅθεν καὶ ὡς μηδὲν ἄλλο τι παρὰ τὰ αἰσθητὰ δοξάζων εἶναι ἄθεος ἀπεκλήθη.* Cf. ib. p. 740 b. 798 b.

cum Thalete iungitur

anima

Arist. de Anima I 2. 405 b 2. *Τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο* (sc. *τὴν ψυχήν*), *καθάπερ Ἵππων. πεισθῆναι δ᾽ ἐοίκασιν ἐκ τῆς γονῆς, ὅτι πάντων ὑγρά· καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐχ αἷμα· ταύτην δ᾽ εἶναι τὴν πρώτην ψυχήν.* 173 A

ex umido igneum

Hippol. Ref. Haer. I 16. *Ἵππων δὲ ὁ Ῥηγῖνος ἀρχὰς ἔφη ψυχρὸν τὸ ὕδωρ καὶ θερμὸν τὸ πῦρ. γενόμενον δὲ τὸ πῦρ ὑπὸ ὕδατος κατανικῆσαι τὴν τοῦ γεννήσαντος δύναμιν συστῆσαί τε τὸν κόσμον. τὴν δὲ ψυχὴν ποτὲ μὲν ἐγκέφαλον λέγει, ποτὲ δὲ ὕδωρ· καὶ γὰρ τὸ σπέρμα εἶναι, κατὰ τὸ φαινόμενον ἡμῖν, ἐξ ὑγροῦ, ἐξ οὗ φησι ψυχὴν γίνεσθαι.* 173 B

Cum de generatione et de fetu quaerit (Censor. de D. Nat. 5—7, cf. Dox. 189—197) aut animam e sanguine constare docet, Empedoclem videtur respicere. Omnino illud est inferioris aetatis, quod pro aqua cautius dicit *τὸ ὑγρόν.*

Sophistae.

174 Cic. Brut. 45 (Arist. fr. 131 R. 1500[b] 6). Pacis est comes otiique socia et iam bene constitutae civitatis quasi alumna quaedam eloquentia. 46. Itaque ait Aristoteles, cum sublatis in Sicilia tyrannis[a] res privatae longo intervallo iudiciis repeterentur, tum primum, quod esset acuta illa gens et controversa natura [1], artem et praecepta Siculos Coracem et Tisiam[b] conscripsisse; nam antea neminem solitum via nec arte, sed accurate tamen et de scripto plerosque dicere; scriptasque fuisse et paratas a Protagora[c] rerum illustrium disputationes, quae nunc communes appellantur loci[d]. 47. Quod idem fecisse Gorgiam, cum singularum rerum laudes vituperationesque conscripsisset, quod iudicaret hoc oratoris esse maxime proprium, rem augere posse laudando vituperandoque rursus affligere[e]. origo

a. Cf. Spengel, *συναγωγὴ τεχνῶν*, p. 22 sq. Syracusani a. 466 Thrasybulo eiecto usque ad a. 406 libera utebantur republica.

b. Corax, qui apud Gelonem et Hieronem multum valuerat, eloquentia sua etiam apud liberos cives conspicuus erat. Eius discipulus Tisias a. 427 cum Gorgia Leontinorum legato Athenas venit.

c. Protagoras et ipse aliquamdiu in Italia et Sicilia commoratus erat (**RP** 177).

d. Communes loci (*τόποι*) dicebantur tales, quibus argumentum aliquod generaliter et extra personas tractabatur, cf. Cic. de Or. III 106. Quintil. II 1, 11; 4, 22.

e. Plato Phaedr. p. 267 A: *Τισίαν δὲ Γοργίαν τε ἐάσομεν εὕδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ*

---

1) controversiis nata *Iacobs*.

σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι διὰ ῥώμην λόγου. Eodem redit quod Protagoram *τὸν ἥττω λόγον κρείττω πεποιηκέναι* veteres scriptores perhibent, v. Arist. Rhet. II 24. 1402 a 23. Gell. N. A. V 3, 7 qui illam professionem recte sic interpretatur: ***pollicebatur se id docere, quanam verborum industria causa infirmior fieret fortior.***

Plutarch. Themistocl. 2, 4. *Μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαρρίου ζηλωτὴν γενέσθαι λέγουσιν οὔτε ῥήτορος ὄντος οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν καλουμένην σοφίαν οὖσαν δὲ δεινότητα πολιτικὴν καὶ δραστήριον σύνεσιν ἐπιτήδευμα πεποιημένου καὶ διασῴζοντος ὥσπερ αἵρεσιν ἐκ* nomen *διαδοχῆς ἀπὸ Σόλωνος· ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους σοφισταὶ*[a] *προσηγορεύθησαν.* 175

a. De prisca huius vocabuli vi cf. RP 3. 41.

sophistice quid sit Philostr. Vit. Sophist. prooem. *Τὴν ἀρχαίαν σοφιστικὴν*[a] *ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν· διαλέγεται μὲν γὰρ ὑπὲρ ὧν οἱ φιλοσοφοῦντες*[b]. 176 A

a. Primus se sophistam appellavit et pretio docuit Protagoras, v. Plato Protag. p. 316 D. 348 E. Eum secutus Gorgias non sophista, sed rhetor appellari voluit, sed percrebuerat nomen, ut et ille et ceteri, qui similia profitebantur velut Hippias (de quo cf. Spengel l. l. p. 60 sq., F. Mähly in Mus. Rh. XV (1860), XVI (1861), Prodicus (cf. Welcker, *kl. Schr.* II 393 sq. Spengel l. l. p. 46 sq.) eodem vocati sint.

b. Modo cum aliis disputando modo orationibus continuis habendis artem suam ostendebant, v. Plat. Protag. p. 334 E; Gorg. p. 449 B; Arist. de Soph. El. 34. 183 b 36. *καὶ γὰρ τῶν περὶ τοὺς ἐριστικοὺς λόγους μισθαρνούντων ὁμοία τις ἦν ἡ παίδευσις τῇ Γοργίου πραγματείᾳ·* ratio docendi *λόγους γὰρ οἱ μὲν ῥητορικοὺς οἱ δὲ ἐρωτητικοὺς ἐδίδοσαν ἐκμανθάνειν, εἰς οὓς πλειστάκις ἐμπίπτειν ᾠήθησαν ἑκάτεροι τοὺς ἀλλήλων λόγους.* poetarum interpretatio Praeter eloquentiam etiam studia grammatica a sophistis promovebantur, praecipue ea quae in poetarum interpretatione posita erant, cf. Plato Protag. p. 338 E. Classen, de gramm. Gr. primordiis, Bonnae 1829.

Arist. Soph. Elench. 1. 165 a 21. *Ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δ' οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης*[a]. 176 B

a. De meritis sophistarum in historia philosophiae recte iudicandis cf. C. F. Hermann, *Gesch. u. System d. Platon. Philos.* I, p. 179—231. Hegel, *Gesch. d. Philos.* II 5—27. Grote, *history of Greece* VIII 474—544. Blass, *d. att. Beredsamk. v. Gorgias bis zu Lysias*, Lpz. 1868, p. 12—33. Z. I^4 1024—1033. Athenis vel maxime colebantur, nam ibi tunc omnes confluebant qui artibus litterisque liberiore studio vacabant, cf. Plato Protag. p. 337 D, ubi Hippias Eleus Athenas nominat *τῆς Ἑλλάδος τὸ πρυτανεῖον τῆς σοφίας.* Gorg. p. 461 E *Ἀθήναζε ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν.* Labante republica etiam sophistae in peius ruebant et argutiis suis dialecticis pravisque opinionibus ad mores turbandos vel maxime pertinuerunt, ut constat ex Platone (**RP** 247). **Athenis maxime culta**

Protagoras.

---

177 Diog. IX 50. *Πρωταγόρας*[a] *Ἀρτέμωνος ἤ, ὡς Ἀπολλόδωρος καὶ Δείνων ἐν Περσικοῖς, Μαιανδρίου Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς περὶ νόμων, ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν*[b]. — *διήκουσε δὲ* — *Δημοκρίτου*[c]. 51. *καὶ ἤρξατό που τοῦτον τὸν τρόπον.* — „*Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ᾿ ὡς εἰσίν, οὔθ᾿ ὡς οὐκ εἰσίν· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τ᾿ ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου*[d]." 52. *διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλί᾿ αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ᾿ ἑκάστου τῶν κεκτημένων*[e]. *οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν.* — *καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη καὶ τὸ νῦν ἐπιπολάζον γένος τῶν ἐριστικῶν ἐγέννησεν.* — 53. *καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ἐπιχειρήσεις*[f]. — — *διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα· εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν*[g]. — 55. *φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ ἐς Σικελίαν τὴν ναῦν καταποντωθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι.* — 56. *Ἀπολλόδωρος δέ φησιν ἑβδομήκοντα (ἔτη βιώσαντα τελευτῆσαι), σοφιστεῦσαι δὲ τεσσαράκοντα*[h] *καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα* (a. 444—440). **vita**

a. Scripserunt de Protagora: Spengel, *συναγωγή*, p. 40—46. Frei, Quaestiones Protagoreae, Bonn. 1845. Weber, Quaest. Protag., Marb. 1850. Vitringa, de Prot. vita et philos., Groning. 1852. Natorp, *Forschungen*, p. 1—62.

b. Coloni Athenienses circa a. 444 Thurios profecti sunt.

c. Id Epicurus tradiderat, v. Diog. IX 53; Athen. VIII 354 C; Gell. N. A. V 3, sed obstant tempora. Democritus enim circa a. 460 (RP 149), Protagoras circiter 480 natus erat. Et constat Democritum scripsisse adversus Protagoram, v. Plut. adv. Colot. 4; Sext. Math. VII 389. Athenis identidem commoratus ingenio suo multum apud Periclem valuit, cf. Plut. Pericl. 36, Consol. ad Apollon. 33. Summa per omnem Graeciam fama eum floruisse apparet ex Platonis dialogo cognomine.

d. Cf. Cic. D. Nat. I 63; Plato Theaet. p. 162 D; Sext. Math. IX 56; Krische *Forsch.* p. 133 sq. De librorum qui aetatem tulerant inscriptionibus v. Diog. IX 55. De natura rerum explicaverat in libro qui inscriptus erat *Ἀλήθεια* s. *Καταβάλλοντες*, v. Plato Theaet. p. 161 C c. Schol.; 162 A; 166 C; 170 C; Bernays in Mus. Rh. 1850, p. 464.

libri

e. Hoc videtur factum esse tempore quadringentorum a. 411. In fuga fatis oppressus est.

f. *Θέσεις* sunt sententiae universales de quibus in utramque partem disputabatur, cf. Frei p. 150 sq.

g. Cf. Quintil. III 4, 10. Arist. Poet. 19. 1456b 9. Alia eius disciplina erat *περὶ ὀρθοεπείας*, alia *περὶ ὀνομάτων ὀρθότητος*, cf. Frei p. 136 sq.

h. Plato Meno p. 91 E *οἶμαι γὰρ αὐτὸν ἀποθανεῖν ἐγγὺς καὶ ἑβδομήκοντα ἔτη γεγονότα, τετταράκοντα ἐν τῇ τέχνῃ ὄντα.*

omnium rerum modulus homo

Diog. IX 51. *Ἤρξατό*[a] *που τοῦτον τὸν τρόπον· „Πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστι, τῶν δ' οὐκ ὄντων ὡς οὐκ ἔστιν*[b]*.“* 178

a. Quod dicit haec verba in principio operis posita fuisse, ex Platone fortasse sumtum est, v. Theaet. 161 C *τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς Ἀληθείας κτλ.*

b. Ipsa verba a Diogene afferri cernitur ex Plat. Theaet. 152 A; Cratyl. 385 E; Sext. Pyrrh. I 216. Argumenta, quibus Protagoras usus sit, expromit l. l. Theaetetus Platonis, sed dubium, quae ab ipso Protagora tradita expresserit, quae de suo addiderit. Imprimis attinent haec: *ΣΩ. Οὐκοῦν οὕτω πως λέγει, ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί; ἄνθρωπος δὲ σύ τε κἀγώ. — — πότερον οὖν — ἐφ' ἑαυτοῦ τὸ πνεῦμα ψυχρὸν ἢ οὐ ψυχρὸν φήσομεν; ἢ πεισόμεθα τῷ Πρωταγόρᾳ ὅτι τῷ μὲν ῥιγοῦντι ψυχρόν, τῷ δὲ μὴ οὔ; ΘΕΑΙ. Ἔοικεν. ΣΩ. Οὐκοῦν καὶ φαίνεται οὕτως ἑκατέρῳ; ΘΕΑΙ. Ναί. ΣΩ. Τὸ δέ γε φαίνεται αἰσθάνεσθαί ἐστιν; ΘΕΑΙ. Ἔστι*

γάρ. ΣΩ. Φαντασία ἄρα καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις. οἷα γὰρ αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστῳ καὶ κινδυνεύει εἶναι. ΘΕΑΙ. Ἔοικεν. ΣΩ. Αἴσθησις ἄρα τοῦ ὄντος ἀεί ἐστι καὶ ἀψευδές, ὡς ἐπιστήμη οὖσα.

179 Sext. Pyrrhon. I 217. Φησὶν οὖν ὁ ἀνὴρ (Πρωταγόρας) τὴν ὕλην ῥευστὴν εἶναι, ῥεούσης δὲ αὐτῆς συνεχῶς προσθέσεις ἀντὶ τῶν ἀποφορήσεων γίγνεσθαι, καὶ τὰς αἰσθήσεις μετακοσμεῖσθαί τε καὶ ἀλλοιοῦσθαι παρά τε ἡλικίας καὶ παρὰ τὰς ἄλλας κατασκευὰς τῶν σωμάτων. 218. λέγει δὲ καὶ τοὺς λόγους πάντων τῶν φαινομένων ὑποκεῖσθαι ἐν τῇ ὕλῃ, ὡς δύνασθαι τὴν ὕλην ὅσον ἐφ᾽ ἑαυτῇ πάντα εἶναι ὅσα πᾶσι φαίνεται. τοὺς δὲ ἀνθρώπους ἄλλοτε ἄλλων ἀντιλαμβάνεσθαι παρὰ τὰς διαφόρους αὐτῶν διαθέσεις· τὸν μὲν γὰρ κατὰ φύσιν ἔχοντα ἐκεῖνα τῶν ἐν τῇ ὕλῃ καταλαμβάνειν, ἃ τοῖς κατὰ φύσιν ἔχουσι φαίνεσθαι δύναται, τοὺς δὲ παρὰ φύσιν ἃ τοῖς παρὰ φύσιν. 219. καὶ ἤδη παρὰ τὰς ἡλικίας καὶ κατὰ τὸ ὑπνοῦν ἢ ἐγρηγορέναι καὶ καθ᾽ ἕκαστον εἶδος τῶν διαθέσεων ὁ αὐτὸς λόγος. **cognitio fluctuat**

Cf. Math. VII 60 sq. Similiter Plato Theaet. 152 D Protagorae sententiam explicans: ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα ἃ δή φαμεν εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτ᾽ οὐδέν, ἀεὶ δὲ γίγνεται· καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου ξυμφέρεσθον, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς. Ib. 156 A ἀρχὴ δέ, ἐξ ἧς καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα ἤρτηται, ἥδε αὐτῶν, ὡς τὸ πᾶν κίνησις ἦν καὶ ἄλλο παρὰ τοῦτο οὐδέν, τῆς δὲ κινήσεως δύο εἴδη, πλήθει μὲν ἄπειρον ἑκάτερον, δύναμιν δὲ τὸ μὲν ποιεῖν ἔχον, τὸ δὲ πάσχειν. ἐκ δὲ τῆς τούτων ὁμιλίας τε καὶ τρίψεως πρὸς ἄλληλα γίγνεται ἔκγονα πλήθει μὲν ἄπειρα, δίδυμα δέ, τὸ μὲν αἰσθητόν, τὸ δὲ αἴσθησις, ἀεὶ συνεκπίπτουσα καὶ γεννωμένη μετὰ τοῦ αἰσθητοῦ κτλ. Sequebatur Protagoras in his maxime Heraclitum et Heracliteos, cf. RP 26. De suo adiecisse videtur quod docet omnis motionis duplicem rationem esse, ut alterae res commotae vel afficerent alteras vel afficerentur ab alteris. Consequens esse ut res non sint neque fiant nisi quatenus ab aliquo sentiantur, cf. Plato ibid. 160 B ἀλλήλοις δὴ λείπεται συνδεδέσθαι, ὥστε εἴτε τις εἶναί τι ὀνομάζει, τινὶ εἶναι ἢ τινος ἢ πρός τι ῥητέον αὐτῷ, εἴτε γίγνεσθαι· αὐτὸ δὲ ἐφ᾽ αὑτοῦ τι ἢ ὂν ἢ γιγνόμενον οὔτε αὐτῷ λεκτέον οὔτ᾽ ἄλλου λέγοντος ἀποδεκτέον: item ut tales sint, quales unicuique esse videantur h. e. diversis diversae, cf. Arist. Met. IX 3. 1047ᵃ 4 οὔτε γὰρ ψυχρὸν οὔτε θερμὸν οὔτε γλυκὺ οὔτε ὅλως αἰσθητὸν οὐθὲν ἔσται μὴ αἰσθανόμενον· ὥστε **motus duplex**

τὸν Πρωταγόρου λόγον συμβήσεται λέγειν αὐτοῖς, cf. RP 180. Adde quod omnes animi affectiones a sensibus repetendas esse statuebat, v. Diog. IX 51 *ἔλεγέ τε μηδὲν εἶναι τὴν ψυχὴν παρὰ τὰς αἰσθήσεις*. Euseb. Pr. Ev. XIV 2, p. 718 *καὶ αὖ πάλιν τοὺς κατὰ Μητρόδωρον καὶ Πρωταγόραν μόναις δεῖν φάσκοντας ταῖς τοῦ σώματος πιστεύειν αἰσθήσεσι.*

contradictio

Diog. IX 51. *Πρῶτος ἔφη δύο λόγους εἶναι περὶ* 180
παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις. — 53. *καὶ τὸν Ἀντισθένους λόγον τὸν πειρώμενον ἀποδεικνύειν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ* (286 C).

Cf. Sext. Pyrrh. I 218 *λέγει δὲ καὶ τοὺς λόγους πάντων τῶν φαινομένων ὑποκεῖσθαι ἐν τῇ ὕλῃ κτλ.*, h. e. prout aliqua res afficit aliquem sentientem, ita ei est vel hoc vel illud, vel vera vel falsa. Arist. Met. IV 4. 1007ᵇ 19 *ἔτι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ πᾶσαι, δῆλον ὡς ἅπαντα ἔσται ἕν. ἔσται γὰρ τὸ αὐτὸ καὶ τριήρης καὶ τοῖχος καὶ ἄνθρωπος, εἰ κατὰ παντός τι ἢ καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται, καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λέγουσι λόγον. εἰ γάρ τῳ δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον ὅτι οὐκ ἔστι τριήρης· ὥστε καὶ ἔστιν, εἴπερ ἡ ἀντίφασις ἀληθής.* Ib. 5. 1009ᵃ 6 *ἔστι δ' ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρου λόγος· — εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ εἶναι. πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς διεψεῦσθαι νομίζουσιν· ὥστ' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. καὶ εἰ τοῦτ' ἐστίν, ἀνάγκη τὰ δοκοῦντα εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζουσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. εἰ οὖν ἔχει τὰ ὄντα οὕτως, ἀληθεύσουσι πάντες.'*

geometria vitiosa

Arist. Met. III 2. 997ᵇ 35. *Οὔτε γὰρ αἱ αἰσθηταὶ* 181
γραμμαὶ τοιαῦταί εἰσιν οἵας λέγει ὁ γεωμέτρης (οὐθὲν γὰρ εὐθὺ τῶν αἰσθητῶν οὕτως οὐδὲ στρογγύλον· ἅπτεται γὰρ τοῦ κανόνος οὐ κατὰ στιγμὴν ὁ κύκλος, ἀλλ' ὥσπερ Πρωταγόρας ἔλεγεν ἐλέγχων τοὺς γεωμέτρας), οὔθ' αἱ κινήσεις καὶ ἕλικες τοῦ οὐρανοῦ ὅμοιαι, περὶ ὧν ἡ ἀστρολογία ποιεῖται τοὺς λόγους, οὔτε τὰ σημεῖα τοῖς ἄστροις τὴν αὐτὴν ἔχει φύσιν.

vera sapientia

Plat. Theaet. 166 D (sub Protagorae persona): *Ἐγὼ γάρ* 182
φημι μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή· μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ

φαίνεται, τῷ δὲ ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω τὸ μὴ φάναι εἶναι, ἀλλ᾽ αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων ποιήσῃ ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι[a]. — — οἷον γὰρ ἐν τοῖς πρόσθεν ἐλέγετο ἀναμνήσθητι, ὅτι τῷ μὲν ἀσθενοῦντι πικρὰ φαίνεται ἃ ἐσθίει καὶ ἔστι, τῷ δὲ ὑγιαίνοντι τἀναντία ἔστι καὶ φαίνεται. σοφώτερον μὲν οὖν τούτων οὐδέτερον δεῖ ποιῆσαι· οὐδὲ γὰρ δυνατόν· οὐδὲ κατηγορητέον ὡς ὁ μὲν κάμνων ἀμαθής, ὅτι τοιαῦτα δοξάζει, ὁ δὲ ὑγιαίνων σοφός, ὅτι ἀλλοῖα· μεταβλητέον δ᾽ ἐπὶ θάτερα· ἀμείνων γὰρ ἡ ἑτέρα ἕξις. οὕτω δὲ καὶ ἐν τῇ παιδείᾳ ἀπὸ ἑτέρας ἕξεως ἐπὶ τὴν ἀμείνω μεταβλητέον. ἀλλ᾽ ὁ μὲν ἰατρὸς φαρμάκοις μεταβάλλει, ὁ δὲ σοφιστὴς λόγοις.

a. Cf. Plat. Protag. 323 C sq. Virtutem igitur doceri posse statuebat seque ipsum ut sophistam eam iuvenes docere profitebatur, politicam potissimum et oeconomicam, *ὅπως ἂν τις ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ καὶ τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν*, ib. 318 E.

Gorgias.

183 A Quintil. Inst. Orat. III 1, 8. Gorgias[a] Leontinus, Empedoclis ut traditur discipulus[b] — — beneficio longissimae aetatis, nam centum et novem vixit annos, cum multis simul floruit — — et ultra Socratem usque duravit[c]. vita

a. Scripserunt de Gorgia: Foss, de Gorgia Leontino, Hal. 1828. Spengel, *συναγωγὴ τεχνῶν* p. 63—84. Frei, Mus. Rh. VII (1850) p. 527 sq., VIII (1851) p. 268 sq. Blass, *att. Bereds.* I, c. 2. Diels, *Gorgias u. Empedokles (Sitz. Ber. Berl. Ak. 1884)* p. 343—368.

b. Cf. RP 129; Plato Men. 76 C, de quo loco cf. Diels p. 345 sq.

c. Diog. VIII 58 *ὃν (Γ.) φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι.* Natus est circiter a. 483, mortuus circ. a. 375, cf. Frei l. l.

183 B Plat. Hipp. mai. 282 B. *Γοργίας — — σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα* legatus Athenis commoratur

εἰπεῖν καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ εἰργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως[a].

a. De Gorgiae legatione cf. Diod. Sic. XII 53. Incidit ea in a. 427 (Ol. 88, 2). Athenis plus semel commorabatur, sub finem vitae in Thessalia potissimum constitisse videtur, v. Foss p. 25 sq.

dicendi genus Dionys. Hal. Iudic. d. Lys. 3, p. 458 Rsk. *Γοργίας τε* 183 C
ὁ Λεοντῖνος ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευὴν καὶ οὐ πόρρω διθυράμβων ἔνια φθεγγόμενος· — — ἥψατο δὲ καὶ τῶν Ἀθήνησι ῥητόρων ἡ ποιητική τε καὶ τροπικὴ φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρξαντος, ἡνίκα Ἀθήναζε πρεσβεύων κατεπλήξατο τοὺς ἀκούοντας ἐν τῇ δημηγορίᾳ[a].

a. De ratione, qua in arte oratoria docenda utebatur, v. RP 175. 176. Ipse in orationibus panegyricis et subitaneis maxime excellebat; sed vituperatur propter nimium figurarum et poetici splendoris studium, quo oratio frigidior quam gravior evaserit; cf. Foss p. 50 sq. Diels
libri p. 362 sq. Quae nunc exstant sub nomine Gorgiae, veteris sophistae esse non posse contra Schoenbornium evincebat Foss p. 78 sq., cf. Frei, Mus. Rh. 1850, p. 542 sq. Apud antiquos praeter orationes artemque rhetoricam memoratur liber *περὶ φύσεως ἢ τοῦ μὴ ὄντος*, cf. RP 184. Nobis de doctrina eius constat ex extremis capitibus libelli de Melisso X. Z. (RP 88*) et Sext. Math. VII 65—87.

de non ente Sext. Math. VII 65. *Γοργίας δὲ ὁ Λεοντῖνος ἐκ τοῦ* 184
αὐτοῦ μὲν τάγματος ὑπῆρχε τοῖς ἀνῃρηκόσι τὸ κριτήριον, οὐ κατὰ τὴν ὁμοίαν δὲ ἐπιβολὴν τοῖς περὶ τὸν Πρωταγόραν. ἐν γὰρ τῷ ἐπιγραφομένῳ Περὶ τοῦ μὴ ὄντος ἢ περὶ φύσεως τρία κατὰ τὰ ἑξῆς κεφάλαια κατασκευάζει· ἓν μὲν καὶ πρῶτον ὅτι οὐδὲν ἔστιν, δεύτερον ὅτι εἰ καὶ ἔστιν, ἀκατάληπτον ἀνθρώπῳ, τρίτον ὅτι εἰ καὶ καταληπτόν, ἀλλὰ τοί γε ἀνέξοιστον καὶ ἀνερμήνευτον τῷ πέλας.

Cf. De Melisso X. Z. 5. 979ᵃ 12. *Οὐκ εἶναί φησιν οὐδέν· εἰ δ' ἔστιν, ἄγνωστον εἶναι· εἰ δὲ καὶ ἔστι καὶ γνωστόν, ἀλλ' οὐ δηλωτὸν ἄλλοις.* Deinde sequuntur

nihil est Ib. 979 a 13. *Καὶ ὅτι μὲν οὐκ ἔστι, συνθεὶς τὰ ἑτέροις* 185
εἰρημένα, ὅσοι περὶ τῶν ὄντων λέγοντες τἀναντία, ὡς δοκοῦσιν, ἀποφαίνονται αὐτοῖς, οἱ μὲν ὅτι ἓν καὶ οὐ πολλά, οἱ δ' αὖ ὅτι πολλὰ καὶ οὐχ ἕν, καὶ οἱ μὲν ὅτι ἀγένητα, οἱ δ'

ὡς γενόμενα ἐπιδεικνύντες, ταῦτα συλλογίζεται κατ' ἀμφοτέρων. Ἀνάγκη γάρ, φησίν, εἴ τι ἔστι[1], *μήτε ἓν μήτε πολλὰ εἶναι, μήτε ἀγένητα μήτε γενόμενα,* <*ὥστε*>[2] *οὐδὲν ἂν εἴη. εἰ γὰρ εἴη*[3] *τι, τούτων ἂν θάτερα εἴη. Ὅτι* <*δ'*>[4] *οὐκ ἔστιν οὔτε ἓν οὔτε πολλά, οὔτε ἀγένητα οὔτε γενόμενα, τὰ μὲν ὡς Μέλισσος, τὰ δὲ ὡς Ζήνων ἐπιχειρεῖ δεικνύειν μετὰ τὴν πρώτην ἴδιον αὐτοῦ ἀπόδειξιν, ἐν ᾗ λέγει ὅτι οὐκ ἔστιν οὔτε εἶναι οὔτε μὴ εἶναι. εἰ μὲν γὰρ τὸ μὴ εἶναί ἐστι*[a] *μὴ εἶναι, οὐδὲν ἂν ἧττον τὸ μὴ ὂν τοῦ ὄντος εἴη. τό τε γὰρ μὴ ὂν ἐστι μὴ ὄν, καὶ τὸ ὂν ὄν, ὥστε οὐδὲν μᾶλλον ἢ εἶναι ἢ οὐκ εἶναι τὰ πράγματα· εἰ δ' ὅμως τὸ μὴ εἶναι ἔστι, τὸ εἶναι, φησίν, οὐκ ἔστι, τὸ ἀντικείμενον. εἰ γὰρ τὸ μὴ εἶναι ἔστι, τὸ εἶναι μὴ εἶναι προσήκει· ὥστε οὐκ ἂν οὕτως, φησίν, οὐδὲν ἂν εἴη, εἰ μὴ ταὐτόν ἐστιν εἶναί τε καὶ μὴ εἶναι. εἰ δὲ ταὐτό, καὶ οὕτως οὐκ ἂν εἴη οὐδέν· τό τε γὰρ μὴ ὂν οὐκ ἔστι καὶ τὸ ὄν, ἐπείπερ γε ταὐτὸ τῷ μὴ ὄντι. οὗτος μὲν οὖν ὁ πρῶτος*[5] *λόγος ἐκείνου*[b].

a. *ἔστι* ambigue dictum ut tam copula quam verbum absolutum esse possit.

b. Totam argumentationem paucis commutatis repetit Sext. Math. VII 66—76, copiosius quidem sed minus accurate, cf. Foss p. 171 sq. Melissi et Zenonis argumentis quo pacto usus sit Gorgias ex hoc specimine iudicari poterit: De Melisso X. Z. 6. 979[b] 20 *μετὰ δὲ τοῦτον τὸν λόγον φησίν· Εἰ δὲ ἔστιν, ἤτοι ἀγένητον ἢ γενόμενον εἶναι. καὶ εἰ μὲν ἀγένητον, ἄπειρον αὐτὸ τοῖς τοῦ Μελίσσου ἀξιώμασι λαμβάνει· τὸ δ' ἄπειρον οὐκ ἂν εἶναί που*[6]. *οὔτε γὰρ ἐν αὐτῷ οὔτ' ἂν ἐν ἄλλῳ εἶναι· δύο γὰρ ἂν οὕτως ἢ πλείω εἶναι, τό τε ἐνὸν καὶ τὸ ἐν ᾧ· μηδαμοῦ δὲ ὂν οὐδὲν εἶναι κατὰ τὸν Ζήνωνος λόγον περὶ τῆς χώρας.*

186 Sext. Math. VII 77. *Ὅτι δὲ κἂν ᾖ τι, τοῦτο ἄγνωστόν τε καὶ ἀνεπινόητόν ἐστιν ἀνθρώπῳ, παρακειμένως ὑποδεικτέον. εἰ γὰρ τὰ φρονούμενα, φησὶν ὁ Γοργίας, οὐκ ἔστιν ὄντα, τὸ ὂν οὐ φρονεῖται.* — 78. *καὶ ὅτι τὰ φρονούμενα οὐκ ἔστιν ὄντα, συμφανές.* — 79. *οὐδὲ γὰρ ἂν φρονῇ τις ἄνθρωπον ἱπτάμενον ἢ ἅρματα ἐν πελάγει τρέχοντα, εὐθέως ἄνθρωπος* nihil cognosci potest

1) *ἔστι,* <*ἤτοι ἓν ἢ πολλὰ εἶναι καὶ ἤτοι ἀγένητα ἢ γενόμενα. εἰ δὴ ξυμβαίνει*> Bonitz. — 2) <*ὥστε*> **RP**. — 3) *μὴ εἴη* libri: *εἴη* Foss. — 4) <*δὲ*> **RP**: <*οὖν*> Bonitz. — 5) *ὁ αὐτός* libri: *αὐτὸς ὁ* Foss: *ὁ πρῶτος* **RP**. — 6) *ποτε* libri: *που* coll. Sext. Math. VII 69 Foss.

ἵπταται ἢ ἅρματα ἐν πελάγει τρέχει. ὥστε οὐ τὰ φρονούμενά ἐστιν ὄντα. 80. πρὸς τούτοις εἰ τὰ φρονούμενά ἐστιν ὄντα, τὰ μὴ ὄντα οὐ φρονηθήσεται. τοῖς γὰρ ἐναντίοις τὰ ἐναντία συμβέβηκεν, ἐναντίον δέ ἐστι τῷ ὄντι τὸ μὴ ὄν· καὶ διὰ τοῦτο πάντως εἰ τῷ ὄντι συμβέβηκε τὸ φρονεῖσθαι, τῷ μὴ ὄντι συμβήσεται τὸ μὴ φρονεῖσθαι. ἄτοπον δ' ἔστι τοῦτο· καὶ γὰρ Σκύλλα καὶ Χίμαιρα καὶ πολλὰ τῶν μὴ ὄντων φρονεῖται. οὐκ ἄρα τὸ ὂν φρονεῖται. 81. ὥσπερ τε τὰ ὁρώμενα διὰ τοῦτο ὁρατὰ λέγεται ὅτι ὁρᾶται, καὶ τὰ ἀκουστὰ διὰ τοῦτο ἀκουστὰ ὅτι ἀκούεται, καὶ οὐ τὰ μὲν ὁρατὰ ἐκβάλλομεν ὅτι οὐκ ἀκούεται, τὰ δὲ ἀκουστὰ παραπέμπομεν ὅτι οὐχ ὁρᾶται (ἕκαστον γὰρ ὑπὸ τῆς ἰδίας αἰσθήσεως, ἀλλ' οὐχ ὑπ' ἄλλης ὀφείλει κρίνεσθαι), οὕτω καὶ τὰ φρονούμενα καὶ εἰ μὴ βλέποιτο τῇ ὄψει μηδὲ ἀκούοιτο τῇ ἀκοῇ ἔσται, ὅτι πρὸς τοῦ οἰκείου λαμβάνεται κριτηρίου. 82. εἰ οὖν φρονεῖ τις ἐν πελάγει ἅρματα τρέχειν καὶ εἰ μὴ βλέπει ταῦτα, ὀφείλει πιστεύειν ὅτι ἅρματα ἔστιν ἐν πελάγει τρέχοντα. ἄτοπον δὲ τοῦτο.

Cf. libell. de Melisso X. Z. c. 6, ubi extrema videntur (nam parum de iis liquet: adeo haec corrupta sunt) non consentire cum Sexto; certe argumenta ibi alio ordine enumerantur.

nihil enuntiari potest

De Melisso X. Z. 6. 980ᵃ 19. *Εἰ δὲ καὶ γνωστά, πῶς* 187 ἄν τις, φησί, δηλώσειεν ἄλλῳ; ὃ γὰρ εἶδε, πῶς ἄν τις, φησί, τοῦτο εἴποι λόγῳ; ἢ πῶς ἂν ἐκείνῳ[1] δῆλον ἀκούσαντι γίγνοιτο, μὴ ἰδόντι; ὥσπερ γὰρ οὐδὲ ἡ ὄψις τοὺς φθόγγους γιγνώσκει, οὕτως οὐδὲ ἡ ἀκοὴ τὰ χρώματα ἀκούει, ἀλλὰ φθόγγους· καὶ λέγει[2] ὁ λέγων, ἀλλ' οὐ χρῶμα οὐδὲ πρᾶγμα. ὃ οὖν τις μὴ ἐννοεῖ, πῶς ἂν τοῦτο[3] παρ' ἄλλου λόγῳ ἢ σημείῳ τινὶ ἑτέρου του πράγματος ἐννοήσειεν[4], ἀλλ' ἤ, ἐὰν μὲν χρῶμα, ἰδών, ἐὰν <δὲ φθόγγον, ἀκροώμε>νος; ἀρχὴν γὰρ οὐ <φθόγγον> λέγει <οὐ>δὲ χρῶμα, ἀλλὰ λόγον· ὥστ' οὐδὲ διανοεῖσθαι χρῶμα ἔστιν, ἀλλ' ὁρᾶν, οὐδὲ ψόφον, ἀλλ' ἀκούειν. εἰ δὲ καὶ ἐνδέχεται, γιγνώσκει δὲ[5] καὶ ἀναγιγνώσκει λέγων[6], ἀλλὰ

1) ἐκεῖνο cod. Lips., Mullach, Kern. — 2) λόγους λέγει Foss. — 3) αἰτεῖ libri: αἰτεῖ τοῦτο Foss: ἂν τοῦτο RP. — 4) λόγῳ; ἢ — ἐννοήσειεν <ἂν>, ἀλλ' ἢ Foss; cetera refinxit idem. — 5) τὲ libri: δὲ Foss. — 6) ὁ λέγων Mullach: λόγον Teichmüller.

πῶς ὁ ἀκούων τὸ αὐτὸ ἐννοήσει; οὐ γὰρ οἷόν τε τὸ αὐτὸ ἅμα ἐν πλείοσι καὶ χωρὶς οὖσιν εἶναι· δύο γὰρ ἂν εἴη τὸ ἕν. εἰ δὲ καὶ εἴη, φησίν, ἐν πλείοσι καὶ ταὐτόν, οὐδὲν κωλύει μὴ ὅμοιον φαίνεσθαι αὐτοῖς, μὴ πάντῃ ὁμοίοις ἐκείνοις οὖσιν καὶ ἐν τῷ αὐτῷ. ἔτι δ' εἰ τοιοῦτοι εἶεν, ἓν ἂν[1] ἀλλ' οὐ δύο εἶεν. φαίνεται δ' οὐδ' <ὁ>[2] αὐτὸς αὑτῷ ὅμοια αἰσθανόμενος ἐν τῷ αὐτῷ χρόνῳ, ἀλλ' ἕτερα τῇ ἀκοῇ καὶ τῇ ὄψει καὶ νῦν τε καὶ πάλαι διαφόρως· ὥστε σχολῇ ἄλλῳ πᾶν ταὐτὸ αἴσθοιτό τις. οὕτως οὐκ ἔστι οὐδὲν γνωστόν[3], εἰ δ' ἔστιν, οὐδεὶς ἂν αὐτὸ ἑτέρῳ δηλώσειεν, διά τε τὸ μὴ εἶναι τὰ πράγματα λόγους, καὶ ὅτι οὐδεὶς ἑτέρῳ ταὐτὸ ἐννοεῖ. ἅπασαι δὲ καὶ αὗται[4] ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι.

Cf. Sext. Math. VII 83—86, verbis usus a Gorgiae alienis.

---

1) εἴ τι ἓν τοιούτου εἴησαν, libri: ἔτι ἓν <ἂν> τοιοῦτοι, εἰ ἦσαν Foss: καὶ εἰ ἓν τῷ αὐτῷ εἴη, ἓν τοιοῦτον εἴη ἂν Kern: ἔτι δ' εἰ τοιοῦτοι εἶεν, ἓν ἂν **RP.** — 2) <ὁ> Foss. — 3) ἔστιν, ἓν ἔστι γνωστόν libri: ἐστὶ γνωστόν Foss: ἔστι οὐδὲν γνωστόν **RP.** — 4) ἅπαντες δὲ καὶ οὕτως (vel οὗτος) libri: ἅπαντα δὲ καὶ ταῦτα Foss: ἅπασαι δὲ καὶ αὗται Mullach.

Socrates.

vita Diog. II 18. Σωκράτης[a] Σωφρονίσκου μὲν ἦν υἱὸς λι- 188
θουργοῦ καὶ Φαιναρέτης μαίας, — Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. — — 19. ἀκούσας δὲ Ἀναξαγόρου κατά τινας — μετὰ τὴν ἐκείνου καταδίκην διήκουσεν Ἀρχελάου τοῦ φυσικοῦ, οὗ καὶ παιδικὰ γενέσθαι φησὶν Ἀριστόξενος[b]. Δοῦρις δὲ — — καὶ ἐργάσασθαι λίθους (αὐτόν φησιν), εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει Χάριτας ἔνιοί φασιν ἐνδεδυμένας οὔσας[c]. — 22. ἀποδημίας δὲ οὐκ ἐδεήθη, καθάπερ οἱ πλείους, πλὴν εἰ μὴ στρατεύεσθαι ἔδει[d]. — 44. ἐγεννήθη δέ, καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, ἐπὶ Ἀψεφίωνος ἐν τῷ τετάρτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ. — — ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐνενηκοστῆς πέμπτης Ὀλυμπιάδος γεγονὼς ἐτῶν ἑβδομήκοντα[e].

a. Scripserunt de Socrate: Dissen, de philosophia morali in Xenophontis de Socr. comment. tradita, Gott. 1812 (= *Kl. Schrift.*, Gött. 1839 p. 57—88). Schleiermacher, *ü. d. Werth d. Sokr. als Philosophen* (Berl. Ak. 1818), Op. III 2. Brandis, *Grundlinien d. Lehre d. Sokr.*, Mus. Rh. I (1827), 118sq. C. F. Hermann, de Socratis magistris et disciplina iuvenili, Marb. 1837. Ribbing, *Sokratische Studien* I *(Xenoph. und Plat.)*. II *(Daemonium)*, Upsala 1870. Grote, *history of Greece* c. 68 (VIII, 551). Z. II 1 [3], 42—196. Fouillée, *la philosophie de Socrate*, Paris 1874.

b. Anaxagoram non audivit, sed scripta eius legerat (Plat. Phaed. 97 B) sicut Heracliti librum, v. Diog. II 22. Cum Parmenide et Zenone ipse admodum iuvenis disputaverat, v. RP 91 d. Inter sophistas plurimum tribuit Prodico, a quo in nominibus recte dispescendis institutus fuerat, v. Plat. Men. 96 D, Charm. 163 D, Lach. 197 D, Protag. 341 A, Theaet. 151 B. Nihilominus vere αὐτουργόν τινα τῆς φιλοσοφίας se appellat ap. Xen. Conv. 1, et parens philosophiae iure dici potest, ut ait

Cic. de Fin. II 1, h. e. philosophiae moralis cum dialectica coniunctae, v. **RP** 6a. Aristot. Met. I 6. 987[b] 1. *Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐδέν*, cf. XIII 4. 1078[b] 17; de Part. Anim. I 1. 642[a] 28 *ἐπὶ Σωκράτους δὲ τοῦτο μὲν ηὐξήθη (τὸ ὁρίσασθαι τὴν οὐσίαν), τὸ δὲ ζητεῖν τὰ περὶ φύσεως ἔληξε.* Cic. Acad. I 15. *Socrates mihi videtur, id quod constat inter omnes, primus a rebus occultis et ab ipsa natura involutis, in quibus omnes ante eum philosophi occupati fuerant, avocavisse philosophiam et ad communem vitam adduxisse, ut de virtutibus et vitiis omninoque de bonis rebus et malis quaereret, caelestia autem vel procul esse a nostra cognitione censeret, vel, si maxime cognita essent, nihil tamen ad bene vivendum:* sed v. **RP** 197. Archelai discipulus dictus esse videtur a successionum scriptoribus, v. **RP** 4a. Aristoxeni fides suspecta, cf. Luzac, Lect. Att. II 27 sq.

c. Eas vidit Pausanias I 22, 8, cf. IX 35, 2.

d. De stipendiis et peregrinationibus Socratis cf. Plat. Crito p. 52; Conv. p. 219 E; Antisth. ap. Athen. V 216; Diog. II 23, alii.

e. A. Chr. n. 468 et 399. Cf. Plat. Apol. 17 D; Crito 32 E.

189 Plat. Apol. Socr. 21 A. *Ἤρετο γὰρ (Χαιρεφῶν) δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι.* quod responsum ut falsum esse probaret, iam se ait Socrates coepisse sapientiorem se ipso exquirere, sed frustra. nam vel eos qui et aliis et sibi ipsis sapientissimi viderentur neque fuisse sapientes neque conscios ignorantiae suae. *ἐγὼ δέ*, inquit, *ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι. ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι*[a]. tandem se intellexisse, quid deus significasset, 22 E *ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ — — ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν*[b]. *ταῦτ᾽ οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων*[c], *ἀλλ᾽ ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν. πρὸς δὲ τούτοις οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν*

oraculum de Socratis sapientia

ignorantia

munus a deo datum

ἀνθρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμούμενοι εἶτ᾽ ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν [d]. — — ἐντεῦθεν οὖν οἱ ὑπ᾽ αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, ἀλλ᾽ οὐχ αὑτοῖς, καὶ λέγουσιν ὡς Σωκράτης τίς ἐστι μιαρώτατος καὶ διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ᾽ ἀγνοοῦσιν, ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς, καὶ θεοὺς μὴ νομίζειν, καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν [e]. — — ἐκ τούτων καὶ Μέλητός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν, Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων [f].

criminationes

accusatores

a. Cic. Acad. II 74. *Socrati nihil visum est sciri posse. Excepit unum tantum, scire se nihil se scire, nihil amplius:* quam cave putes Socratis ipsius sententiam fuisse, v. **RP** 191.

b. Divinitus igitur se ad tale vitae ac studiorum genus excitatum putabat, id quod disertissimis ipse verbis asserit; v. Plat. Apol. 33 C *ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ, ᾧπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν.* Cf. ib. 37 E.

c. Hoc Socrati criminabantur adversarii velut Callicles: Plat. Gorg. 484 C *φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώκρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων.* — 485 D *ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς, ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι, καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα, ἐλεύθερον δὲ καὶ μέγα καὶ νεανικὸν μηδέποτε φθέγξασθαι.*

d. Respicere videtur Alcibiadem et Critiam, cf. Xen. Mem. I 2, 12; Aeschin. in Timarch. 173 *ὑμεῖς, ὦ Ἀθηναῖοι, Σωκράτην τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα τῶν τριάκοντα τῶν τὸν δῆμον καταλυσάντων.* Plat. de leg. 890; Xen. Mem. I 2, 18. 24.

Socratici dialogi

Post mortem Socratis etiam novum scribendi genus ex imitatione illa magistri exstitit, cum disputationes eius vel verae vel fictae ab auditoribus perscriberentur, cf. Diog. II 64. *πάντων μέντοι τῶν Σωκρατικῶν διαλόγων Παναίτιος ἀληθεῖς εἶναι δοκεῖ τοὺς Πλάτωνος, Ξενοφῶντος, Ἀντισθένους, Αἰσχίνου· διστάζει δὲ περὶ τῶν Φαίδωνος καὶ Εὐκλείδου, τοὺς δὲ ἄλλους ἀναιρεῖ πάντας.* De Antisthene v. **RP** 214; de Aeschine C. F. Hermann, de Aeschinis Socratici reliquiis, Gott. 1850; de Phaedone **RP** 235; de Euclide **RP** 222.

e. Cf. Apolog. p. 18 B sq., ubi significatur Aristophanes, cuius Nubes priore editione doctas esse constat Ol. 89, 1 (423). Quod dicebant eum *τὸν ἥττω λόγον κρείττω ποιεῖν*, id de Protagora ad Socratem malitiose translatum, v. RP 175; Frei, quaest. Protag., Bonn. 1845, p. 142 sq. — *τὰ μετέωρα* sunt physicorum, veluti Anaxagorae et Archelai. Propter atheismum complures ante Socratem philosophi Athenis eiecti erant, ut Anaxagoras (RP 117 C), Protagoras (RP 177), Diagoras Melius (de quo v. Th. Bergk, de Com. Att. Antiq. p. 171 sq.; Münchenberg, de D. M., Hal. 1878).

f. Meletus, poeta tragicus. Anytus, opifex dives ad summos in civitate honores provectus, sed a studiis liberalioribus alienus et philosophorum omnium contemtor. De Lycone rhetore parum constat. Cf. C. F. Hermann, de Socratis accusatoribus, ind. lect. Gott. 18⁵⁴/₅₅.

190 A Xen. Mem. I 1, 1. *Πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ᾽ αὐτοῦ τοιάδε τις ἦν· Ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων*[a]. 2. *Πρῶτον μὲν οὖν ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ ποτ᾽ ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν· διετεθρύλητο γὰρ ὡς φαίη Σωκράτης τὸ δαιμόνιον*[b] *ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.* — 4. *καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν*[c] *τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος· καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.*

accusatio Socratis

daemonium

190 B Ib. 2, 1. *Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς πρὸς τοῖς εἰρημένοις πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν, εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος, ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. 2. πῶς οὖν αὐτὸς ὢν τοιοῦτος ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ᾽ ἔπαυσε μὲν τούτων πολλούς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν καὶ ἐλπίδας*

continentia

παρασχών, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς κἀγαθοὺς ἔσεσθαι. 3. καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι [d] τούτου, ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὢν ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι.

a. Ipsa ἀντωμοσίας verba Favorinus (ap. Diog. II 40) ex exemplo Athenis in Metroo asservato, ut ait, servavit: τάδε ἐγράψατο καὶ ἀντωμόσατο Μέλητος Μελήτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν· ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος, ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. τίμημα θάνατος (cf. Plat. Apol. 24 B).

b. Semper adiective poni hoc vocabulum monuit Schleiermacher (*Platons Werke* I 2[3], 300 sq.). Intellegendum est σημεῖον, quod interdum additur, velut Plat. Rep. VI 496 C; Euthyphr. 3 B; Apol. 31 D. 40 A. 40 B C; Theag. 128 B. Cf. Cic. de Div. I 122. Cf. Ribbing, *Stud.* II. Zeller II 1[3], 69—83.

c. Plat. Apol. 31 D ἐμοὶ δὲ τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε. — Xen. Mem. I 1, 9. τοὺς δὲ μηδὲν — οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν.

d. Plat. Apol. 33 A ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ τέ τις ἐμοῦ λέγοντος καὶ τὰ ἐμαυτοῦ πράττοντος ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα κτλ. Cf. Lach. 200 C.

cognitio sui

Plat. Phaedr. 229 E. ΣΩ. — — οὐ δύναμαί πω κατὰ 191 A τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν· γελοῖον δή μοι φαίνεται τοῦτο ἔτι ἀγνοοῦντα τὸ ἀλλότρια σκοπεῖν. ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα (τὰ μυθολογήματα), πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα ἀλλ' ἐμαυτόν, εἴτε τι θηρίον ὢν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον [a].

μανία

Xen. Mem. III 9, 6. Μανίαν γε μὴν ἐναντίον μὲν ἔφη 191 B εἶναι σοφίᾳ· οὐ μέντοι γε τὴν ἀνεπιστημοσύνην μανίαν ἐνόμιζε, τὸ δὲ ἀγνοεῖν ἑαυτὸν καὶ ἃ μὴ οἶδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι [b].

a. De hac cognitione sui, quae pertinet ad mores, cf. Xen. Mem. IV 2, 24 sq.

b. Cf. Plat. Apol. 21 D, RP 189 a. Quod Cicero omnem sciendi facultatem hominibus a Socrate abnegatam esse existimat fallitur, cf. Acad. I 16; II 74 (RP 189 a). Recte Schleiermacherus (de Socr. philosopho, Comm. Ac. Berol. 1814—15, p. 61 sq., Op. phil. II 300 sq.) Minime, inquit, nihil nisi se nihil scire scivit, sed necessario cum illa quam profitebatur nesciendi arte hoc coniunctum erat, ut in quo omnis scientia posita esset et quid ab eo differret opinio vulgaris exploratum haberet. Cf. RP 194.

192 Xen. Mem. IV 6, 1. *Σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη θαυμαστὸν εἶναι αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν· ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι τί ἕκαστον εἴη τῶν ὄντων οὐδέποτ᾽ ἔληγε.* principium sciendi

193 Plat. Theaet. 149 A. *ΣΩ. Εἶτα, ὦ καταγέλαστε, οὐκ ἀκήκοας ὡς ἐγώ εἰμι υἱὸς μαίας μάλα γενναίας τε καὶ βλοσυρᾶς, Φαιναρέτης; ΘΕΑΙ. Ἤδη τοῦτό γε ἤκουσα. ΣΩ. Ἆρα καὶ ὅτι ἐπιτηδεύω τὴν αὐτὴν τέχνην ἀκήκοας; ΘΕΑΙ. Οὐδαμῶς. ΣΩ. Ἀλλ᾽ εὖ ἴσθ᾽ ὅτι· μὴ μέντοι μου κατείπῃς πρὸς τοὺς ἄλλους· λέληθα γάρ, ὦ ἑταῖρε, ταύτην ἔχων τὴν τέχνην· οἱ δέ, ἅτε οὐκ εἰδότες, τοῦτο μὲν οὐ λέγουσι περὶ ἐμοῦ, ὅτι δὲ ἀτοπώτατός εἰμι καὶ ποιῶ τοὺς ἀνθρώπους ἀπορεῖν*[a]. — — 150 B *τόδε γε καὶ ἐμοὶ ὑπάρχει ὅπερ ταῖς μαίαις· ἄγονός εἰμι σοφίας· καὶ ὅπερ ἤδη πολλοί μοι ὠνείδισαν, ὡς τοὺς μὲν ἄλλους ἐρωτῶ, αὐτὸς δὲ οὐδὲν ἀποκρίνομαι περὶ οὐδενὸς διὰ τὸ μηδὲν ἔχειν σοφόν, ἀληθὲς ὀνειδίζουσι*[b]. *τὸ δὲ αἴτιον τούτου τόδε· μαιεύεσθαί με ὁ θεὸς ἀναγκάζει, γεννᾶν δὲ ἀπεκώλυσεν. εἰμὶ δὴ οὖν αὐτὸς μὲν οὐ πάνυ τι σοφός, οὐδέ τί μοι ἔστιν εὕρημα τοιοῦτο γεγονὸς τῆς ἐμῆς ψυχῆς ἔκγονον· οἱ δέ μοι ξυγγιγνόμενοι τὸ μὲν πρῶτον φαίνονται ἔνιοι μὲν καὶ πάνυ ἀμαθεῖς, πάντες δὲ προϊούσης τῆς ξυνουσίας, οἷσπερ ἂν ὁ θεὸς παρείκῃ, θαυμαστὸν ὅσον ἐπιδιδόντες, ὡς αὑτοῖς τε καὶ τοῖς ἄλλοις δοκοῦσι· καὶ τοῦτο ἐναργές, ὅτι παρ᾽ ἐμοῦ οὐδὲν πώποτε μαθόντες, ἀλλ᾽ αὐτοὶ παρ᾽ αὑτῶν πολλὰ καὶ καλὰ εὑρόντες τε καὶ κατέχοντες*[c]. — — *πάσχουσι δὲ δὴ οἱ ἐμοὶ ξυγγιγνό-* obstetricia ars Socratis

μενοι καὶ τοῦτο ταὐτὸν ταῖς τικτούσαις· ὠδίνουσι γὰρ καὶ ἀπορίας ἐμπίπλανται νύκτας τε καὶ ἡμέρας πολὺ μᾶλλον ἢ ἐκεῖναι· ταύτην δὲ τὴν ὠδῖνα ἐγείρειν τε καὶ ἀποπαύειν ἡ ἐμὴ τέχνη δύναται[d].

a. Plat. Gorg. 521 E. Theaet. 151 C πολλοὶ γὰρ ἤδη, ὦ θαυμάσιε, πρός με οὕτω διετέθησαν ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι.

colloquendi ratio b. Callicles ap. Plat. Gorg. 491 A νὴ τοὺς θεοὺς ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει. — 497 B ἀλλ᾽ ἀεὶ τοιοῦτός ἐστι Σωκράτης, ὦ Γοργία· σμικρὰ καὶ ὀλίγου ἄξια ἀνερωτᾷ καὶ ἐξελέγχει. — 513 C οὐκ οἶδ᾽ ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες· πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος· οὐ πάνυ σοι πείθομαι. Benevolentius et comiter Laches Plat. 187 E οὔ μοι δοκεῖς εἰδέναι ὅτι, ὃς ἂν ἐγγύτατα Σωκράτους ᾖ λόγῳ, ὥσπερ γυναικὶ εἰ πλησιάζοι διαλεγόμενος, ἀνάγκη αὐτῷ, ἐὰν ἄρα καὶ περὶ ἄλλου του πρότερον ἄρξηται διαλέγεσθαι, μὴ παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ, πρὶν ἂν ἐμπέσῃ εἰς τὸ διδόναι περὶ αὑτοῦ λόγον, ὅντινα τρόπον νῦν τε ζῇ καὶ ὅντινα τὸν παρεληλυθότα βίον βεβίωκεν· ἐπειδὰν δ᾽ ἐμπέσῃ, ὅτι οὐ πρότερον αὐτὸν ἀφήσει Σωκράτης, πρὶν ἂν βασανίσῃ ταῦτα εὖ τε καὶ καλῶς ἅπαντα.

c. Plat. Men. 80 A ἤκουον μὲν ἔγωγε πρὶν καὶ συγγενέσθαι σοι, ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀπορεῖς καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν, — καὶ δοκεῖς μοι παντελῶς, εἰ δεῖ τι σκῶψαι, ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ. — ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ στόμα ναρκῶ καὶ οὐκ ἔχω ὅ τι ἀποκρίνωμαί σοι.

d. Elegantissime Alcibiades (Plat. Conv. 215 A) Socratem cum Marsya comparat propter artem suam homines fascinantem et os Satyris simile τήν τε σιμότητα καὶ τὸ ἔξω τῶν ὀμμάτων (Theaet. 143 E.) De

ironia ironia cum arte dialectica coniuncta v. Conv. 216 E ἡγεῖται δὲ πάντα ταῦτα τὰ κτήματα (πλοῦτος, κάλλος) οὐδενὸς ἄξια καὶ ἡμᾶς οὐδὲν εἶναι, λέγων μὲν οὔ, εἰρωνευόμενος δὲ καὶ παίζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους διατελεῖ. Xen. Mem. I 3, 8 τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. Cic. Acad. II 15. *Socrates autem de se ipse detrahens in disputatione plus tribuebat iis, quos volebat refellere. Ita cum aliud diceret atque sentiret, libenter uti solitus est ea dissimulatione, quam Graeci* εἰρωνείαν *vocant.* Idem Brut. 292.

dialectice Xen. Mem. IV 5, 12. Ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη[a] τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι· ἐκ τούτου γὰρ γίγνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους. 194 A

194 B Ib. 6, 13. *Εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ' ἄνευ ἀποδείξεως ἤτοι σοφώτερον φάσκων εἶναι ὃν αὐτὸς λέγοι ἢ πολιτικώτερον ἢ ἀνδρειότερον ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν*[b] *ἂν πάντα τὸν λόγον ὧδε πως*· 14. *Φῂς σὺ ἀμείνω πολίτην εἶναι ὃν σὺ ἐπαινεῖς ἢ ὃν ἐγώ; Φημὶ γὰρ οὖν. Τί οὖν οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψάμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν τοῦτο. Οὔκουν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν ποιῶν τὴν πόλιν; Πάνυ μὲν οὖν, ἔφη. Ἐν δέ γε πολέμῳ ὁ καθυπερτέραν τῶν ἀντιπάλων; Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ ἄρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκότως γε. Οὔκουν καὶ ἐν δημηγορίᾳ ὁ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν; Ἔμοιγε δοκεῖ. Οὕτω δὲ τῶν λόγων ἐπαναγομένων καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές.* 15. *Ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην ἀσφάλειαν εἶναι λόγου.* inductio

a. *Διαλέγειν κατὰ γένη* (cf. 5, 11) i. e. *σκοπεῖν τί ἕκαστον εἴη τῶν ὄντων* (6, 1): unde Socrati *τὸ ὁρίσασθαι τὴν οὐσίαν* tribuitur, Arist. de Part. An. I 1. 642ª 26.

b. *Ἐπανάγειν* dicitur de inductione, quae recentioribus appellabatur *ἐπαγωγή*, cf. Cic. Top. 42. *Sunt enim similitudines, quae ex pluribus collationibus perveniunt quo volunt, hoc modo: Si tutor fidem praestare debet, si socius, si cui mandaris, si qui fiduciam acceperit, debet etiam procurator. Haec ex pluribus perveniens quo vult appellatur inductio, quae graece ἐπαγωγὴ nominatur, qua plurimum est usus in sermonibus Socrates.* De Invent. I 61. — De usu et origine huius termini cf. Teichmüller, *Studien* 403 sq.

195 Arist. Met. XIII 4. 1078ᵇ 23. *Ἐκεῖνος* (*ὁ Σωκράτης*) *εὐλόγως ἐζήτει τὸ τί ἐστιν. συλλογίζεσθαι γὰρ ἐζήτει, ἀρχὴ δὲ τῶν συλλογισμῶν τὸ τί ἐστιν. — — δύο γάρ ἐστιν ἅ τις ἂν ἀποδοίη Σωκράτει δικαίως, τούς τ' ἐπακτικοὺς λόγους καὶ τὸ ὁρίζεσθαι καθόλου· ταῦτα γάρ ἐστιν ἄμφω περὶ ἀρχὴν ἐπιστήμης.* et definitio

196 A Arist. Eth. Eud. VII 13. 1246ᵇ 33. *Καὶ ὀρθῶς τὸ Σωκρατικόν, ὅτι οὐδὲν ἰσχυρότερον φρονήσεως*[a]*· ἀλλ' ὅτι ἐπιστήμην ἔφη, οὐκ ὀρθόν.* φρόνησις

ἐπιστήμη — Diog. II 31. Ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην, καὶ ἓν μόνον κακόν, τὴν ἀμαθίαν. 196 B

a. Cf. Xen. Mem. I 2, 53.

nihil temere — Arist. Magn. Mor. I 1. 1183[b] 9. Ἐκεῖνος γὰρ (ὁ Σωκράτης) οὐδὲν ᾤετο δεῖν μάτην εἶναι. 197 A

σωφροσύνη — Xen. Mem. IV 3, 1. Τὸ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν[a], ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι· τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι. 2. πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας.

numen et providentia deorum — Ib. I 4, 4. Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι ἢ οἱ ζῷα ἔμφρονά τε καὶ ἐνεργά; Πολὺ νὴ Δία οἱ ζῷα, εἴπερ γε μὴ τύχῃ τινί, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γίγνεται. Τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι καὶ τῶν φανερῶς ἐπ᾽ ὠφελείᾳ ὄντων πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ᾽ ὠφελείᾳ γενόμενα γνώμης ἔργα εἶναι. 5. Οὔκουν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ᾽ ὠφελείᾳ προσθεῖναι αὐτοῖς δι᾽ ὧν αἰσθάνονται ἕκαστα; — — 8. Σὺ δὲ σαυτὸν δοκεῖς τι φρόνιμον ἔχειν, ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι; — — καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι᾽ ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως ἔχειν[b]; 9. Μὰ Δί᾽· οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν σαυτοῦ σύγε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν· ὥστε κατά γε τοῦτο ἔξεστί σοι λέγειν ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις. 10. καὶ ὁ Ἀριστόδημος Οὔτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ᾽ ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὔκουν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον καὶ τιμητέον αὐτό[c]; 11. Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι, εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. Ἔπειτ᾽ οὐκ οἴει φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζῴων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἔπειτα τοῖς μὲν 197 B

(Marginal notes: conspicua in sensibus humanis; in rerum naturae ordine; in membris corporis humani)

ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν. — 12. καὶ μὴν καὶ γλῶττάν γε πάντων τῶν ζῴων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα; — 13. οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι ἀλλ', ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. — — 14. οὐ γὰρ πάνυ σοι κατάδηλον ὅτι παρὰ τὰ ἄλλα ζῷα ὥσπερ θεοὶ οἱ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; — ἀλλ' ὅταν τί ποιήσωσι νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; 15. Ὅταν πέμπωσιν, ὥσπερ σὺ φῂς πέμπειν αὐτούς, συμβούλους ὅ τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς, οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν πᾶσιν ἀνθρώποις; ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται; 16. οἴει δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν, καὶ τοὺς ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται; 17. ὠγαθέ, ἔφη, κατάμαθε ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα ὅπως βούλεται μεταχειρίζεται, οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι[d], καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν, μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι.

in animi praestantia

in oraculis et prodigiis

in hominum religione

providentia hominum menti confertur

a. Quatenus mathematicam artem repudiaverit, v. Xen. Mem. IV 7, 2. In naturalium rerum perquisitione discipulos revocans ab impia physicorum tractatione (sicut Plato Phaed. 96 A sq. Rep. VII 529 B) teleologicam quae dicitur viam ingressus est; quae ratio transiit ad Socraticos. Inde interpretandi Xenophon (Mem. I 1, 11 sq. IV 7, 6 sq.) et Aristoteles (Met. I 6; XIII 4; Part. Anim. I 1, v. **RP** 188a), corrigendus Cicero (Ac. I 15, v. **RP** 188 a).

b. Eadem argumentatio Socrati tribuitur a Platone Phil. 29 sq.

dii cerni non possunt, opera eorum possunt

c. Haec fusius tractantur Mem. IV 3, 12. *Σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴ γε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή.* 13. *Ὅτι δέ γε ἀληθῆ λέγω καὶ σὺ γνώσει, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν τἀγαθὰ διδόντες οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασι, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα τὰ καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν* (cf. Krische, *Forschungen* p. 220). 14. *ἐννόει δ' ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται* (similiter Plato Rep. VII 515 E; Leg. X 897 D). *καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ, ὁρᾶται δ' οὔτ' ἐπιὼν οὔτε κατασκήψας οὔτε ἀπιών. καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, ἥ εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων τοῦ θείου μετέχει, ὅτι μὲν βασιλεύει ἐν ἡμῖν φανερόν, ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα τιμᾶν τὸ δαιμόνιον* (cf. Krische, *Forschungen* p. 215 sq.).

d. Socrates ap. Plat. Phaed. 97 C *καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ, ὅπῃ ἂν βέλτιστα ἔχῃ.*

dii omnia sciunt

Xen. Mem. I 1, 19. *Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν· οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι τὰ δ' οὐκ εἰδέναι· Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.* 198

Cf. ibid. I 4, 18.

Plat. Apol. 40 C. *Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ (τὸ τεθνάναι) εἶναι. δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγό-* 199

μενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴγε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδ' ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον εἰπεῖν, πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείω ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; — — ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας, οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετάζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας. πάντως οὐ δήπου τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτείνουσι· τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστίν.

mortui aut nihil sentiunt

aut ad inferos abeunt

Cf. Plat. Gorg. 522 E sq. De immortalitate animi tam Xenophonti (Cyrop. VIII 7, 17 sq.) quam Platoni (Phaed.) persuasum est; sed Socratica opinio a Platonica distinguenda. Cf. Teichmüller, *Studien* 217. Z. II 1[3], 149.

209 A Xen. Mem. I 6, 10. Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων

summum bonum

ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου.

temperantia

Ibid. IV 5, 11. *Καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ ἔργῳ καὶ λόγῳ διαλέγοντας κατὰ γένη τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι*[a]. 200 B

a. Ut in temperantia (*ἐγκράτεια*) negativa quasi virtutis vis inest, ita affirmativa constat scientia, qua deorum similes evadimus. Cf. Mem. III 9, 10. *Βασιλεῖς τε καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν.* — Solam *εὐπραξίαν* bonum esse voluit, *εὐτυχίαν* bonum esse negabat, Xen. Mem. III 9, 14. Omnia in unum complectitur Arist. Eth. Eud. I 5. 1217ᵇ 2. *Σωκράτης — ᾤετ' εἶναι τέλος τὸ γιγνώσκειν τὴν ἀρετήν.* Neque quemquam possidere bonum nisi qui eo uti sciret docebat: quod cadit etiam in *εὐδαιμονίαν*, Xen. Mem. IV 2, 34 sq., et *σοφίαν*, ib. 33.

εὐπραξία

omnis virtus sapientia

Xen. Mem. III 9, 4. *Σοφίαν δὲ καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τῷ τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς καὶ τῷ τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι σοφόν τε καὶ σώφρονα ἔκρινεν. προσερωτώμενος δὲ εἰ τοὺς ἐπισταμένους μὲν ἃ δεῖ πράττειν ποιοῦντας δὲ τἀναντία σοφούς τε καὶ ἐγκρατεῖς εἶναι νομίζοι, Οὐδέν γε μᾶλλον, ἔφη, ἢ ἀσόφους τε καὶ ἀκρατεῖς· πάντας γὰρ οἶμαι προαιρουμένους ἐκ τῶν ἐνδεχομένων ἃ οἴονται συμφορώτατα αὐτοῖς εἶναι, ταῦτα πράττειν. νομίζω οὖν τοὺς μὴ ὀρθῶς πράττοντας οὔτε σοφοὺς οὔτε σώφρονας εἶναι*[a]. 5. *ἔφη δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν σοφίαν εἶναι· τά τε γὰρ δίκαια καὶ πάντα ὅσα ἀρετῇ πράττεται καλά τε καὶ ἀγαθὰ εἶναι· καὶ οὔτ' ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἀντὶ τούτων οὐδὲν προελέσθαι οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. οὕτω καὶ τὰ καλά τε* 201 A

καὶ ἀγαθὰ τοὺς μὲν σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν[b]. ἐπεὶ οὖν τά τε δίκαια καὶ τὰ ἄλλα καλά τε καὶ ἀγαθὰ πάντα ἀρετῇ πράττεται, δῆλον εἶναι ὅτι καὶ δικαιοσύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ σοφία ἐστί.

201 B Arist. Eth. Nic. VII 3. 1145[b] 21. Ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεταί τις. ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης, ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτὸν ὥσπερ ἀνδράποδον[c]. Σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον ὡς οὐκ οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ τὸ βέλτιστον, ἀλλὰ δι' ἄγνοιαν[d]. intemperantia est inscientia

201 C Arist. Eth. Eud. I 5. 1216[b] 6. ἐπιστήμας γὰρ ᾤετ' εἶναι πάσας τὰς ἀρετὰς (ὁ Σωκράτης), ὥσθ' ἅμα συμβαίνειν εἰδέναι τε τὴν δικαιοσύνην καὶ εἶναι δίκαιον[e]. virtus scientia

a. Propterea bonum et utile natura coniunctum, opinione tantum distractum esse statuebat. Cf. Xen. Mem. IV 6, 8 sq. Cic. de Off. III 11; de Leg. I 33, cf. Brandis *Handb.* II 1, 40 sq.

b. Plat. Lach. 194 D *πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταῦτα ἀγαθὸς ἕκαστος ἡμῶν ἅπερ σοφός, ἃ δὲ ἀμαθὴς ταῦτα κακός.*

c. Cf. Plat. Protag. 352 B sq.

d. Plat. Protag. 345 D *ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι οὐδεὶς τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑκόντα ἐξαμαρτάνειν οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι, ἀλλ' εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες ἄκοντες ποιοῦσι.* Apolog. 25; Hipp. mai. 365 sq.; Xen. Mem. IV 2, 20. Anonym. de Iusto 375 D.

e. Virtutem, si sola boni scientia constat, apparet et unam esse et doceri posse. Cf. Brandis, Mus. Rh. I, 133 sq., *Handb.* 33 sq.

202 Xen. Mem. IV 4, 12. Φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγε, ἔφη. 13. Οὐ γὰρ αἰσθάνομαί σου ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις. Νόμους δὲ πόλεως, ἔφη, γιγνώσκεις; Ἔγωγε, ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη[a]. — 19. Ἀγράφους δέ τινας οἶσθα, iuris natura divina

ἔφη, ὦ Ἱππία, νόμους; Τούς γ' ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν, ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν δυνηθεῖεν οὔτε ὁμόφωνοί εἰσι; Τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι· καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν. — 25. Πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγεῖ τὰ δίκαια νομοθετεῖν ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα μὰ Δί', ἔφη· σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει.

a. Cf. Mem. IV 3, 16. Legum venerationem Socrates suis inculcat etiam apud Platonem Crit. 50 sq., quamquam in civitate Atheniensium multa vituperans, veluti multorum ac sortis dominationem (Xen. Mem. I 2, 9; IV 6, 12), et ad Cretensem et Lacedaemoniorum civitatem propensior (ib. III 5, 14; Plat. Crit. 52 E; Protag. 342 C).

par pari referendum

Xen. Mem. II 6, 35. Ἐὰν δέ μοι ἔτι ἐξουσίαν δῷς λέγειν 203 περὶ σοῦ, ὅτι — — — ἔγνωκας ἀνδρὸς ἀρετὴν εἶναι νικᾶν τοὺς μὲν φίλους εὖ ποιοῦντα τοὺς δ' ἐχθροὺς κακῶς, πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον εἶναί με σύνθηρον τῶν ἀγαθῶν φίλων.

Cf. ib. II 2, 2; 3, 14. Contra ἀδικεῖσθαι praestare τῷ ἀδικεῖν apud Platonem (Gorg. 475 E) contra Polum evincit Socrates, cf. Plat. Crit. p. 49 A οὔτ' ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν.

Cyrenaici.

---

204 Diog. II 65. Ἀρίστιππος[a] τὸ μὲν γένος ἦν Κυρηναῖος, Aristippi vita
ἀφιγμένος δὲ Ἀθήναζε, καθά φησιν Αἰσχίνης, κατὰ κλέος
Σωκράτους. οὗτος σοφιστεύσας, ὥς φησι Φανίας ὁ Περιπα-
τητικὸς ὁ Ἐρέσιος, πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσε-
πράξατο[b] καὶ ἀπέστειλε χρήματα τῷ διδασκάλῳ. καί ποτε
πέμψας αὐτῷ μνᾶς εἴκοσι παλινδρόμους ἀπέλαβεν, εἰπόντος
Σωκράτους τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε
γὰρ ἐπὶ τούτῳ. Ξενοφῶν τ' εἶχε πρὸς αὐτὸν δυσμενῶς· διὸ
καὶ τὸν κατὰ τῆς ἡδονῆς λόγον Σωκράτει κατὰ Ἀριστίππου
περιτέθεικεν[c]. οὐ μὴν ἀλλὰ — ἐκάκισεν αὐτὸν καὶ Πλάτων
ἐν τῷ Περὶ ψυχῆς[d]. 66. Ἦν δὲ ἱκανὸς ἁρμόσασθαι καὶ
τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν
ἁρμοδίως ὑποκρίνασθαι[e]. διὸ καὶ παρὰ Διονυσίῳ τῶν
ἄλλων[f] εὐδοκίμει μᾶλλον, ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος.
68. ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας ἔφη· τὸ
δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν[g]. — 83. φέρεται (αὐτοῦ) libr
βιβλία τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην ἀπεσταλμένα
Διονυσίῳ, ἓν δὲ ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν, οἱ μὲν
Ἀτθίδι οἱ δὲ Δωρίδι διαλέκτῳ γεγραμμένοι. — — 84. ἔνιοι
δὲ καὶ διατριβῶν αὐτόν φασιν ἓξ γεγραφέναι· οἱ δ' οὐδ'
ὅλως γράψαι, ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος[h].

a. Scripserunt de Aristippo: A. Wendt, de philos. Cyrenaica, Gott. 1841. H. de Stein, de phil. Cyr., part. I de vita Aristippi, Gott. 1855. Thrige, res Cyrenensium, Hafn. 1828.

b. Quam ob rem respici videtur Xen. Mem. I 2, 60.

c. Mem. II 1.

d. Plat. Phaed. 59 C. Plurimi Socraticorum eum a magistro descivisse arbitrati sunt. Ab Aristotele Met. III 2. 996[a] 32 (RP 206) sophistis adnumeratur.

e. Horat. Ep. I 17, 23. *Omnis Aristippum decuit color et status et res Tentantem maiora fere praesentibus aequum.*

f. Aut *φιλοσόφων* qui cum Dionysio fuisse dicuntur ut Aeschines et Plato, aut *παρασίτων*, v. Lucian. de Parasito 32 sq.

g. Cf. Appul. Flor. p. 151 Bip., ubi tyranno id responsum dedisse perhibetur.

h. Dialogorum titulos habes apud Diog. II 84, alium librorum catalogum ib. 85. Sosicrati de omnibus Aristippi quae ferebantur scriptis ambiguum fuit, item Aristocli (v. RP 205 c). Certe a nemine quidquam ex Aristippi libris laudatur, nisi quod Theopompus ap. Athen. XI 508 C diatribas eius commemorat ut a Platone expilatas.

schola Diog. II 86. *Ἀριστίππου διήκουσεν ἡ θυγάτηρ Ἀρήτη*[a] 205
καὶ Αἰθίοψ Πτολεμαεὺς καὶ Ἀντίπατρος Κυρηναῖος[b]. *Ἀρήτης δὲ Ἀρίστιππος ὁ μητροδίδακτος ἐπικληθείς*[c], *οὗ Θεόδωρος ὁ ἄθεος, εἶτα θεός*[d]. *Ἀντιπάτρου δ᾽ Ἐπιτιμήδης Κυρηναῖος, οὗ Παραιβάτης, οὗ Ἡγησίας ὁ πεισιθάνατος*[e] *καὶ Ἀννίκερις*[f].

a. Soror Aristippi Arete dicitur ab uno Aeliano Hist. An. III 40.

b. Huius meminit Cic. Tusc. V 112.

c. Aristocles ap. Euseb. Pr. Ev. XIV 18, 31. 763 d. *Σωκράτους δ᾽ ἑταῖρος Ἀρίστιππος ἦν, ὁ τὴν καλουμένην Κυρηναϊκὴν συστησάμενος αἵρεσιν. — — ἦν δ᾽ ὁ Ἀρίστιππος ὑγρὸς πάνυ τὸν βίον καὶ φιλήδονος. ἀλλ᾽ οὐδὲν μὲν οὗτος ἐν τῷ φανερῷ περὶ τέλους διελέξατο, δυνάμει δὲ τῆς εὐδαιμονίας τὴν ὑπόστασιν ἔλεγεν ἐν ἡδοναῖς κεῖσθαι. — — τούτου γέγονεν ἀκουστὴς σὺν ἄλλοις καὶ ἡ θυγάτηρ αὐτοῦ Ἀρήτη, ἥτις γεννήσασα παῖδα ὠνόμασεν Ἀρίστιππον, ὃς ὑπαχθεὶς ὑπ᾽ αὐτῆς εἰς λόγους φιλοσοφίας μητροδίδακτος ἐκλήθη· ὃς καὶ σαφῶς ὡρίσατο τέλος εἶναι τὸ ἡδέως ζῆν.* Unde existimaveris hunc demum Aristippum nepotem certam formulam Cyrenaicis suppeditasse et desieris mirari, quod Aristoteles nunquam meminit Aristippi ut philosophi de moribus nova praecipientis. Sed aliter rem expedit Z. II 1³, 296.

d. Hoc ad ludibrium, v. Diog. II 100. Aliis dicebatur Anniceridis discipulus (ibid. 98). Aetate primis Alexandri successoribus aequalis erat, v. Philo Quod omn. prob. lib. 18, p. 465; Diog. II 102. Librum reliquit *Περὶ θεῶν* inscriptum, quo omnes de diis opiniones de medio tollere conabatur (Diog. 97), cf. Krische *Forsch.* p. 236.

e. Cic. Tusc. I 83. *A malis igitur mors abducit, non a bonis, verum si quaerimus. Et quidem hoc a Cyrenaico Hegesia sic copiose disputatur, ut is a rege Ptolemaeo prohibitus esse dicatur illa in scholis dicere, quod multi iis auditis mortem sibi ipsi consciscerent. — — 84. Eius autem — liber est Ἀποκαρτερῶν, quo*[1] *a vita quidam per inediam discedens revocatur ab amicis, quibus respondens vitae humanae enumerat incommoda.* Cf. Plut. de Amore Prol. 5 p. 197, RP 212.

f. Strabo XVII 21 p. 837 *ἄνδρες ἐγένοντο γνώριμοι Κυρηναῖοι Ἀρίστιππός τε — — καὶ Ἀννίκερις ὁ δοκῶν ἐπανορθῶσαι τὴν Κυρηναϊκὴν αἵρεσιν καὶ παραγαγεῖν ἀντ' αὐτῆς τὴν Ἀννικερείαν.* Suidas v. *Ἀννίκερις* eum sub Alexandro floruisse narrat.

206 Sext. adv. Math. VII 11. *Δοκοῦσι δὲ κατά τινας καὶ οἱ ἀπὸ τῆς Κυρήνης μόνον ἀσπάζεσθαι τὸ ἠθικὸν μέρος, παραπέμπειν δὲ τὸ φυσικὸν καὶ τὸ λογικὸν ὡς μηδὲν πρὸς τὸ εὐδαιμόνως βιοῦν συνεργοῦντα*[a]. *καίτοι περιτρέπεσθαι τούτους ἔνιοι νενομίκασιν ἐξ ὧν τὸ ἠθικὸν διαιροῦσιν εἴς τε τὸν περὶ τῶν αἱρετῶν καὶ φευκτῶν τόπον καὶ εἰς τὸν περὶ τῶν παθῶν καὶ ἔτι εἰς τὸν περὶ τῶν πράξεων καὶ ἤδη τὸν περὶ τῶν αἰτίων καὶ τελευταῖον εἰς τὸν περὶ τῶν πίστεων*[b]· *ἐν τούτοις γὰρ ὁ περὶ τῶν αἰτίων τόπος, φασίν, ἐκ τοῦ φυσικοῦ μέρους ἐτύγχανεν, ὁ δὲ περὶ πίστεων ἐκ τοῦ λογικοῦ*[c]. solam ethicam amplectuntur

a. Eadem ex eodem ut videtur fonte Seneca Ep. 89, 10.

b. Diog. II 92 *τῶν δὲ λογικῶν διὰ τὴν εὐχρηστίαν ἥπτοντο.*

c. Arist. Met. III 2. 996[a] 32. *ὥστε διὰ ταῦτα τῶν σοφιστῶν τινες οἷον Ἀρίστιππος προεπηλάκιζεν αὐτάς (τὰς μαθηματικὰς τέχνας). ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις, καὶ ταῖς βαναύσοις, οἷον ἐν τεκτονικῇ καὶ σκυτικῇ, διότι βέλτιον ἢ χεῖρον λέγεσθαι πάντα, τὰς δὲ μαθηματικὰς οὐθένα ποιεῖσθαι λόγον περὶ ἀγαθῶν καὶ κακῶν.* Cf. Diog. II 92. Plut. Strom. ap. Euseb. Pr. Ev. I 8, 9 (Doxogr. 581). mathematica despecta

207 A Diog. II 87. *Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας διαφέρειν. τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι.* 88. *εἶναί τε* ἡδονή

1) in quo *Bentley:* quod *libri.*

τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετήν, τὴν δ' εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς[a]. *πίστιν δ' εἶναι τοῦ τέλος εἶναι τὴν ἡδονὴν τὸ ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων ᾠκειῶσθαι πρὸς αὐτήν, καὶ τυχόντας αὐτῆς μηθὲν ἐπιζητεῖν μηθέν τε οὕτω φεύγειν ὡς τὴν ἐναντίαν αὐτῇ ἀλγηδόνα.* 87. *μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς μηδὲ ἥδιόν τι εἶναι*[b]*· καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δ' (πόνον) ἀποκρουστικόν.* 90. *λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν ἢ τὴν ἀκοὴν γίγνεσθαι ἡδονάς. τῶν γοῦν μιμουμένων θρήνους ἡδέως ἀκούομεν, τῶν δὲ κατ' ἀλήθειαν ἀηδῶς*[c]. — — *πολὺ μέντοι τῶν ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς· ὅθεν καὶ ταύταις κολάζεσθαι μᾶλλον τοὺς ἁμαρτάνοντας.*

nihil nostrum nisi praesens tempus

Aelian. Var. Hist. XIV 6. *Πάνυ σφόδρα ἐρρωμένως* 207 B
ἐῴκει λέγειν ὁ Ἀρίστιππος παρεγγυῶν μήτε τοῖς παρελθοῦσιν ἐπικάμνειν μήτε τῶν ἐπιόντων προκάμνειν· εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο καὶ ἵλεω διανοίας ἀπόδειξις. προσέταττε δὲ ἐφ' ἡμέρᾳ τὴν γνώμην ἔχειν καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ' ἐκείνῳ τῷ μέρει, καθ' ὃ ἕκαστος ἢ πράττει τι ἢ ἐννοεῖ. μόνον γὰρ ἔφασκεν ἡμέτερον εἶναι τὸ παρόν, μήτε δὲ τὸ φθάνον μήτε τὸ προσδοκώμενον· τὸ μὲν γὰρ ἀπολωλέναι, τὸ δὲ ἄδηλον εἶναι εἴπερ ἔσται[d].

a. Cyrenaicam *εὐδαιμονίαν* ab Aristotelica distinguit Teichmüller, *Einh. d. Aristot. Eudämonie*, Petersb. 1859. Mélanges gréco-romains T. II, p. 112. — Pertinent haec ad primum Cyrenaicae doctrinae caput, *περὶ αἱρετῶν καὶ φευκτῶν*.

b. Haec verba pugnant cum illis quae infra (s. 90) leguntur: *πολὺ — σωματικάς*. Varie nodum expediunt Ritter hist. phil. II 103, Wendt phil. Cyr. 34, Zeller II 1³ 307².

c. Quod Panaetius (Diog. II 87) et Cicero (Ac. II 139; de Fin. II 18. 19) contendunt Cyrenaicos bonum nisi in corporum voluptatibus posuisse nullum, ultra modum vituperantium est; cf. Plutarch. Qu. conv. VI 2, 7 p. 674 *τοῦτο — τεκμήριον μέγα τοῖς Κυρηναϊκοῖς — τοῦ μὴ περὶ τὴν ὄψιν εἶναι μηδὲ περὶ τὴν ἀκοήν, ἀλλὰ περὶ τὴν διάνοιαν ἡμῶν τὸ ἡδόμενον ἐπὶ τοῖς ἀκούσμασι καὶ θεάμασιν.*

d. Inde Cyrenaicorum voluptas *μονόχρονος* dicta, cf. Athen. XII 544ª; Diog. II 66.

208 A Diog. II 86. *Δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν· τὴν μὲν λείαν κίνησιν τὴν ἡδονήν, τὸν δὲ πόνον τραχεῖαν κίνησιν*[a]. πάθη

208 B Aristocles ap. Euseb. Pr. Ev. XIV 18, 31. *Τρεῖς γὰρ ἔφη (ὁ Ἀρίστιππος) καταστάσεις εἶναι περὶ τὴν ἡμετέραν σύγκρασιν· μίαν μέν, καθ' ἣν ἀλγοῦμεν, ἐοικυῖαν τῷ κατὰ θάλασσαν χειμῶνι, ἑτέραν δέ, καθ' ἣν ἡδόμεθα, τῷ λείῳ κύματι ἀφομοιούμενοι· εἶναι γὰρ λείαν κίνησιν τὴν ἡδονήν, οὐρίῳ παραβαλλομένην ἀνέμῳ· τὴν δὲ τρίτην μέσην εἶναι κατάστασιν, καθ' ἣν οὔτε ἀλγοῦμεν οὔτε ἡδόμεθα, γαληνῇ παραπλησίαν οὖσαν*[b]. condicio animi triplex

a. Diog. II 89. *Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις, ὡς εἴρηται παρ' Ἐπικούρῳ, δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή, οὐδὲ ἡ ἀηδονία ἀλγηδών· ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως, ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις.* doloris vacatio non est voluptas

b. Haec animi condicio non dicitur *πάθος*, propterea quod non sentitur. Accuratius igitur Diog. II 85 de Aristippo: *τέλος δ' ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.*

209 A Diog. II 88. *Εἶναι δὲ τὴν ἡδονὴν ἀγαθὸν κἂν ἀπὸ τῶν ἀσχημοτάτων γένηται. — — εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὑτὴν αἱρετὴ καὶ ἀγαθόν.* 93. *μηδέν τε εἶναι φύσει δίκαιον ἢ καλὸν ἢ αἰσχρόν, ἀλλὰ νόμῳ καὶ ἔθει. ὁ μέντοι σπουδαῖος οὐδὲν ἄτοπον πράξει διὰ τὰς ἐπικειμένας ζημίας καὶ δόξας*[a]*· εἶναι δὲ τὸν σοφόν.* 89. *δύνασθαι δέ φασι καὶ τὴν ἡδονήν τινας μὴ αἱρεῖσθαι κατὰ διαστροφήν*[b]. 91. *ἀρέσκει δ' αὐτοῖς μήτε τὸν σοφὸν πάντα ἡδέως ζῆν μήτε πάντα φαῦλον ἐπιπόνως, ἀλλὰ κατὰ τὸ πλεῖστον. ἀρκεῖ δὲ κἂν κατὰ μίαν τις προσπίπτουσαν ἡδέως ἐπανάγῃ*[1]. *τὴν φρόνησιν ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' ἑαυτὴν δὲ αἱρετήν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγιγνόμενα. τὸν φίλον τῆς χρείας ἕνεκα· καὶ γὰρ μέρος σώματος μέχρις ἂν παρῇ ἀσπάζεσθαι. τῶν ἀρετῶν ἐνίας καὶ περὶ τοὺς ἄφρονας συνίστασθαι. τὴν σωματικὴν ἄσκησιν συμβάλλεσθαι πρὸς ἀρετῆς* sapientis vita

---

1) Emperius malebat *ἐπαναλάβῃ*: „id est tollere et in usum suum conferre".

ἀνάληψιν. τὸν σοφὸν μήτε φθονήσειν μήτε ἐρασθήσεσθαι ἢ δεισιδαιμονήσειν· γίγνεσθαι γὰρ ταῦτα παρὰ κενὴν δόξαν. λυπήσεσθαι μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίγνεσθαι[b]. 92. καὶ τὸν πλοῦτον δὲ ποιητικὸν ἡδονῆς εἶναι, οὐ δι' αὐτὸν αἱρετὸν ὄντα[c]. 72. τὰ ἄριστα ὑπετίθετο (ὁ Ἀρίστιππος) τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν αὐτὴν ὑπεροπτικὴν τοῦ πλέονος εἶναι.

voluptatis dominus

Stob. Flor. 17, 18. Ἀριστίππου· Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ προεκφερόμενος δέ, ὥσπερ καὶ νεὼς καὶ ἵππου οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται[d]. 209 B

a. Diog. II 68. Ἐρωτηθείς ποτε (ὁ Ἀρίστιππος), τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη· ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιωσόμεθα. De patriae amore v. ib. 89.

b. I. e. propter perversitatem animi. Sapiens invidia, amore, superstitione laborat nunquam, penderet enim in hisce a sola opinione inani: sed metuit et dolet, quippe in quibus pendeat a natura. — Haec de sapiente doctrina videtur ad caput περὶ τῶν πράξεων pertinere.

c. Etiam mores et virtutes non per se aestimantur, sed ita demum, si voluptates inde efficiantur.

d. Virtutis igitur compos ὁ ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος, qualis erat ipse Aristippus (RP 204), qui voluptati esse non inserviendum discipulis praecipiebat temperantiamque apprime commendabat, v. Diog. II 69. 75; Plut. de Cupid. Divit. 3; Horat. Ep. I 1, 18.

sensuum fides

Sext. Math. VII 191. Φασὶν οὖν οἱ Κυρηναϊκοὶ κριτήρια εἶναι τὰ πάθη καὶ μόνα καταλαμβάνεσθαι καὶ ἀδιάψευστα τυγχάνειν, τῶν δὲ πεποιηκότων τὰ πάθη μηδὲν εἶναι καταληπτὸν μηδὲ ἀδιάψευστον[a]. ὅτι μὲν γὰρ λευκαινόμεθα, φασί, καὶ γλυκαζόμεθα, δυνατὸν λέγειν ἀδιαψεύστως καὶ ἀνεξελέγκτως· ὅτι δὲ τὸ ἐμποιητικὸν τοῦ πάθους λευκόν ἐστιν ἢ γλυκύ ἐστιν, οὐχ οἷόν τ' ἀποφαίνεσθαι. 192. εἰκὸς γάρ ἐστι καὶ ὑπὸ μὴ λευκοῦ τινα λευκαντικῶς διατεθῆναι καὶ ὑπὸ μὴ γλυκέος γλυκανθῆναι. καθὰ γὰρ ὁ μὲν σκοτωθεὶς καὶ ἰκτεριῶν ὠχραντικῶς ὑπὸ πάντων κινεῖται, ὁ δὲ ὀφθαλμιῶν ἐρυθαίνεται, ὁ δὲ παραπιέσας τὸν ὀφθαλμὸν ὡς ὑπὸ δυοῖν κινεῖται, ὁ δὲ μεμηνὼς δισσὰς ὁρᾷ τὰς Θήβας (Eurip. Bacch. 946) καὶ δισσὸν φαντάζεται τὸν ἥλιον, 193. ἐπὶ 210

πάντων δὲ τούτων τὸ μὲν ὅτι τόδε τι πάσχουσιν, οἷον ὠχραίνονται ἢ ἐρυθραίνονται ἢ δυάζονται, ἀληθές, τὸ δὲ ὅτι ὠχρόν ἐστι τὸ κινοῦν αὐτοὺς ἢ ἐνερευθὲς ἢ διπλοῦν ψεῦδος εἶναι νενόμισται, οὕτω καὶ ἡμᾶς εὐλογώτατόν ἐστι πλέον τῶν οἰκείων παθῶν μηδὲν λαμβάνειν δύνασθαι. ὅθεν ἤτοι τὰ πάθη φαινόμενα θετέον ἢ τὰ ποιητικὰ τῶν παθῶν[b]. 195. *ἔνθεν οὐδὲ κριτήριόν φασιν εἶναι κοινὸν ἀνθρώπων. ὀνόματα δὲ κοινὰ τίθεσθαι τοῖς κρίμασιν.* 196. *λευκὸν μὲν γάρ τι καὶ γλυκὺ καλοῦσι κοινῶς πάντες, κοινὸν δέ τι λευκὸν ἢ γλυκὺ οὐκ ἔχουσιν· ἕκαστος γὰρ τοῦ ἰδίου πάθους ἀντιλαμβάνεται.*

a. Sext. Math. VI 53 *οἵ τε γὰρ ἀπὸ τῆς Κυρήνης φιλόσοφοι μόνα φασὶν ὑπάρχειν τὰ πάθη, ἄλλο δὲ οὐδέν· ὅθεν καὶ τὴν φωνὴν μὴ οὖσαν πάθος ἀλλὰ πάθους ποιητικὴν μὴ γίγνεσθαι τῶν ὑπαρκτῶν·* Extrema non tam ipsorum Cyrenaicorum sunt, quam Sexti haec ex praemissis concludentis. Cf. Diog. II 92; Plut. adv. Col. 24; Cic. Ac. II 20.

b. Continetur his doctrina *περὶ αἰτίων*, quae esse quidem posse causas rerum concedit, cognosci posse negat, physicam igitur omnem de medio tollit. Cf. Protagorae doctrina, **RP** 179.

211 Diog. II 98. *Τέλος δ' ὑπελάμβανε (ὁ Θεόδωρος) χαρὰν*[a] *καὶ λύπην, τὴν μὲν ἐπὶ φρονήσει τὴν δ' ἐπὶ ἀφροσύνῃ· ἀγαθὰ δὲ φρόνησιν καὶ δικαιοσύνην, κακὰ δὲ τὰς ἐναντίας ἕξεις, μέσα δὲ ἡδονὴν καὶ πόνον. ἀνῄρει δὲ καὶ φιλίαν διὰ τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι μήτ' ἐν σοφοῖς· τοῖς μὲν γὰρ τῆς χρείας ἀναιρεθείσης καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι, τοὺς δὲ σοφοὺς αὐτάρκεις ὑπάρχοντας μὴ δεῖσθαι φίλων. ἔλεγε δὲ καὶ εὔλογον εἶναι τὸν σπουδαῖον ὑπὲρ τῆς πατρίδος μὴ ἐξαγαγεῖν αὑτόν· οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας.* 99. *εἶναί τε πατρίδα τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ· μηδὲν γὰρ εἶναι τούτων φύσει αἰσχρὸν τῆς ἐπ' αὐτοῖς δόξης αἱρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. φανερῶς δὲ τοῖς ἐρωμένοις ἄνευ πάσης ὑφοράσεως χρήσεσθαι τὸν σοφόν.* Theodori doctrina

a. *Χαρὰν* et *ἡδονὴν* censuisse videtur ita differre, ut hanc extrinsecus effici, illam in interiore animi affectu positam esse diceret.

212 Diog. II 93. *Οἱ δὲ Ἡγησιακοὶ λεγόμενοι σκοποὺς μὲν εἶχον τοὺς αὐτούς, ἡδονὴν καὶ πόνον.* — — 94. *τὴν εὐδαι-* Hegesiae doctrina

μονίαν ὅλως ἀδύνατον εἶναι· τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ταράττεσθαι, τὴν δὲ τύχην πολλὰ τῶν κατ' ἐλπίδα κωλύειν, ὥστε διὰ ταῦτα ἀνύπαρκτον τὴν εὐδαιμονίαν εἶναι. τήν τε ζωὴν καὶ τὸν θάνατον αἱρετόν. φύσει τε οὐδὲν ἡδὺ ἢ ἀηδὲς ὑπελάμβανον, διὰ δὲ σπάνιν ἢ ξενισμὸν ἢ κόρον τοὺς μὲν ἥδεσθαι τοὺς δ' ἀηδῶς ἔχειν. πενίαν καὶ πλοῦτον πρὸς ἡδονῆς λόγον εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. δουλείαν ἐπίσης ἐλευθερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ εὐγένειαν δυσγενείᾳ καὶ δόξαν ἀδοξίᾳ. 95. *καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς εἶναι, τῷ δὲ φρονίμῳ ἀδιάφορον*[a]. *τόν τε σοφὸν ἑαυτοῦ ἕνεκα πάντα πράξειν· οὐδένα γὰρ ἡγεῖσθαι τῶν ἄλλων ἐπίσης ἄξιον αὐτῷ. κἂν γὰρ τὰ μέγιστα δοκῇ παρ' ἄλλου καρποῦσθαι, μὴ εἶναι ἀντάξια ὧν αὐτὸς παράσχῃ. — — ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν· οὐ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλλά τινι πάθει κατηναγκασμένον*[1]. *καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. τόν τε σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἐν τῇ τῶν κακῶν φυγῇ, τέλος τιθέμενον τὸ μὴ ἐπιπόνως ζῆν μηδὲ λυπηρῶς·* 96. *ὃ δὴ περιγίγνεσθαι τοῖς ἀδιαφορήσασι περὶ τὰ ποιητικὰ τῆς ἡδονῆς.*

a. De vitae contemtu cf. RP 205 e.

Anniceridis doctrina Clem. Strom. II 498 P. *Οἱ δὲ Ἀννικέρειοι καλούμενοι* 213 A *ἐκ τῆς Κυρηναϊκῆς διαδοχῆς τοῦ μὲν ὅλου βίου τέλος οὐδὲν ὡρισμένον ἔταξαν· ἑκάστης δὲ πράξεως ἴδιον ὑπάρχειν τέλος, τὴν ἐκ τῆς πράξεως περιγιγνομένην ἡδονήν. οὗτοι οἱ Κυρηναϊκοὶ τὸν ὅρον τῆς ἡδονῆς Ἐπικούρου, τοῦτ' ἔστι τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν ἀθετοῦσιν νεκροῦ κατάστασιν ἀποκαλοῦντες· χαίρειν γὰρ ἡμᾶς μὴ μόνον ἐπὶ ἡδοναῖς, ἀλλὰ καὶ ἐπὶ ὁμιλίαις καὶ ἐπὶ φιλοτιμίαις.*

amicitia Diog. II 96. *Ἀπέλιπον δὲ (οἱ Ἀννικέρειοι) καὶ φιλίαν ἐν* 213 B *βίῳ καὶ χάριν καὶ πρὸς γονέας τιμὴν καὶ ὑπὲρ πατρίδος τι πράξειν· ὅθεν διὰ ταῦτα, κἂν ὀχλήσεις ἀναδέξηται ὁ σοφός,*

---

1) Alii codd. *πιεζόμενον*.

οὐδὲν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡδέα περιγένηται αὐτῷ. τήν τε τοῦ φίλου εὐδαιμονίαν δι᾽ αὐτὴν μὴ εἶναι αἱρετήν· μηδὲ γὰρ αἰσθητὴν τῷ πέλας ὑπάρχειν. μὴ εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι καὶ τῆς τῶν πολλῶν δόξης ὑπεράνω γενέσθαι. δεῖν δ᾽ ἀνεθίζεσθαι διὰ τὴν ἐκ πολλοῦ συντραφεῖσαν ἡμῖν φαύλην διάθεσιν. 97. *τόν τε φίλον μὴ διὰ τὰς χρείας μόνον ἀποδέχεσθαι, ὧν ὑπολειπουσῶν μὴ ἐπιστρέφεσθαι, ἀλλὰ καὶ παρὰ τὴν γεγονυῖαν εὔνοιαν, ἧς ἕνεκα καὶ πόνους ὑπομενεῖν. καίτοι τιθέμενον ἡδονὴν τέλος καὶ ἀχθόμενον ἐπὶ τῷ στέρεσθαι αὐτῆς ὅμως ἑκουσίως ὑπομένειν διὰ τὴν πρὸς τὸν φίλον στοργήν.*

Cynici.

Antisthenes Diog. VI 1. Ἀντισθένης Ἀντισθένους Ἀθηναῖος. ἐλέ- 214
γετο δ' οὐκ εἶναι ἰθαγενής· — ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός. — — οὗτος κατ' ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος· ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει. — 2. ὕστερον δὲ παρέβαλε Σωκράτει[a], καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς· οἰκῶν τ' ἐν Πειραιεῖ καθ' ἑκάστην ἡμέραν τοὺς τετταράκοντα σταδίους ἀνιὼν ἤκουε Σωκράτους, παρ' οὗ καὶ τὸ καρτερικὸν λαβὼν καὶ τὸ ἀπαθὲς ζηλώσας κατῆρξε πρῶτος τοῦ κυνισμοῦ. 8. στρέψαντος αὐτοῦ τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τὸ προφανὲς Σωκράτης ἰδὼν φησιν· Ὁρῶ σου διὰ τοῦ τρίβωνος τὴν φιλοδοξίαν. 13. διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἄποθεν τῶν πυλῶν[b]· ὅθεν τινὲς καὶ τὴν κυνικὴν φασιν ἐντεῦθεν ὀνομασθῆναι[c]. αὐτὸς τ' ἐπεκαλεῖτο Ἁπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, — καὶ μόνῳ αὐτῷ ἐχρῆτο, βάκτρον τ' ἀνέλαβε καὶ πήραν. 15. φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα[d]. 18. ὁ Τίμων δὲ διὰ τὸ πλῆθος (τῶν αὐτοῦ συγγραμμάτων) ἐπιτιμῶν αὐτῷ παντοφυῆ φλέδονά φησιν αὐτόν[e].

a. Quam ob rem a Platone Soph. 251 B γέρων ὀψιμαθής appellari videtur (RP 221 b). De vitae tempore non satis constat, cf. Z. II 1 [3], 241 [2].

b. Hoc gymnasio, quod erat Herculi sacrum, utebantur οἱ νόθοι, v. Plut. Themist. 1, 2.

c. Aliis Cynici dicti videbantur propter mores quasi caninos (David in Arist., Schol. 23[a] 42 Br.), aliis propter dicacitatem (Philop. ib. p. 35[a] 5).

d. Alia ad mores, alia ad artem oratoriam, alia ad Homeri interpretationem pertinebant. Prae ceteris laudatur Hercules dialogus, qui deus Cynicae sectae quasi patronus esse putabatur, RP 217. 218; Lobeck Aglaoph. p. 159 h. Grammatici Antisthenem inter optimos Attici sermonis auctores numerabant, v. Phrynich. ap. Phot. Bibl. cod. 158, p. 101 b Bk. Exstant duae eius declamationes (Aiax, Ulixes), quae dubium est num sint genuinae.

e. Librorum reliquias collegit A. W. Winckelmann, Turici 1842. De vita et scriptis disputaverunt: Ad. Müller, de A. Cynici vita et scriptis, Dresd. 1860. K. Urban, *ü. d. Erwähnungen d. Phil. des A. i. d. plat. Schrift.*, Kgsbg. 1882. F. Dümmler, Antisthenica, Hal. 1882.

215 Diog. VI 20. *Διογένης Ἱκεσίου τραπεζίτου Σινωπεύς.* — 21. *γενόμενος δὲ Ἀθήνησιν Ἀντισθένει παρέβαλε. — τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον.* — 71. *τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν ὅπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων*[a]. — 79. *Δημήτριος δ' ἐν τοῖς Ὁμωνύμοις φησὶ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι.* — 80. *Σωσικράτης δὲ — καὶ Σάτυρος — οὐδὲν εἶναι Διογένους (σύγγραμμα) φασί*[b]. — 85. *Κράτης Ἀσκώνδου Θηβαῖος. καὶ οὗτος τῶν ἐλλογίμων τοῦ Κυνὸς μαθητῶν*[c]. Diogenes Crates

a. Cf. RP 219. Eodem facit quod narrat de Diogene Cynico Diog. VI 69: *ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις ἔφη· παρρησία.* Lucian. Dial. mort. XI 3 ab Antisthene Diogenes, a Diogene Crates hereditariam dicitur accepisse *σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν, ἐλευθερίαν.* De Diogenis dicacitate v. Dio Chrys. VIII 275 R.

b. Librorum index ap. Diog. VI 80. Eorum quos Sotion genuinos censebat tabula ibid. Sententiae multae modo Antistheni modo Diogeni tribuuntur. — Scripserunt de Diogene: Steinhart in Ersch. et Grub. Encycl. vol. XXX s. v. Goettling, *Diogenes d. Cyniker o. d. Philos. d. griech. Proletariats, ges. Abh.* I 251 ss. Dümmler, Antisthenic. p. 64—74.

c. Nobilis inter Cynicos erat Hipparchia, Cratetis uxor philosopha, cf. Diog. VI 96. — De Cratete scripsit Postumus, Groning. 1823.

216 Diog. VI 103. *Ἀρέσκει οὖν αὐτοῖς (τοῖς Κυνικοῖς) τὸν λογικὸν καὶ τὸν φυσικὸν τόπον περιαιρεῖν — —, μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ. καὶ ὅπερ τινὲς ἐπὶ Σωκράτους, τοῦτο Διοκλῆς ἐπὶ Διογένους ἀναγράφει, τοῦτον φάσκων λέγειν· Δεῖ ζητεῖν* litterae inutiles

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

παραιτοῦνται δὲ καὶ τὰ ἐγκύκλια μαθήματα· γράμματα γοῦν μὴ μανθάνειν ἔφασκεν ὁ Ἀντισθένης τοὺς σώφρονας γενομένους, ἵνα μὴ διαστρέφοιντο τοῖς ἀλλοτρίοις[a].

a. Haec et quae similia leguntur ap. Diog. VI 11 (**RP** 218 A) videntur in maius aucta esse, ad priores Cynicos a posterioribus translato quod hi demum prae se ferebant litterarum fastidio. Antisthenes etsi a Cicerone ad Att. XII 38, 4 dicitur ***homo acutus magis quam eruditus***, tamen multam litteris operam navavit, cf. **RP** 214 d. 220. 221.

summum bonum — Diog. VI 104. *Ἀρέσκει δ' αὐτοῖς (τοῖς Κυνικοῖς) καὶ τέλος εἶναι τὸ κατ' ἀρετὴν ζῆν, ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ.* — 2. *Καὶ ὅτι ὁ πόνος ἀγαθὸν συνέστησε (ὁ Ἀντισθένης) διὰ τοῦ μεγάλου Ἡρακλέους καὶ τοῦ Κύρου, τὸ μὲν ἀπὸ τῶν Ἑλλήνων τὸ δὲ ἀπὸ τῶν βαρβάρων ἑλκύσας.* — 3. *Ἔλεγέ τε συνεχές· Μανείην μᾶλλον ἢ ἡσθείην*[a]. 217 A

labor bonum

et vera voluptas — Stob. Flor. 29, 65. *Ἀντισθένους. Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.* 217 B

contemptio voluptatis — Diog. VI 71. *Δέον οὖν (ἔλεγεν ὁ Διογένης) ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους ζῆν εὐδαιμόνως, παρὰ τὴν ἄνοιαν κακοδαιμονοῦσι. καὶ γὰρ αὐτὴ τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυτάτη προμελετηθεῖσα, καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν, οὕτως οἱ τοὐναντίον ἀσκηθέντες ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι*[b]. 217 C

a. Similia placita respicit Plato Phileb. 44 C, ubi meminit *λίαν μεμισηκότων τὴν τῆς ἡδονῆς δύναμιν καὶ νενομικότων οὐδὲν ὑγιές.* Item Arist. Eth. Nic. X 1. 1172ᵃ 27 *οἱ μὲν γὰρ τἀγαθὸν ἡδονὴν λέγουσιν, οἱ δ' ἐξ ἐναντίας κομιδῇ φαῦλον, οἱ μὲν ἴσως πεπεισμένοι οὕτω καὶ ἔχειν, οἱ δὲ οἰόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων, καὶ εἰ μή ἐστιν· ῥέπειν γὰρ τοὺς πολλοὺς πρὸς αὐτὴν καὶ δουλεύειν ταῖς ἡδοναῖς, διὸ δεῖν εἰς τοὐναντίον ἄγειν· ἐλθεῖν γὰρ ἂν οὕτως ἐπὶ τὸ μέσον.*

verae divitiae — **b.** Xenoph. Conv. 4, 34. Antisthenes: *νομίζω, ὦ ἄνδρες, τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν ἀλλ' ἐν ταῖς ψυχαῖς.* — 41. *καὶ πολὺ πλεῖον διαφέρει πρὸς ἡδονήν, ὅταν ἀναμείνας τὸ δεηθῆναι προσφέρωμαι ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι.* — 42. *ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας· οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. ἄξιον δ' ἐννοῆσαι ὡς καὶ ἐλευθερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται.*

218 A Diog. VI 105. Ἀρέσκει δὲ αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι, καθά φησιν Ἀντισθένης ἐν τῷ Ἡρακλεῖ, καὶ ἀναπόβλητον ὑπάρχειν· ἀξιέραστόν τε τὸν σοφὸν καὶ ἀναμάρτητον καὶ φίλον τῷ ὁμοίῳ. — 11. τήν τε ἀρετὴν τῶν ἔργων εἶναι μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων. — 13. τεῖχος ἀσφαλέστατον φρόνησιν[a]· μήτε γὰρ καταρρεῖν μήτε προδίδοσθαι. τείχη κατασκευαστέον ἐν τοῖς αὑτῶν ἀναλώτοις λογισμοῖς[b]. virtus doceri potest / prudentia

218 B Diog. VI 70. Διττὴν δὲ ἔλεγεν (ὁ Διογένης) εἶναι τὴν ἄσκησιν, τὴν μὲν ψυχικήν, τὴν δὲ σωματικήν. — εἶναι δ' ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας. — — 71. οὐδέν γε μὴν ἔλεγε τὸ παράπαν ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι. — 7. ἐρωτηθεὶς (ὁ Ἀντισθένης) τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη· Τὸ κακὰ ἀπομαθεῖν[1]. — — 8. ἐρωτηθεὶς ὑπό του — — τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη· Εἰ τὰ κακὰ ἃ ἔχεις ὅτι φευκτά ἐστι μάθοις παρὰ τῶν εἰδότων. exercitatio

a. Plut. Stoic. Repugn. 14, 4. 1039 τοῦ Ἀντισθένους — τὸ Δεῖν κτᾶσθαι νοῦν ἢ βρόχον.

b. Quod virtutem φρόνησιν esse et doceri posse obtinebant, consenserunt cum Socrate (RP 196); quamquam in incerto relinquebatur quanam in re φρόνησις ponenda esset. Id notat Plato Rep. VI 505 B. Ἀλλὰ μὴν καὶ τόδε γε οἶσθα, ὅτι τοῖς μὲν πολλοῖς ἡδονὴ δοκεῖ εἶναι τὸ ἀγαθόν, τοῖς δὲ κομψοτέροις φρόνησις, — — καὶ ὅτι γε — οἱ τοῦτο ἡγούμενοι οὐκ ἔχουσι δεῖξαι ἥτις φρόνησις, ἀλλ' ἀναγκάζονται τελευτῶντες τὴν τοῦ ἀγαθοῦ φάναι.

219 Diog. VI 11. Αὐτάρκη γὰρ τὴν ἀρετὴν εἶναι πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην ὅτι μὴ Σωκρατικῆς ἰσχύος —, τήν τ' ἀδοξίαν ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ[a]. — 105. Ἀρέσκει δ' αὐτοῖς καὶ λιτῶς βιοῦν, αὐτάρκεσι χρωμένοις σιτίοις καὶ τρίβωσι μόνοις, πλούτου καὶ δόξης καὶ εὐγενείας καταφρονοῦσιν. ἔνιοί τε γοῦν καὶ βοτάναις καὶ παντάπασιν ὕδατι χρῶνται ψυχρῷ σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις, καθάπερ Διογένης, ὃς ἔφασκε θεῶν μὲν ἴδιον εἶναι μηδενὸς sapientis libertas

1) Τὸ — ἀπομαθεῖν nonnulli codic. Diog. et similiter Floril. Laur. (Stob. Flor. IV 193 Mein.): τὸ περιαιρεῖν, ἔφη, τὸ ἀπομανθάνειν (= hoc agere ne dediscas quae didiceris) ex aliis cod. Menagius, Cobet.

δεῖσθαι, τῶν δὲ θεοῖς ὁμοίων τὸ ὀλίγων χρῄζειν[b]. — — τὰ ἀδιάφορα δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγουσιν. — 11. τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύσεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. γαμήσειν τε τεκνοποιίας χάριν ταῖς εὐφυεστάταις [1] συνιόντα γυναιξί. καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέναι τὸν σοφὸν τίνων χρὴ ἐρᾶν. 12. — — τῷ σοφῷ ξένον οὐδὲν οὐδ' ἄπορον. — 72. μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ[c] (ἔλεγεν ὁ Διογένης). ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας γάμον μηδένα νομίζων[d], ἀλλὰ τὸν πείσαντα τῇ πεισθείσῃ συνεῖναι· κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας. 73. μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν ἢ τῶν ζῴων τινὸς γεύσασθαι· μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν.

a. Marc. Antonin. VII 36. Ἀντισθενικόν· βασιλικὸν μὲν εὖ πράττειν κακῶς δ' ἀκούειν. Cf. Epict. Diss. IV 5; Diog. VI 3.

b. Cf. Socrates RP 200 A.

c. Diog. VI 63 ἐρωτηθεὶς πόθεν εἴη· Κοσμοπολίτης, ἔφη, cf. ib. 93. Ad Socratem simile dictum refert Cic. Tusc. V 108. — Stob. Floril. 45, 28 Ἀντισθένης ἐρωτηθεὶς πῶς ἂν τις προσέλθοι πολιτείᾳ εἶπε· Καθάπερ πυρὶ μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς.

d. Similia Antistheni placuisse videntur, v. Xenoph. Conv. 4, 38. Diog. VI 3. 4.

dii Philodem. de Pietate c. 7[a]. Dox. 538. Παρ' Ἀντισθένει δ' ἐν μὲν τῷ Φυσικῷ λέγεται τὸ κατὰ νόμον εἶναι πολλοὺς θεούς, κατὰ δὲ φύσιν ἕνα[a]. 220 A

deus nemini similis Clem. Protrept. 61 P. Ἀντισθένης — θεὸν οὐδενὶ ἐοικέναι φησίν· διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται[b]. 220 B

a. Cic. Deor. Nat. I 32. Antisthenes in eo libro, qui Physicus inscribitur, populares deos multos, naturalem unum esse dicens tollit vim et naturam deorum. Cf. Krische *Forsch.* p. 234 sq.

b. Cf. Clem. Strom. V 714 P. — De sapientium cum dis propinquitate v. Stob. Floril. Append. p. 199 Mein. Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος τί διδάξει τὸν υἱὸν εἶπεν· Εἰ μὲν θεοῖς μέλλει συμβιοῦν φιλόσοφον, εἰ δ' ἀνθρώποις ῥήτορα. Diog. VI 72 (τοιούτους λόγους ἠρώτα ὁ Διο-

1) ἀφυεστάταις nescio an recte *Hermann, Winckelmann.*

γένης·) πάντα τῶν θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν. Cf. ib. VI 37.

221 A Epictet. Diss. I 17. Ἀντισθένης — λέγει — ὅτι ἀρχὴ παιδεύσεως ἡ τῶν ὀνομάτων ἐπίσκεψις[a]. nomina

221 B Arist. Met. V 29. 1024[b] 32. Διὸ Ἀντισθένης ᾤετο εὐήθως μηθὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέβαινε μὴ εἶναι ἀντιλέγειν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι[b]. — VIII 3. 1043[b] 23 ὥστε ἡ ἀπορία, ἣν οἱ Ἀντισθένειοι καὶ οἱ οὕτως ἀπαίδευτοι ἠπόρουν, ἔχει τινὰ καιρόν, ὅτι οὐκ ἔστι τὸ τί ἔστιν ὁρίσασθαι (τὸν γὰρ ὅρον λόγον εἶναι μακρόν[c]), ἀλλὰ ποῖον μὲν τί ἐστιν ἐνδέχεται καὶ διδάξαι, ὥσπερ ἀργύριον τί μέν ἐστιν οὔ, ὅτι δ' οἷον καττίτερος. ὥστ' οὐσίας ἔστι μὲν ἧς ἐνδέχεται εἶναι ὅρον καὶ λόγον, οἷον τῆς συνθέτου, ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ· ἐξ ὧν δ' αὕτη πρώτων οὐκ ἔστιν, εἴπερ τι κατά τινος σημαίνει ὁ λόγος ὁ ὁριστικός, καὶ δεῖ τὸ μὲν ὥσπερ ὕλην εἶναι, τὸ δὲ ὡς μορφήν[d]. enuntiatio simplex; definitio

221 C Simpl. in Arist. Cat., Schol. 66[b] 45 Br. Τῶν δὲ παλαιῶν οἱ μὲν ἀνῄρουν τὰς ποιότητας τελέως τὸ ποιὸν συγχωροῦντες εἶναι, ὥσπερ Ἀντισθένης, ὅς ποτε Πλάτωνι διαμφισβητῶν· Ὦ Πλάτων, ἔφη, ἵππον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ[e]. ideae non sunt

a. Diog. VI 3. Πρῶτός τε ὡρίσατο λόγον εἰπών· λόγος ἐστὶν ὁ τὸ τί ἦν ἢ ἔστι δηλῶν.

b. Cf. Ar. Top. I 11. 104[b] 20. — Plato Soph. 251 A. Λέγομεν ἄνθρωπον δή που πόλλ' ἄττα ἐπονομάζοντες, τά τε χρώματα ἐπιφέροντες αὐτῷ καὶ τὰ σχήματα καὶ μεγέθη καὶ κακίας καὶ ἀρετάς, ἐν οἷς πᾶσι καὶ ἑτέροις μυρίοις οὐ μόνον ἄνθρωπον αὐτὸν εἶναί φαμεν, ἀλλὰ καὶ ἀγαθὸν καὶ ἕτερα ἄπειρα, καὶ τἆλλα δὴ κατὰ τὸν αὐτὸν λόγον οὕτως ἓν ἕκαστον ὑποθέμενοι πάλιν αὐτὸ πολλὰ καὶ πολλοῖς ὀνόμασι λέγομεν. — Ὅθεν γε, οἶμαι, τοῖς τε νέοις καὶ τῶν γερόντων τοῖς ὀψιμαθέσι (i. e. Antistheni) θοίνην παρεσκευάκαμεν· εὐθὺς γὰρ ἀντιλαβέσθαι παντὶ πρόχειρον ὡς ἀδύνατον τά τε πολλὰ ἓν καὶ τὸ ἓν πολλὰ εἶναι, καὶ δή που χαίρουσιν οὐκ ἐῶντες ἀγαθὸν λέγειν ἄνθρωπον, ἀλλὰ τὸ μὲν ἀγαθὸν ἀγαθόν, τὸν δὲ ἄνθρωπον ἄνθρωπον.

c. H. e. definitio nihil est nisi longior verborum ambitus, cf. Arist. Met. XIV 3. 1091[a] 7. Schol. Arist. p. 827[b] 18.

d. Cf. Plato Theaet. 201 E. Ἐγὼ γὰρ αὖ ἐδόκουν ἀκούειν τινῶν, ὅτι τὰ μὲν πρῶτα οἱονπερεὶ στοιχεῖα, ἐξ ὧν ἡμεῖς τε συγκείμεθα καὶ

τἆλλα, λόγον οὐκ ἔχοι. αὐτὸ γὰρ καθ' αὑτὸ ἕκαστον ὀνομάσαι μόνον εἴη, προσειπεῖν δὲ οὐδὲν ἄλλο δυνατόν, οὔθ' ὡς ἔστιν οὔθ' ὡς οὐκ ἔστιν. — — δεῖν δέ, εἴπερ ἦν δυνατὸν αὐτὸ λέγεσθαι καὶ εἶχεν οἰκεῖον αὑτοῦ λόγον, ἄνευ τῶν ἄλλων ἁπάντων λέγεσθαι. νῦν δὲ ἀδύνατον εἶναι ὁτιοῦν τῶν πρώτων ῥηθῆναι λόγῳ, οὐ γὰρ εἶναι αὐτῷ ἀλλ' ἢ ὀνομάζεσθαι μόνον· ὄνομα γὰρ μόνον ἔχειν. Cf. Z. II 1³ 253¹. Prantl, *Gesch. d. Log.* I 30 sq.

e. Diog. VI 53 eadem verba tribuuntur Diogeni. — Non semel Plato in dialogis Antisthenem tecto nomine carpit velut Soph. 251 C: *ἐντυγχάνεις γάρ, ὦ Θεαίτητε, ὡς ἐγᾦμαι, πολλάκις τὰ τοιαῦτα ἐσπουδακόσιν, ἐνίοτε πρεσβυτέροις ἀνθρώποις* (**RP** 221 b) *καὶ ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσεως τὰ τοιαῦτα τεθαυμακόσι καὶ δή τι καὶ πάσσοφον οἰομένοις τοῦτ' αὐτὸ ἀνευρηκέναι.* — Plura de Platonis et Antisthenis simultatibus deque huius dialogo qui Satho inscriptus erat exponunt Winckelmann p. 33 sq., Urban, Dümmler.

Megarici.

222 Diog. II 106. *Εὐκλείδης ἀπὸ Μεγάρων τῶν πρὸς Ἰσθμῷ ἢ Γελῷος κατ' ἐνίους. — οὗτος καὶ τὰ Παρμενίδεια μετεχειρίζετο*[a], *καὶ οἱ ἀπ' αὐτοῦ Μεγαρικοὶ προσηγορεύοντο, εἶτ' Ἐριστικοί, ὕστερον δὲ Διαλεκτικοί*[b], — *διὰ τὸ πρὸς ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους διατίθεσθαι. πρὸς τοῦτόν φησιν ὁ Ἑρμόδωρος ἀφικέσθαι Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους μετὰ τὴν τοῦ Σωκράτους τελευτὴν δείσαντας τὴν ὠμότητα τῶν τυράννων*[c]. Euclides

a. Cic. Acad. II 129 *Megaricorum fuit nobilis disciplina, cuius, ut scriptum video, princeps Xenophanes — —, deinde eum secuti Parmenides et Zeno, itaque ab his Eleatici philosophi nominabantur. Post Euclides, Socratis discipulus, Megareus, a quo iidem illi Megarici dicti.* Quantum Socratis fuerit studiosus cernitur ex Plat. Theaet. 142 D sq. coll. Gell. N. A. VI 10.

b. Minime tamen omnes qui Eristici vel Dialectici nominantur Megaricis adnumerandi.

c. Hermodorus ex Academicis erat. De re cf. Diog. III 6 et Z. II 1³, 349³, ubi demonstratur ‚tyrannos' ab Hermodoro appellatos esse non triginta illos qui hodie ita nominari solent, sed plebis duces quorum opera Socrates supplicio affectus erat. — Scripsisse Euclides fertur dialogos, de quibus dubitabat Panaetius; v. Diog. II 64. 108; Suid. s. v. *Εὐκλείδης*.

Cf. F. Deycks, de Megaricorum doctrina eiusque ap. Platonem et Aristot. vestigiis, Bonn. 1827. Mallet, *hist. de l'école de Mégare,* Paris. 1845. Hartenstein, *ü. d. Bedeut. d. Meg. Schule (hist. phil. Abh.* p. 127 sq.).

223 Aristocles ap. Euseb. Pr. Ev. XIV 17, p. 756. *Ἄλλοι δ' — — οἴονται — δεῖν τὰς μὲν αἰσθήσεις καὶ τὰς φαντασίας καταβάλλειν, αὐτῷ δὲ μόνῳ τῷ λόγῳ πιστεύειν. τοιαῦτα γάρ τινα πρότερον μὲν Ξενοφάνης καὶ Παρμενίδης καὶ Ζήνων καὶ Μέλισσος ἔλεγον, ὕστερον δ' οἱ περὶ Στίλ-*

nihil nisi unum inmotum πωνα καὶ τοὺς Μεγαρικούς. ὅθεν ἠξίουν οὗτοί γε τὸ ὂν ἓν εἶναι[a] καὶ τὸ ἕτερον μὴ εἶναι[1], μηδὲ γεννᾶσθαί τι μηδὲ φθείρεσθαι μηδὲ κινεῖσθαι τὸ παράπαν.

a. Videntur tamen priores certe Megarici plures substantias statuisse easque *εἴδη* appellavisse (cf. Socrat. **RP** 194. 195), siquidem Megarici significantur a Platone Sophist. 246 B sq.: *νοητὰ ἄττα καὶ ἀσώματα εἴδη βιαζόμενοι τὴν ἀληθινὴν οὐσίαν εἶναι, τὰ δὲ ἐκείνων (τῶν ταὐτὸν σῶμα καὶ οὐσίαν ὁριζομένων) σώματα καὶ τὴν λεγομένην ὑπ' αὐτῶν ἀλήθειαν κατὰ σμικρὰ διαθραύοντες ἐν τοῖς λόγοις γένεσιν ἀντ' οὐσίας φερομένην τινὰ προσαγορεύουσιν*: eosdemque postea 248 A appellat *τοὺς τῶν εἰδῶν φίλους*. Quem locum de primis scholae Megaricae doctoribus interpretatus est Schleiermacher (Plat. II 2[3], 93) et eum secuti Deycks p. 39 sq.; C. F. Hermann, *Plat. Ph.* I 269. 339; Stallbaum, Plat. Parm. p. 85 sq.; Brandis, *Handb.* II 1, 114; Zeller II 1[3] 214; Prantl, Log. I 35. Contra disputaverunt H. Ritter (Mus. Rh. II 3, 205 sq.), Deussen (de Plat. Sophista, Marb. 1869), Dittenberger (Hermes XVI [1881] p. 343), alii.

οἱ τῶν εἰδῶν φίλοι

bonum unum Diog. II 106. *Οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς* 224 *ὀνόμασι καλούμενον*[a]· *ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεόν, καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά. τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει μὴ εἶναι φάσκων*[b].

a. Diog. VII 161. *μίαν (ἀρετὴν) πολλοῖς ὀνόμασι καλουμένην, ὡς οἱ Μεγαρικοί.* Cic. Acad. II 42. *Euclides — — id bonum solum esse dicebat, quod esset unum et simile et idem semper.*

b. Megarici similiter de bono iudicaverunt atque Eleatici de ente (**RP** 84): quod a Socrate repetendum, qui virtutem unam esse volebat, cf. **RP** 196. 197. 201. Quod si non unum, sed plura *εἴδη* statuerunt (**RP** 223 a), bonum prae ceteris ideis ens esse et omnes ideas quasi in se complecti iis visum esse dixeris, similiter atque Platoni (**RP** 259); cf. Arist. Met. XIV 4. 1091[b] 13 *τῶν δὲ τὰς ἀκινήτους οὐσίας εἶναι λεγόντων οἱ μέν φασιν αὐτὸ τὸ ἓν τὸ ἀγαθὸν αὐτὸ εἶναι· οὐσίαν μέντοι τὸ ἓν αὐτοῦ ᾤοντο εἶναι μάλιστα.*

ratio disputandi Diog. II 107. *Ταῖς δὲ ἀποδείξεσιν ἐνίστατο οὐ κατὰ* 225 *λήμματα, ἀλλὰ κατ' ἐπιφοράν*[a]. *καὶ τὸν διὰ παραβολῆς λόγον ἀνῄρει λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι. καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον ἢ οἷς*

---

1) *καὶ τὸ ἕτερον ἕτερον μὴ εἶναι* codd. DEI (deteriores): ***καὶ τὸ ἕτερον μὴ εἶναι*** C (sic), FG (meliores): ***et quod diversum esse videtur, diversum non esse*** Trapezuntius. Unde conicias *κ. τ. ἑ.* ⟨*δοκοῦν*⟩ *ἑ. μ. ἑ.*

ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν[b] τὴν παράθεσιν.

a. Ἐπιφορά Stoicis est conclusio, λῆμμα propositio maior: v. Diog. VII 76. Euclides igitur contra disputantes refutabat simili ratione atque Zeno Eleates, v. RP 103 e.

b. Παρέλκειν i. e. supervacaneum esse, cf. Sext. Pyrrh. II 156. 175.

226 Diog. II 108. Τῆς δὲ Εὐκλείδου διαδοχῆς ἐστι καὶ Εὐβουλίδης ὁ Μιλήσιος[a], ὃς καὶ πολλοὺς ἐν διαλεκτικῇ λόγους ἠρώτησε, τόν τε ψευδόμενον[b] καὶ τὸν διαλανθάνοντα καὶ Ἠλέκτραν καὶ ἐγκεκαλυμμένον[c] καὶ σωρείτην[d] καὶ κερατίνην[e] καὶ φαλακρόν[f]. Eubulides

a. Acerrime Aristotelem impugnavit, cf. Diog. 109; Aristocl. ap. Euseb. Pr. Ev. XV 2, 5.

b. ὁ ψευδόμενος i. e. mentiens: v. Cic. de Div. II 11. Acad. II 96. *Si dicis te mentiri verumque dicis, mentiris; dicis autem te mentiri verumque dicis: mentiris igitur.*

c. ὁ διαλανθάνων, Ἠλέκτρα, ἐγκεκαλυμμένος, eadem argumenta diversis nominibus. Lucian. Vit. Auct. 22. Ἠλέκτραν μὲν ἐκείνην τὴν πάνυ, τὴν Ἀγαμέμνονος, ἣ τὰ αὐτὰ οἶδέ τε ἅμα καὶ οὐκ οἶδε· παρεστῶτος γὰρ αὐτῇ τοῦ Ὀρέστου ἔτι ἀγνῶτος οἶδε μὲν Ὀρέστην ὅτι ἀδελφὸς αὐτῆς, ὅτι δὲ οὗτος Ὀρέστης ἀγνοεῖ. τὸν δ' αὖ ἐγκεκαλυμμένον καὶ πάνυ θαυμαστὸν ἀκούσῃ λόγον· ἀπόκριναι γάρ μοι, τὸν πατέρα οἶσθα τὸν σεαυτοῦ; Ναί. Τί οὖν; ἤν σοι παραστήσας τινὰ ἐγκεκαλυμμένον ἔρωμαι, τοῦτον οἶσθα; τί φήσεις; Δηλαδὴ ἀγνοεῖν. Ἀλλὰ μὴν αὐτὸς οὗτος ἦν ὁ πατήρ ὁ σός. ὥστε εἰ τοῦτον ἀγνοεῖς, δῆλος εἶ τὸν πατέρα τὸν σὸν ἀγνοῶν. captiones dialecticae

d. Σωρείτης i. e. acervalis. Diog. VII 82. Οὐχὶ τὰ μὲν δύο ὀλίγα ἐστίν; οὐχὶ δὲ καὶ τὰ τρία; οὐχὶ δὲ καὶ ταῦτα μέν, οὐχὶ δὲ καὶ τὰ τέσσαρα; καὶ οὕτω μέχρι τῶν δέκα· τὰ δὲ δύο ὀλίγα ἐστί· καὶ τὰ δέκα ἄρα. Cic. Acad. II 49. ***Et primum quidem hoc reprehendendum, quod captiosissimo genere interrogationis utuntur, quod genus minime in philosophia probari solet, cum aliquid minutatim et gradatim additur vel demitur. Soritas hoc vocant, quia acervum efficiunt uno addito grano.*** Cf. ib. 93.

e. Diog. VII 187. Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις, κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις.

f. Quaeritur quando quis calvus appellari debeat, postquam unum pilum amiserit, an postquam duos et sic porro; itemque in cauda equina, cf. Hor. Ep. II 1, 45 ***Utor permisso caudaeque pilos ut equinae Paulatim vello et demo unum, demo etiam unum, Dum cadat elusus***

ratione ruentis acervi, etc. Similia tribuuntur Diodoro ap. Sext. Math. X 347: *λόγον συνηρώτηκε καὶ ὁ Κρόνος τοιοῦτον. εἰ φθείρεται τὸ τειχίον, ἤ τοι ὅτε ἅπτονται ἀλλήλων καί εἰσιν ἡρμοσμένοι φθείρεται τὸ τειχίον ἢ ὅτε διεστᾶσιν· οὔτε δὲ ὅτε ἅπτονται ἀλλήλων καὶ εἰσὶν ἡρμοσμένοι φθείρεται τὸ τειχίον οὔτε ὅτε διεστᾶσιν ἀπ' ἀλλήλων· οὐκ ἄρα φθείρεται τὸ τειχίον.*

Diodorus Cronus

Diog. II 111. *Εἰσὶ δὲ καὶ ἄλλοι διακηκοότες Εὐβουλίδου, ἐν οἷς καὶ Ἀπολλώνιος ὁ Κρόνος, οὗ Διόδωρος Ἀμεινίου Ἰασεύς, καὶ αὐτὸς Κρόνος ἐπίκλην. — — οὗτος παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπωνος· καὶ μὴ δυνάμενος παραχρῆμα διαλύσασθαι ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐπετιμήθη καὶ δὴ καὶ Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει*[a]. 112. *ἐξελθὼν δὴ τοῦ συμποσίου καὶ λόγον γράψας περὶ τοῦ προβλήματος ἀθυμίᾳ τὸν βίον κατέστρεψε.* 227

a. Strabo XIV 658. XVII 838 cognomen Croni a magistro ad eum translatum esse narrat.

nulla potentia sine actu

Arist. Met. IX 3. 1046^{b} 29. *Εἰσὶ δέ τινες οἵ φασιν, οἷον οἱ Μεγαρικοί, ὅταν ἐνεργῇ μόνον δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῇ οὐ δύνασθαι, οἷον τὸν μὴ οἰκοδομοῦντα οὐ δύνασθαι οἰκοδομεῖν, ἀλλὰ τὸν οἰκοδομοῦντα ὅταν οἰκοδομῇ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οἷς τὰ συμβαίνοντα ἄτοπα οὐ χαλεπὸν ἰδεῖν. — — ὥστε οὗτοι οἱ λόγοι ἐξαιροῦσι καὶ κίνησιν καὶ γένεσιν· ἀεὶ γὰρ τό τε ἑστηκὸς ἑστήξεται καὶ τὸ καθήμενον καθεδεῖται· οὐ γὰρ ἀναστήσεται ἂν καθέζηται· ἀδύνατον γὰρ ἔσται ἀναστῆναι ὅ γε μὴ δύναται ἀναστῆναι.* 228 A

quid fieri possit

Cic. de Fato 17. Sed ad illam Diodori contentionem, quam *περὶ δυνατῶν* appellant, revertamur, in qua quid valeat id quod fieri possit inquiritur. Placet igitur Diodoro id solum fieri posse, quod aut verum sit aut verum futurum sit. Qui locus attingit hanc quaestionem: nihil fieri quod non necesse fuerit, et quidquid fieri possit id aut esse iam aut futurum esse, nec magis commutari ex veris in falsa ea posse quae futura sunt quam ea quae facta sunt, sed in factis immuta- 228 B

bilitatem apparere, in futuris quibusdam, quia non appareat, ne inesse quidem videri[a].

a. Cf. Cic. de Fato 12—14. Epict. Diss. II 19, 1 *ὁ κυριεύων λόγος ἀπὸ τοιούτων τινῶν ἀφορμῶν ἠρωτῆσθαι φαίνεται. κοινῆς γὰρ οὔσης μάχης τοῖς τρισὶ τούτοις πρὸς ἄλληλα, τῷ Πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖον εἶναι, καὶ τῷ Δυνατῷ ἀδύνατον μὴ ἀκολουθεῖν, καὶ τῷ Δυνατὸν εἶναι ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται· συνιδὼν τὴν μάχην ταύτην ὁ Διόδωρος τῇ τῶν πρώτων δυοῖν πιθανότητι συνεχρήσατο πρὸς παράστασιν τοῦ Μηδὲν εἶναι δυνατὸν ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται.* Plut. Stoic. Rep. 46. Contentio *περὶ δυνατῶν*, licet ex Aristotelis locis appareat antiquiores etiam Megaricos ei operam dedisse, prae ceteris tribuitur Diodoro, is igitur eam in primis excoluisse videtur et ratiocinatio eius nomine *τοῦ κυριεύοντος λόγου* apud posteros in summa laude erat. Cf. Zeller, *ü. d. κυριεύων d. Megarikers Diodorus, Sitz. Ber. Berl. Ak.* 1882. — Finitima est Diodori de conexorum condicionalium veritate sententia: v. Sext. Math. VIII 115 *Διόδωρος δὲ ἀληθὲς εἶναί φησι συνημμένον, ὅπερ μήτε ἐνεδέχετο μήτε ἐνδέχεται ἀρχόμενον ἀπ' ἀληθοῦς λήγειν ἐπὶ ψεῦδος.*

9 Sext. Math. X 85. *Κομίζεται δὲ καὶ ἄλλη τις ἐμβριθὴς ὑπόμνησις εἰς τὸ μὴ εἶναι κίνησιν ὑπὸ Διοδώρου τοῦ Κρόνου, δι' ἧς παρίστησιν ὅτι κινεῖται μὲν οὐδὲ ἕν, κεκίνηται δέ. καὶ μὴ κινεῖσθαι μέν, τοῦτο ἀκόλουθόν ἐστι ταῖς κατ' αὐτὸν τῶν ἀμερῶν ὑποθέσεσιν*[a]. 86. *τὸ γὰρ ἀμερὲς σῶμα ὀφείλει ἐν ἀμερεῖ τόπῳ περιέχεσθαι καὶ διὰ τοῦτο μήτε ἐν αὐτῷ κινεῖσθαι (ἐκπεπλήρωκε γὰρ αὐτόν, δεῖ δὲ τόπον ἔχειν μείζονα τὸ κινούμενον) μήτε ἐν ᾧ μὴ ἔστιν· οὔπω γάρ ἐστιν ἐν ἐκείνῳ, ἵνα καὶ ἐν αὐτῷ κινηθῇ. ὥστε οὐδὲ κινεῖται. κεκίνηται δὲ κατὰ λόγον· τὸ γὰρ πρότερον ἐν τῷδε τῷ τόπῳ θεωρούμενον, τοῦτο ἐν ἑτέρῳ νῦν θεωρεῖται τόπῳ, ὅπερ οὐκ ἂν ἐγεγόνει μὴ κινηθέντος αὐτοῦ*[b]. — 112. *εὐθέως γάρ, φησί, τὸ κινούμενον ἐν τόπῳ ἔστιν, τὸ δὲ ἐν τόπῳ ὂν οὐ κινεῖται· τὸ ἄρα κινούμενον οὐ κινεῖται.* 113. *διττῆς δὲ οὔσης κινήσεως, μιᾶς μὲν τῆς κατ' ἐπικράτειαν, δευτέρας δὲ τῆς κατ' εἰλικρίνειαν, καὶ κατ' ἐπικράτειαν μὲν ὑπαρχούσης ἐφ' ἧς τῶν πλειόνων κινουμένων μερῶν τοῦ σώματος ὀλίγα ἠρεμεῖ, κατ' εἰλικρίνειαν δὲ ἐφ' ἧς πάντα κινεῖται τὰ τοῦ σώματος μέρη, δοκεῖ τούτων τῶν δυοῖν κινήσεων ἡ κατ' ἐπικράτειαν προηγεῖσθαι τῆς κατ' εἰλικρίνειαν.* — 115. *οὐχὶ δέ γε ἔστι τις κατ' ἐπικράτειαν κίνησις, ὡς παραστήσομεν· τοίνυν οὐδ'* nihil movetur

ἡ κατ᾽ εἰλικρίνειαν γενήσεται. ὑποκείσθω γὰρ ἐκ τριῶν ἀμερῶν συνεστὼς σῶμα, δυοῖν μὲν κινουμένων ἑνὸς δὲ ἀκινητίζοντος· τοῦτο γὰρ ἡ κατ᾽ ἐπικράτειαν ἀπαιτεῖ κίνησις. 116. *οὐκοῦν εἰ προσθείημεν τέταρτον ἀμερὲς ἀκινητίζον τούτῳ τῷ σώματι, πάλιν γενήσεται κίνησις. εἴπερ γὰρ τὸ ἐκ τριῶν ἀμερῶν συγκείμενον σῶμα δυοῖν μὲν κινουμένων ἑνὸς δὲ ἀκινητίζοντος κινεῖται, καὶ τετάρτου προστεθέντος ἀμεροῦς κινήσεται· ἰσχυρότερα γὰρ τὰ τρία μέρη, μεθ᾽ ὧν πρότερον ἐκινεῖτο, τοῦ προστεθέντος ἑνὸς ἀμεροῦς. ἀλλ᾽ εἴπερ τὸ ἐκ τεσσάρων ἀμερῶν συγκείμενον σῶμα κινεῖται, κινήσεται καὶ τὸ ἐκ πέντε· ἰσχυρότερα γάρ ἐστι τὰ τέσσαρ᾽ ἀμερῆ, μεθ᾽ ὧν πρότερον ἐκινεῖτο, τοῦ προστεθέντος ἀμεροῦς.* 117. *καὶ εἰ τὸ ἐκ τῶν πέντε συγκείμενον κινεῖται, πάντως καὶ ἕκτου προσελθόντος ἀμεροῦς κινήσεται, ἰσχυροτέρων ὄντων τῶν πέντε παρὰ τὸ ἕν. καὶ οὕτω μέχρι μυρίων ἀμερῶν προέρχεται ὁ Διόδωρος, δεικνὺς ὅτι ἀνυπόστατός ἐστιν ἡ κατ᾽ ἐπικράτειαν κίνησις· ἄτοπον γάρ, φησί, τὸ λέγειν κατ᾽ ἐπικράτειαν κινεῖσθαι σῶμα, ἐφ᾽ οὗ ἐνακισχίλια ἐνακόσια ἐνενήκοντα ὀκτὼ ἀκινητίζει ἀμερῆ καὶ δύο μόνον κινεῖται. ὥστε οὐδὲν κατ᾽ ἐπικράτειαν κινεῖται· εἰ δὲ τοῦτο, οὐδὲ κατ᾽ εἰλικρίνειαν, ᾧ ἕπεται τὸ μηδὲν κινεῖσθαι.*

a. Diodorus corpuscula individua statuisse traditur a Sexto Math. IX 363. Quae videtur ex hypothesi tantum admisisse adversariorum refutandorum gratia.

b. Similia afferuntur a Sexto Math. X 101. 347.

Diodori argumentationes similes sunt Zenoneis, cf. **RP** 107.

Stilpo Diog. II 112. *Τῶν δ᾽ ἀπ᾽ Εὐκλείδου ἐστὶ καὶ — —* 230
Στίλπων ὁ Μεγαρεύς, διασημότατος φιλόσοφος. 113. — *διήκουσε μὲν τῶν ἀπ᾽ Εὐκλείδου τινῶν· οἱ δὲ καὶ αὐτοῦ Εὐκλείδου ἀκοῦσαί φασιν αὐτόν, ἀλλὰ καὶ Θρασυμάχου τοῦ Κορινθίου, ὃς ἦν Ἰχθύα*[a] *γνώριμος —. τοσοῦτον δ᾽ εὑρεσιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι*[b]. — 120. *φέρονται δ᾽ αὐτοῦ διάλογοι ἐννέα*[c] *ψυχροί.*

a. Ichthyas Euclidis, Stilpo Ichthyae successor appellatur a Suida v. *Εὐκλείδης*, cf. Diog. II 112. De aliis Stilponis magistris v. Suid. v. *Στίλπων*.

b. Aetas Stilponis eo definitur quod Theophrasti, Cratetis, Theodori Athei, Diodori aequalis erat. Diog. II 112. 113. 114. 116. Zeno Stoicus eum audivit, ib. 114. 120; VII 24. Insignis erat morum integritate, v. Cic. de Fato 10; Plut. adv. Colot. 22. Et placita quoque ad mores potissimum spectasse videntur, v. Cratetem ap. Diog. II 118.

c. Viginti dialogos enumerat Suidas v. *Στίλπων*.

231 Seneca Ep. I 9, 1. An merito reprehendat in quadam *ἀπάθεια* epistula Epicurus eos, qui dicunt sapientem se ipso esse contentum et propter hoc amico non indigere, desideras scire. Hoc obicitur Stilboni ab Epicuro et iis, quibus summum bonum visum est animus inpatiens. 2. In ambiguitatem incidendum est, si exprimere apathian uno verbo cito voluerimus et inpatientiam dicere. Poterit enim contrarium ei, quod significare volumus, intellegi. Nos enim eum volumus dicere, qui respuat omnis mali sensum; accipietur is, qui nullum possit ferre malum. Vide ergo num satius sit aut involnerabilem animum dicere aut animum extra omnem patientiam positum. 3. Hoc inter nos (Stoicos) et illos interest: noster sapiens vincit quidem incommodum omne, sed sentit; illorum ne sentit quidem. Illud nobis et illis commune est, sapientem se ipso esse contentum. Sed tamen et amicum habere vult et vicinum et contubernalem, quamvis sibi ipse sufficiat.

232 Plut. adv. Colot. 23 p. 1120. *Οὐ μὴν ἀλλὰ τὸ ἐπὶ Στίλπωνος* alterum de altero non praedicandum *τοιοῦτόν ἐστιν. εἰ περὶ ἵππου τὸ τρέχειν κατηγοροῦμεν, οὔ φησι ταὐτὸν εἶναι τῷ περὶ οὗ κατηγορεῖται τὸ κατηγορούμενον, ἀλλ' ἕτερον μὲν ἀνθρώπῳ τοῦ τί ἦν εἶναι τὸν λόγον, ἕτερον δὲ τῷ ἀγαθῷ· καὶ πάλιν τὸ ἵππον εἶναι τοῦ τρέχοντα εἶναι διαφέρειν· ἑκατέρου γὰρ ἀπαιτούμενοι τὸν λόγον οὐ τὸν αὐτὸν ἀποδίδομεν ὑπὲρ ἀμφοῖν. ὅθεν ἁμαρτάνειν τοὺς ἕτερον ἑτέρου κατηγοροῦντας* [1]. *εἰ μὲν γὰρ ταὐτόν ἐστι τῷ ἀνθρώπῳ τὸ ἀγαθὸν καὶ τῷ ἵππῳ τὸ τρέχειν, πῶς καὶ σιτίου καὶ φαρμάκου τὸ ἀγαθόν, καὶ νὴ Δία πάλιν λέοντος καὶ κυνὸς τὸ τρέχειν κατηγοροῦμεν; εἰ δ' ἕτερον, οὐκ ὀρθῶς ἄνθρωπον ἀγαθὸν καὶ ἵππον τρέχειν λέγομεν.*

Ad omnes Megaricos hoc Stilponis enuntiatum (*ἕτερον ἑτέρου μὴ κατηγορεῖσθαι*) revocatur a Simplicio Phys. 26 r. 120, 12 D. *διὰ δὲ τὴν περὶ ταῦτα ἄγνοιαν καὶ οἱ Μεγαρικοὶ κληθέντες φιλόσοφοι λαβόντες ὡς*

1) Vulgo indicatur lacuna, sed ad sensum nihil deest.

ἐναργῆ πρότασιν, ὅτι ὧν οἱ λόγοι ἕτεροι ταῦτα ἕτερά ἐστι καὶ ὅτι τὰ ἕτερα κεχώρισται ἀλλήλων, ἐδόκουν δεικνύναι αὐτὸν αὐτοῦ κεχωρισμένον ἕκαστον. ἐπεὶ γὰρ ἄλλος μὲν λόγος Σωκράτους μουσικοῦ, ἄλλος δὲ Σωκράτους λευκοῦ, εἴη ἂν καὶ Σωκράτης αὐτὸς αὐτοῦ κεχωρισμένος. Cf. Hartenstein, *Verh. d. K. sächs. Ges. d. W.* I, 201 sq.

non sunt ideae

Diog. II 119. *Δεινὸς δ' ἄγαν ὢν ἐν τοῖς ἐριστικοῖς* 233 *ἀνῄρει καὶ τὰ εἴδη*[a]*· καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον λέγειν μηδένα*[1]*· οὔτε γὰρ τόνδε λέγειν*[2] *οὔτε τόνδε· τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; οὐδ' ἄρα τόνδε. καὶ πάλιν· τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον· λάχανον μὲν γὰρ ἦν πρὸ μυρίων ἐτῶν· οὐκ ἄρα ἔστι τοῦτο λάχανον.*

a. *Τὰ εἴδη* apparet esse ideas Platonis. De toto loco cf. Z. II 1^3 219, 1.

Alexinus

Diog. II 109. *Μεταξὺ δὲ ἄλλων ὄντων τῆς Εὐβουλίδου* 234 A *διαδοχῆς Ἀλεξῖνος ἐγένετο Ἠλεῖος, ἀνὴρ φιλονεικότατος, διὸ καὶ Ἐλεγξῖνος ἐπεκλήθη. διεφέρετο δὲ μάλιστα πρὸς Ζήνωνα*[a].

disputandi ratio

Sext. Math. IX 108. *Ἀλλ' ὅ γε Ἀλεξῖνος τῷ Ζήνωνι* 234 B *παρέβαλε τρόπῳ τῷδε· τὸ ποιητικὸν τοῦ μὴ ποιητικοῦ καὶ τὸ γραμματικὸν τοῦ μὴ γραμματικοῦ κρεῖττόν ἐστι, καὶ τὸ κατὰ τὰς ἄλλας τέχνας θεωρούμενον κρεῖττόν ἐστι τοῦ μὴ τοιούτου· οὐδὲ ἓν δὲ κόσμου κρεῖττόν ἐστιν· ποιητικὸν ἄρα καὶ γραμματικόν ἐστιν ὁ κόσμος.*

a. Scripsit adversus Zenonem Stoicum, v. Diog. II 110. Erat igitur ex posterioribus Megaricis, quorum secta, postquam Stoicis in nonnullis incitamento fuerat, mox fracta atque exstincta est.

---

1) *λέγειν μηδένα* Roeper, RP: *εἶναι μηδένα* vulg.: *εἶναι, εἰπεῖν μηδένα* Casaub.: *εἶναι, μηδένα λέγειν* Deycks. — 2) *εἶναι* Cobet.

Eliaci et Eretriaci.

---

235 Diog. II 105. *Φαίδων Ἠλεῖος — μετεῖχε Σωκράτους*[a]. — *Διάδοχος δ' αὐτοῦ Πλείσταινος*[1] *Ἠλεῖος, καὶ τρίτοι ἀπ' αὐτοῦ οἱ περὶ Μενέδημον τὸν Ἐρετριέα καὶ Ἀσκληπιάδην τὸν Φλειάσιον, μεταγνόντες*[2] *ἀπὸ Στίλπωνος*[b]. *καὶ ἕως μὲν τούτων Ἠλειακοὶ προσηγορεύοντο, ἀπὸ δὲ Μενεδήμου Ἐρετριακοί.* **schola**

a. Scripserunt de Phaedone: L. Preller, *Ph.s Lebensschicksale und Schriften,* Mus. Rh. IV (1846), 391 sq., recogn. in Ersch. Grub. encycl. sect. III vol. 21, 357. — U. de Wilamowitz-Möllendorff, *Hermes* XIV (1879), 186. 476. — De doctrina incertum est. Nominatur plerumque una cum Eretriacis, qui solent cum Megaricis coniungi.

b. Cf. Diog. II 126. 134. Menedemus nil scripti reliquisse narratur ib. 136. Nobilis erat amicitia Asclepiadis et Menedemi, ib. 137, et insigne philosophandi studium, Athen. IV 168[a]. Menedemus de patria quoque merebatur, quam regebat tempore primorum Alexandri successorum usque ad Ol. 125, 3 (a. 278). Cf. Diog. II 140—144 et de extremis Menedemi temporibus Roeper in Philologo IX (1854), 27 sq.

236 Diog. II 134. *Καὶ δὴ καὶ τόδε ἐρωτᾶν εἰώθει (ὁ Μενέδημος)· Τὸ ἕτερον τοῦ ἑτέρου ἕτερόν ἐστι; Ναί. Ἕτερον δέ ἐστι τὸ ὠφελεῖν τοῦ ἀγαθοῦ; Ναί. Οὐκ ἄρα τὸ ἀγαθὸν ὠφελεῖν ἐστίν*[a]. **aliud ab alio differt**

a. Subest Stilponis enuntiatum, quod attulimus RP 232.

237 Plut. de Virt. Mor. 2, p. 440. *Μενέδημος μὲν ὁ ἐξ Ἐρετρίας ἀνῄρει τῶν ἀρετῶν καὶ τὸ πλῆθος καὶ τὰς διαφοράς, ὡς μιᾶς οὔσης καὶ χρωμένης πολλοῖς ὀνόμασι· τὸ* **virtus est una**

---

1) *Πλείσταινος* P[1] (P = Paris. 1759), Roeper: *Πλείστανος* vulg. — 2) *μεταγνόντες* Emperius: *μετάγοντες* vulgo.

γὰρ αὐτὸ σωφροσύνην καὶ ἀνδρείαν καὶ δικαιοσύνην λέγεσθαι, καθάπερ βροτὸν καὶ ἄνθρωπον[a].

a. Cic. Acad. II 129. *A Menedemo autem, quod is Eretria fuit, Eretriaci appellati; quorum omne bonum in mente positum et mentis acie, qua verum cerneretur.* — Excipiunt haec verba apud Ciceronem ea, quae supra apposita sunt RP 224, et redeunt ferme eodem haec placita atque illa Euclidis.

Diog. II 135. Ἀνῄρει δέ, φασί, καὶ τὰ ἀποφατικὰ τῶν 238
ἀξιωμάτων[a], καταφατικὰ τιθείς· καὶ τούτων τὰ ἁπλᾶ προσδεχόμενος τὰ οὐχ ἁπλᾶ ἀνῄρει, λέγων [1] συνημμένα καὶ συμπεπλεγμένα.

a. Propositiones negativas idcirco videtur repudiasse, quod veritatem nisi affirmando exprimi non posse censebat.

b. *Συνημμένα* quae dicantur patet ex RP 228, quid sit *ἀξίωμα συμπεπλεγμένον* ex Diog. VII 72 *συμπεπλεγμένον δέ ἐστιν ἀξίωμα ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπέπλεκται, οἷον Καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστί.* Hoc Menedemo captiosum visum esse dixeris, quia, si tales propositiones sequi liceret, multitudo rerum poni videretur. — Simplicius, quod refert Phys. 20[r]. 91, 28 D.: *οἱ δὲ ἐκ τῆς Ἐρετρίας οὕτως τὴν ἀπορίαν ἐφοβήθησαν ὡς λέγειν μηδὲν κατὰ μηδενὸς κατηγορεῖσθαι, ἀλλ' αὐτὸ καθ' αὑτὸ ἕκαστον λέγεσθαι, οἷον ὁ ἄνθρωπος ἄνθρωπος καὶ τὸ λευκὸν λευκόν,* videtur Eretriacorum doctrinam cum Stilponis (RP 232) confudisse. Praeterea haec Aristotelis verba Phys. I 2. 185[b] 28: *οἱ δὲ τὴν λέξιν μετερρύθμιζον, ὅτι ὁ ἄνθρωπος οὐ λευκός ἐστιν ἀλλὰ λελεύκωται, οὐδὲ βαδίζων ἐστὶν ἀλλὰ βαδίζει, ἵνα μή ποτε τὸ ἔστι προσάπτοντες πολλὰ εἶναι ποιῶσι τὸ ἕν, ὡς μοναχῶς λεγομένου τοῦ ἑνὸς ἢ τοῦ ὄντος* ad Menedemum revocantur a Philopono (schol. 330[b] 1 Br.) ad h. l.; sed obstat et temporum ratio et Megaricorum cum Eretriacis similitudo. Cf. Z. II 1[3] 238, 7.

---

1) *λέγω δέ* Cobet.

Plato.

De vita eius ac scriptis.

239 Diog. III 1. *Πλάτων Ἀρίστωνος καὶ Περικτιόνης ἢ Πωτώνης*[1], *Ἀθηναῖος, ἥτις τὸ γένος ἀνέφερεν εἰς Σόλωνα*[a]. — *φασὶ δὲ καὶ τὸν πατέρα αὐτοῦ ἀνάγειν εἰς Κόδρον τὸν Μελάνθου, οἵτινες ἀπὸ Ποσειδῶνος ἱστοροῦνται κατὰ Θρασύλλον.* — — 2. *Καὶ γίνεται Πλάτων, ὥς φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ὀγδόῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι Θαργηλιῶνος ἑβδόμῃ* (a. 427 Mai. ex.), *καθ' ἣν Δήλιοι τὸν Ἀπόλλωνα γενέσθαι φασί. τελευτᾷ δ', ὥς φησιν Ἕρμιππος, ἐν γάμοις δειπνῶν τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος* (a. 347) *βιοὺς ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα*[b].

familia

aetas

a. Parum accurate dictum, nam Platonis mater, soror patruelis Critiae illius, qui erat inter triginta tyrannos, genus ducebat a Dropide, Solonis cognato et amico, v. Plat. Tim. 20 E; Charm. 155 A, 157 E. Cf. Hermann, Plat. 23. Z. II 1[3] 339, 1.

b. Cf. Clint F. H. a. 429 et 347. Natus est eodem anno quo Pericles mortem obiit, Diog. III 3. — De nomine v. Diog. III, 4 *ἐγυμνάσατο δὲ παρ' Ἀρίστωνι τῷ Ἀργείῳ παλαιστῇ, ἀφ' οὗ καὶ Πλάτων διὰ τὴν εὐεξίαν μετωνομάσθη πρότερον Ἀριστοκλῆς ἀπὸ τοῦ πάππου καλούμενος, καθά φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς· — ἢ ὅτι πλατὺς ἦν τὸ μέτωπον, ὥς φησι Νεάνθης.* Cf. Senec. ep. 58, 30.

nomen

Scripserunt de vita Platonis: C. F. Hermann, *Gesch. u. System d. plat. Phil.* Heidelb. 1839. H. de Stein, *7 Bücher zr. Gesch. d. Platonismus* II (158 sq.), Gott. 1864. G. Grote, *Platon,* Lond. 1865. Chaignet, *la vie et les écrits de Platon,* Paris. 1871. Steinhart, *Platons Leben,* Lips. 1873.

---

1) *Πωτώνης* Cod. Monac. et Vindob. 106: *Ποτώνης* vulg. Cf. Boeckh, *Urk üb. d. Seewesen* p. 289.

magistri Arist. Met. I 6. 987[a] 32. Ἐκ νέου τε γὰρ συνήθης 240 A
γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν.

Diog. III 5. Λέγεται — ὅτι ποιήματα ἔγραψε· — 240 B
ἔπειτα μέντοι — Σωκράτους ἀκούσας κατέφλεξε τὰ ποιήματα[a]. — — 6. τοὐντεῦθεν δὴ γεγονώς, φασίν, εἴκοσιν ἔτη διήκουσε Σωκράτους· ἐκείνου δ᾽ ἀπελθόντος — — γενόμενος ὀκτὼ καὶ εἴκοσιν ἐτῶν — εἰς Μέγαρα πρὸς Εὐκλείδην σὺν καὶ ἄλλοις τισὶ Σωκρατικοῖς ὑπεχώρησεν[b]. ἔπειτα εἰς Κυρήνην ἀπῆλθε πρὸς Θεόδωρον τὸν μαθηματικόν· κἀκεῖθεν εἰς Ἰταλίαν πρὸς τοὺς Πυθαγορικοὺς Φιλόλαον καὶ Εὔρυτον· ἔνθεν τε εἰς Αἴγυπτον παρὰ τοὺς προφήτας[c].

a. Ex iis quae de Platonis educatione puerili singula traduntur (Diog. III 5, Aelian. V. H. II 30) vix quidquam fide dignum. Sed poeticen eum haud leviter attigisse veri simile. Quamquam quae nunc eius feruntur epigrammata partim videntur spuria esse (P. lyr. II 295 Bgk.).

b. Idem Diogenes II 106 Hermodoro auctore refert.

c. Cic. de Rep. I 16. *Audisse te credo Platonem Socrate mortuo primum in Aegyptum discendi causa, post in Italiam et in Siciliam contendisse, ut Pythagorae inventa perdisceret, eumque et cum Archyta Tarentino et cum Timaeo Locro multum fuisse et Philoleo commentarios esse nactum, cumque eo tempore in his locis Pythagorae nomen vigeret, illum se et hominibus Pythagoreis et studiis illis dedisse.* Idem de Fin. V 87. — Philolaum exploratum est mortuum fuisse cum Plato Italiam visitaret (Boeckh, *Philolaos* p. 5). De eius libro **RP** 50.

itinera Siciliensia Diog. III 18. Τρὶς δὲ πέπλευκεν εἰς Σικελίαν· πρῶτον 241
μὲν κατὰ θέαν τῆς νήσου καὶ τῶν κρατήρων, ὅτε καὶ Διονύσιος ὁ Ἑρμοκράτους τύραννος ὢν ἠνάγκασεν ὥστε συμμῖξαι αὐτῷ· ὁ δὲ διαλεγόμενος περὶ τυραννίδος — προσέκρουσεν αὐτῷ[a]. — 21. δεύτερον πρὸς τὸν νεώτερον ἧκε Διονύσιον αἰτῶν γῆν καὶ ἀνθρώπους τοὺς κατὰ τὴν πολιτείαν αὐτοῦ ζησομένους· ὁ δὲ καίπερ ὑποσχόμενος οὐκ ἐποίησεν. ἔνιοι δέ φασι καὶ κινδυνεῦσαι αὐτὸν ὡς ἀναπείθοντα Δίωνα καὶ Θεοδόταν [1] ἐπὶ τῇ τῆς νήσου ἐλευθερίᾳ[b]. — 23. τρίτον ἦλθε

1) Θεοδόταν Cobet: Θεώταν vulg.

διαλλάξων Δίωνα Διονυσίῳ· οὐ τυχὼν δὲ ἄπρακτος ἐπανῆλθεν εἰς τὴν πατρίδα[c].

a. Diog. III 19 *ἐντεῦθεν ἀγανακτήσας ὁ τύραννος — παρέδωκε αὐτὸν Πόλλιδι τῷ Λακεδαιμονίῳ — ὥστε ἀποδόσθαι. κἀκεῖνος ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν ἐπίπρασκεν* (circ. a. 388). — 20. *λυτροῦται δὴ αὐτὸν κατὰ τύχην παρὼν Ἀννίκερις ὁ Κυρηναῖος* (quem cave confundas cum philosopho RP 205), cf. Ar. Phys. II 8. 199[b] 20 (*Diels, zr. Textgesch. d. Ar. Phys., Abh. Berl. Ak.* 1882, 23[1]). — Secundum Dionysium superiorem tyranni imaginem expressisse putatur Rep. VIII 567 A sq.

b. Altera peregrinatio fere viginti annis post (c. a. 368) facta est, cum Plato senior a Dione ut Dionysium filium adiret commotus esset.

c. Cf. Ep. Plat. VII 330 B sq. Plut. Dion. 13. Hermann, *Plat.* 423 sq.

242 Diog. III 41. *Καὶ ἐτάφη ἐν τῇ Ἀκαδημίᾳ*[a], *ἔνθα τὸν πλεῖστον χρόνον διετέλεσε φιλοσοφῶν· ὅθεν καὶ Ἀκαδημαϊκὴ προσηγορεύθη ἡ ἀπ' αὐτοῦ αἵρεσις.* exitus

a. Diog. III 7 *τὸ δ' ἐστὶ γυμνάσιον προάστειον ἀλσῶδες ἀπό τινος ἥρωος ὀνομασθὲν Ἑκαδήμου.* — Ibid. 5 *ἐφιλοσόφει δὲ τὴν ἀρχὴν ἐν Ἀκαδημίᾳ, εἶτα ἐν τῷ κήπῳ τῷ παρὰ τὸν Κολωνόν.* Ibi suos docebat per colloquia ut videtur, nam eam institutionem continuis orationibus longe praeferendam esse censebat; v. Protag. 334 D; Gorg. 461 D. Phaedr. 275 D sq. Quamquam perpetuis eum nonnunquam sermonibus usum esse insignis testis est Aristoxenus Harm. El. II 30 Meib. Itaque Platonis *περὶ τἀγαθοῦ* acroasin excipiebant discipuli: Aristoteles, Speusippus, Xenocrates, alii: unde dictae *αἱ ἄγραφοι συνουσίαι*, v. Simpl. Phys. 32[v]. 151, 10 D.; 104[v]. 453, 28 D. sive *ἄγραφα δόγματα*, Arist. Phys. IV 2. 209[b] 14. Cf. Brandis, de perd. Arist. libr. 3 sq. *Hdb.* II 1, 180. docendi ratio

243 Dionys. Hal. de Comp. Verb. 25, p. 208 Rsk. *Ὁ δὲ Πλάτων τοὺς ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων καὶ πάντα τρόπον ἀναπλέκων οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς ἔτη. πᾶσι γὰρ δή που τοῖς φιλολόγοις γνώριμα τὰ περὶ τῆς φιλοπονίας τἀνδρὸς ἱστορούμενα τά τ' ἄλλα καὶ δὴ καὶ τὰ περὶ τὴν δέλτον, ἣν τελευτήσαντος αὐτοῦ λέγουσιν εὑρεθῆναι ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς πολιτείας ἔχουσαν τήνδε· „Κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος“*[a]. elegantia scribendi

a. Cf. Quintil. Inst. VIII 6, 64; Euphorion et Panaetius ap. Diog. III 37. Iteratis illis curis consentaneum est non modo sermonem sed etiam sententias immutatas esse neque constitisse ante mortem Platonis; unde perspicuum est quam lubricum sit ex ipsis dialogis de tempore quo librorum ordo

singuli prodierint iudicare. De quo pauca sunt a veteribus tradita. Phaedrum primum Platonis opus esse testatur Diog. III 38, Lysidem vivo Socrate editum idem III 35. Apud Athenaeum XI 505 D narratio exstat, quae si vera est, Gorgias non diu post mortem Socratis vulgatus erat. Leges putabantur postremum opus: Diog. III 37. Bona fortuna factum est, ut quae scripta Platonis a veteribus pro genuinis habebantur, ea omnia aetatem superaverint. Ab Aristophane Byzantio in trilogias digesta erant, a Thrasylo et Dercyllida in tetralogias; cf. Diog. III 56—61; Albin. introd. 3—6. Etiam quae nunc spuria habentur omnia praeter definitiones in catalogum Thrasyli recepta erant.

libri suppositi

Diog. III 62. *Νοθεύονται δὲ τῶν διαλόγων ὁμολογουμένως Μίδων ἢ Ἱπποτρόφος, Ἐρυξίας ἢ Ἐρασίστρατος, Ἀλκυών, Ἀκέφαλοι ἢ*[a], *Σίσυφος, Ἀξίοχος, Φαίακες, Δημοδόκος, Χελιδών, Ἑβδόμη, Ἐπιμενίδης*[b]. 244

a. De Acephalis, i. e. dialogis prooemio carentibus, cf. Suid. v. *Αἰσχίνης*.

b. Dubitabatur praeterea de Alcibiade II, de Anterastis, de Hipparcho. Leges nonnulli a Philippo Opuntio ex tabulis cereis transcriptas esse tradiderunt, eiusdemque Epinomis esse putabatur, Diog. III 37. Cf. I. Bruns, *Pl.s Gesetze,* Weim. 1880. — Ad quaestionem de librorum fide solvendam cum plurimum valeat Aristotelis auctoritas, eos dialogos, quorum hic meminit, enumerabimus. Saepissime laudantur Respublica, Timaeus, Leges; praeterea pro Platonicis haberi constat Phaedonem, Convivium, Phaedrum, Hippiam minorem, Menonem, Gorgiam; respiciuntur Menexenus, Apologia, Theaetetus, Philebus, Protagoras, Sophistes, Politicus; respici veri simile est Cratylum, Lysim, Lachetem, Charmiden. Cf. Bonitz, Ind. Aristot. 598[a].

testimonium Aristotelis

Scripserunt de librorum qui Platoni tribuuntur fide atque ordine praeter Hermannum, de Stein, Grote (RP 239): Schleiermacher, *Platons Werke,* 3. ed. Berol. 1855 sq. Stallbaum, Pl. op., Lips. 1836 sq. Steinhart in *Pl. Werke übers. v. H. Müller,* Lips. 1850 sq. Socher, *ü. Pl. Schrift.,* Monac. 1820. Zeller, *plat. Stud.,* Tub. 1839. Susemihl, *d. gen. Entwickl. d. pl. Phil.,* Lips. 1855 sq. Munk, *d. nat. Ordn. d. pl. Schrift.,* Berol. 1856. Ueberweg, *Untersuch. üb. d. Echth. u. Zeitfolge pl. Schrift.,* Wien 1861. Schaarschmidt, *d. Samml. d. pl. Schrift.,* Bonn. 1866. Zeller, *ü. d. Anachronism. i. d. pl. Gespräch.,* Berl. 1873. Teichmüller, *d. plat. Frage,* Gotha 1876. Idem, *ü. d. Reihenf. d. pl. Dialoge,* Dorp. 1879. Idem, *Lit. Fehden im 4. Jh. v. Chr.,* Breslau 1881. 84. Krohn, *d. plat. Frage,* Halle 1878. Dittenberger, *sprachl. Kriterien f. d. Chronol. d. pl. Dialoge* in Herm. vol. 16 (1881). Siebeck, *zr. Chronol. d. pl. Dial.* in *Jahrb. f. class. Phil.* vol. 131 (1885). Schanz, *zr. Entwickl. d. pl. Stils* in Herm. vol. 21 (1886). De ceteris v. Ueberweg-Heinze, *Grundriss* § 40.

De philosophia eiusque partibus.

---

245 Conviv. 203 E. Θεῶν οὐδεὶς φιλοσοφεῖ οὐδ᾽ ἐπιθυμεῖ σοφὸς γενέσθαι· ἔστι γάρ· οὐδ᾽ εἴ τις ἄλλος σοφός, οὐ φιλοσοφεῖ[a]. οὐδ᾽ αὖ οἱ ἀμαθεῖς φιλοσοφοῦσιν οὐδ᾽ ἐπιθυμοῦσι σοφοὶ γενέσθαι· αὐτὸ γὰρ τοῦτό ἐστι χαλεπὸν ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνιμον δοκεῖν αὐτῷ εἶναι ἱκανόν[b]. οὔκουν ἐπιθυμεῖ ὁ μὴ οἰόμενος ἐνδεὴς εἶναι οὗ ἂν μὴ οἴηται ἐπιδεῖσθαι[c]. Τίνες οὖν, ἔφην ἐγώ, ὦ Διοτίμα, οἱ φιλοσοφοῦντες, εἰ μήτε οἱ σοφοὶ μήτε οἱ ἀμαθεῖς; Δῆλον δή, ἔφη, τοῦτό γε ἤδη καὶ παιδί, ὅτι οἱ μεταξὺ τούτων ἀμφοτέρων[d]. philosophari quid sit

a. Phaedr. 278 D. Parm. 134 C. Cf. RP 3.

b. Rep. II 376 B τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν. Ἀμαθὴς est qui nihil sciens putat se scire aliquid, v. Soph. 229 C. Tim. 86 B νόσον μὲν δὴ ψυχῆς ἄνοιαν ξυγχωρητέον; δύο δ᾽ ἀνοίας γένη, τὸ μὲν μανίαν τὸ δὲ ἀμαθίαν.

c. Propterea admiratio initium philosophiae, v. Theaet. 155 D μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη. Cf. Aristoteles, RP 300.

d. In sequentibus Amorem, quem Πόρου et Πενίας filium esse fingit, μεταξὺ ἀμφοτέρων esse docet: ἔστι γὰρ δὴ τῶν καλλίστων ἡ σοφία, Ἔρως δ᾽ ἐστὶν ἔρως περὶ τὸ καλόν, ὥστε ἀναγκαῖον Ἔρωτα φιλόσοφον εἶναι, φιλόσοφον δὲ ὄντα μεταξὺ εἶναι σοφοῦ καὶ ἀμαθοῦς. Per pulchrum fertur ad verum, quod in aliorum quoque animis excitare studet semper adnitens, nunquam satiatus, v. Phaedr. 249 D sq., Conviv. 201 D sq. Itaque philosophi οἱ τῆς ἀληθείας φιλοθεάμονες, Rep. V 475 E, et simillimi deo, Phaed. 66 B sq., Theaet. 176 B. Ἔρως

246 De Rep. V 476 E. Ἀλλ᾽ ἡμῖν εἰπὲ τόδε· ὁ γιγνώσκων γιγνώσκει τι ἢ οὐδέν; σὺ οὖν μοι ὑπὲρ ἐκείνου ἀποκρίνου. Ἀποκρινοῦμαι, ἔφη, ὅτι γιγνώσκει τι. Πότερον ὂν ἢ οὐκ ὄν; Ὄν· πῶς γὰρ ἂν μὴ ὄν γέ τι γνωσθείη; Ἱκανῶς οὖν τοῦτο ἔχομεν, κἂν εἰ πλεοναχῇ σκοποῖμεν, ὅτι τὸ μὲν παντελῶς ὂν παντελῶς γνωστόν, μὴ ὂν δὲ μηδαμῇ πάντῃ ἄγνωστον; Ἱκανώτατα. Εἶεν· εἰ δὲ δή τι οὕτως ἔχει ὡς εἶναί τε καὶ μὴ εἶναι, οὐ μεταξὺ ἂν κέοιτο τοῦ εἰλικρινῶς ὄντος καὶ τοῦ αὖ μηδαμῇ ὄντος; Μεταξύ. Οὐκοῦν ἐπὶ μὲν τῷ ὄντι γνῶσις ἦν, ἀγνωσία δ᾽ ἐξ ἀνάγκης ἐπὶ τῷ μὴ ὄντι, ἐπὶ τῷ μεταξὺ cognoscendi gradus

δὲ τούτῳ μεταξύ τι καὶ ζητητέον ἀγνοίας τε καὶ ἐπιστήμης, εἴ τι τυγχάνει ὂν τοιοῦτον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν λέγομέν τι δόξαν εἶναι; Πῶς γὰρ οὔ; Πότερον ἄλλην δύναμιν ἐπιστήμης ἢ τὴν αὐτήν; Ἄλλην. Ἐπ' ἄλλῳ ἄρα τέτακται δόξα καὶ ἐπ' ἄλλῳ ἐπιστήμη[a], *κατὰ τὴν αὐτὴν δύναμιν ἑκατέρα τὴν αὑτῆς. Οὕτως.* — Tim. 51 E. *Δύο δὴ λεκτέον ἐκείνω (νοῦν καὶ δόξαν ἀληθῆ), διότι χωρὶς γεγόνατον ἀνομοίως τε ἔχετον. τὸ μὲν γὰρ αὐτῶν διὰ διδαχῆς, τὸ δ' ὑπὸ πειθοῦς ἡμῖν ἐγγίγνεται· καὶ τὸ μὲν ἀεὶ μετὰ ἀληθοῦς λόγου, τὸ δὲ ἄλογον· καὶ τὸ μὲν ἀκίνητον πειθοῖ, τὸ δὲ μεταπειστόν· καὶ τοῦ μὲν πάντα ἄνδρα μετέχειν φατέον, νοῦ δὲ θεούς, ἀνθρώπων δὲ γένος βραχύ τι*[b].

scientia vera

a. Scientia, quam persequitur philosophia (Euthydem. 288 D *ἡ δέ γε φιλοσοφία κτῆσις ἐπιστήμης*) cum constet cognitione *τοῦ παντελῶς ὄντος*, quod aliis locis appellatur *τὸ ὄντως ὄν, ἡ ἀλήθεια, τὸ νοούμενον*, versatur circa res et causas immutabiles (Phaedr. 247 D) et consummatam rerum veritatem omniumque scientiarum rationes complectitur (Parmen. 134 A *Οὐκοῦν καὶ ἐπιστήμη, αὐτὴ μὲν ὃ ἔστιν ἐπιστήμη, τῆς ὃ ἔστιν ἀλήθεια αὐτῆς ἂν ἐκείνης εἴη ἐπιστήμη;* Rep. V 475 B *Οὐκοῦν καὶ τὸν φιλόσοφον σοφίας φήσομεν ἐπιθυμητὴν εἶναι, οὐ τῆς μὲν τῆς δ' οὔ ἀλλὰ πάσης;* Charm. 166 C *αἱ μὲν ἄλλαι πᾶσαι ἄλλου εἰσὶν ἐπιστῆμαι ἑαυτῶν δ' οὔ, ἡ δὲ* (*σωφροσύνη*, quae h. l. dicitur summa scientia) *μόνη τῶν τε ἄλλων ἐπιστημῶν ἐπιστήμη ἐστὶ καὶ αὐτὴ ἑαυτῆς*). — Hanc scientiam consentaneum est ut unam esse putemus, Sophist. 257 C. — Singularum artium ante ceteras colendae sunt musica et mathematica, quarum illa animum liberat et temperat et pulchri sensu imbuit (Rep. III 401 D sq., 410 C sq.), haec inprimis pertinet ad *τὴν διάνοιαν*, quae media est inter opinionem et scientiam (Rep. VII 525 A sq., 533 B sq.).

est una

mathematica

opinio vera

b. Scientia neque sensuum perceptionibus (*αἰσθήσει*) constat, cum sensibus perceptum (*φαντασία*) aliis aliud esse videatur (Theaet. 151 E sq.), neque continetur hominum opinionibus (*δόξαις*) ne rectis quidem et veris (ib. 200 D sq.): quas nomine haud scio an ab Antisthene inducto appellat *ἀληθῆ* s. *ὀρθὴν δόξαν* (Brandis, *Hdb.* II 1, 202). Quae ita distat a scientia, ut sentiat quidem quod verum sit, sed id quod sentit exponere nequeat (*τὸ ὀρθὰ δοξάζειν καὶ ἄνευ τοῦ ἔχειν λόγον δοῦναι*, Conv. 202 A). — Meno 97 E *αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν χρόνον παραμένωσι, καλὸν τὸ χρῆμα καὶ πάντα τἀγαθὰ ἐργάζονται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὥστε οὐ πολλοῦ ἄξιαί εἰσιν, ἕως ἄν τις αὐτὰς δήσῃ αἰτίας λογισμῷ. — ἐπειδὰν δὲ δεθῶσι, πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι· καὶ διὰ ταῦτα δὴ τιμιώτερον ἐπιστήμη ὀρθῆς δόξης ἐστί, καὶ διαφέρει*

δεσμῷ ἐπιστήμη ὀρθῆς δόξης. Cf. Theaet. 210 A. — Neque ea virtus, quae recta opinione duntaxat et consuetudine ducitur, ad sapientiam quidquam valet, v. Meno 99 B sq. Phaed. 82 A οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ. virtus vulgaris

247 Sophist. 253 B. ΞΕ. Τί δ'; ἐπειδὴ καὶ τὰ γένη πρὸς ἄλληλα κατὰ τὰ τοιαῦτα (ὥσπερ τὰ γράμματα καὶ τοὺς φθόγγους) μίξεως ἔχειν ὡμολογήκαμεν, ἆρ' οὐ μετ' ἐπιστήμης τινὸς ἀναγκαῖον διὰ τῶν λόγων πορεύεσθαι τὸν ὀρθῶς μέλλοντα δείξειν ποῖα ποίοις συμφωνεῖ τῶν γενῶν καὶ ποῖα ἄλληλα οὐ δέχεται; καὶ δὴ καὶ διὰ πάντων εἰ συνέχοντα ἄττ' ἐστίν, ὥστε συμμίγνυσθαι δυνατὰ εἶναι, καὶ πάλιν ἐν ταῖς διαιρέσεσιν, εἰ δι' ὅλων ἕτερα τῆς διαιρέσεως αἴτια; ΘΕΑΙ. Πῶς γὰρ οὐκ ἐπιστήμης δεῖ, καὶ σχεδόν γε ἴσως τῆς μεγίστης; ΞΕ. Τίν' οὖν αὖ προσεροῦμεν, ὦ Θεαίτητε, ταύτην; ἢ πρὸς Διὸς ἐλάθομεν εἰς τὴν τῶν ἐλευθέρων ἐμπεσόντες ἐπιστήμην, καὶ κινδυνεύομεν ζητοῦντες τὸν σοφιστὴν πρότερον ἀνευρηκέναι τὸν φιλόσοφον[a]; ΘΕΑΙ. Πῶς λέγεις; ΞΕ. Τὸ κατὰ γένη διαιρεῖσθαι καὶ μήτε ταὐτὸν ὂν εἶδος ἕτερον ἡγήσασθαι μήτε ἕτερον ὂν ταὐτὸν μῶν οὐ τῆς διαλεκτικῆς φήσομεν ἐπιστήμης εἶναι; ΘΕΑΙ. Ναί, φήσομεν. ΞΕ. Οὐκοῦν ὅ γε τοῦτο δυνατὸς δρᾶν μίαν ἰδέαν διὰ πολλῶν, ἑνὸς ἑκάστου κειμένου χωρίς, πάντῃ διατεταμένην ἱκανῶς διαισθάνεται, καὶ πολλὰς ἑτέρας ἀλλήλων ὑπὸ μιᾶς ἔξωθεν περιεχομένας, καὶ μίαν αὖ δι' ὅλων πολλῶν ἐν ἑνὶ ξυνημμένην, καὶ πολλὰς χωρὶς πάντῃ διωρισμένας; τοῦτο δ' ἔστιν, ᾗ τε κοινωνεῖν ἕκαστα δύναται καὶ ὅπῃ μή, διακρίνειν κατὰ γένος ἐπίστασθαι. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΞΕ. Ἀλλὰ μὴν τό γε διαλεκτικὸν οὐκ ἄλλῳ δώσεις, ὡς ἐγᾦμαι, πλὴν τῷ καθαρῶς τε καὶ δικαίως φιλοσοφοῦντι[b]. ΘΕΑΙ. Πῶς γὰρ ἂν ἄλλῳ δοίη τις; dialectice

a. Sophistarum est rhetorica ad adulationem vulgi comparata, (Gorg. 462 B sq.) et perversa eristica in fallaciis argumentationum et verborum aucupiis posita (cf. Euthydem. et Prantl, *Gesch. d. Logik* I 20 sq.). Neque ars eorum vere est ars, sed ἐμπειρία καὶ τριβή (Gorg. 463 B), neque scientia eorum genuina scientia, sed δοξαστικὴ ἐπιστήμη, quae non veritatem sequitur, sed hominum opiniones (Soph. 232 C). Contra dialectice a Socrate illa fundata (**RP** 194), praestantissima scientia est

et in quo philosophi ars maxime conspiciatur, cf. Phileb. 16 C sq. **RP** 255, Rep. VII 534 E *Ἀρ᾽ οὖν δοκεῖ σοι ὥσπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκέτ᾽ ἄλλο τούτου μάθημα ἀνωτέρω ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλ᾽ ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων;*

b. De idea boni, in qua omnis philosophia Platonis cum dialectica tum moralis velut in cardine suo vertitur, v. **RP** 257.

scientiae vis et virtus

Protag. 352 A. *Ἴθι δή μοι, ὦ Πρωταγόρα, καὶ τόδε* 248
τῆς διανοίας ἀποκάλυψον· πῶς ἔχεις πρὸς ἐπιστήμην; πότερον καὶ τοῦτό σοι δοκεῖ ὥσπερ τοῖς πολλοῖς ἀνθρώποις ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοιοῦτόν τε, οὐκ ἰσχυρὸν οὐδ᾽ ἡγεμονικὸν οὐδ᾽ ἀρχικὸν εἶναι· οὐδὲ ὡς περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται, ἀλλ᾽ ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης οὐ τὴν ἐπιστήμην αὐτοῦ ἄρχειν, ἀλλ᾽ ἄλλο τι, τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονήν, τοτὲ δὲ λύπην, ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιστήμης ὥσπερ περὶ ἀνδραπόδου περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. ἆρ᾽ οὖν καὶ σοὶ τοιοῦτόν τι περὶ αὐτῆς δοκεῖ ἢ καλόν τε εἶναι ἡ ἐπιστήμη καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου, καὶ ἐάνπερ γιγνώσκῃ τις τἀγαθὰ καὶ τὰ κακά, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενός, ὥστε ἄλλ᾽ ἄττα πράττειν ἢ ἃ ἂν ἡ ἐπιστήμη κελεύῃ, ἀλλ᾽ ἱκανὴν εἶναι τὴν φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ; Καὶ δοκεῖ, ἔφη, ὥσπερ σὺ λέγεις, ὦ Σώκρατες, καὶ ἅμα εἴπερ τῳ ἄλλῳ αἰσχρόν ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Καλῶς γε, ἔφην ἐγώ, σὺ λέγων καὶ ἀληθῆ. — 357 C. *Ἤρεσθε δέ, εἰ μέμνησθε, ἡνίκα ἡμεῖς ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης μηδὲν εἶναι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖν, ὅπου ἂν ἐνῇ, καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων· ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου, ἐπειδὴ δὲ ὑμῖν οὐχ ὡμολογοῦμεν, μετὰ τοῦτο ἤρεσθ᾽ ἡμᾶς· Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ᾽ ἐστὶ καὶ τί ὑμεῖς αὐτό φατε εἶναι, εἴπετε ἡμῖν. εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν εἴπομεν ὅτι ἀμαθία, κατεγελᾶτε ἂν ἡμῶν· νῦν δ᾽ ἐὰν ἡμῶν καταγελᾶτε, καὶ ὑμῶν αὐτῶν καταγελάσεσθε. καὶ γὰρ ὑμεῖς ὡμολογήκατε ἐπιστήμης ἐνδείᾳ ἐξαμαρτάνειν περὶ τὴν τῶν ἡδονῶν αἵρεσιν*

inscientia causa peccandi

καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας· ταῦτα δέ ἐστιν ἀγαθά τε καὶ κακά. καὶ οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ εἰς τὸ πρόσθεν ἔτι ὡμολογήκατε ὅτι μετρητικῆς· ἡ δὲ ἐξαμαρτανομένη πρᾶξις ἄνευ ἐπιστήμης ἴστε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράττεται· ὥστε τοῦτ᾽ ἐστὶ τὸ ἡδονῆς ἥττω εἶναι, ἀμαθία ἡ μεγίστη[a].

a. Soph. 228 C. ΞΕ. Ἀλλὰ μὴν ψυχήν γε ἴσμεν ἄκουσαν πᾶσαν πᾶν ἀγνοοῦσαν. ΘΕΑΙ. Σφόδρα γε. ΞΕ. Τό γε μὴν ἀγνοεῖν ἐστιν ἐπ᾽ ἀλήθειαν ὁρμωμένης ψυχῆς, παραφόρου ξυνέσεως γιγνομένης, οὐδὲν ἄλλο πλὴν παραφροσύνη. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Ψυχὴν ἄρα ἀνόητον αἰσχρὰν καὶ ἄμετρον θετέον. ΘΕΑΙ. Ἔοικεν.

Nemo volens neque desipit neque peccat, cf. Protag. 345 D. Tim. 86 D. Lysis 208 A. Socrates RP 201 B.

249 Sext. Math. VII 16. Ὧν (τῶν εἰπόντων τῆς φιλοσοφίας τὸ μέν τι εἶναι φυσικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ λογικὸν) δυνάμει μὲν Πλάτων ἐστὶν ἀρχηγός, περὶ πολλῶν μὲν φυσικῶν, πολλῶν δὲ ἠθικῶν, οὐκ ὀλίγων δὲ λογικῶν διαλεχθείς[a]· ῥητότατα δὲ οἱ περὶ τὸν Ξενοκράτη καὶ οἱ ἀπὸ τοῦ Περιπάτου, ἔτι δὲ οἱ ἀπὸ τῆς Στοᾶς ἔχονται τῆσδε τῆς διαιρέσεως. partes philosophiae

a. Minus caute ad ipsum Platonem haec divisio refertur a Diogene III 56; ab Attico ap. Euseb. Pr. Ev. XI 2; a Cicerone Acad. I 19. Quamquam Platonem cogitando hanc fere partitionem tacite secutum esse intellegitur ex argumentis dialogorum, ut Timaeus fere totus est in physicis, Respublica et Leges maximam partem ethici argumenti, dialectici Parmenides, Theaetetus, Sophista. — De physicis disputationibus ab altiore philosophia alienis v. Phileb. 59 A. Tim. 59 C. Cf. RP 261 b.

250 Scripserunt de Platonis philosophia praeter eos quos commemoravimus: P. G. van Heusde, initia philosoph. Platonicae, ed. II, Lugd. Bat. 1842. D. Peipers, *Untersuch. ü. d. System P.s, I. Th.*, Lips. 1874. Teichmüller, *Studien zr. Gesch. d. Begriffe*, Berol. 1874. Cf. praeterea W. S. Teuffel, *Übersicht d. plat. Litt.*, Tubing. 1874, et C. Bursian, *Jahresber. ü. d. Fortschritte d. class. Altertumswiss.*, Berol. 1874 sq. H. Bonitz, *Platon. Studien*, 3. ed. Berol. 1886.

Dialectica.

Arist. Met. I 6. 987 a 29. *Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπεγένετο πραγματεία, τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν*[a]. *ἐκ νέου τε γὰρ συνήθης γενόμενος* 251

sensuum fides dubia — *πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν*[b]· *Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο γιγνόμενον καὶ οὐ τῶν αἰσθητῶν τινος· ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινος, ἀεί γε μεταβαλ-*

ideae — *λόντων. οὕτως*[1] *μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας*[c] *προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα*[d].

a. In antecedentibus dixerat de Pythagoreis et Eleatis.

b. Cf. quae de elementis naturae disputantur Tim. 49 B et de sensibus inter se discrepantibus Rep. VII 523 B sq. Omnino sensibus animum magis impediri quam iuvari statuit, cum sensus (*αἴσθησις*) sit ea animi affectio, quae de corpore pendeat atque una cum illo moveatur, Phileb. 34 A. Itaque sincerus philosophus fatale illud quo animus tenetur corporis consortium vivus resolvere et ultro emori debet philosophando, Phaed. 64 A sq. 65 E. Cave tamen putes omnem sensibus fidem a Platone denegatam esse, RP 267 c.

idea quid sit — c. *Εἶδος* et *ἰδέα* proprie significat formam sive speciem, quae cernitur oculis, per translationem id quod mente cernitur, v. Cic. Acad. 30. Apud Platonem nonnunquam dicitur eodem sensu quo notio et definitio, v. Rep. X 596 A *εἶδος γάρ πού τι ἓν ἕκαστον εἰώθαμεν τίθεσθαι περὶ ἕκαστα τὰ πολλά, οἷς ταὐτὸν ὄνομα ἐπιφέρομεν.* Theaet. 204 A *ἐχέτω δή, ὡς νῦν φαμεν, μία ἰδέα ἐξ ἑκάστων τῶν συναρμοττόντων στοιχείων γιγνομένη ἡ συλλαβή, ὁμοίως ἔν τε γράμμασι καὶ ἐν τοῖς ἄλλοις ἅπασιν.* Phaedr. 249 B *δεῖ γὰρ ἄνθρωπον ξυνιέναι κατ' εἶδος λεγόμενον, ἐκ πολλῶν ἰὸν αἰσθήσεων εἰς ἓν λογισμῷ ξυναιρούμενον.* In

---

1) *οὕτως* (i. e. his rationibus ductus) A b, Bonitz: *οὗτος* E, Bekk.

quo tamen cavendum ne in animo tantum eius qui cogitat exsistere ideas putemus, quod ipse Plato negat Parmen. 132 B Ἀλλὰ — μὴ τῶν εἰδῶν ἕκαστον ᾖ τούτων νόημα καὶ οὐδαμοῦ αὐτῷ προσήκῃ ἐγγίγνεσθαι ἄλλοθι ἢ ἐν ψυχαῖς: quam opinionem deinde ipse repudiat. Eo ipso Platonis doctrina a Socratis quam maxime distabat, quod ille ideas separatim a rebus exsistere docebat: cf. Ar. Met. XIII 4. 1078ᵇ 30 ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλου οὐ χωριστὰ ἐποίει οὐδὲ τοὺς ὁρισμούς (**RP** 195), οἱ δ' ἐχώρισαν καὶ τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσαν. Ib. 9. 1086ᵇ 2 τοῦτο (τὸ καθόλου) ἐκίνησε μὲν Σωκράτης διὰ τοὺς ὁρισμούς, οὐ μὴν ἐχώρισέ γε τῶν καθ' ἕκαστον, cf. **RP** 255 b. Quapropter Plato imaginibus ut assolet rem persequens ideas tanquam in alio mundo exsistere neque tam cogitari quam mente pura adspici iisque omnium sensibilium causas atque rationes contineri et ipsas etiam vita et motu atque intellectu praeditas esse docet. (Contra disputavit Teichmüller, *Stud.* 138. 255). Cf. Phaedr. 247 C, Tim. 28 A, 51 D sq., Phaed. 83 B, Sophist. 248 E (**RP** 254), Rep. VI 509 D, VII 517 B. Aristoteles ne Platonem ideas re vera in loco aliquo posuisse opinemur recte monet Phys. III 4. 203ᵃ 8 Πλάτων δὲ ἔξω (τοῦ οὐρανοῦ) μὲν οὐδὲν εἶναι σῶμα οὐδὲ τὰς ἰδέας διὰ τὸ μηδέ που εἶναι αὐτάς. Ib. IV 2. 209ᵇ 33 Πλάτωνι μέντοι λεκτέον —, διὰ τί οὐκ ἐν τόπῳ τὰ εἴδη καὶ οἱ ἀριθμοί. Restat ut tanquam divina et aeterna rerum exempla et exstent praeter res in sensus cadentes et insint atque operentur in mentibus et cogitationibus: cf. Arist. de An. III 4. 429ᵃ 27 καὶ εὖ δή οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν, **RP** 337 c. Omnibus autem ideis id commune, ut οὐσίαν contineant, h. e. substantiam aliquam generalem et unam, quae cernitur in multis rebus extra exsistentibus: unde efficitur ut unaquaeque idea sit ἓν ἐπὶ πολλῶν (Arist. Met. I 9. 990ᵇ 7; XIII 4. 1079ᵃ 3) et singulae appellentur ἑνάδες sive μονάδες, Plat. Phileb. 15 A. B. (**RP** 255) cf. Rep. VI 507 B πολλὰ καλὰ καὶ πολλὰ ἀγαθὰ καὶ ἕκαστα οὕτως εἶναί φαμεν —, καὶ αὐτὸ δὴ καλὸν καὶ αὐτὸ ἀγαθὸν καὶ οὕτω περὶ πάντων, ἃ τότε ὡς πολλὰ ἐτίθεμεν, πάλιν αὖ κατ' ἰδέαν μίαν ἑκάστου ὡς μιᾶς οὔσης τιθέντες ὃ ἔστιν ἕκαστον προσαγορεύομεν. — καὶ τὰ μὲν δὴ ὁρᾶσθαί φαμεν νοεῖσθαι δ' οὔ, τὰς δ' αὖ ἰδέας νοεῖσθαι μὲν ὁρᾶσθαι δ' οὔ. Cf. Phaedr. 237 B; Theaet. 201 E sq.; Conviv. 211 B, ubi ipsum pulchrum (h. e. pulchri idea) dicitur esse αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν, τὰ δὲ ἄλλα πάντα καλὰ ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων μηδὲν ἐκεῖνο μήτε τι πλέον μήτε ἔλαττον γίγνεσθαι μηδὲ πάσχειν μηδέν. — Etiam vilissimarum rerum sunt ideae, ita ut numero sint plurimae atque diversissimae, Parmen. 130 C (**RP** 255 b). Excipiuntur ea quae fiunt tantummodo et ad certam speciem nondum pervenerunt sicut odores (Tim. 66 D). Quod Aristoteles refert (Met. XII 3. 1070ᵃ 18 ὁ Πλάτων ἔφη ὅτι εἴδη ἐστὶν ὁπόσα φύσει, cf. ib. I 9. 990ᵇ 16. 991ᵇ 6) rerum arte factarum et τῶν πρός τι ideas a Platone negatas esse, senescentis magistri doctrinam respicere videtur.

ubi sit

et quomodo

natura aeterna et simplex

quot genera

Ritter, *Gesch. d. Ph.* II[2] 301. Z. II 1[3] 587. Idem Aristoteles de argumentis, quibus Plato suam de ideis doctrinam inter discipulos munire solebat, explicatius disputaverat in libro deperdito *περὶ ἰδεῶν* (fr. 1508[a] 20 sq. Rose), cf. Zeller, *Plat. Stud.* 232 sq.

d. Scripserunt de ideis Platonicis: Herbart, de Platonici systematis fundamento, Gott. 1805 (*Werke, Bd.* XII). Trendelenburg, P.s de ideis et numeris doctrina ex Aristot. illustr., Lips. 1826. Zeller, *plat. Stud.*, Tub. 1839, p. 197 sq. Maguire, *an essay on the Platonic idea,* Lond. 1866. H. Cohen, *d. plat. Ideenlehre psychol. entwickelt, Zs. f. Völkerpsych. IV*, Berol. 1866. Dieck, *Unters. zr. plat. Ideenlehre*, Progr. Port. 1876. H. Jackson, *Pl.s later theory of ideas* (*Journ. of philol.* X. XI. XIII. XIV), Lond. 1882 sq. G. Schneider, *d. plat. Metaphysik*, Lips. 1884.

cognoscendi condiciones

Cratyl. 439 C. *Πότερον φῶμέν τι εἶναι αὐτὸ καλὸν καὶ ἀγαθὸν καὶ ἓν ἕκαστον τῶν ὄντων οὕτως, ἢ μή; ΚΡ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Αὐτὸ τοίνυν ἐκεῖνο σκεψώμεθα, μὴ εἰ πρόσωπόν τί ἐστι καλὸν ἤ τι τῶν τοιούτων, καὶ δοκεῖ ταῦτα πάντα ῥεῖν, ἀλλ' αὐτό, φῶμεν, τὸ καλὸν οὐ τοιοῦτον ἀεί ἐστιν οἷόν ἐστιν; ΚΡ. Ἀνάγκη. ΣΩ. Ἆρ' οὖν οἷόν τε προσειπεῖν αὐτὸ ὀρθῶς, εἰ ἀεὶ ὑπεξέρχεται, πρῶτον μὲν ὅτι ἐκεῖνό ἐστιν, ἔπειτα ὅτι τοιοῦτον, ἢ ἀνάγκη ἅμα ἡμῶν λεγόντων ἄλλο αὐτὸ εὐθὺς γίγνεσθαι καὶ ὑπεξιέναι καὶ μηκέτι οὕτως ἔχειν; ΚΡ. Ἀνάγκη. ΣΩ. Πῶς οὖν ἂν εἴη τι ἐκεῖνο, ὃ μηδέποτε ὡσαύτως ἔχει; εἰ γάρ ποτε ὡσαύτως ἴσχει, ἔν γ' ἐκείνῳ τῷ χρόνῳ δῆλον ὅτι οὐδὲν μεταβαίνει· εἰ δὲ ἀεὶ ὡσαύτως ἔχει καὶ τὸ αὐτό ἐστι, πῶς ἂν τοῦτό γε μεταβάλλοι ἢ κινοῖτο μηδὲν ἐξιστάμενον τῆς αὐτοῦ ἰδέας; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ μὴν οὐδ' ἂν γνωσθείη γε ὑπ' οὐδενός. ἅμα γὰρ ἂν ἐπιόντος τοῦ γνωσομένου ἄλλο καὶ ἀλλοῖον γίγνοιτο, ὥστε οὐκ ἂν γνωσθείη ἔτι ὁποῖόν γέ τί ἐστιν ἢ πῶς ἔχον· γνῶσις δὲ δή που οὐδεμία γιγνώσκει ὃ γιγνώσκει μηδαμῶς ἔχον. ΚΡ. Ἔστιν ὡς λέγεις. ΣΩ. Ἀλλ' οὐδὲ γνῶσιν εἶναι φάναι εἰκός, ὦ Κρατύλε, εἰ μεταπίπτει πάντα χρήματα καὶ μηδὲν μένει. εἰ μὲν γὰρ αὐτὸ τοῦτο, ἡ γνῶσις, τοῦ γνῶσις εἶναι μὴ μεταπίπτει, μένοι τε ἂν ἀεὶ ἡ γνῶσις καὶ εἴη γνῶσις· εἰ δὲ καὶ αὐτὸ τὸ εἶδος μεταπίπτει τῆς γνώσεως, ἅμα τ' ἂν μεταπίπτοι εἰς ἄλλο εἶδος γνώσεως καὶ οὐκ ἂν εἴη γνῶσις· εἰ δὲ ἀεὶ μεταπίπτει, ἀεὶ οὐκ ἂν εἴη γνῶσις. καὶ ἐκ τούτου τοῦ λόγου οὔτε τὸ γνωσόμενον οὔτε τὸ γνωσθησόμενον ἂν εἴη. εἰ δὲ ἔστι μὲν ἀεὶ τὸ γιγνῶσκον, ἔστι δὲ τὸ γιγνωσκόμενον,* 252

ἐστι δὲ τὸ καλόν, ἔστι δὲ τὸ ἀγαθόν, ἔστι δὲ ἓν ἕκαστον τῶν ὄντων, οὔ μοι φαίνεται ταῦτα ὅμοια ὄντα, ἃ νῦν ἡμεῖς λέγομεν, ῥοῇ οὐδὲν οὐδὲ φορᾷ[a].

a. Dissensit in hoc ab Heracliteis, v. **RP** 26 a fin. — Cf. Sophist. 249 B *Καὶ μὴν ἐὰν αὖ φερόμενα καὶ κινούμενα πάντ' εἶναι συγχωρῶμεν, καὶ τούτῳ τῷ λόγῳ ταὐτὸν τοῦτο ἐκ τῶν ὄντων ἐξαιρήσομεν. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὸ αὐτὸ δοκεῖ σοι χωρὶς στάσεως γενέσθαι ποτ' ἄν; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Τί δ'; ἄνευ τούτων νοῦν καθορᾷς ὄντα ἢ γενόμενον ἂν καὶ ὁπουοῦν; ΘΕΑΙ. Ἥκιστα. ΞΕ. Καὶ μὴν πρός γε τοῦτον παντὶ λόγῳ μαχετέον, ὃς ἂν ἐπιστήμην ἢ φρόνησιν ἢ νοῦν ἀφανίζων ἰσχυρίζηταί περί τινος ὁπῃοῦν. ΘΕΑΙ. Σφόδρα γε.* — Rep. v. 476 E, **RP** 246. — Neque quidquam nostris opinionibus illa *ὄντα* afficiuntur, sed semper sibi constant, quod contra Protagoram (**RP** 179) monet Cratyl. 386 D *Οὐκοῦν εἰ μήτε πᾶσι πάντα ἐστὶν ὁμοίως ἅμα καὶ ἀεί, μήτε ἑκάστῳ ἰδίᾳ ἕκαστον τῶν ὄντων ἐστι, δῆλον δὴ ὅτι αὐτὰ αὑτῶν οὐσίαν ἔχοντά τινα βέβαιόν ἐστι τὰ πράγματα, οὐ πρὸς ἡμᾶς οὐδὲ ὑφ' ἡμῶν, ἑλκόμενα ἄνω καὶ κάτω τῷ ἡμετέρῳ φαντάσματι, ἀλλὰ καθ' αὑτὰ πρὸς τὴν αὑτῶν οὐσίαν ἔχοντα ᾗπερ πέφυκεν.* — Cognoscuntur autem arte dialectica, v. Rep. VII 532 A *οὕτω καὶ ὅταν τις τῷ διαλέγεσθαι ἐπιχειρῇ, ἄνευ πασῶν τῶν αἰσθήσεων διὰ τοῦ λόγου ἐπ' αὐτὸ ὃ ἔστιν ἕκαστον ὁρμᾷ, κἂν μὴ ἀποστῇ, πρὶν ἂν αὐτὸ ὃ ἔστιν ἀγαθὸν αὐτῇ νοήσει λάβῃ, ἐπ' αὐτῷ γίγνεται τῷ τοῦ νοητοῦ τέλει. — Τί οὖν; οὐ διαλεκτικὴν ταύτην τὴν πορείαν καλεῖς;* Cf. Phileb. 58 A; Sophist. 253 D, **RP** 247.

Heracliteï refutantur

dialectica via

253 A Theaet. 189 E. ΣΩ. *Τὸ δὲ διανοεῖσθαι ἆρ' ὅπερ ἐγὼ καλεῖς; ΘΕΑΙ. Τί καλῶν; ΣΩ. Λόγον ὃν αὐτὴ πρὸς αὑτὴν ἡ ψυχὴ διεξέρχεται περὶ ὧν ἂν σκοπῇ· ὥς γε μὴ εἰδώς σοι ἀποφαίνομαι. τοῦτο γάρ μοι ἰνδάλλεται διανοουμένη οὐκ ἄλλο τι ἢ διαλέγεσθαι, αὐτὴ ἑαυτὴν ἐρωτῶσα καὶ ἀποκρινομένη καὶ φάσκουσα καὶ οὐ φάσκουσα. ὅταν δὲ ὁρίσασα, εἴτε βραδύτερον εἴτε καὶ ὀξύτερον ἐπαΐξασα, τὸ αὐτὸ ἤδη φῇ καὶ μὴ διστάζῃ, δόξαν ταύτην τίθεμεν αὐτῆς. ὥστ' ἔγωγε τὸ δοξάζειν λέγειν καλῶ καὶ τὴν δόξαν λόγον εἰρημένον, οὐ μέντοι πρὸς ἄλλον οὐδὲ φωνῇ, ἀλλὰ σιγῇ πρὸς αὑτόν. σὺ δὲ τί; ΘΕΑΙ. Κἀγώ*[a]. cogitatio et oratio

253 B Soph. 261 E. ΞΕ. *Ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων διττὸν γένος. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ μὲν ὀνόματα, τὸ δὲ ῥήματα κληθέν. ΘΕΑΙ. Εἰπὲ ἑκάτερον. ΞΕ. Τὸ μὲν ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα ῥῆμά* nomen et verbum

που λέγομεν. ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δέ γ' ἐπ' αὐτοῖς τοῖς ἐκεῖνα πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν ὄνομα. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων οὐκ ἔστι ποτὲ λόγος, οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. ΘΕΑΙ. Ταῦτ' οὐκ ἔμαθον. ΞΕ. Δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι ξυνωμολόγεις, ἐπεὶ ταῦτ' αὐτὸ ἐβουλόμην εἰπεῖν, ὅτι συνεχῶς ὧδε λεγόμενα ταῦτα οὐκ ἔστι λόγος. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἷον βαδίζει τρέχει καθεύδει καὶ τἆλλα ὅσα πράξεις σημαίνει ῥήματα, κἂν πάντα τις ἐφεξῆς αὔτ' εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. ΘΕΑΙ. Πῶς γάρ; ΞΕ. Οὐκοῦν καὶ πάλιν ὅταν λέγηται λέων ἔλαφος ἵππος ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὀνομασθῇ, καὶ κατὰ ταύτην δὴ τὴν συνέχειαν οὐδείς πω ξυνέστη λόγος· οὐδεμίαν γὰρ οὔτε οὕτως οὔτ' ἐκείνως πρᾶξιν οὐδ' ἀπραξίαν οὐδὲ οὐσίαν ὄντος οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ. τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκή, σχεδὸν τῶν λόγων ὁ πρῶτος καὶ σμικρότατος. ΘΕΑΙ. Πῶς ἄρ' ὧδε λέγεις; ΞΕ. Ὅταν εἴπῃ τις ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; ΘΕΑΙ. Ἔγωγε. ΞΕ. Δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων ἢ γιγνομένων ἢ γεγονότων ἢ μελλόντων καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. διὸ λέγειν τε αὐτὸν ἀλλ' οὐ μόνον ὀνομάζειν εἴπομεν, καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Οὕτω δὴ καθάπερ τὰ πράγματα τὰ μὲν ἀλλήλοις ἥρμοττε τὰ δ' οὔ, καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα τὰ μὲν οὐχ ἁρμόττει, τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον ἀπειργάσατο. ΘΕΑΙ. Παντάπασι μὲν οὖν[b].

quot nomina tot entia

Soph. 237 D. Καὶ τοῦτο ἡμῖν που φανερόν, ὡς καὶ τὸ τὶ τοῦτο ῥῆμα ἐπ' ὄντι λέγομεν ἑκάστοτε· μόνον γὰρ αὐτὸ λέγειν ὥσπερ γυμνὸν καὶ ἀπηρημωμένον ἀπὸ τῶν ὄντων ἁπάντων ἀδύνατον· ἦ γάρ; ΘΕΑΙ. Ἀδύνατον. ΞΕ. Ἆρα τῇδε σκοπῶν ξύμφῃς, ὡς ἀνάγκη τόν τι λέγοντα ἕν γέ τι λέγειν; ΘΕΑΙ. Οὕτως. ΞΕ. Ἑνὸς γὰρ δή τό γε τὶ φήσεις 253 C

σημεῖον εἶναι, τὸ δὲ τινὲ δυοῖν, τὸ δὲ τινὲς πολλῶν. ΘΕΑΙ. Πῶς γὰρ οὔ;[c]

a. Sophist. 263 E *Οὐκοῦν διάνοια μὲν καὶ λόγος ταὐτόν· πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὑτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη, διάνοια; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Τὸ δέ γ' ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου κέκληται λόγος; ΘΕΑΙ. Ἀληθῆ.* — Sequitur ut ars dialectica cum in ideis atque notionibus recte copulandis dividendisque cernatur tum in vocabulis recte usurpandis atque consociandis, v. Cratyl. 390 C *Τὸν δὲ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον ἄλλο τι σὺ καλεῖς ἢ διαλεκτικόν; — Νομοθέτου δέ γε ὡς ἔοικεν (ἔργον ἐστὶ ποιῆσαι) ὄνομα ἐπιστάτην ἔχοντος διαλεκτικὸν ἄνδρα, εἰ μέλλει καλῶς ὀνόματα θήσεσθαι.* — Quamquam in vocabulorum significationibus non solum rerum naturam, sed etiam usum et casum multum valere existimabat, Cratyl. 435 C *ἐμοὶ μὲν οὖν καὶ αὐτῷ ἀρέσκει μὲν κατὰ τὸ δυνατὸν ὅμοια εἶναι τὰ ὀνόματα τοῖς πράγμασιν· ἀλλὰ μὴ ὡς ἀληθῶς — γλίσχρα ᾖ ἡ ὁλκὴ αὕτη τῆς ὁμοιότητος, ἀναγκαῖον δὲ ᾖ καὶ τῷ φορτικῷ τούτῳ προσχρῆσθαι, τῇ ξυνθήκῃ, εἰς ὀνομάτων ὀρθότητα.* — 436 B *δῆλον ὅτι ὁ θέμενος πρῶτος τὰ ὀνόματα, οἷα ἡγεῖτο εἶναι τὰ πράγματα, τοιαῦτα ἐτίθετο καὶ τὰ ὀνόματα. — εἰ οὖν ἐκεῖνος μὴ ὀρθῶς ἡγεῖτο, ἔθετο δὲ οἷα ἡγεῖτο, τί οἴει ἡμᾶς τοὺς ἀκολουθοῦντας αὐτῷ πείσεσθαι; ἄλλο τι ἢ ἐξαπατηθήσεσθαι;*

b. *Ὄνομα* est quidquid nomine suo propriam naturam indicat, *ῥῆμα* id quo de actionibus rei aliquid enuntiatur. — Sophist. 259 E *τελεωτάτη πάντων λόγων ἐστὶν ἀφάνισις τὸ διαλύειν ἕκαστον ἀπὸ πάντων· διὰ γὰρ τὴν ἀλλήλων τῶν εἰδῶν συμπλοκὴν ὁ λόγος γέγονεν ἡμῖν.* Cf. Classen, de grammaticae Graecae primordiis, Bonn. 1829, p. 45 sq. Deuschle, *d. plat. Sprachphilosophie,* Marb. 1852.

c. Haec eo redeunt, ut vel loquendo multas res et multas ideas esse comprobetur, si quidem diversis nominibus diversae res indicantur. Eadem ratione Eleaticorum ‚unum' impugnatur Sophist. 244 C *ΞΕ. Τό τε δύο ὀνόματα ὁμολογεῖν εἶναι μηδὲν θέμενον πλὴν ἓν καταγέλαστόν που. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Καὶ τὸ παράπαν γε ἀποδέχεσθαι τοῦ λέγοντος ὡς ἔστιν ὄνομά τι, λόγον οὐκ ἂν ἔχον. ΘΕΑΙ. Πῇ; ΞΕ. Τιθείς τε τοὔνομα τοῦ πράγματος ἕτερον δύο λέγει πού τινε. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἂν ταὐτόν γε αὐτῷ τιθῇ τοὔνομα, ἢ μηδενὸς ὄνομα ἀναγκασθήσεται λέγειν· εἰ δέ τινος αὐτὸ φήσει, συμβήσεται τὸ ὄνομα ὀνόματος ὄνομα μόνον, ἄλλου δὲ οὐδενὸς ὄν. ΘΕΑΙ. Οὕτως. ΞΕ. Καὶ τὸ ἕν γε, ἑνὸς ἓν ὂν μόνον, καὶ τοῦτο ὀνόματος αὖ τὸ ἓν ὄν. ΘΕΑΙ. Ἀνάγκη.*

254 Sophist. 248 E. *Τὸ δὲ γιγνώσκειν εἴπερ ἔσται ποιεῖν τι, τὸ γιγνωσκόμενον ἀναγκαῖον αὖ ξυμβαίνει πάσχειν, ὥστε τὴν* ideae vigent et moventur

οὐσίαν δὴ κατὰ τὸν λόγον τοῦτον γιγνωσκομένην ὑπὸ τῆς γνώσεως, καθ' ὅσον γιγνώσκεται, κατὰ τοσοῦτον κινεῖσθαι διὰ τὸ πάσχειν, ὃ δή φαμεν οὐκ ἂν γενέσθαι περὶ τὸ ἠρεμοῦν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Τί δὲ πρὸς Διός; ὡς ἀληθῶς κίνησιν καὶ ζωὴν καὶ ψυχὴν καὶ φρόνησιν ἦ ῥᾳδίως πεισθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι, μηδὲ ζῆν αὐτὸ μηδὲ φρονεῖν, ἀλλὰ σεμνὸν καὶ ἅγιον, νοῦν οὐκ ἔχον, ἀκίνητον ἑστὸς εἶναι; ΘΕΑΙ. Δεινὸν μέντ' ἄν, ὦ ξένε, λόγον συγχωροῖμεν. ΞΕ. Ἀλλὰ νοῦν μὲν ἔχειν, ζωὴν δὲ μὴ φῶμεν; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Ἀλλὰ ταῦτα μὲν ἀμφότερα ἐνόντ' αὐτῷ λέγομεν, οὐ μὴν ἐν ψυχῇ γε φήσομεν αὐτὸ ἔχειν αὐτά; ΘΕΑΙ. Καὶ τίν' ἂν ἕτερον ἔχοι τρόπον; ΞΕ. Ἀλλὰ δῆτα νοῦν μὲν καὶ ζωὴν καὶ ψυχήν, ἀκίνητον μέντοι τὸ παράπαν ἔμψυχον ὂν ἑστάναι; ΘΕΑΙ. Πάντα ἔμοιγε ἄλογα ταῦτ' εἶναι φαίνεται. ΞΕ. Καὶ τὸ κινούμενον δὴ καὶ κίνησιν συγχωρητέον ὡς ὄντα. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Ξυμβαίνει δ' οὖν, ὦ Θεαίτητε, ἀκινήτων τε ὄντων νοῦν μηδενὶ περὶ μηδενὸς εἶναι μηδαμοῦ. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν[a].

a. Etiam haec adversus Eleatas et Megaricos disputantur, v. RP 95. 223. Neque vero consentit cum Heraclito, cf. ib. 249 C *τῷ δὴ φιλοσόφῳ — ἀνάγκη διὰ ταῦτα μήτε τῶν ἓν ἢ καὶ τὰ πολλὰ εἴδη λεγόντων τὸ πᾶν ἑστηκὸς ἀποδέχεσθαι, τῶν τε αὖ πανταχῇ τὸ ὂν κινούντων μηδὲ τὸ παράπαν ἀκούειν* (cf. RP 252), *ἀλλὰ κατὰ τὴν τῶν παίδων εὐχήν, ὅσα ἀκίνητα καὶ κεκινημένα, τὸ ὄν τε καὶ τὸ πᾶν ξυναμφότερα λέγειν.* — copulatio idearum Porro et ipsas ideas vel consentire inter se vel dissentire et dissociabiles esse docebat, summasque vel maximas ideas vocabat eas quae cum 'plurimis consociari possent, velut in sermone vocales prae ceteris litteris haberant vim copulandi, cf. Sophist. 252 E sq. Tales ideas esse demonstrat potissimum hasce: *ὂν καὶ μὴ ὄν, κίνησιν καὶ στάσιν, ταὐτὸν καὶ θάτερον* (cf. Trendelenburg, *Gesch. d. Kategor.*, p. 205 sq.). Qua in demonstratione gravissimum est illud, quod contra Eleaticos etiam *μὴ ὄν* *μὴ ὂν* esse et ideam esse evincit 256 E *περὶ ἕκαστον ἄρα τῶν εἰδῶν πολὺ μέν ἐστι τὸ ὄν, ἄπειρον δὲ πλήθει τὸ μὴ ὄν.* Unumquodque enim ens non esse id quod ab eo diversum sit (*ἕτερον αὐτοῦ*): ib. 257 B sq. 258 D.

in ideis quomodo unum et multa Phileb. 14 C. ΣΩ. *Ἓν τὰ πολλὰ εἶναι καὶ τὸ ἓν πολλὰ* 255
θαυμαστὸν λεχθέν, καὶ ῥᾴδιον ἀμφισβητῆσαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ. — (Λέγω δὲ) ὁπόταν τὸ ἓν μὴ τῶν

γιγνομένων τε καὶ ἀπολλυμένων τις τιθῆται, καθάπερ ἀρτίως ἡμεῖς εἴπομεν· ἐνταυθοῖ μὲν γὰρ καὶ τὸ τοιοῦτον ἕν, ὅπερ εἴπομεν νῦν δή, συγκεχώρηται τὸ μὴ δεῖν ἐλέγχειν· ὅταν δέ τις ἕνα ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα καὶ τὸ καλὸν ἓν καὶ τὸ ἀγαθὸν ἕν, περὶ τούτων τῶν ἑνάδων καὶ τῶν τοιούτων ἡ πολλὴ ἀμφισβήτησις γίγνεται[a]. *ΠΡΩ. Πῶς; ΣΩ. Πρῶτον μὲν εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας ὑπολαμβάνειν ἀληθῶς οὔσας· εἶτα πῶς αὖ ταύτας, μίαν ἑκάστην οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον προσδεχομένην, ὅμως εἶναι βεβαιότατα μίαν ταύτην· μετὰ δὲ τοῦτ᾽ ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε διεσπασμένην καὶ πολλὰ γεγονυῖαν θετέον, εἴθ᾽ ὅλην αὐτὴν αὑτῆς χωρίς, ὃ δὴ πάντων ἀδυνατώτατον φαίνοιτ᾽ ἄν, ταὐτὸν καὶ ἓν ἅμα ἐν ἑνί τε καὶ πολλοῖς γίγνεσθαι*[b]. — *Φαμέν που ταὐτὸν ἓν καὶ πολλὰ ὑπὸ λόγων γιγνόμενα περιτρέχειν πάντῃ καθ᾽ ἕκαστον τῶν λεγομένων ἀεὶ καὶ πάλαι καὶ νῦν, καὶ τοῦτο οὔτε μὴ παύσηταί ποτε οὔτε ἤρξατο νῦν, ἀλλ᾽ ἔστι τὸ τοιοῦτον, ὡς ἐμοὶ φαίνεται, τῶν λόγων αὐτῶν ἀθάνατόν τι καὶ ἀγήρων πάθος ἐν ἡμῖν. ὁ δὲ πρῶτον αὐτοῦ γευσάμενος ἑκάστοτε τῶν νέων, ἡσθεὶς ὥς τινα σοφίας εὑρηκὼς θησαυρόν, ὑφ᾽ ἡδονῆς ἐνθουσιᾷ τε καὶ πάντα κινεῖ λόγον ἄσμενος, τοτὲ μὲν ἐπὶ θάτερα κυκλῶν καὶ συμφυρῶν εἰς ἕν, τοτέ δὲ πάλιν ἀνειλίττων καὶ διαμερίζων*[c]. — *Οὐ μὴν ἔστι καλλίων ὁδὸς οὐδ᾽ ἂν γένοιτο, ἧς ἐγὼ ἐραστὴς μέν εἰμι ἀεί, πολλάκις δέ με ἤδη διαφυγοῦσα ἔρημον καὶ ἄπορον κατέστησεν. ΠΡΩ. Τίς αὕτη; λεγέσθω μόνον. ΣΩ. Ἣν δηλῶσαι μὲν οὐ πάνυ χαλεπόν, χρῆσθαι δὲ παγχάλεπον· πάντα γὰρ ὅσα τέχνης ἐχόμενα ἀνευρέθη πώποτε, διὰ ταύτης φανερὰ γέγονε. σκόπει δὲ ἣν λέγω. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὥς γε καταφαίνεται ἐμοί, ποθὲν ἐκ θεῶν ἐρρίφη διά τινος Προμηθέως ἅμα φανοτάτῳ τινὶ πυρί· καὶ οἱ μὲν παλαιοί, κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ ἐκ πολλῶν ὄντων τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν ἑαυτοῖς ξύμφυτον ἐχόντων*[d]. *δεῖν οὖν ἡμᾶς τούτων οὕτω διακεκοσμημένων ἀεὶ μίαν ἰδέαν περὶ παντὸς ἑκάστοτε θεμένους ζητεῖν· εὑρήσειν γὰρ ἐνοῦσαν. ἐὰν οὖν μεταλάβωμεν, μετὰ μίαν δύο εἴ πώς εἰσι σκοπεῖν, εἰ δὲ μή, τρεῖς ἤ τινα*

ἄλλον ἀριθμόν, καὶ τῶν ἐν ἐκείνῳ [1] ἕκαστον πάλιν ὡσαύτως, μέχρι περ ἂν τὸ κατ' ἀρχὰς ἓν μὴ ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι μόνον ἴδῃ τις, ἀλλὰ καὶ ὁπόσα· τὴν δὲ τοῦ ἀπείρου ἰδέαν πρὸς τὸ πλῆθος μὴ προσφέρειν, πρὶν ἄν τις τὸν ἀριθμὸν αὐτοῦ πάντα κατίδῃ τὸν μεταξὺ τοῦ ἀπείρου τε καὶ τοῦ ἑνός· τότε δ' ἤδη τὸ ἓν ἕκαστον τῶν πάντων εἰς τὸ ἄπειρον μεθέντα χαίρειν ἐᾶν. οἱ μὲν οὖν θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν σκοπεῖν καὶ μανθάνειν καὶ διδάσκειν ἀλλήλους· οἱ δὲ νῦν τῶν ἀνθρώπων σοφοὶ ἓν μέν, ὅπως ἂν τύχωσι, τὰ [2] πολλὰ θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος, μετὰ δὲ τὸ ἓν ἄπειρα εὐθύς· τὰ δὲ μέσα αὐτοὺς ἐκφεύγει, οἷς διακεχώρισται τό τε διαλεκτικῶς πάλιν καὶ τὸ ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους [e].

a. In una quaque rerum mutabilium multas inesse et qualitates et partes concedi solet, sed de notionibus et ideis quo sensu dicatur illud ἓν καὶ πολλὰ magna est controversia. Cf. **RP** 251.

ideae a rebus seiunctae. **b.** Eaedem dubitationes moventur Parmen. 130 B sq., ubi Parmenides Socrati ideas statuenti adversaturus quaerit: αὐτὸς σὺ οὕτω διῄρησαι ὡς λέγεις χωρὶς μὲν εἴδη αὐτὰ ἄττα, χωρὶς δὲ τὰ τούτων αὖ μετέχοντα; καὶ τί σοι δοκεῖ εἶναι αὐτὴ ὁμοιότης (ipsa per se similitudo) χωρὶς ἧς ἡμεῖς ὁμοιότητος ἔχομεν, καὶ ἓν δὴ καὶ πολλὰ καὶ πάντα ὅσα νῦν δὴ Ζήνωνος ἤκουες; Ἔμοιγε, φάναι τὸν Σωκράτη. Ἦ καὶ τὰ τοιάδε, εἰπεῖν τὸν Παρμενίδην, οἷον δικαίου τι εἶδος αὐτὸ καθ' αὑτὸ καὶ καλοῦ καὶ ἀγαθοῦ πάντων αὖ τῶν τοιούτων; Ναί, φάναι. Τί δ', ἀνθρώπου εἶδος χωρὶς ἡμῶν καὶ τῶν οἷοι ἡμεῖς ἐσμεν πάντων, αὐτό τι εἶδος ἀνθρώπου ἢ πυρὸς ἢ καὶ ὕδατος; Ἐν ἀπορίᾳ, φάναι, πολλάκις δή, ὦ Παρμενίδη, περὶ αὐτῶν γέγονα πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων ἢ ἄλλως. Ἦ καὶ περὶ τῶνδε, ὦ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν ἂν εἶναι, οἷον θρὶξ καὶ πηλὸς καὶ ῥύπος ἢ ἄλλο ὅ τι ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε χρὴ φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρίς, ὂν ἄλλο αὐτῶν ὧν ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή; Οὐδαμῶς, φάναι τὸν Σωκράτη, ἀλλὰ ταῦτα μέν γε, ἅπερ ὁρῶμεν, ταῦτα καὶ εἶναι, εἶδος δέ τι αὐτῶν οἰηθῆναι εἶναι μὴ λίαν ᾖ ἄτοπον. ἤδη μέντοι ποτέ με καὶ ἔθραξε μή τι ᾖ περὶ πάντων ταὐτόν· ἔπειτα ὅταν ταύτῃ στῶ, φεύγων οἴχομαι, δείσας μή ποτε εἴς τιν' ἄβυθον φλυαρίαν ἐμπεσὼν διαφθαρῶ. Cf. Stallbaum, Proleg. Parm., Lips. 1839, p. 43 sq.

c. Verbis ἓν καὶ πολλὰ ὑπὸ λόγων ταὐτὸν γιγνόμενα significatur

---

1) τῶν ἐν ἐκείνῳ Ast et Stallbaum: τῶν ἓν ἐκείνων libri: ἓν ἐκείνων Zeller. — 2) τὰ Dindorf, Herm.: καὶ libri.

ea disserendi ars, qua efficitur ut genera in partes dividantur et vicissim partes ad genera sua referantur (cf. Sophist. 253 B RP 247; Phaedr. 265 D). — Procl. in Euclid. p. 58 Bas. 211, 19 Friedl.: καλλίστη μὲν (μέθοδος) ἡ διὰ τῆς ἀναλύσεως ἐπ' ἀρχὴν ὁμολογουμένην ἀνάγουσα τὸ ζητούμενον, ἣν καὶ ὁ Πλάτων ὥς φασιν Λεωδάμαντι παρέδωκεν, ἀφ' ἧς καὶ ἐκεῖνος πολλῶν κατὰ γεωμετρίαν εὑρετὴς ἱστόρηται γενέσθαι· δευτέρα δὲ ἡ διαιρετικὴ κατ' ἄρθρα μὲν διαιροῦσα τὸ προκείμενον γένος, ἀφορμὴν δὲ τῇ ἀποδείξει παρεχομένη διὰ τῆς τῶν ἄλλων ἀναιρέσεως τῆς τοῦ προκειμένου κατασκευῆς, ἣν καὶ αὐτὴν ὁ Πλάτων ἐξύμνησεν ὡς πάσαις ταῖς ἐπιστήμαις ἐπίκουρον γινομένην. Cum utraque coniunctissima est ea quae dicitur hypothetica, qua res aliqua s. idea primum tamquam satis nota ponitur, deinde disserendo comprobatur ita, ut per altiores quasque ideas assurgendo investigetur ea quae est summa et ἀνυπόθετος (v. Phaed. 101 D; Meno 86 E; Rep. VI 511 B). Huius species est illa, quae per antinomias procedit, qua in Parmenide potissimum utitur, cf. 135 E χρὴ δὲ καὶ τόδε ἔτι πρὸς τούτῳ ποιεῖν, μὴ μόνον εἰ ἔστιν ἕκαστον ὑποτιθέμενον σκοπεῖν τὰ συμβαίνοντα ἐκ τῆς ὑποθέσεως, ἀλλὰ καὶ εἰ μή ἐστι τὸ αὐτο τοῦτὸ ὑποτίθεσθαι, εἰ βούλει μᾶλλον γυμνασθῆναι. Cf. Stallbaum Proleg. Parm. p. 310, Brandis *Hdb.* II 1, 259, Prantl *Gesch. d. Logik* I, 80.

disputandi ratio analytica

distinctiva

hypothetica

d. Videtur dicere Pythagoreos, cf. RP 52. De Platonis sententia v. Phileb. 24 sq.

e. Proposito aliquo genere non ad infinitam illico multitudinem cogitatione festinandum, sed singulis speciebus accurate exploratis et subdivisis quot eo contineantur formae certa ratione dignoscendum. Cf. Politic. 285 A.

256 Phaed. 96 A. Ἐγὼ γάρ, ἔφη (ὁ Σωκράτης), ὦ Κέβης, — νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῷα ξυντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ, ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην. καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν

physicorum causae non sufficiunt

σκέψιν ἀφυὴς εἶναι ὡς οὐδὲν χρῆμα[a]. — 97 B. Ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινός, ὡς ἔφη, Ἀναξαγόρου ἀναγιγνώσκοντος καὶ λέγοντος ὡς ἄρα νοῦς ἐστιν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ ὅπῃ ἂν βέλτιστα ἔχῃ· εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστιν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν· ἐκ δὲ δὴ τοῦ λόγου τούτου οὐδὲν ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ ἐκείνου καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον. ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. ταῦτα δὴ λογιζόμενος ἄσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν, καί μοι φράσειν πρῶτον μὲν πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη, ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγήσεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαίνοιτο, παρεσκευάσμην ὡς οὐκέτι ποθεσόμενος αἰτίας ἄλλο εἶδος. — ἑκάστῳ οὖν αὐτὸν ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ πᾶσι τὸ ἑκάστῳ βέλτιστον ᾤμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεκδιηγήσεσθαι ἀγαθόν· καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους ὡς τάχιστα οἷός τ' ἦν ἀνεγίγνωσκον, ἵν' ὡς τάχιστα εἰδείην τὸ βέλτιστον καὶ τὸ χεῖρον[b].

(margin: neque Anaxagorae)

a. Significantur de animalium ortu quae docuerant Anaximander et Anaxagoras **RP** 16. 127 B. Mentis vim in sanguine inesse censuerat Empedocles **RP** 139 C, in aëre Diogenes **RP** 167, in igne Heraclitus **RP** 30 C, in cerebro Alcmaeo (**RP** 55 c), v. Theophrast. de sens. 26. Dox. 507; Plac. I 17, 1. Dox. 407. — Aristotelis iudicium v. **RP** 9 A a.

(margin: causa principalis et adiuncta)

b. In sequentibus narrat se apud ipsum Anaxagoram longe aliter omnia repperisse, v. **RP** 123 d. Denique sic pergit 99 A ἀλλ' αἴτια μὲν τὰ τοιαῦτα καλεῖν λίαν ἄτοπον. εἰ δέ τις λέγοι ὅτι ἄνευ τοῦ τὰ τοιαῦτα ἔχειν καὶ ὀστᾶ καὶ νεῦρα καὶ ὅσα ἄλλα ἔχω (Σωκράτης), οὐκ ἂν οἷός τ' ἦν ποιεῖν τὰ δόξαντά μοι, ἀληθῆ ἂν λέγοι· ὡς μέντοι διὰ

ταῦτα ποιῶ ἃ ποιῶ καὶ ταῦτα νῷ πράττω, ἀλλ' οὐ τῇ τοῦ βελτίστου αἱρέσει, πολλὴ ἂν καὶ μακρὰ ῥαθυμία εἴη τοῦ λόγου. τὸ γὰρ μὴ διελέσθαι οἷόν τ' εἶναι ὅτι ἄλλο μέν τί ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δ' ἐκεῖνο ἄνευ οὗ τὸ αἴτιον οὐκ ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. διὸ δὴ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ ποιεῖ τὴν γῆν (RP 135 b), *ὁ δὲ ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει* (RP 19 A)· *τὴν δὲ τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν ἔχειν, ἀλλὰ ἡγοῦνται τούτου Ἄτλαντα ἄν ποτε ἰσχυρότερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα ξυνέχοντα ἐξευρεῖν, καὶ ὡς ἀληθῶς τἀγαθὸν καὶ δέον ξυνδεῖν καὶ ξυνέχειν οὐδὲν οἴονται.*

258 Phileb. 30 A. *Τὸ παρ' ἡμῖν σῶμα ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν; ΠΡΩ. Δῆλον ὅτι φήσομεν. ΣΩ. Πόθεν, ὦ φίλε Πρώταρχε, λαβόν, εἴπερ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταὐτά γε ἔχον τούτῳ καὶ ἔτι πάντῃ καλλίονα; ΠΡΩ. Δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες. ΣΩ. Οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρώταρχε, τὰ τέτταρα ἐκεῖνα, πέρας καὶ ἄπειρον καὶ κοινὸν καὶ τὸ τῆς αἰτίας γένος, ἐν ἅπασι τέταρτον ἐνόν*[a], *τοῦτο ἐν μὲν τοῖς παρ' ἡμῖν ψυχήν τε παρέχον καὶ σωμασκίαν ἐμποιοῦν καὶ πταίσαντος σώματος ἰατρικὴν καὶ ἐν ἄλλοις ἄλλα συντιθὲν καὶ ἀκούμενον πᾶσαν καὶ παντοίαν σοφίαν ἐπικαλεῖσθαι, τῶν δ' αὐτῶν τούτων ὄντων ἐν ὅλῳ τε οὐρανῷ καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι καλῶν καὶ εἰλικρινῶν, ἐν τούτοις δ' οὐκ ἄρα μεμηχανῆσθαι τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν; ΠΡΩ. Ἀλλ' οὐδαμῶς τοῦτό γ' ἂν λόγον ἔχοι. ΣΩ. Οὐκοῦν εἰ μὴ τοῦτο, μετ' ἐκείνου τοῦ λόγου ἂν ἑπόμενοι βέλτιον λέγοιμεν, ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολύ, καὶ πέρας ἱκανόν, καί τις ἐπ' αὐτοῖς αἰτία οὐ φαύλη κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ' ἄν. ΠΡΩ. Δικαιότατα δῆτα. ΣΩ. Σοφία μὴν καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην*[b]. *ΠΡΩ. Οὐ γὰρ οὖν. ΣΩ. Οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι διὰ τὴν τῆς αἰτίας δύναμιν, ἐν δὲ ἄλλοις ἄλλα καλά, καθ' ὃ φίλον ἑκάστοις λέγεσθαι*[c]*; ΠΡΩ. Μάλα γε. ΣΩ. Τοῦτον δὴ τὸν λόγον ἡμᾶς μή τι μάτην δόξῃς, ὦ*

quattuor principia

mens mundi

Πρώταρχε, εἰρηκέναι, ἀλλ' ἔστι τοῖς μὲν πάλαι ἀποφηναμένοις, ὡς ἀεὶ τοῦ παντὸς νοῦς ἄρχει, ξύμμαχος ἐκείνοις[d].

a. Quattuor genera sunt *τὸ ἄπειρον* h. e. materia, *τὸ πέρας* h. e. ratio mathematica s. numeri, *τὸ μικτὸν ἐκ τούτοιν ἀμφοῖν* h. e. mundus, denique *τὸ ποιοῦν καὶ τὸ αἴτιον* h. e. deus creator, quo omnium rerum causae continentur. Cf. Z. II 1[3], 577[1]. Ad ideas *τὸ πέρας* referendum esse censent Brandis, Steinhart, Teichmüller, alii.

b. Cf. Sophist. 249 A **RP** 254; Tim. 30 B.

deus et dii **c.** Cf. Phaedr. 246 E *ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς ἐλαύνων πτηνὸν ἅρμα πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος —, τῶν δὲ ἄλλων, ὅσοι ἐν τῷ τῶν δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες, ἡγοῦνται κατὰ τάξιν ἣν ἕκαστος ἐτάχθη —, πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ.* Quamquam a Platone, sicubi de rebus divinis sermo est, *οἱ θεοὶ* saepius nominantur (cf. de Leg. X 899 D sq.), tamen re vera unum deum esse simplicem et aeternum et puram mentem statuebat vulgaribus poetarum traditionibus acerrime adversatus, cf. Tim. 37 D, 52 A, Conviv. 208 B, Rep. II 377 D sq., 380 D.

d. Significat Anaxagoram, cf. Cratyl. 413 C *εἶναι δὲ τὸ δίκαιον ὃ λέγει Ἀναξαγόρας, νοῦν εἶναι τοῦτο· αὐτοκράτορα γὰρ αὐτὸν ὄντα καὶ οὐδενὶ μεμιγμένον πάντα φησὶν αὐτὸν κοσμεῖν τὰ πράγματα διὰ πάντων ἰόντα,* v. **RP** 123.

natura dei Aliis locis deus omnium idearum, maximarum minimarum, causa esse significatur, Rep. X 597 B. C, aliis omnium rerum principium et finis atque mensura appellatur, Leg. IV 715 E, 716 C. Aliis deo absolutam scientiam tribuit, **RP** 245, aliis omne bonum ab eo repetendum esse dicit, Rep. II 380 D sq., aliis eum *τὸν ἀληθινὸν ἅμα καὶ θεῖον νοῦν* appellat et idem esse atque bonum diserte pronuntiat, Phileb. 22 C. Denique cum ipsius intellectus divini motus a nobis cerni non possit, ex motibus corporum coelestium de eo existimandum esse censet Leg. X 897 D, quibuscum conferenda quae similiter de idea boni disseruntur Rep. VI 508 C sq. (**RP** 259). Quapropter recte statuisse videntur qui deum atque boni ideam Platoni eodem venisse putaverunt, velut Ritter (*Gesch. d. Phil.* II 313 sq.), Brandis (*Hdb.* II 1, 323 sq.), Bonitz (disput. Platonicae duae, Dresd. 1837), Zeller (*Phil. d. Gr.* II 1[3], 591 sq.); quamquam dissentiunt alii, velut C. F. Hermann (ind. lect. Marb. 18$^{32}/_{33}$) et Trendelenburg (de Plat. Philebi consilio p. 17 sq.). Certe Plato substantiam dei absolute bonam esse putabat (**RP** 263) neque quidquid mali et imperfecti in mundo inest ullo pacto deo tribuendum, Rep. II 379 C. *Οὐκ ἄρα πάντων γε αἴτιον τὸ ἀγαθόν, ἀλλὰ τῶν μὲν εὖ ἐχόντων αἴτιον, τῶν δὲ κακῶν ἀναίτιον. Παντελῶς γ', ἔφη. Οὐδ' ἄρα, ἦν δ' ἐγώ, ὁ θεός, ἐπειδὴ ἀγαθός, πάντων ἂν εἴη αἴτιος, ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλ' ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος, πολλῶν δὲ ἀναίτιος· πολὺ γὰρ*

deus non est causa mali

ἐλάττω τἀγαθὰ τῶν κακῶν ἡμῖν· καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Ἀληθέστατα, ἔφη, δοκεῖς μοι λέγειν. — Tim. 68 E ταῦτα δὴ πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης, ὁ τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν τοῖς γιγνομένοις παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τὸν τελεώτατον θεὸν (οὐρανὸν) ἐγέννα, χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γιγνομένοις αὐτός, cf. **RP** 266 g.

259 De Rep. VI 508 C. Ὀφθαλμοί, ἦν δ' ἐγώ, οἶσθ' ὅτι, ὅταν μηκέτι ἐπ' ἐκεῖνά τις αὐτοὺς τρέπῃ, ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν φῶς ἐπέχῃ, ἀλλὰ ὧν νυκτερινὰ φέγγη, ἀμβλυώττουσί τε καὶ ἐγγὺς φαίνονται τυφλῶν, ὥσπερ οὐκ ἐνούσης καθαρᾶς ὄψεως; Καὶ μάλα, ἔφη. Ὅταν δέ γ', οἶμαι, ὧν ὁ ἥλιος καταλάμπῃ, σαφῶς ὁρῶσι, καὶ τοῖς αὐτοῖς τούτοις ὄμμασιν ἐνοῦσα φαίνεται. Τί μήν; Οὕτω τοίνυν καὶ τὸ τῆς ψυχῆς ὧδε νόει· ὅταν μέν, οὗ καταλάμπει ἀλήθειά τε καὶ τὸ ὄν, εἰς τοῦτο ἀπερείσηται, ἐνόησέ τε καὶ ἔγνω αὐτὸ καὶ νοῦν ἔχειν φαίνεται· ὅταν δὲ εἰς τὸ τῷ σκότῳ κεκραμένον, τὸ γιγνόμενόν τε καὶ ἀπολλύμενον, δοξάζει τε καὶ ἀμβλυώττει ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον καὶ ἔοικεν αὖ νοῦν οὐκ ἔχοντι. Ἔοικε γάρ. Τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φάθι εἶναι, αἰτίαν δ' ἐπιστήμης οὖσαν καὶ ἀληθείας ὡς γιγνωσκομένης μὲν διανοοῦ, οὕτω δὲ καλῶν ἀμφοτέρων ὄντων, γνώσεώς τε καὶ ἀληθείας, ἄλλο καὶ κάλλιον ἔτι τούτων ἡγούμενος αὐτὸ ὀρθῶς ἡγήσει· ἐπιστήμην δὲ καὶ ἀλήθειαν, ὥσπερ ἐκεῖ φῶς τε καὶ ὄψιν ἡλιοειδῆ μὲν νομίζειν ὀρθόν, ἥλιον δὲ ἡγεῖσθαι οὐκ ὀρθῶς ἔχει, οὕτω καὶ ἐνθάδε ἀγαθοειδῆ μὲν νομίζειν ταῦτ' ἀμφότερα ὀρθόν, ἀγαθὸν δὲ ἡγεῖσθαι ὁπότερον αὐτῶν οὐκ ὀρθόν, ἀλλ' ἔτι μειζόνως τιμητέον τὴν τοῦ ἀγαθοῦ ἕξιν. Ἀμήχανον κάλλος, ἔφη, λέγεις, εἰ ἐπιστήμην μὲν καὶ ἀλήθειαν παρέχει, αὐτὸ δ' ὑπὲρ ταῦτα κάλλει ἐστίν· οὐ γὰρ δήπου σύ γε ἡδονὴν αὐτὸ λέγεις. Εὐφήμει, ἦν δ' ἐγώ· ἀλλ' ὧδε μᾶλλον τὴν εἰκόνα αὐτοῦ ἔτι ἐπισκόπει. Πῶς; Τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον, οἶμαι, τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φήσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην καὶ τροφήν, οὐ γένεσιν αὐτὸν ὄντα. Πῶς γάρ; Καὶ τοῖς γιγνωσκομένοις τοίνυν

idea boni

est causa scientiae

μὴ μόνον τὸ γιγνώσκεσθαι φάναι ὑπὸ τοῦ ἀγαθοῦ παρεῖναι, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ τὴν οὐσίαν ὑπ᾽ ἐκείνου αὐτοῖς

et essentiae προσεῖναι, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ᾽ ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος[a].

a. Rep. VI 509 D λέγομεν δύω αὐτὼ εἶναι καὶ βασιλεύειν τὸ μὲν (τὸ ἀγαθὸν) νοητοῦ γένους τε καὶ τόπου τὸ δ᾽ αὖ (τὸν ἥλιον) ὁρατοῦ. In sequentibus imagine nobilissima illustratur sensim sensimque cognitionem humanam ex tenebris falsisque opinionum simulacris ad lucem et rerum veritatem eniti, VII 514 sq. Denique ita sententiam suam complectitur 517 B: τὰ δ᾽ οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται, ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη, καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ. Cf. Rep. VI 504 E,

tres species boni VII 534 E (cf. RP 247 c). — Phileb. 65 A οὐκοῦν εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι, σὺν τρισὶ λαβόντες, κάλλει καὶ ξυμμετρίᾳ καὶ ἀληθείᾳ, λέγωμεν ὡς τοῦτο οἷον ἓν ὀρθότατ᾽ ἂν αἰτιασαίμεθ᾽ ἂν τῶν ἐν τῇ συμμίξει, καὶ διὰ τοῦτο ὡς ἀγαθὸν ὂν τοιαύτην αὐτὴν γεγονέναι. —

unum bonum Posteriore aetate eum inter discipulos explicatius de idea boni disputasse argumentis adhibitis mathematicis et astronomicis testis est Aristoxenus Harm. El. II p. 30 Meib. — — καθάπερ Ἀριστοτέλης ἀεὶ διηγεῖτο τοὺς πλείστους τῶν ἀκουσάντων παρὰ Πλάτωνος τὴν περὶ τἀγαθοῦ ἀκρόασιν παθεῖν. προσιέναι μὲν γὰρ ἕκαστον ὑπολαμβάνοντα λήψεσθαί τι τῶν νομιζομένων τούτων ἀνθρωπίνων ἀγαθῶν, οἷον πλοῦτον ὑγίειαν ἰσχύν, τὸ ὅλον εὐδαιμονίαν τινὰ θαυμαστήν. ὅτε δὲ φανείησαν οἱ λόγοι περὶ μαθημάτων καὶ ἀριθμῶν καὶ γεωμετρίας καὶ ἀστρολογίας καὶ τὸ πέρας ὅτι ἀγαθόν ἐστιν ἕν, παντελῶς οἶμαι παράδοξόν τι ἐφαίνετο αὐτοῖς. — Cf. Arist. Met. XIV 4. 1091^{b} 13 τῶν δὲ τὰς ἀκινήτους οὐσίας εἶναι λεγόντων οἱ μέν φασιν αὐτὸ τὸ ἓν τὸ ἀγαθὸν αὐτὸ εἶναι· οὐσίαν μέντοι τὸ ἓν αὐτοῦ ᾤοντο εἶναι μάλιστα, quae verba a Syriano ad Platonem referuntur.

sensibilia Aristot. Met. I 6. 987^{b} 7 (cf. **RP** 251). Οὕτως μὲν οὖν 260
τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ᾽ αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων τοῖς εἴδεσιν[a]. τὴν δὲ μέθεξιν τοὔνομα μόνον μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών[b]. τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν, ἥτις ἂν εἴη τῶν εἰδῶν, ἀφεῖσαν ἐν κοινῷ

mathematica ζητεῖν[c]. ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθη-

ματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀίδια καὶ ἀκίνητα εἶναι, τῶν δ᾽ εἰδῶν τῷ τὰ μὲν πόλλ᾽ ἄττα ὅμοια εἶναι, τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον[d]. ἐπεὶ δ᾽ αἴτια τὰ εἴδη τοῖς ἄλλοις, τἀκείνων στοιχεῖα πάντων ᾠήθη τῶν ὄντων εἶναι στοιχεῖα[e]. ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν εἶναι ἀρχάς, ὡς δ᾽ οὐσίαν τὸ ἕν· ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς τὰ εἴδη[1] εἶναι τοὺς ἀριθμούς[f].

a. De μεθέξει cf. Conviv. 211 B (RP 251 c); Sophist. 259 A; Parm. 130 B. Eadem παρουσία vocatur Phaed. 100 D: οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἡ ἐκείνου τοῦ καλοῦ παρουσία εἴτε κοινωνία εἴτε ὅπῃ δὴ καὶ ὅπως προσγενομένη. — Itaque ideae prima exempla rerum sensibilium, Parm. 132 D ἀλλ᾽, ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν· τὰ μὲν εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει, τὰ δὲ ἄλλα τούτοις ἐοικέναι καὶ εἶναι ὁμοιώματα· καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τις ἢ εἰκασθῆναι αὐτοῖς: ad quem locum respiciens Aristoteles Met. I 9. 991ᵃ 20 τὸ δὲ λέγειν inquit παραδείγματα αὐτὰ εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστι καὶ μεταφορὰς λέγειν ποιητικάς. Similiter Plato deum creatorem in ideas intuentem facit Tim. 28 A. 30 C. 50 D sq.

b. De Pythagoreis cf. RP 54 d.

c. Arist. Met. I 6. 988ᵃ 8 φανερὸν δ᾽ ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν ἐστὶ μόνον κεχρημένος, τῇ τε τοῦ τί ἐστι καὶ τῇ κατὰ τὴν ὕλην· τὰ γὰρ εἴδη τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δ᾽ εἴδεσι τὸ ἕν: sed singularum rerum natura minime ita expediebatur, v. Met. I 9. 991ᵃ 8 πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις, τί ποτε συμβάλλεται τὰ εἴδη ἢ τοῖς ἀιδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ φθειρομένοις· οὔτε γὰρ κινήσεως οὔτε μεταβολῆς οὐδεμιᾶς ἐστιν αἴτια αὐτοῖς, cf. XII 10 extr., XIII 9 extr.

d. Met. VII 2. 1028ᵇ 18 ἔτι παρὰ τὰ αἰσθητὰ οἱ μὲν οὐκ οἴονται εἶναι οὐθὲν τοιοῦτον, οἱ δὲ πλείω καὶ μᾶλλον ὄντα ἀίδια, ὥσπερ Πλάτων τά τε εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας, τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. — Ibid. III 6. 1002ᵇ 14 τὰ μὲν μαθηματικὰ τῶν δεῦρο (τῶν αἰσθητῶν) ἄλλῳ μέν τινι διαφέρει, τῷ δὲ πόλλ᾽ ἄττα ὁμοειδῆ εἶναι οὐθὲν διαφέρει. Itaque mathematica, cum in medio posita sint inter sensibilia et ideas, saepe ab Aristotele appellantur τὰ μεταξύ, velut Met. III 2. 997ᵇ 2. 13.

e. Met. I 9. 991ᵇ 3 ἐν δὲ Φαίδωνι (100 B sq.) οὕτως λέγεται, ὡς

1) τὰ εἴδη delebat Zeller.

καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐστίν. De Gen. et Corr. II 9. 335b 10.

numeri ideales f. Pertinent haec ad ideas numerorum s. numeros qui vocantur ideales (*εἰδητικοί, νοητοί, πρῶτοι*), de quibus disputaverunt Trendelenburg, Plat. de ideis et numeris doctr. ex Arist. illustr., Lips. 1826, p. 71 sq. Idem, comm. in Arist. de An. p. 222 sq., Brandis, Mus. Rh. II (1828) p. 558—587. *Hdb.* II 1, 306 sq. Zeller, *Plat. Stud.* p. 239 sq. *Ph. d. Gr.* II 1³, 567—574. — Magnum et parvum (*τὸ μέγα καὶ τὸ μικρόν*) Platonem vocasse quod cum Pythagoreis ipse in Philebo 23 C sq. dixerat infinitum, h. e. materiam quandam et idearum et numerorum (in quibus appellatur *ἀόριστος δυάς*), Aristoteles testatur, sed magna est controversia, num hic verba quae ex ore illius in scholis audiverat recte interpretatus sit. Cf. Z. II 1³, 628 sq. Ex his numeris efficiuntur corporum spatia, cf. Arist. Met. XIV 3. 1090b 20 *τοῖς δὲ τὰς ἰδέας τιθεμένοις τοῦτο μὲν ἐκφεύγει· ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ ἀριθμοῦ, ἐκ μὲν τῆς δυάδος τὰ μήκη, ἐκ τριάδος δ' ἴσως τὰ ἐπίπεδα, ἐκ δὲ τῆς τετράδος τὰ στερεά.* Etiam scientiae varios gradus ad numeros rettulit, cf. Arist. de An. I 2. 404b 16: *τὸν αὐτὸν δὲ τρόπον καὶ Πλάτων ἐν τῷ Τιμαίῳ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ· γιγνώσκεσθαι γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, τὰ δὲ πράγματα ἐκ τῶν ἀριθμῶν εἶναι* (cf. Zeller, *Pl. Stud.* p. 213). *ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις διωρίσθη, αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰ δ' ἄλλα ὁμοιοτρόπως. ἔτι δὲ καὶ ἄλλως νοῦν μὲν τὸ ἕν, ἐπιστήμην* (cf. *διάνοιαν* Rep. VI 511 D) *δὲ τὰ δύο· μοναχῶς γὰρ ἐφ' ἕν· τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ· οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη αὐτὰ καὶ ἀρχαὶ ἐλέγοντο, εἰσὶ δ' ἐκ τῶν στοιχείων· κρίνεται δὲ τὰ πράγματα τὰ μὲν νῷ τὰ δ' ἐπιστήμῃ τὰ δὲ δόξῃ τὰ δ' αἰσθήσει· εἴδη δ' οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων.* — A mathematicis numeris ideales ita differre docebat, ut ideales neque possent summam facere neque ultra decadem procederent.

Physica.

---

mens et necessitas principia mundi Tim. 47 E. *Τὰ μὲν οὖν παρεληλυθότα τῶν εἰρημένων* — 261 *ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα· δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι. μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη. νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν*

αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν, ταύτῃ κατὰ ταῦτά τε δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος οὕτω κατ' ἀρχὰς ξυνίστατο τόδε τὸ πᾶν[a]. — 48 E. Ἡ δ' οὖν αὖθις ἀρχὴ περὶ τοῦ παντὸς ἔστω μειζόνως τῆς πρόσθεν διῃρημένη. τότε μὲν γὰρ δύο εἴδη διειλόμεθα, νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν δηλωτέον, τὰ μὲν γὰρ δύο ἱκανὰ ἦν ἐπὶ τοῖς ἔμπροσθεν λεχθεῖσιν, ἓν μὲν ὡς παραδείγματος εἶδος ὑποτεθέν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὄν, μίμημα δὲ παραδείγματος δεύτερον, γένεσιν ἔχον καὶ ὁρατόν[b]. τρίτον δὲ τότε μὲν οὐ διειλόμεθα, νομίσαντες τὰ δύο ἕξειν ἱκανῶς, νῦν δὲ ὁ λόγος ἔοικεν εἰσαναγκάζειν χαλεπὸν καὶ ἀμυδρὸν εἶδος ἐπιχειρεῖν λόγοις ἐμφανίσαι. τίν' οὖν ἔχον δύναμιν κατὰ φύσιν αὐτὸ ὑποληπτέον; τοιάνδε μάλιστα, πάσης εἶναι γενέσεως ὑποδοχὴν αὐτὴν οἷον τιθήνην[c]. materia

a. Cf. Tim. 46 D τὸν δὲ νοῦ καὶ ἐπιστήμης ἐραστὴν ἀνάγκη τὰς τῆς ἔμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν, ὅσαι δὲ ὑπ' ἄλλων μὲν κινουμένων ἕτερα δὲ ἐξ ἀνάγκης κινούντων γίγνονται, δευτέρας. — 68 E διὸ δὴ χρὴ δύ' αἰτίας εἴδη διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον τὸ δὲ θεῖον, καὶ τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος βίου, καθ' ὅσον ἡμῶν ἡ φύσις ἐνδέχεται, τὸ δὲ ἀναγκαῖον ἐκείνων χάριν, λογιζόμενον ὡς ἄνευ τούτων οὐ δυνατὰ αὐτὰ ἐκεῖνα, ἐφ' οἷς σπουδάζομεν, μόνα κατανοεῖν οὐδ' αὖ λαβεῖν οὐδ' ἄλλως πως μετασχεῖν. Necessaria causa dicitur etiam τὸ ξυναίτιον, Tim. 46 C; Polit. 281 C, vel id sine quo vera causa non esset causa, v. Phaed. 99 A (RP 256 b). causae primae et secundae

b. Ideas dicit et res sensibus apparentes, v. RP 260 a. Illas Tim. 27 D dixerat τὸ ὂν ἀεί, γένεσιν οὐκ ἔχον, νοήσει μετὰ λόγου περιληπτόν, ἀεὶ κατὰ ταὐτὰ ὄν, has τὸ γιγνόμενον μὲν ἀεὶ ὂν δὲ οὐδέποτε, δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν. — Phileb. 25 B idea dicitur τὸ μικτὸν ἐκ τοῦ πέρατος καὶ τοῦ ἀπείρου, 26 D τὸ ἔκγονον ἅπαν, 27 B ἡ μικτὴ καὶ γεγενημένη οὐσία: in cuius rationibus atque primordiis expediendis totus Timaeus laborat, multa fabulose narrans et probabiliter dumtaxat, non ad exactam scientiam naturam rerum aperiens, quod ipse identidem monet, velut 29 B; cf. RP 249 a.

c. De hoc tertio genere, quod nomine ab Aristotele usurpato materiam Platonicam vocare solent, significato magis a Platone multis similibus quam descripto et definito cf. Tim. 50 B δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται, κινούμενόν τε καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰσιόντων, φαίνεται δὲ δι' ἐκεῖνα ἄλλοτε ἀλλοῖον. — 51 A διὸ δὴ τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ πάντως αἰσθητοῦ μητέρα καὶ ὑποδοχὴν μήτε γῆν μήτε ἀέρα μήτε πῦρ μήτε ὕδωρ materia Platonica quid sit

λέγωμεν, μήτε ὅσα ἐκ τούτων μήτε ἐξ ὧν ταῦτα γέγονεν· ἀλλ' ἀνόρατον εἶδός τι καὶ ἄμορφον, πανδεχές, μεταλαμβάνον δὲ ἀπορώτατά πῃ τοῦ νοητοῦ καί δυσαλωτότατον αὐτὸ λέγοντες οὐ ψευσόμεθα. — 52 A *τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας ἀεί, φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐτὸ δὲ μετ' ἀναισθησίας ἁπτὸν λογισμῷ τινι νόθῳ, μόγις πιστόν, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινά, τὸ δὲ μήτ' ἐν γῇ μήτε που κατ' οὐρανὸν οὐδὲν εἶναι.* — Aristoteles primus his locis spatium rerum significari censuit, v. Phys. IV 2. 209[b] 11 *διὸ καὶ Πλάτων τὴν ὕλην* (hoc nomen Arist. de suo adiecit) *καὶ τὴν χώραν ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ· τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν. ἄλλον δὲ τρόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο.* Phys. I 9. 192[a] 6. III 4. 203[a] 15. Met. I 7. 988[a] 26. — Quod quidem Plato hanc ipsam materiam ante mundum procreatum exstitisse dicit Tim. 52 D (**RP** 263 a), fabulandi libertate utitur. — De materiae Pl. notione cf. Zeller, *Pl. St.* 211. 223 sq. *Ph. d. Gr.* II 1[3] 603—623. Contra disputavit Teichmüller, *Stud.* 302 sq.

origo mundi Tim. 28 B. *Ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο ὅ τί ποτε ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο τοῦθ' ἡμῖν ὠνομάσθω, σκεπτέον δ' οὖν περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεί, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ' ἀρχῆς τινος ἀρξάμενος. γέγονεν*[a]*· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων, πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δ' αἰσθητά, δόξῃ περιληπτὰ μετὰ αἰσθήσεως, γιγνόμενα καὶ γεννητὰ ἐφάνη. τῷ δ' αὖ γενομένῳ φαμὲν ὑπ' αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι. τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν· τόδε δ' οὖν πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἢ πρὸς τὸ γεγονός. εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος ὅ τε δημιουργὸς ἀγαθός, δῆλον ὡς πρὸς τὸ ἀίδιον ἔβλεπεν· εἰ δὲ ὃ μηδ' εἰπεῖν τινι θέμις, πρὸς τὸ γεγονός. παντὶ δὴ σαφὲς ὅτι πρὸς τὸ ἀίδιον· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος τῶν αἰτίων. οὕτω δὴ γεγενημένος πρὸς τὸ λόγῳ καὶ φρονήσει περιληπτὸν καὶ κατὰ ταὐτὰ ἔχον δεδημιούργηται*[b]. 262

a. Rem perscrutatur Aristoteles Phys. VIII 1 251[b] 17; De Caelo I 10 279[b] 30 sq., cf. Simplic. ad h. l. (Schol. 488[b] 19 Br.), unde Platonis discipulos, nominatim Xenocratem, hunc locum ita accepisse intellegitur, ut procreationem illam mundi *οὐχ ὡς ἀπὸ χρόνου* dicerent *δεῖν ἀκούειν, ἀλλ' ἐξ ὑποθέσεως εἰρημένην, διδασκαλίας χάριν τῆς τάξεως τῶν ἐν αὐτῷ προτέρων τε καὶ συνθετωτέρων.*

b. Sophist. 265 C. *Ζῷα δὴ πάντα θνητὰ καὶ φυτά, ὅσα τ' ἐπὶ γῆς ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐν γῇ ξυνίσταται σώματα τηκτὰ καὶ ἄτηκτα, μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα; ἢ τῷ τῶν πολλῶν δόγματι καὶ ῥήματι χρώμενοι — τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης καὶ ἄνευ διανοίας φυούσης, ἢ μετὰ λόγου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης;* Cf. Phaed. 96 sq., Phileb. 28 D sq., Leg. X 885 E sq.

263 Tim. 29 D. *Λέγωμεν δὴ δι' ἥν τινα αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν. ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς ὢν πάντα ὅ τι μάλιστα γενέσθαι ἐβουλήθη παραπλήσια ἑαυτῷ. ταύτην δὴ γενέσεως καὶ κόσμου μάλιστ' ἄν τις ἀρχὴν κυριωτάτην παρ' ἀνδρῶν φρονίμων ἀποδεχόμενος ὀρθότατα ἀποδέχοιτ' ἄν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως*[a]*, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον. θέμις δὲ οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο πλὴν τὸ κάλλιστον· λογισάμενος οὖν εὕρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτ' ἔργον, νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς τὸ πᾶν ξυνετεκταίνετο*[b]*, ὅπως ὅτι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα*[c] *δεῖ λέγειν τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν.*

cur mundus constitutus

anima mundi

a. Dicit materiam, quam ante mundum creatum elementorum quasi vices ostendisse tumultuarie commotam narrat Tim. 52 D *τὴν δὲ δὴ γενέσεως τιθήνην ὑγραινομένην καὶ πυρουμένην καὶ τὰς γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην, καὶ ὅσα ἄλλα τούτοις πάθη ξυνέπεται πάσχουσαν,*

παντοδαπὴν μὲν ἰδεῖν φαίνεσθαι, διὰ δὲ τὸ μήθ' ὁμοίων δυνάμεων μήτε ἰσορρόπων ἐμπίπλασθαι κατ' οὐδὲν αὐτῆς ἰσορροπεῖν, ἀλλ' ἀνωμάλως πάντῃ ταλαντουμένην σείεσθαι μὲν ὑπ' ἐκείνων αὐτήν, κινουμένην δ' αὖ πάλιν ἐκεῖνα σείειν. Cf. 69 B. Polit. 273 B. — Z. II 1[a] 609 sq. Obloquitur Teichmüller, *Stud.* 308 sq.

b. Intellectus non exsistit nisi in anima, v. **RP** 258 b. Mundi anima est idem quod in Philebo dicitur *τὸ πέρας*, quo infinitum ad certas numerorum proportiones revocatur: 25 D *τὴν τοῦ ἴσου καὶ διπλασίου* (*φύσιν*) *καὶ ὁπόση παύει πρὸς ἄλληλα τἀναντία διαφόρως ἔχοντα, σύμμετρα δὲ καὶ σύμφωνα ἐνθεῖσα ἀριθμὸν ἀπεργάζεται*: quo pertinent quae Aristoteles dicit *τὰ μαθηματικὰ τῶν πραγμάτων*, v. **RP** 260 d. Quapropter omnis eius compositio secundum mathematicas propositiones

compositio animae mundi

describitur, v. Tim. 35 A *τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ ξυνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως καὶ τῆς θατέρου, καὶ κατὰ ταὐτὰ ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ· καὶ τρία λαβὼν αὐτὰ ὄντα συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸν ξυναρμόττων βίᾳ· μιγνὺς δὲ μετὰ τῆς οὐσίας καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην κτλ.* Cf. Boeckh, *ü. d. Bildung d. Weltseele im Tim. d. Pl.*, in Studiis a Daub. et Creuz. edit. vol. III (1806), 1—90 (*Kl. Schr.* III, 109 sq.). Bonitz, Disputat. Platonicae duae p. 47—88. H. Martin, *Études sur le Timée de Pl.*, Par. 1841, I, 346 sq.; F. Ueberweg, Mus. Rh. IX (1854), 37—84.

c. Cf. **RP** 261 b.

exaedificatio mundi

Tim. 34 A. *Οὗτος δὴ πᾶς ὄντος ἀεὶ λογισμὸς θεοῦ περὶ* 264
τὸν ποτὲ ἐσόμενον θεὸν λογισθεὶς λεῖον καὶ ὁμαλὸν πανταχῇ τε ἐκ μέσου ἴσον καὶ ὅλον καὶ τέλεον ἐκ τελέων σωμάτων σῶμα ἐποίησε[a]. *ψυχὴν δὲ εἰς τὸ μέσον αὐτοῦ θεὶς διὰ παντός τε ἔτεινε καὶ ἔτι ἔξωθεν τὸ σῶμα αὐτῇ περιεκάλυψε ταύτῃ*[b], *καὶ κύκλῳ δὴ κύκλον στρεφόμενον οὐρανὸν ἕνα μόνον ἔρημον κατέστησε, δι' ἀρετὴν δὲ αὐτὸν αὐτῷ δυνάμενον ξυγγίγνεσθαι καὶ οὐδενὸς ἑτέρου προσδεόμενον, γνώριμον δὲ καὶ φίλον ἱκανῶς αὐτὸν αὐτῷ*[c]. *διὰ πάντα δὴ ταῦτα εὐδαίμονα θεὸν αὐτὸν ἐγεννήσατο.*

a. Copiosius id exponitur Tim. 31 B sq. Mundus constat ex quattuor elementis, quae secundum Pythagoreos (**RP** 67) referuntur ad corpora regularia, nisi quod dodecaedron revocatur ad globosam figuram universi (Tim. 31 B sq., 53 C sq.). Cf. Boeckh, De Platonica corporis mundani fabrica

(*Kl. Schr.* III 229 sq.) Z. II 1[3] 671 sq. Ita comparatus mundus nulla re eget extra se ipsum posita; oritur ex ipso quidquid vel agit vel patitur. Propterea neque membris praeditus est ut animalia, neque dissolvi potest nisi per deum, qui dissolvet eum nunquam, cum sit pulcherrimus et quo nihil possit esse concinnius (ib. 32 C, 38 B, 41 A).

b. Per totum igitur mundum animam commeare et extrinsecus etiam circumdare eum et tanquam constringere statuit, similiter atque Philolaus, cf. Boeckh, Philol. 151. 171 (RP 68 A). Ipsa autem, quae eius natura est *ἐκ τῆς ταὐτοῦ καὶ τῆς θατέρου φύσεως ἔκ τε οὐσίας* composita, non modo sentit sensibilia et opinatur opinabilia, sed scientiae quoque et intellectus particeps est, v. Tim. 36 E sq.

c. Tim. 34 A. 89 A *τῶν δ' αὖ κινήσεων ἡ ἐν ἑαυτῷ ὑφ' ἑαυτοῦ ἀρίστη κίνησις, μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ τοῦ παντὸς κινήσει ξυγγενής.* De Leg. X 897 C sq. — Ad extrema cf. Tim. 92 B *θνητὰ γὰρ καὶ ἀθάνατα ζῷα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος οὕτω, ζῷον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ νοητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε μονογενὴς ὤν.*

265 Tim. 37 C. *Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνενόησε τῶν* tempus *ἀιδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι. καθάπερ οὖν αὐτὸ τυγχάνει ζῷον ἀίδιον ὄν, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον ἀποτελεῖν. ἡ μὲν οὖν τοῦ ζῴου φύσις ἐτύγχανεν οὖσα αἰώνιος. καὶ τοῦτο μὲν δὴ τῷ γεννητῷ παντελῶς προσάπτειν οὐκ ἦν δυνατόν· εἰκὼ δ' ἐπινοεῖ κινητόν τινα αἰῶνος ποιῆσαι, καὶ διακοσμῶν ἅμα οὐρανὸν ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν.* — 38 C. *Ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γεννηθῇ χρόνος, ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἄστρα, ἐπίκλην ἔχοντα πλανητά, εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε*[a].

a. Tempus igitur una cum caelo ortum est. De motibus et orbibus caelestium deque terra in medio immota v. 36 C sq. 39 B sq. Cf. Boeckh, De Plat. system. caelest. globor. (*Kl. Schr. III*) et *Unters. ü. d. kosm. System des Pl.*, Berol. 1852. Martin, *Études* II 86 sq.

266 Tim. 39 E. *Καὶ τὰ μὲν ἄλλα ἤδη μέχρι χρόνου γενέσεως* animantia *ἀπείργαστο εἰς ὁμοιότητα ᾧπερ ἀπεικάζετο, τῷ δὲ μήπω τὰ*

πάντα ζῷα ἐντὸς αὐτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως. τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν. ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἔστι ζῷον, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ πτηνὸν καὶ ἀεροπόρον, τρίτη δὲ ἔνυδρον εἶδος, πεζὸν δὲ
dii καὶ χερσαῖον τέταρτον. — 41 A. Ἐπεὶ δ᾽ οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθ᾽ ὅσον ἂν ἐθέλωσι θεοὶ γένεσιν ἔσχον[a], λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε
animalia mortalia ἔργων, — — ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρί᾽ ἀγέννητα. τούτων οὖν μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντα ἐν αὑτῷ γένη ζῴων οὐχ ἕξει, δεῖ δέ, εἰ μέλλει τέλεος ἱκανῶς εἶναι. — — Ταῦτ᾽ εἶπε, καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε[a], τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δ᾽ οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. ξυστήσας δὲ τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις ἔνειμέ θ᾽ ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς ἐς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε[c], νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ᾽ αὐτοῦ, δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνου
homines φῦναι ζῴων τὸ θεοσεβέστατον, διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως τὸ κρεῖττον τοιοῦτον εἴη γένος, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ[d]. ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν προσίοι τὸ δ᾽ ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα[e]· ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ
animarum migratio ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου βίον εὐδαίμονα καὶ συνήθη ἕξοι· σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ· μὴ παυόμενος δὲ ἐν

τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ θήρειον φύσιν[f], ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὑτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως. Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος[g], ἔσπειρε τοὺς μὲν εἰς γῆν, τοὺς δ᾽ εἰς σελήνην, τοὺς δ᾽ εἰς τἄλλα ὅσα ὄργανα χρόνου. τὸ δὲ μετὰ τὸν σπόρον τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά, τό τε ἐπίλοιπον ὅσον ἔτ᾽ ἦν ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάνθ᾽ ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασμένους ἄρχειν, καὶ κατὰ δύναμιν ὅ τι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῷον, ὅ τι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοιτο αἴτιον[h]. causa mali

a. Duo enim genera deorum minorum esse statuit, alterum astrorum, cf. 40 A sq. Leg. X 886 A, XII 967 A; Cic. D. N. I 30 (Krische, *Forsch.* 195), alterum deorum popularium, v. Rep. II 377 A, III 390 B, X 606 D. Astrorum deos palam in caelo volvi et semper apparere dicit, reliquos quoties ipsis placeat. Utrumque genus creatum est sed immortale sicut mundus, utrumque in hominibus ceterisque animalibus creandis occupatum: quo pertinet quod astra numeris suis ac motibus et vitam hominum moderari et ad liberos procreandos vim habere statuebat, v. Tim. 39 C sq., Rep. VIII 546 A.

b. Cf. Tim. 35 A RP 263 b.

c. Tot animas fecit quot stellas h. e. innumeras, sed quarum numerus neque augetur neque minuitur. Deinde deus iis tamquam vehiculo impositis monstrat naturam universi (similiter Phaedr. 245 C sq.). Utroque argumento Plato utitur in immortalitate animi demonstranda. De priore cf. Rep. X 611 A; Phaed. 72 C *καὶ εἰ ἀποθνήσκοι μὲν πάντα ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ δὲ ἀποθάνοι μένοι ἐν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα καὶ μὴ πάλιν ἀναβιώσκοιτο, ἆρ᾽ οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα τεθνάναι καὶ μηδὲν ζῆν;* Alterum repetitur inde quod scientia sit nihil nisi recordatio eorum, quae animus in vita illa olim cum diis acta hauserit, cf. Phaedr. 249 C *τοῦτο δέ ἐστιν ἀνάμνησις ἐκείνων, ἅ ποτ᾽ εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ καὶ ὑπεριδοῦσα ἃ νῦν εἶναί φαμεν καὶ ἀνακύψασα εἰς τὸ ὂν ὄντως,* cf. Meno 81 B sq., Phileb. 34 B, Phaed. 72 E *Καὶ μήν, ἔφη ὁ Κέβης ὑπολαβών, καὶ κατ᾽ ἐκεῖνόν γε τὸν λόγον (ὅτι ἔστι τὸ ἀναβιώσκεσθαι καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίγνεσθαι), ὦ Σώκρατες —, ὃν σὺ εἴωθας θαμὰ λέγειν, ὅτι ἡμῖν* immortalitas animi

ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτον ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνησκόμεθα. De ceteris argumentis, quae in Phaedone maxime expromuntur, v. Ritter, *Gesch. d. Ph.* II 421 sq.; Brandis, *Hdb.* II 1, 433 sq.; Zeller II 1[3] 697 sq.

d. Communis haec est Graecorum de muliebri natura persuasio, cf. Conviv. 181 C; Leg. VI 781 B *ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀρρένων.* Rep. IV 431 B, V 451 E, 469 D.

e. Fatalis illa necessitas, qua animae in corpora inseruntur, inde repetenda est, quod intellectus sine anima, haec sine corpore exsistere nequit, cf. **RP** 268. Eodem referenda *ἡ αἴσθησις,* de qua v. **RP** 251 b. De animi affectionibus v. **RP** 272.

f. Reliquorum animalium origo copiosius describitur Tim. 90 E sq. Easdem animarum vicissitudines per omne aevum obtinere existimat, cf. Phaed. 80 sq., 107 B sq., Phaedr. 248 C sq., Rep. X 620 A, Leg. X 904 A. Conferenda similiter ficta a Pythagoreis et ab Empedocle, **RP** 73. 141. Quamquam apud Platonem eo maxime haec fabularum figmenta redeunt, ut bonum hominem post hanc vitam praemiis, nequam suppliciis affectum iri significet, cf. Gorg. 523 A sq., Phaed. 113 D sq., Rep. X 614 A sq.

g. De vera causa mali cf. Tim. 68 E **RP** 258 fin. Tim. 47 E **RP** 261. Tim. 30 A (*κατὰ δύναμιν*) **RP** 263. Fatali enim necessitate ita mundus comparatus est ut malum tolli nequeat, sed cuique bono oppositum sit aliquid mali, v. Theaet. 176 A (**RP** 271), Leg. X 906 A. — Senex Plato bonae animae mundi alteram opposuit malam, v. Leg. X 896 D sq., 898 C, 904 A. Cf. Zeller, *Plat. St.* 43; *Ph. d. Gr.* II 1[3] 828.

h. Cf. **RP** 268. 271 a.

corpus humanum

Tim. 42 E. *Καὶ ὁ μὲν δὴ ἅπαντα ταῦτα διατάξας ἔμε-* 267
νεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει· μένοντος δὲ νοήσαντες οἱ παῖδες τὴν τοῦ πατρὸς διάταξιν ἐπείθοντο αὐτῇ, καὶ λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζῴον, μιμούμενοι τὸν σφέτερον δημιουργόν, πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια ὡς ἀποδοθησόμενα πάλιν, εἰς ταὐτὸν τὰ λαμβανόμενα συνεκόλλων, οὐ τοῖς ἀλύτοις οἷς αὐτοὶ ξυνείχοντο δεσμοῖς, ἀλλὰ διὰ σμικρότητα ἀοράτοις, πυκνοῖς γόμφοις ξυντήκοντες, ἓν ἐξ ἁπάντων ἀπεργαζόμενοι σῶμα ἕκαστον, τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίρρυτον σῶμα καὶ ἀπόρρυτον. — 44 D. *Τὰς μὲν δὴ θείας περιόδους δύο οὔσας*[a], *τὸ τοῦ παντὸς σχῆμα ἀπομιμησάμενοι περιφερὲς ὄν, εἰς σφαιροειδὲς σῶμα ἐνέδησαν, τοῦτο*

ὃ νῦν κεφαλὴν ἐπονομάζομεν, ὃ θειότατόν τ' ἐστὶ καὶ τῶν ἐν ἡμῖν πάντων δεσποτοῦν. ᾧ καὶ πᾶν τὸ σῶμα παρέδοσαν ὑπηρεσίαν αὐτῷ ξυναθροίσαντες θεοί, κατανοήσαντες ὅτι πασῶν ὅσαι κινήσεις ἔσοιντο, μετέχοι. ἵν' οὖν μὴ κυλινδούμενον ἐπὶ γῆς ὕψη τε καὶ βάθη παντοδαπὰ ἐχούσης ἀποροῖ τὰ μὲν ὑπερβαίνειν, ἔνθεν δὲ ἐκβαίνειν, ὄχημ' αὐτῷ τοῦτο καὶ εὐπορίαν ἔδοσαν. ὅθεν δὴ μῆκος τὸ σῶμα ἔσχεν, ἐκτατά τε κῶλα καὶ καμπτὰ ἔφυσε τέτταρα θεοῦ μηχανησαμένου πορείαν, οἷς ἀντιλαμβανόμενον καὶ ἀπερειδόμενον διὰ πάντων τόπων πορεύεσθαι δυνατὸν γέγονε τὴν τοῦ θειοτάτου καὶ ἱερωτάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν. σκέλη μὲν οὖν χεῖρές τε ταύτῃ καὶ διὰ ταῦτα προσέφυ πᾶσι. τοῦ δ' ὄπισθεν τὸ πρόσθεν τιμιώτερον καὶ ἀρχικώτερον νομίζοντες θεοὶ ταύτῃ τὸ πολὺ τῆς πορείας ἡμῖν ἔδοσαν[b].

a. Alter motus est circa *ταὐτόν*, alter circa *θάτερον*, cf. Tim. 37 A sq., 40 A.

b. In sequentibus caput vel maxime oculis insignitum esse dicit, quorum ope lumen corpori suppetat et visus, omnium sensuum praestantissimus, cf. 47 A *ὄψις δὴ κατὰ τὸν ἐμὸν λόγον αἰτία τῆς μεγίστης* visus
ὠφελείας γέγονεν ἡμῖν, ὅτι τῶν νῦν λόγων περὶ τοῦ παντὸς λεγομένων οὐδεὶς ἄν ποτε ἐρρήθη μήτε ἄστρα μήτε ἥλιον μήτε οὐρανὸν ἰδόντων· νῦν δ' ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι μεμηχάνηνται μὲν ἀριθμόν, χρόνου δὲ ἔννοιαν περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἔδοσαν· ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔτε ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν. Inter ceteros sensus auditus eo valet ut harmoniae et musicae par- auditus
ticipes simus, *ἡ δὲ ἁρμονία, ξυγγενεῖς ἔχουσα φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις, τῷ μετὰ νοῦ προσχρωμένῳ Μούσαις οὐκ ἐφ' ἡδονὴν ἄλογον, καθάπερ νῦν, εἶναι δοκεῖ χρήσιμος, ἀλλ' ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον εἰς κατακόσμησιν καὶ συμφωνίαν ἑαυτῇ σύμμαχος ὑπὸ Μουσῶν δέδοται· καὶ ῥυθμὸς αὖ διὰ τὴν ἄμετρον ἐν ἡμῖν καὶ χαρίτων ἐπιδεᾶ γιγνομένην ἐν τοῖς πλείστοις ἕξιν ἐπίκουρος ἐπὶ ταὐτὰ ὑπὸ τῶν αὐτῶν ἐδόθη.*

268 Tim. 69 C. Οἱ δὲ (θεοὶ) — παραλαβόντες ἀρχὴν ψυχῆς animi partes duae et sedes
ἀθάνατον, τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν ὄχημά τε πᾶν τὸ σῶμα ἔδοσαν, ἄλλο τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ θνητόν[a], δεινὰ καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχον, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάρρος καὶ φόβον,

ἄφρονε ξυμβούλω, θυμὸν δὲ δυσπαραμύθητον, ἐλπίδα δ' εὐπαράγωγον· αἰσθήσει δὲ ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς ἔρωτι συγκερασάμενοι ταῦτα ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθεσαν· καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι[b] *τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν. καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς τὸ δὲ χεῖρον ἐπεφύκει, διοικοδομοῦσι τὸ τοῦ θώρακος αὖ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. Τὴν δὲ δὴ καρδίαν ἅμμα τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν, ἵνα, ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος τοῦ λόγου παραγγείλαντος ὥς τις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν πᾶν, ὅσον αἰσθητικὸν ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον καὶ ἕποιτο πάντῃ καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῴη.*

a. Cic. Tusc. I 20. *Plato triplicem finxit animum, cuius principatum, id est rationem, in capite sicut in arce posuit et duas partes ei parere voluit, iram et cupiditatem, quas locis suis, iram in pectore cupiditatem subter praecordia, locavit.* Divisit enim Plato totum animum in duas partes, *τὸ λογιστικὸν* et *τὸ ἄλογον*, quorum alterum rursus in *τὸ θυμικὸν* et *τὸ ἐπιθυμητικὸν* discriptum voluit, v. Rep. IV 436—441 C, ubi quid inter utrumque intercedat sic explicatur 440 A: *Οὐκοῦν καὶ ἄλλοθι, ἔφην, πολλαχοῦ αἰσθανόμεθα, ὅταν βιάζωνταί τινα παρὰ τὸν λογισμὸν ἐπιθυμίαι, λοιδοροῦντά τε αὐτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν αὐτῷ, καὶ ὥσπερ δυοῖν στασιαζόντοιν ξύμμαχον τῷ λόγῳ γιγνόμενον τὸν θυμὸν τοῦ τοιούτου; ταῖς δ' ἐπιθυμίαις αὐτὸν κοινωνήσαντα, αἱροῦντος λόγου μὴ δεῖν, ἀντιπράττειν οἶμαί σε οὐκ ἂν φάναι γενομένου ποτὲ ἐν σαυτῷ τοῦ τοιούτου*

αἰσθέσθαι, οἶμαι δ' οὐδ' ἐν ἄλλῳ, cf. Tim. 42 A (RP 266); Rep. IX 580 D, 588 B sq.; Phaedr. 246 A sq. Inter interpretes ambigitur utrum etiam has partes animi immortales esse putaverit Plato an solam rationalem, v. C. F. Hermann, De partibus animae immortalibus sec. Pl., Gott. 1850. Teichmüller, *Stud. z. Gesch. d. Begr.* 105—222. Z. II 1[3] 691 sq. 713, 3.

b. Cf. Arist. Hist. An. I 7. 491ᵃ 29 *τὸ ἀπ' αὐχένος μέχρι αἰδοίων κύτος, ὃ καλεῖται θώραξ.*

269 Tim. 70 D. *Τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴπερ τι μέλλοι ποτὲ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ καὶ ὅτι πορρωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος ἐῷ βουλεύεσθαι, διὰ ταῦτ' ἐνταῦθα ἔδοσαν αὐτῷ τὴν τάξιν. Εἰδότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὐτῶν αἰσθήσεως, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵν' ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ χαλεπὴ προσενεχθεῖσα ἀπειλῇ κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ χολώδη χρώματα ἐμφαίνοι, ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ, λοβὸν δὲ καὶ δοχὰς πύλας τε τὰ μὲν ἐξ ὀρθοῦ κατακάμπτουσα καὶ ξυσπῶσα τὰ δ' ἐμφράττουσα συγκλείουσά τε λύπας καὶ ἄσας παρέχοι, καὶ ὅτ' αὖ τὰ ἐναντία, φαντάσματα ἀποζωγραφοῖ πραότητός τις ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυχίαν παρέχουσα τῷ μήτε κινεῖν μήτε προσάπτεσθαι τῆς ἐναντίας ἑαυτῇ φύσεως ἐθέλειν,*

tertia para animi

iecoris munus

γλυκύτητι δὲ τῇ κατ᾽ ἐκεῖνο ξυμφύτῳ πρὸς αὐτὸ χρωμένη καὶ πάντα ὀρθὰ καὶ λεῖα αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα ἵλεών τε καὶ εὐήμερον ποιοῖ τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμένην καθ᾽ ὕπνον, ἐπειδὴ λόγου καὶ φρονήσεως

divinatio οὐ μετεῖχε. μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιστολῆς οἱ ξυνιστάντες ἡμᾶς, ὅτε τὸ θνητὸν ἐπέστελλε γένος ὡς ἄριστον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν, ἵνα ἀληθείας πῃ προσάπτοιτο, κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον[a]. ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν· οὐδεὶς γὰρ ἔννους ἐφάπτεται μαντικῆς ἐνθέου καὶ ἀληθοῦς, ἀλλ᾽ ἢ καθ᾽ ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν ἢ διὰ νόσον ἢ διά τινα ἐνθουσιασμὸν παραλλάξας.

a. Alterum est divinationis genus, quod ab ipsius mentis divina concitatione repetitur, i. e. enthusiasmus, cf. Phaedr. 244 A sq., 265 A sq.; utriusque autem generis vaticinia interpretari rationis est, Tim. 71 E.

animi et corporis congruentia

Tim. 87 C. Πᾶν δὴ τὸ ἀγαθὸν καλόν, τὸ δὲ καλὸν οὐκ 270 ἄμετρον[a]. καὶ ζῷον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον θετέον· ξυμμετριῶν δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα καὶ μέγιστα ἀλογίστως ἔχομεν. πρὸς γὰρ ὑγιείας καὶ νόσους ἀρετάς τε καὶ κακίας οὐδεμία ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό· ὧν οὐδὲν σκοποῦμεν οὐδ᾽ ἐννοοῦμεν, ὅτι ψυχὴν ἰσχυρὰν καὶ πάντῃ μεγάλην ἀσθενέστερον καὶ ἔλαττον εἶδος ὅταν ὀχῇ, καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον τούτω, οὐ καλὸν ὅλον τὸ ζῷον· ἀξύμμετρον γὰρ ταῖς μεγίσταις ξυμμετρίαις· τὸ δ᾽ ἐναντίως ἔχον πάντων θεαμάτων τῷ δυναμένῳ καθορᾶν

quomodo obtinenda

κάλλιστον καὶ ἐρασμιώτατον. — 88 B. Μία δὴ σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος κινεῖν μήτε σῶμα ἄνευ ψυχῆς, ἵνα ἀμυνομένω γίγνησθον ἰσορρόπω καὶ ὑγιῆ. τὸν δὴ μαθηματικὸν ἤ τινα ἄλλην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα, τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς ἀνταποδοτέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον, εἰ μέλλει δικαίως τις ἅμα

μὲν καλὸς ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλήσεσθαι. — 89 E. Καθάπερ εἴπομεν πολλάκις, ὅτι τρία τριχῇ ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται[b], τυγχάνει δὲ ἕκαστον κινήσεις ἔχον, οὕτω κατὰ ταὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον, ὅτι τὸ μὲν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ᾽ ἐν γυμνασίοις ἐρρωμενέστατον· διὸ φυλακτέον ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρους· τὸ δὲ περὶ τοῦ κυριωτάτου παρ᾽ ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ᾽ ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλὰ οὐράνιον, ὀρθότατα λέγοντες· ἐκεῖθεν γάρ, ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα[c]. divina rationis natura

a. Cf. Phileb. 64 E sq. Eodem spectat omnis amoris commendatio; nam amore ferimur ad pulchrum, pulchri vero admiratione atque perceptione ad bonum et verum adducimur, quod unum idemque est diversis nominibus appellatum, v. **RP** 244 d, 259 a.

b. Cf. **RP** 268 a.

c. Similia apud Heraclitum **RP** 40 b et Anaxagoram **RP** 127 b; ex posterioribus cf. Marc. Antonin. V 27 ὁ δαίμων, ὃν ἑκάστῳ παραστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ· οὗτος δέ ἐστιν ὁ ἑκάστου νοῦς καὶ λόγος.

Ethica.

---

271 Theaet. 176 A. Ἀλλ᾽ οὔτ᾽ ἀπολέσθαι τὰ κακὰ δυνατόν, ὦ Θεόδωρε, ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη, οὔτ᾽ ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης[a]. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ δὲ ὁμοίωσις θεῷ finis ethices

κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι[b].

De ethica Pl. scripsit Th. Maguire, *Essays on the Platonic ethics*, Dublin. 1870.

liberum arbitrium

a. De mali necessitate cf. **RP** 258 fin. — Plato libro arbitrio patrocinatur: Rep. X 617 E *ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. αἰτία ἑλομένου· θεὸς ἀναίτιος.* Leg. X 904 B *τῆς δὲ γενέσεως τὸ ποίου τινὸς ἀφῆκε ταῖς βουλήσεσιν ἑκάστων ἡμῶν τὰς αἰτίας. ὅπῃ γὰρ ἂν ἐπιθυμῇ καὶ ὁποῖός τις ὢν τὴν ψυχήν, ταύτῃ σχεδὸν ἑκάστοτε καὶ τοιοῦτος γίγνεται ἅπας ἡμῶν ὡς τὸ πολύ.* At neminem sua sponte malum esse censet (cf. **RP** 201d): Tim. 86 D *καὶ σχεδὸν δὴ πάντα, ὁπόσα ἡδονῶν ἀκράτεια καὶ ὄνειδος ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς ὀνειδίζεται· κακὸς μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τινὰ τοῦ σώματος καὶ ἀπαίδευτον τροφὴν ὁ κακὸς γίγνεται κακός, παντὶ δὲ ταῦτα ἐχθρὰ καὶ ἄκοντι προσγίγνεται.* — 87 A *πρὸς δὲ τούτοις, ὅταν οὕτω κακῶς παγέντων πολιτεῖαι καὶ λόγοι κατὰ πόλεις ἰδίᾳ τε καὶ δημοσίᾳ λεχθῶσιν, ἔτι δὲ μαθήματα μηδαμῇ τούτων ἰατικὰ ἐκ νέων μανθάνηται, ταύτῃ κακοὶ πάντες οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα· ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεὶ τῶν φυτευομένων μᾶλλον καὶ τοὺς τρέφοντας τῶν τρεφομένων.* Etiam ab arcanis quibusdam universi legibus animorum habitum pendere statuebat, v. Rep. VIII 546 A; Polit. 269 C sq. Fabulose rem tractat Phaedr. 246 sq., Rep. X 614 sq., cf. Trendelenburg, *Hist. Beitr.* II 140 sq.

b. Cf. Phaedo 64 A sq. Rep. X 613 A *οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ.* Cf. VI 500 B sq., 504 C, Leg. IV 716 C; **RP** 259. 260.

bonum

Gorg. 499 E. *ΣΩ. Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ συνδοκεῖ οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκεν δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐκ ἐκεῖνο ἄλλων; σύμψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων; ΚΑΛ. Ἔγωγε. ΣΩ. Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων. ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; ΚΑΛ. Τεχνικοῦ.* 272

voluptas

a. Voluptas efficitur dum desiderium expletur eius, quod naturae nostrae consentaneum est, Phileb. 32 B, 42 D. Fit igitur illa, non est,

et cum necessaria esse videatur, tamen bonis adnumerari non potest, Phil. 53 C sq., Rep. IX 585 D. Distinguendum inter voluptatem impuram, quae procedit ex eo dolore, quo indigentes aliqua re afficimur (Phileb. 44 E sq. Phaed. 60 B), et puram, i. e. doloris expertem (Phileb. 51 A sq.). De optima et vera voluptate animi, qua philosophus solus fruitur, v. Rep. IX 580 D sq., inprimis p. 586 E. *Τῷ φιλοσόφῳ ἄρα ἑπομένης ἁπάσης τῆς ψυχῆς καὶ μὴ στασιαζούσης ἑκάστῳ τῷ μέρει ὑπάρχει εἴς τε τἆλλα τὰ ἑαυτοῦ πράττειν καὶ δικαίῳ εἶναι, καὶ δὴ καὶ τὰς ἡδονὰς τὰς ἑαυτοῦ ἕκαστον καὶ τὰς βελτίστας καὶ εἰς τὸ δυνατὸν τὰς ἀληθεστάτας καρποῦσθαι. Κομιδῇ μὲν οὖν. Ὅταν δὲ ἄρα τῶν ἑτέρων τι κρατήσῃ, ὑπάρχει αὐτῷ μήτε τὴν ἑαυτοῦ ἡδονὴν ἐξευρίσκειν τά τε ἄλλ' ἀναγκάζειν ἀλλοτρίαν καὶ μὴ ἀληθῆ ἡδονὴν διώκειν. Οὕτως, ἔφη.* — Cf. Trendelenburg, de Pl. Philebi consilio, Berol. 1837; Brandis, *Hdb.* II 1, 476 sq. Z. II 1³ 505 sq.

273 Rep. I 353 B. *Ἔχε δή· ἆρ' ἄν ποτε ὄμματα τὸ αὑτῶν ἔργον καλῶς ἀπεργάσαιντο μὴ ἔχοντα τὴν αὑτῶν οἰκείαν ἀρετήν, ἀλλ' ἀντὶ τῆς ἀρετῆς κακίαν; Καὶ πῶς ἄν; ἔφη. — Οὐκοῦν καὶ ὦτα στερόμενα τῆς αὑτῶν ἀρετῆς κακῶς τὸ αὑτῶν ἔργον ἀπεργάσεται; Πάνυ γε. — Ἴθι δή, μετὰ ταῦτα τόδε σκέψαι· ψυχῆς ἔστι τι ἔργον, ὃ ἄλλῳ τῶν ὄντων οὐδ' ἂν ἑνὶ πράξαις, οἷον τὸ τοιόνδε· τὸ ἐπιμελεῖσθαι καὶ ἄρχειν καὶ βουλεύεσθαι καὶ τὰ τοιαῦτα πάντα, ἔσθ' ὅτῳ ἄλλῳ ἢ ψυχῇ δικαίως ἂν αὐτὰ ἀποδοῖμεν καὶ φαῖμεν ἴδια ἐκείνης εἶναι; Οὐδενὶ ἄλλῳ. Τί δ' αὖ τὸ ζῆν; ψυχῆς φήσομεν ἔργον εἶναι; Μάλιστά γ', ἔφη. Οὐκοῦν καὶ ἀρετήν φαμέν τινα ψυχῆς εἶναι; Φαμέν. Ἆρ' οὖν ποτε, ὦ Θρασύμαχε, ψυχὴ τὰ αὑτῆς ἔργα εὖ ἀπεργάσεται στερομένη τῆς οἰκείας ἀρετῆς, ἢ ἀδύνατον; Ἀδύνατον. Ἀνάγκη ἄρα κακῇ ψυχῇ κακῶς ἄρχειν καὶ ἐπιμελεῖσθαι, τῇ δὲ ἀγαθῇ πάντα ταῦτα εὖ πράττειν*[a]. virtus quid sit

a. Definitione leniter inflexa virtus revocatur ad animi sanitatem (*ὑγίειαν*) sive vigorem (*εὐεξίαν*) sive concentum (*ἁρμονίαν*): Rep. IV 444 D, VIII 554 E; Leg. II 653 B; Phaed. 93 E.

274 Meno 88 C. *Εἰ ἄρα ἀρετὴ τῶν ἐν τῇ ψυχῇ τί ἐστι καὶ ἀναγκαῖον αὐτῷ ὠφελίμῳ εἶναι, φρόνησιν αὐτὸ δεῖ εἶναι, ἐπειδήπερ πάντα τὰ κατὰ τὴν ψυχὴν αὐτὰ μὲν καθ' αὑτὰ οὔτε ὠφέλιμα οὔτε βλαβερά ἐστι, προσγενομένης δὲ φρονήσεως ἢ ἀφροσύνης βλαβερά τε καὶ ὠφέλιμα γίγνεται. κατὰ δὴ τοῦ-* prudentia

τον τὸν λόγον ὠφέλιμόν γε οὖσαν τὴν ἀρετὴν φρόνησιν δεῖ τιν᾽ εἶναι[a].

virtus perfecta

a. Sequitur ut omnis virtus in scientia posita sit et doceri possit (**RP** 201), denique ut vera virtus attribuenda sit nemini nisi sapienti i. e. philosopho, cf. Phaed. 69 A: *Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι καὶ μείζω πρὸς ἐλάττω ὥσπερ νομίσματα, ἀλλ᾽ ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀνθ᾽ οὗ δεῖ ἅπαντα ταῦτα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων.*

et imperfecta

Quamquam hoc eo lenitur, quod etiam ex recta opinione virtutem procedere posse docebat, licet sit imperfecta, Meno 97 B, cf. **RP** 246b. De fortitudine ad sapientiam referenda disputatur in Lachete, de temperantia in Charmide. Cf. Polit. 309 D.

iustitia in republica

Rep. IV 433 A. *Ὃ γὰρ ἐξ ἀρχῆς ἐθέμεθα δεῖν ποιεῖν* 275
διὰ παντός, ὅτε τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν, ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου τι εἶδος ἡ δικαιοσύνη. ἐθέμεθα δὲ δήπου καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα ἕκαστον ἓν δέοι ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη. Ἐλέγομεν γάρ. Καὶ μὴν ὅτι γε τὸ τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν. Εἰρήκαμεν γάρ. Τοῦτο τοίνυν, ἦν δ᾽ ἐγώ, ὦ φίλε, κινδυνεύει τρόπον τινὰ γιγνόμενον ἡ δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν. οἶσθα ὅθεν τεκμαίρομαι; Οὔκ, ἀλλὰ λέγ᾽, ἔφη. Δοκεῖ μοι, ἦν δ᾽ ἐγώ, τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὧν ἐσκέμμεθα, σωφροσύνης καὶ ἀνδρείας καὶ φρονήσεως, τοῦτο εἶναι, ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέσχεν ὥστε ἐγγενέσθαι, καὶ ἐγγενομένοις γε σωτηρίαν παρέχειν, ἕωσπερ ἂν ἐνῇ[a].

in homine

a. Similiter atque in republica iustitia in homine comparet, si sua quaeque pars animi perficit et omnes bene inter se conveniunt, cf. Rep. IV 443 C *τὸ δέ γε ἀληθὲς — ἦν — ἡ δικαιοσύνη — περὶ τὴν ἐντὸς ὡς ἀληθῶς (πρᾶξιν), περὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, μὴ ἐάσαντα τἀλλότρια πράττειν ἕκαστον ἐν αὑτῷ μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη, ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα εὖ θέμενον καὶ ἄρξαντα αὐτὸν αὑτοῦ καὶ κοσμήσαντα καὶ φίλον γενόμενον ἑαυτῷ.* Inde nascitur ea

animi concinnitas et tranquillitas, qua omnis et virtus et beatitudo constat, Rep. I 350 C *ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀναπέφανται ὢν ἀγαθός τε καὶ σοφός, ὁ δὲ ἄδικος ἀμαθής τε καὶ κακός.* VIII 554 E *ὁμονοητικῆς δὲ καὶ ἡρμοσμένης τῆς ψυχῆς ἀληθὴς ἀρετή.*

276 Rep. IV 441 C. *Ταῦτα μὲν ἄρα, ἦν δ' ἐγώ, μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὁμολογεῖται τὰ αὐτὰ μὲν ἐν πόλει, τὰ αὐτὰ δ' ἐν ἑνὸς ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι καὶ ἴσα τὸν ἀριθμόν*[a]. *Ἔστι ταῦτα. Οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον, ὡς πόλις ἦν σοφὴ καὶ ᾧ, οὕτω καὶ τὸν ἰδιώτην καὶ τούτῳ σοφὸν εἶναι; Τί μήν; Καὶ ᾧ δὴ ἀνδρεῖος ἰδιώτης καὶ ὥς, τούτῳ καὶ πόλιν ἀνδρείαν καὶ οὕτω, καὶ τἆλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. Ἀνάγκη. Καὶ* **δίκαιον** *δή, ὦ Γλαύκων, οἶμαι, φήσομεν ἄνδρα εἶναι τῷ αὐτῷ τρόπῳ ᾧπερ καὶ πόλις ἦν δικαία. Καὶ τοῦτο πᾶσα ἀνάγκη. Ἀλλ' οὔπω μὴν τοῦτο ἐπιλελήσμεθα, ὅτι ἐκείνη γε τῷ τὸ ἑαυτοῦ ἕκαστον ἐν αὐτῇ πράττειν τριῶν ὄντων γενῶν δικαία ἦν. Οὔ μοι δοκοῦμεν, ἔφη, ἐπιλελῆσθαι. Μνημονευτέον ἄρα ἡμῖν ὅτι καὶ ἡμῶν ἕκαστος, ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αὐτῷ πράττῃ, οὗτος δίκαιός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. Καὶ μάλα, ἦ δ' ὅς, μνημονευτέον. Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν προσήκει, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν, τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ ξυμμάχῳ τούτου; Πάνυ γε. Ἆρ' οὖν οὐχ ὥσπερ ἐλέγομεν, μουσικῆς*[b] *καὶ γυμναστικῆς κρᾶσις ξύμφωνα αὐτὰ ποιήσει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα λόγοις τε καλοῖς καὶ μαθήμασι, τὸ δὲ ἀνιεῖσα παραμυθουμένη, ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; Κομιδῇ γε, ἦ δ' ὅς. Καὶ τούτω δὴ οὕτω τραφέντε καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παιδευθέντε προστατήσετον τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ καὶ χρημάτων φύσει ἀπληστότατον· ὃ τηρήσετον, μὴ τῷ πίμπλασθαι τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν πολὺ καὶ ἰσχυρὸν γενόμενον οὐκ αὖ τὰ αὑτοῦ πράττῃ, ἀλλὰ καταδουλώσασθαι καὶ ἄρχειν ἐπιχειρήσῃ ὧν οὐ προσῆκον αὐτῷ γένει, καὶ ξύμπαντα τὸν βίον πάντων ἀνατρέψῃ. Πάνυ μὲν οὖν, ἔφη. Ἆρ' οὖν, ἦν δ' ἐγώ, καὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλαττοίτην ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ*

summae virtutes

iustitia

σώματος, τὸ μὲν βουλευόμενον, τὸ δὲ προπολεμοῦν, ἑπόμενον δὲ τῷ ἄρχοντι καὶ τῇ ἀνδρείᾳ, ἐπιτελοῦν τὰ βουλευθέντα; fortitudo Ἔστι ταῦτα. Καὶ ἀνδρεῖον δή, οἶμαι, τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασῴζῃ διά τε λυπῶν καὶ ἡδονῶν τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν δεινόν sapientia τε καὶ μή. Ὀρθῶς γ', ἔφη. Σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει, τῷ ὃ ἦρχέ τ' ἐν αὐτῷ καὶ ταῦτα παρήγγελλεν, ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστῳ τε καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων. continentia Πάνυ μὲν οὖν. Τί δέ; σώφρονα οὐ τῇ φιλίᾳ καὶ ξυμφωνίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ ἀρχομένω τὸ λογιστικὸν ὁμοδοξῶσι δεῖν ἄρχειν καὶ μὴ στασιάζωσιν αὐτῷ; Σωφροσύνη γοῦν, ἦ δ' ὅς, οὐκ ἄλλο τί ἐστιν ἢ τοῦτο, πόλεώς τε καὶ ἰδιώτου. Ἀλλὰ μὲν δὴ δίκαιός γε, ᾧ πολλάκις λέγομεν, τούτῳ καὶ οὕτως ἔσται. Πολλὴ ἀνάγκη[c].

a. Tres animi partes (**RP** 268 a) comparat cum tribus ordinibus civitatis **RP** 279.

b. Cf. **RP** 270. Musica est omnium artium litterarumque tractatio ut etiam *λόγοι καλοὶ* et *τὰ μαθήματα* ad eam referantur, Rep. II 376 E, III 410 B.

c. Sapientia (*σοφία, φρόνησις, ἐπιστήμη*) et fortitudo et temperantia pertinent ad singulas animi partes recte colendas, iustitia ad universum animum et partium convenientiam, v. **RP** 275. Omnes virtutes ita inter se conexae sunt, ut altera non possit esse sine altera, itemque omnes subiectae sapientiae (**RP** 274), cf. Rep. VII 518 D *αἱ μὲν τοίνυν ἄλλαι ἀρεταὶ καλούμεναι ψυχῆς κινδυνεύουσιν ἐγγύς τι εἶναι τῶν τοῦ σώματος· τῷ ὄντι γὰρ οὐκ ἐνοῦσαι πρότερον ὕστερον ἐμποιεῖσθαι ἔθεσί τε καὶ ἀσκήσεσιν· ἡ δὲ τοῦ φρονῆσαι παντὸς μᾶλλον θειοτέρου τινὸς τυγχάνει, ὡς ἔοικεν, οὖσα, ὃ τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμον καὶ ὠφέλιμον καὶ ἄχρηστον αὖ καὶ βλαβερὸν γίγνεται.*

respublica quid spectet Rep. VI 496 E. Ἀλλά τοι, ἦ δ' ὅς, οὐ τὰ ἐλάχιστα ἂν 277 διαπραξάμενος (ὁ φιλόσοφος, εἴ πῃ αὐτὸς καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων [τὸν ἐνθάδε βίον βιώσεται,) ἀπαλλάττοιτο. Οὐδέ γε, εἶπον, τὰ μέγιστα, μὴ τυχὼν πολιτείας προσηκούσης· ἐν γὰρ προσηκούσῃ αὐτός τε μᾶλλον αὐξήσεται καὶ μετὰ τῶν ἰδίων τὰ κοινὰ σώσει[a]. — Leg. IV 707 C. Ἀλλὰ γὰρ ἀποβλέποντες νῦν πρὸς πολιτείας ἀρετὴν καὶ χώρας

φύσιν σκοπούμεθα καὶ νόμων τάξιν, οὐ τὸ σῴζεσθαί τε καὶ εἶναι μόνον ἀνθρώποις τιμιώτατον ἡγούμενοι, καθάπερ οἱ πολλοί, τὸ δ' ὡς βελτίστους γίγνεσθαί τε καὶ εἶναι τοσοῦτον χρόνον ὅσον ἂν ὦσιν[b].

a. Aliis quidem locis, ubi philosophum a republica prorsus abstinere docet (velut Theaet. 172 C sq., Rep. I 345 E sq., VII 519 C sq.) imperfectas quae vulgo obtinent civitatum formas spectat, cf. Rep. VII 540 B.

b. Gorg. 515 B οὐ φιλονεικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βουλόμενος εἰδέναι ὅντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν, εἰ ἄλλου του ἄρα ἐπιμελήσει ἡμῖν ἐλθὼν ἐπὶ τὰ τῆς πόλεως πράγματα, ἢ ὅπως ὅτι βέλτιστοι οἱ πολῖται ὦμεν. Cf. Polit. 309 C; Leg. I 632 D; IV 702 A, 705 E.

278 Rep. II 369 B. Γίγνεται τοίνυν, ἦν δ' ἐγώ, πόλις, ὡς ἐγῷμαι, ἐπειδὴ τυγχάνει ἡμῶν ἕκαστος οὐκ αὐτάρκης ἀλλὰ πολλῶν ἐνδεής· ἢ τίν' οἴει ἀρχὴν ἄλλην πόλιν οἰκίζειν; Οὐδεμίαν, ἦ δ' ὅς. Οὕτω δὴ ἄρα παραλαμβάνων ἄλλος ἄλλον ἐπ' ἄλλου, τὸν δ' ἐπ' ἄλλου χρείᾳ, πολλῶν δεόμενοι, πολλοὺς εἰς μίαν οἴκησιν ἀγείραντες κοινωνούς τε καὶ βοηθούς, ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα. ἢ γάρ; Πάνυ μὲν οὖν. — 370 A. Ἐννοῶ γὰρ καὶ αὐτὸς εἰπόντος σοῦ ὅτι πρῶτον μὲν ἡμῶν φύεται ἕκαστος οὐ πάνυ ὅμοιος ἑκάστῳ, ἀλλὰ διαφέρων τὴν φύσιν, ἄλλος ἐπ' ἄλλου ἔργου πρᾶξιν. ἢ οὐ δοκεῖ σοι; Ἔμοιγε. Τί δέ; πότερον κάλλιον πράττοι ἄν τις εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος, ἢ ὅταν μίαν εἷς; Ὅταν, ἦ δ' ὅς, εἷς μίαν[a]. — 371 A. Καὶ ἐμπόρων δὴ δεησόμεθα. Πάνυ γε. Καὶ ἐὰν μέν γε κατὰ θάλατταν ἡ ἐμπορία γίγνηται, συχνῶν καὶ ἄλλων προσδεήσεται τῶν ἐπιστημόνων τῆς περὶ τὴν θάλατταν ἐργασίας. Συχνῶν μέντοι. Τί δὲ δή; ἐν αὐτῇ τῇ πόλει πῶς ἀλλήλοις μεταδώσουσιν ὧν ἂν ἕκαστοι ἐργάζωνται; ὧν δὴ ἕνεκα καὶ κοινωνίαν ποιησάμενοι πόλιν ᾠκίσαμεν. Δῆλον δή, ἦ δ' ὅς, ὅτι πωλοῦντες καὶ ὠνούμενοι. Ἀγορὰ δὴ ἡμῖν καὶ νόμισμα ξύμβολον τῆς ἀλλαγῆς ἕνεκα γενήσεται ἐκ τούτου. Πανύ μὲν οὖν. — 371 D. Αὕτη ἄρα, ἦν δ' ἐγώ, ἡ χρεία καπήλων ἡμῖν γένεσιν ἐμποιεῖ τῇ πόλει. — Ἆρ' οὖν, ὦ Ἀδείμαντε, ἤδη ἡμῖν ηὔξηται ἡ πόλις, ὥστ' εἶναι τελέα; Ἴσως. Ποῦ οὖν ἄν ποτε ἐν αὐτῇ εἴη ἥ τε δικαιοσύνη καὶ ἡ ἀδικία; καὶ τίνι ἅμα ἐγγενομένη ὧν ἐσκέμ-

rei publicae constitutio

opifices

negotiatores

μεθα; Ἐγὼ μέν, ἔφη, οὐκ ἐννοῶ, ὦ Σώκρατες, εἰ μή που ἐν αὐτῶν τούτων χρείᾳ τινὶ τῇ πρὸς ἀλλήλους. Ἀλλ᾽ ἴσως, ἦν δ᾽ ἐγώ, καλῶς λέγεις[b].

a. In sequentibus 374 A sq. eo usque in hac munerum distributione procedit, ut militantium etiam peculiarem ordinem esse iubeat.

b. Veram Platonis hac de re sententiam habes RP 279.

sapientes Rep. IV 428 E. Τῷ σμικροτάτῳ ἄρα ἔθνει καὶ μέρει 279 ἑαυτῆς καὶ τῇ ἐν τούτῳ ἐπιστήμῃ, τῷ προεστῶτι καὶ ἄρχοντι, ὅλη σοφὴ ἂν εἴη κατὰ φύσιν οἰκισθεῖσα πόλις· καὶ τοῦτο, ὡς ἔοικε, φύσει ὀλίγιστον γίγνεται γένος, ᾧ προσήκει ταύτης τῆς ἐπιστήμης μεταλαγχάνειν, ἣν μόνην δεῖ τῶν ἄλλων milites ἐπιστημῶν σοφίαν καλεῖσθαι[a]. — Ἀλλὰ μὴν ἀνδρεία γε αὐτή τε καὶ ἐν ᾧ κεῖται τῆς πόλεως, δι᾽ ὃ τοιαύτη κλητέα ἡ πόλις οὐ πάνυ χαλεπὸν ἰδεῖν. Πῶς δή; Τίς ἄν, ἦν δ᾽ ἐγώ, εἰς ἄλλο τι ἀποβλέψας ἢ δειλὴν ἢ ἀνδρείαν πόλιν εἴποι, ἀλλ᾽ ἢ εἰς τοῦτο τὸ μέρος, ὃ προπολεμεῖ τε καὶ στρατεύεται ὑπὲρ αὐτῆς; Οὐδ᾽ ἂν εἷς, ἔφη, εἰς ἄλλο τι. Οὐ γάρ, οἶμαι, εἶπον, οἵ γε ἄλλοι ἐν αὐτῇ ἢ δειλοὶ ἢ ἀνδρεῖοι ὄντες κύριοι ἂν εἶεν ἢ τοίαν αὐτὴν εἶναι ἢ τοίαν. Οὐ γάρ. Καὶ ἀνδρεία ἄρα πόλις μέρει τινὶ ἑαυτῆς ἐστί, διὰ τὸ ἐν ἐκείνῳ ἔχειν δύναμιν τοιαύτην, ἣ διὰ παντὸς σώσει τὴν περὶ τῶν δεινῶν δόξαν, ταῦτά τε αὐτὰ εἶναι καὶ τοιαῦτα, ἅ τε καὶ οἷα ὁ civium continentia νομοθέτης παρήγγειλεν ἐν τῇ παιδείᾳ. — 431 D. Εἰ ἄρα δεῖ τινα πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν αὑτῆς, καὶ ταύτην προσρητέον. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ᾽ οὖν οὐ καὶ σώφρονα κατὰ πάντα ταῦτα; Καὶ μάλα, ἔφη. Καὶ μὴν εἴπερ αὖ ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις περὶ τοῦ οὕστινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν· ἢ οὐ δοκεῖ; Καὶ μάλα, ἔφη, σφόδρα. Ἐν ποτέροις οὖν φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι, ὅταν οὕτως ἔχωσιν, ἐν τοῖς ἄρχουσιν ἢ ἐν τοῖς ἀρχομένοις; Ἐν ἀμφοτέροις που, munerum separatio ἔφη. — 434 A. Τέκτων σκυτοτόμου ἐπιχειρῶν ἔργα ἐργάζεσθαι ἢ σκυτοτόμος τέκτονος, ἢ τὰ ὄργανα μεταλαμβάνοντες τἀλλήλων ἢ τιμάς, ἢ καὶ ὁ αὐτός ἐπιχειρῶν ἀμφότερα πράττειν, πάντα τἆλλα μεταλλαττόμενα, ἆρά σοι ἄν τι δοκεῖ

μέγα βλάψαι πόλιν; Οὐ πάνυ, ἔφη. Ἀλλ' ὅταν γε, οἶμαι, δημιουργὸς ὢν ἤ τις ἄλλος χρηματιστὴς φύσει, ἔπειτα ἐπαιρόμενος ἢ πλούτῳ ἢ πλήθει ἢ ἰσχύϊ ἢ ἄλλῳ τῳ τοιούτῳ εἰς τὸ τοῦ πολεμικοῦ εἶδος ἐπιχειρῇ ἰέναι, ἢ τῶν πολεμικῶν τις εἰς τὸ τοῦ βουλευτικοῦ καὶ φύλακος ἀνάξιος ὤν, καὶ τὰ ἀλλήλων οὗτοι ὄργανα μεταλαμβάνωσι καὶ τὰς τιμάς, ἢ ὅταν ὁ αὐτὸς πάντα ταῦτα ἅμα ἐπιχειρῇ πράττειν, τότε οἶμαι καὶ σοὶ δοκεῖν ταύτην τὴν τούτων μεταβολὴν καὶ πολυπραγμοσύνην ὄλεθρον εἶναι τῇ πόλει. Παντάπασι μὲν οὖν. Ἡ τριῶν ἄρα ὄντων γενῶν πολυπραγμοσύνη καὶ μεταβολὴ εἰς ἄλληλα μεγίστη τε βλάβη τῇ πόλει καὶ ὀρθότατ' ἂν προσαγορεύοιτο μάλιστα κακουργία. Κομιδῇ μὲν οὖν. Κακουργίαν δὲ τὴν μεγίστην τῆς ἑαυτοῦ πόλεως οὐκ ἀδικίαν φήσεις εἶναι; Πῶς δ' οὔ; Τοῦτο μὲν ἄρα ἀδικία. πάλιν δὲ ὧδε λέγωμεν· χρηματιστικοῦ, ἐπικουρικοῦ, φυλακικοῦ γένους οἰκειοπραγία, ἑκάστου τούτων τὸ ἑαυτοῦ πράττοντος ἐν πόλει, τοὐναντίον ἐκείνου δικαιοσύνη τ' ἂν εἴη καὶ τὴν πόλιν δικαίαν παρέχοι; Οὐκ ἄλλῃ ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, ἔχειν ἢ ταύτῃ[b]. *et ordinum*

a. In iusta civitate nemo nisi philosophus rectoris munere fungi potest, v. Rep. V 473 C. *Ἐὰν μή, ἦν δ' ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δ' οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή ποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν.* Etiam inter sapientes munera distribuuntur atque ita ut aetate grandiores et optimi principem locum teneant. Servitus civitati vindicatur, non ea qua Graeci Graecis serviant (Rep. V 469 C), sed qua Graecis barbari ut homines ingenio inferiores (Polit. 309 A). Nominatur civitas illa a philosophis regenda *ἀριστοκρατία* (Rep. VIII 544 E), cum genuini philosophi sint *οἱ ἄριστοι* (ib. III 412 C, VIII 543 A), quorum utrum plures sint regentes an unus fere eodem venire statuebat. *philosophi rectores* *servi*

b. Ab iniustitia et perturbatione ordinum maxime eorum qui regunt repetuntur civitatum labefactationes et ruinae, quod explicatius probatur Rep. VIII, singulis rei publicae apud Graecos formis ad illam normam castigatis. Tyrannum dicit esse virum iniustum et omnium miserrimum: Rep. IX 580 B *(ὁ λόγος) τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε, τοῦτον δ' εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὑτοῦ, τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον ἀθλιώτατον, τοῦτον δὲ αὖ τυγχάνειν ὄντα* *tyrannus*

ὃς ἂν τυραννικώτατος ὢν ἑαυτοῦ τε ὅ τι μάλιστα τυραννῇ καὶ τῆς πόλεως.

communio bonorum

Leg. V 739 B. *Πρώτη μὲν τοίνυν πόλις τέ ἐστι καὶ* 280 *πολιτεία καὶ νόμοι ἄριστοι, ὅπου τὸ πάλαι λεγόμενον ἂν γίγνηται κατὰ πᾶσαν τὴν πόλιν ὅ τι μάλιστα· λέγεται δὲ ὡς ὄντως ἐστὶ κοινὰ τὰ φίλων*[a]. *τοῦτ᾽ οὖν εἴτε που νῦν ἔστιν εἴτ᾽ ἔσται ποτέ, κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ εἶναι παῖδας, κοινὰ δὲ χρήματα ξύμπαντα, κεἰ*[1] *πάσῃ μηχανῇ τὸ λεγόμενον ἴδιον πανταχόθεν ἐκ τοῦ βίου ἅπαν ἐξῄρηται, μεμηχάνηται δ᾽ εἰς τὸ δυνατὸν καὶ τὰ φύσει ἴδια κοινὰ ἁμῇ γέ πῃ γεγονέναι, οἷον ὄμματα καὶ ὦτα καὶ χεῖρας κοινὰ μὲν ὁρᾶν δοκεῖν καὶ ἀκούειν καὶ πράττειν, ἐπαινεῖν τε αὖ καὶ ψέγειν καθ᾽ ἓν ὅ τι μάλιστα ξύμπαντας ἐπὶ τοῖς αὐτοῖς χαίροντας καὶ λυπουμένους, κἂν*[2] *κατὰ δύναμιν οἵτινες νόμοι μίαν ὅ τι μάλιστα πόλιν ἀπεργάζονται, τούτων ὑπερβολὴ ⟨ᾗ⟩*[3] *πρὸς ἀρετήν, οὐδείς ποτε ὅρον ἄλλον θέμενος ὀρθότερον οὐδὲ βελτίω θήσεται. ἡ μὲν δὴ τοιαύτη πόλις, εἴτε που θεοὶ ἢ παῖδες θεῶν αὐτὴν οἰκοῦσι πλείους ἑνός, οὕτω διαζῶντες εὐφραινόμενοι κατοικοῦσι· διὸ δὴ παράδειγμά γε πολιτείας οὐκ ἄλλῃ χρὴ σκοπεῖν, ἀλλ᾽ ἐχομένους ταύτης τὴν ὅ τι μάλιστα τοιαύτην ζητεῖν κατὰ δύναμιν*[b].

a. Pythagoreos dicit, v. **RP** 47 a. Ad rem cf. Rep. V 462 C *ἐν ᾗτινι δὴ πόλει πλεῖστοι ἐπὶ τὸ αὐτὸ κατὰ ταὐτὰ τοῦτο λέγουσι τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμόν, αὕτη ἄριστα διοικεῖται. — Καὶ ἥτις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει, οἷον ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν σύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ ᾔσθετό τε καὶ πᾶσα ἅμα ξυνήλγησε μέρους πονήσαντος ὅλη.* Ex communione bonorum eximuntur opifices Rep. IV 421 C sq.: at Leg. VIII 846 D sq. agrorum cultura militantibus imposita opificia ad peregrinos relegantur.

b. Cf. Rep. IX 592 A *ἐν ᾗ νῦν διήλθομεν οἰκίζοντες πόλει λέγεις (ὅτι ὁ νοῦν ἔχων τὰ πολιτικὰ ἐθελήσει πράττειν) τῇ ἐν λόγοις κειμένῃ, ἐπεὶ γῆς γε οὐδαμοῦ οἶμαι αὐτὴν εἶναι. Ἀλλ᾽, ἦν δ᾽ ἐγώ, ἐν οὐρανῷ ἴσως παράδειγμα ἀνάκειται τῷ βουλομένῳ ὁρᾶν καὶ ὁρῶντι ἑαυτὸν*

---

1) *κεἰ* Diels: *καὶ* vulg. — 2) *κἂν* Diels: *καὶ* vulg. — 3) *ᾗ* inseruit Diels.

κατοικίζειν· διαφέρει δὲ οὐδὲν εἴτε που ἔστιν εἴτε ἔσται. Quod cave ita accipias ac si talem civitatem omnino non posse exsistere putaverit, cf. Rep. V 471 C, VI 499 B, 502 B, VII 540 D. (Idem cadit in iustitiam et virum iustum, cf. ibid. V 472 B sq.) Hegel, *Gesch. d. Ph.* II 269—295. Zeller, *d. plat. Staat (Vortr. u. Abh.* I 4). *Ph. d. Gr.* II 1³ 776 sq. — Civitates ac leges vere exsistentes magis respiciens de multis rebus aliter iudicat in libris de Legibus, qui a seniore compositi necdum ab ipso editi erant. Cf. Z. II 1³ 805—835; Bruns l. l. RP 244 b; Bergk, *Pl.s Gesetze (5 Abhdlgn,* Lips. 1883).

281 Leg. IX 874 E. *Νόμους ἀνθρώποις ἀναγκαῖον τίθεσθαι καὶ ζῆν κατὰ νόμους, ἢ μηδὲν διαφέρειν τῶν πάντῃ ἀγριωτάτων θηρίων. ἡ δὲ αἰτία τούτων ἥδε, ὅτι φύσις ἀνθρώπων οὐδενὸς ἱκανὴ φύεται ὥστε γνῶναί τε τὰ συμφέροντα ἀνθρώποις εἰς πολιτείαν καὶ γνοῦσα τὸ βέλτιστον ἀεὶ δύνασθαί τε καὶ ἐθέλειν πράττειν. γνῶναι μὲν γὰρ πρῶτον χαλεπὸν ὅτι πολιτικῇ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν — τὸ μὲν γὰρ κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις — καὶ ὅτι ξυμφέρει τῷ κοινῷ τε καὶ ἰδίῳ, τοῖν ἀμφοῖν ἢν τὸ κοινὸν τιθῆται καλῶς μᾶλλον ἢ τὸ ἴδιον· δεύτερον δέ, ἐὰν ἄρα καὶ τὸ γνῶναί τις ὅτι ταῦτα οὕτω πέφυκε λάβῃ ἱκανῶς ἐν τέχνῃ, μετὰ δὲ τοῦτο ἀνυπεύθυνός τε καὶ αὐτοκράτωρ ἄρξῃ πόλεως, οὐκ ἄν ποτε δύναιτο ἐμμεῖναι τούτῳ τῷ δόγματι καὶ διαβιῶναι τὸ μὲν κοινὸν ἡγούμενον τρέφων ἐν τῇ πόλει, τὸ δὲ ἴδιον ἑπόμενον τῷ κοινῷ, ἀλλ' ἐπὶ πλεονεξίαν καὶ ἰδιοπραγίαν ἡ θνητὴ φύσις αὐτὸν ὁρμήσει ἀεὶ φεύγουσα μὲν ἀλόγως τὴν λύπην διώκουσα δὲ τὴν ἡδονήν, τοῦ δὲ δικαιοτέρου τε καὶ ἀμείνονος ἐπίπροσθεν ἄμφω τούτω προστήσεται, καὶ σκότος ἀπεργαζομένη ἐν αὑτῇ πάντων κακῶν ἐμπλήσει πρὸς τὸ τέλος αὑτήν τε καὶ τὴν πόλιν ὅλην. ἐπεὶ ταῦτα εἴ ποτέ τις ἀνθρώπων φύσει ἱκανός, θείᾳ μοίρᾳ γεννηθείς, παραλαβεῖν δυνατὸς εἴη, νόμων οὐδὲν ἂν δέοιτο τῶν ἀρξόντων ἑαυτοῦ· ἐπιστήμης γὰρ οὔτε νόμος οὔτε τάξις οὐδεμία κρείττων, οὐδὲ θέμις ἐστὶ νοῦν οὐδενὸς ὑπήκοον οὐδὲ δοῦλον ἀλλὰ πάντων ἄρχοντα εἶναι, ἐάνπερ ἀληθινὸς ἐλεύθερός τε ὄντως ᾖ κατὰ φύσιν*. νῦν δέ — οὐ γάρ ἐστιν οὐδαμοῦ οὐδαμῶς, ἀλλ' ἢ κατὰ βραχύ· διὸ δὴ τὸ δεύτερον αἱρετέον, τάξιν τε καὶ νόμον, ἃ δὴ τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ ὁρᾷ καὶ βλέπει, τὸ δ' ἐπὶ πᾶν ἀδυνατεῖ.* cur legibus opus sit

a. Cf. Polit. 294 A τὸ δ' ἄριστον οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν,
educatio ἀλλ' ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν. — Educationem puerorum ad civitatem regendam gravioris momenti quam ipsam legum dationem esse arbitrabatur, Rep. IV 423 D. Οὗτοι, ἦν δ' ἐγώ, ὦ 'γαθὲ Ἀδείμαντε, ὡς δόξειεν ἄν τις, ταῦτα πολλὰ καὶ μεγάλα αὐτοῖς προστάττομεν ἀλλὰ πάντα φαῦλα; ἐὰν τὸ λεγόμενον ἓν μέγα φυλάττωσι, μᾶλλον δὲ ἀντὶ μεγάλου ἱκανόν. Τί τοῦτο; ἔφη. Τὴν παιδείαν, ἦν δ' ἐγώ, καὶ τροφήν. ἐὰν γὰρ εὖ παιδευόμενοι μέτριοι ἄνδρες γίγνωνται, πάντα ταῦτα ῥᾳδίως διόψονται καὶ ἄλλα γε ὅσα νῦν ἡμεῖς παραλείπομεν. Quocirca leges ita concipiendas esse dicit, ut institutioni simul inserviant, Leg. IV 719 E sq., IX 857 C sq. Ipsa administratio civitatis nihil aliud ei quam educatio civium esse videbatur: Menex. 238 C πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστί, καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία κακῶν.

Academia vetus.

---

282 Diog. III 46. *Μαθηταὶ δ' αὐτοῦ (τοῦ Πλάτωνος) Σπεύσιππος Ἀθηναῖος, Ξενοκράτης Χαλκηδόνιος, Ἀριστοτέλης Σταγειρίτης, Φίλιππος Ὀπούντιος, Ἑστίαιος Περίνθιος, — Ἡρακλείδης Ποντικὸς καὶ ἄλλοι.* Platonis discipuli

Cf. Academicor. philosophor. index Herculanensis ed. Buecheler, ind. schol. hib. Gryphiswald. 1869-70. — De Speusippi et Xenocratis placitis scripserant Aristoteles et Theophrastus, v. Diog. V 25. 47; de Philippo Opuntio, qui Leges Platonis ediderat adiecta Epinomide (RP 244 b, 280 b), v. Diog. III 37 et Suid. v. *φιλόσοφος*, ubi plures libri ab eo editi enumerantur, cf. Z II 1[3] 844. Hestiaeus et Heraclides nominantur inter eos qui Platonis *περὶ τἀγαθοῦ* scholas perscripta publicaverant, Simplic. Phys. 104[v]. 453, 29 D. Heraclides Ponticus, varia doctrina magis quam inter philosophos notabilis, scripserat etiam de rebus mathematicis et astronomicis, Diog. V 86 sq.; cf. Deswert, de Heracl. P., Lovan. 1830; Krische, *Forsch.* 324 sq.; Boeckh, *d. kosm. Syst. d. Plat.* 127 sq.; Unger, Mus. Rh. XXXVIII, 481 sq.; Schrader, Quaest. Perip., Progr. Hamburg. 1884, p. 7. — Omnes ad Pythagoreos propensiores erant praeeunte ipso Platone seniore.

283 Diog. IV 1. *Διεδέξατο δ' αὐτὸν (Πλάτωνα) Σπεύσιππος Εὐρυμέδοντος Ἀθηναῖος, — υἱὸς τῆς ἀδελφῆς αὐτοῦ Πωτώνης. καὶ ἐσχολάρχησεν ἔτη ὀκτώ, ἀρξάμενος ἀπὸ τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος* (a. 347—339)[a]. Speusippus

a. Cf. Ind. Hercul. c. 6. — Ipse et successores, Xenocrates et Polemo, prope Academiam habitabant (Diog. IV 1. 6. 19; Plutarch. de exsil. 10 p. 602), in Platonis horto qui inferioribus temporibus in possessione scholae mansit, (Damasc. v. Isidori 158; Suid. v. *Πλάτων*), cf. Zumpt in Comm. Acad. Berol. [1842] 1844, p. 32 sq.

284 Diog. VI 2. *Οὗτος*[a] *πρῶτος — ἐν τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινὸν καὶ συνῳκείωσε καθόσον ἦν δυνατὸν ἀλλήλοις*[b]. mathematicus

a. De Sp. doctrina cf. Ravaisson, Speusippi de primis rerum principiis placita, Par. 1838; Brandis, *Hdb.* II b 1, 6—19; Krische, 246—258; Z. II 1³ 848—862. — De vita: M. A. Fischer, Rastadii 1845.

b. Themist. in Ar. Anal. post. II 13. 97ᵃ 6 (Schol. Ar. 248ᵃ). *Σπεύσιππος δὲ οὐ καλῶς λέγει φάσκων ἀναγκαῖον εἶναι τὸν ὁριζόμενον πάντα εἰδέναι· δεῖ γάρ, φησίν, γιγνώσκειν τὰς διαφορὰς αὐτοῦ πάσας, αἷς τῶν ἄλλων διενήνοχεν.* — Inter libros eius, qui recensentur ap. Diog. IV 4. 5, *τὰ Ὅμοια* erant de rebus naturalibus, v. Athen. III 86 c, alibi.

principia Arist. Met. VII 2. 1028ᵇ 19. *Πλάτων τά τε εἴδη καὶ* 285
τὰ μαθηματικὰ δύο οὐσίας (οἴεται εἶναι), τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης οὐσίας ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας.

De Platone v. RP 260 c. Numeros tantum mathematicos statuisse videtur sublatis idealibus, v. Z. II 1³ 855.

ratio et sensus Sext. Math. VII 145. *Σπεύσιππος δέ, ἐπεὶ τῶν πραγ-* 286
μάτων τὰ μὲν αἰσθητὰ τὰ δὲ νοητά, τῶν μὲν νοητῶν κριτήριον ἔλεξεν εἶναι τὸν ἐπιστημονικὸν λόγον, τῶν δὲ αἰσθητῶν τὴν ἐπιστημονικὴν αἴσθησιν. *ἐπιστημονικὴν δὲ αἴσθησιν ὑπείληφε καθεστάναι τὴν μεταλαμβάνουσαν τῆς κατὰ τὸν λόγον ἀληθείας.* 146. *ὥσπερ γὰρ οἱ τοῦ αὐλητοῦ ἢ ψάλτου δάκτυλοι τεχνικὴν μὲν εἶχον ἐνέργειαν, οὐκ ἐν αὐτοῖς δὲ προηγουμένως τελειουμένην, ἀλλ᾽ ἐκ τῆς πρὸς τὸν λογισμὸν συνασκήσεως ἀπαρτιζομένην, καὶ ὡς ἡ τοῦ μουσικοῦ αἴσθησις ἐνέργειαν μὲν εἶχεν ἀντιληπτικὴν τοῦ τε ἡρμοσμένου καὶ τοῦ ἀναρμόστου, ταύτην δὲ οὐκ αὐτοφυῆ, ἀλλ᾽ ἐκ λογισμοῦ περιγεγονυῖαν, οὕτω καὶ ἡ ἐπιστημονικὴ αἴσθησις φυσικῶς παρὰ τοῦ λόγου τῆς ἐπιστημονικῆς μεταλαμβάνει τριβῆς πρὸς ἀπλανῆ τῶν ὑποκειμένων διάγνωσιν*ᵃ.

a. Cf. Plat. Rep. VII 518, RP 276 b. Videtur igitur Speusippus sensibus plus quam magister tribuisse.

bonum Arist. Met. XII 7. 1072ᵇ 30. *Ὅσοι δὲ ὑπολαμβάνουσιν,* 287
ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον

ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται· τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον[a].

a. Arist. Met. XIV 5. 1092ᵃ 9 οὐκ ὀρθῶς δ' ὑπολαμβάνει οὐδ' εἴ τις παρεικάζει τὰς τοῦ ὅλου ἀρχὰς τῇ τῶν ζῴων καὶ φυτῶν, ὅτι ἐξ ἀορίστων ἀτελῶν δὲ ἀεὶ τὰ τελειότερα, διὸ καὶ ἐπὶ τῶν πρώτων οὕτως ἔχειν φησίν, ὥστε μηδὲ ὄν τι εἶναι τὸ ἓν αὐτό. — Consentaneum erat ut intellectum divinum et ab uno et a bono separandum esse contenderet, v. Stob. Ecl. I 58. Dox. 303. Σπεύσιππος τὸν νοῦν οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ τὸν αὐτόν, ἰδιοφυῆ δέ. Eodem faciunt quae leguntur ap. Cic. D. N. I 32. Dox. 538. *Speusippus — — vim quandam dicens qua omnia regantur eamque animalem evellere ex animis conatur cognitionem deorum.* Cf. Krische, *Forsch.* p. 250 sq. vis divina

288 A Clem. Strom. II 21 p. 500 P. Σπεύσιππος — τὴν εὐδαιμονίαν φησὶν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν, ἢ ἕξιν ἀγαθῶν· ἧς δὴ καταστάσεως ἅπαντας μὲν ἀνθρώπους ὄρεξιν ἔχειν, στοχάζεσθαι δὲ τοὺς ἀγαθοὺς τῆς ἀοχλησίας· εἶεν δ' ἂν αἱ ἀρεταὶ τῆς εὐδαιμονίας ἀπεργαστικαί. vita beata

288 B Seneca Ep. 85, 15. Xenocrates et Speusippus putant beatum vel sola virtute fieri posse, non tamen unum bonum esse, quod honestum est. bona

289 Diog. IV 6. Ξενοκράτης Ἀγαθήνορος Χαλκηδόνιος· οὗτος ἐκ νέου Πλάτωνος ἤκουσεν, ἀλλὰ καὶ εἰς Σικελίαν αὐτῷ συναπεδήμησεν. ἦν δὲ τὴν φύσιν νωθρός, ὥστε λέγειν τὸν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει· Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ[a]. — 10. πρὸς δὲ τὸν μήτε μουσικὴν μήτε γεωμετρίαν μήτε ἀστρονομίαν μεμαθηκότα, βουλόμενον δὲ παρ' αὐτὸν φοιτᾶν· Πορεύου, ἔφη, λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας. — 14. διεδέξατο δὲ Σπεύσιππον καὶ ἀφηγήσατο τῆς σχολῆς πέντε καὶ εἴκοσιν ἔτη ἐπὶ Λυσιμαχίδου ἀρξάμενος κατὰ τὸ δεύτερον ἔτος τῆς δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος (a. 339—314)[b]. Xenocrates

a. Quod ingenio deerat diligentia compensabat, v. Plut. de Rect. Rat. Aud. 18 p. 47. Etiam morum integritate ac severitate admodum inter cives spectabilis erat, v. Diog. IV 7—11. Ind. Herc. c. 6—8. 13.

b. Philosophiae tres partes primus nominatim distinxit, **RP** 249. — Librorum eius index ap. Diog. IV 11—14.

Scripserunt de Xen.: Wynpersse, de X. Chalcedonio, Lugd. Bat. 1822. Krische, *Forsch.* 311—324. Brandis, *Hdb.* II b 1, 19—36. Z. II 1[3] 840. 862—883.

genera rerum

Sext. Math. VII 147. *Ξενοκράτης δὲ τρεῖς φησιν οὐσίας* 290
εἶναι, τὴν μὲν αἰσθητήν, τὴν δὲ νοητήν, τὴν δὲ σύνθετον καὶ δοξαστήν· ὧν αἰσθητὴν μὲν εἶναι τὴν ἐντὸς οὐρανοῦ, νοητὴν δὲ πάντων τῶν ἐκτὸς οὐρανοῦ, δοξαστὴν δὲ καὶ σύνθετον τὴν αὐτοῦ τοῦ οὐρανοῦ· ὁρατὴ μὲν γάρ ἐστι τῇ αἰσθήσει, νοητὴ δὲ δι' ἀστρολογίας. 148. *τούτων μέντοι τοῦτον ἐχόντων τὸν τρόπον τῆς μὲν ἐκτὸς οὐρανοῦ καὶ νοητῆς οὐσίας κριτήριον ἀπεφαίνετο τὴν ἐπιστήμην, τῆς δὲ ἐντὸς οὐρανοῦ καὶ αἰσθητῆς αἴσθησιν, τῆς δὲ μικτῆς τὴν δόξαν· καὶ τούτων κοινῶς τὸ μὲν διὰ τοῦ ἐπιστημονικοῦ λόγου κριτήριον βέβαιόν τε ὑπάρχειν καὶ ἀληθές, τὸ δὲ διὰ τῆς αἰσθήσεως ἀληθὲς μέν, οὐχ οὕτω δὲ ὡς τὸ διὰ τοῦ ἐπιστημονικοῦ λόγου, τὸ δὲ σύνθετον κοινὸν ἀληθοῦς τε καὶ ψευδοῦς ὑπάρχειν·* 149. *τῆς γὰρ δόξης τὴν μέν τινα ἀληθῆ εἶναι, τὴν δὲ ψευδῆ· ὅθεν καὶ τρεῖς Μοίρας παραδεδόσθαι, Ἄτροπον μὲν τὴν τῶν νοητῶν ἀμετάθετον οὖσαν, Κλωθὼ δὲ τὴν τῶν αἰσθητῶν, Λάχεσιν δὲ τὴν τῶν δοξαστῶν*[a].

et cognitionis

a. Similia de Parcis ap. Plat. Rep. X 617 B sq.

dii

Stob. Ecl. I 62. Dox. 304. *Ξενοκράτης — τὴν μονάδα* 291
καὶ τὴν δυάδα θεούς, τὴν μὲν ὡς ἄρρενα πατρὸς ἔχουσαν τάξιν ἐν οὐρανῷ βασιλεύουσαν, ἥντινα προσαγορεύει καὶ Ζῆνα καὶ περιττὸν καὶ νοῦν, ὅστις ἐστὶν αὐτῷ πρῶτος θεός· τὴν δ' ὡς θήλειαν μητρὸς θεῶν δίκην τῆς ὑπὸ τὸν οὐρανὸν λήξεως ἡγουμένην, ἥτις ἐστὶν αὐτῷ ψυχὴ τοῦ παντός[a]. *θεὸν δὲ εἶναι καὶ τὸν οὐρανόν, καὶ τοὺς ἀστέρας πυρώδεις Ὀλυμπίους θεούς*[b], *καὶ ἑτέρους ὑποσελήνους δαίμονας ἀοράτους*[c]. *ἀρέσκει δὲ αὐτῷ* [1] *<θείας εἶναι δυνάμεις>* [2] *καὶ ἐνδιήκειν τοῖς ὑλικοῖς στοιχείοις. τούτων δὲ τὴν μὲν <διὰ τοῦ ἀέρος διήκουσαν>* [3] *Ἅιδην* [4] *προσαγορεύει, τὴν δὲ διὰ τοῦ ὑγροῦ*

1) *ἀρέσκεται δὲ καὶ αὐτὸς* A: corr. Krische. — 2) *θείας εἶναι δυνάμεις* Zeller: XVI litter. lacuna F. — 3) *διὰ τ. ἀ. προσγείου* Wachsmuth: XV litter. lacuna F. — 4) *Ἅιδην* Diels: *ἀειδῆ* A.

Ποσειδῶνα, τὴν δὲ διὰ τῆς γῆς φυτοσπόρον Δήμητραν. ταῦτα δὲ χορηγήσας τοῖς Στωϊκοῖς τὰ πρότερα παρὰ τοῦ Πλάτωνος μεταπέφρακεν.

a. Clem. Strom. V 14 p. 718 P. *Ξενοκράτης — τὸν μὲν ὕπατον Δία, τὸν δὲ νέατον καλῶν ἔμφασιν πατρὸς ἀπολείπει καὶ υἱοῦ.* — Plut. Plat. Qu. IX 1, 2 p. 1007 *Ξενοκράτης Δία τὸν ἐν μὲν τοῖς κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσιν ὕπατον καλεῖ, νέατον δὲ τὸν ὑπὸ σελήνην.* Cf. Z. II 1[3] 874[1].

b. Tertull. ad Nat. II 2 *Xenocrates Academicus bifariam facit* (formam divinitatis), *Olympios et Titanios, qui de caelo et terra.* — Cic. Deor. N. I 34 *in libris* (Xenocratis) *qui sunt de natura deorum nulla species divina describitur: deos enim octo esse dicit, quinque eos qui in stellis vagis nominantur, unum qui ex omnibus sideribus quae infixa caelo sunt ex dispersis quasi membris simplex sit putandus deus; septimum Solem adiungit octavamque Lunam.* — Clem. Protr. 5 p. 58 P. *Ξενοκράτης ἑπτὰ μὲν θεοὺς τοὺς πλανήτας, ὄγδοον δὲ τὸν ἐκ τῶν ἀπλανῶν* [1] *συνεστῶτα κόσμον αἰνίττεται.*

c. Daemonas non solum bonos sed etiam malos esse statuebat sacris publicis placandos (Plut. de Js. 25. 26). Sed animus quoque hominis daemonis loco ei est, cf. Ar. Top. II 6. 112[a] 37. *Ξενοκράτης φησὶν εὐδαίμονα εἶναι τὸν τὴν ψυχὴν ἔχοντα σπουδαίαν· ταύτην γὰρ ἑκάστου εἶναι δαίμονα.* Stob. Flor. 104, 24; cf. Plat. Rep. X 617 D.

292 Plut. de Anim. Procr. 1, 5 p. 1012. *Ἐπεὶ δὲ τῶν δοκιμωτάτων ἀνδρῶν τοὺς μὲν Ξενοκράτης προσηγάγετο τῆς ψυχῆς τὴν οὐσίαν ἀριθμὸν αὐτὸν ὑφ᾽ ἑαυτοῦ κινούμενον ἀποφηνάμενος*[a], *οἱ δὲ Κράντορι τῷ Σολιεῖ προσέθεντο μιγνύντι τὴν ψυχὴν ἔκ τε τῆς νοητῆς καὶ τῆς περὶ τὰ αἰσθητὰ δοξαστῆς φύσεως, οἶμαί τι τὴν τούτων ἀνακαλυφθέντων σαφήνειαν ἐνδόσιμον ἡμῖν παρέξειν.* — 2, 1. *οἱ μὲν γὰρ οὐδὲν ἢ γένεσιν ἀριθμοῦ δηλοῦσθαι νομίζουσι τῇ μίξει τῆς ἀμερίστου καὶ μεριστῆς οὐσίας· ἀμέριστον μὲν γὰρ εἶναι τὸ ἕν, μεριστὸν δὲ τὸ πλῆθος, ἐκ δὲ τούτων γίγνεσθαι τὸν ἀριθμὸν τοῦ ἑνὸς ὁρίζοντος τὸ πλῆθος καὶ τῇ ἀπειρίᾳ πέρας ἐντιθέντος, ἣν καὶ δυάδα καλοῦσιν ἀόριστον*[b]. — — 3. *τοῦτον δὲ μήπω ψυχὴν τὸν ἀριθμὸν εἶναι· τὸ γὰρ κινητικὸν καὶ τὸ κινητὸν ἐνδεῖν αὐτῷ. τοῦ δὲ ταὐτοῦ καὶ τοῦ ἑτέρου συμ-* anima

1) *τῶν ἀπλανῶν* corr. Dawis: *πάντων αὐτῶν* vulg.

μιγέντων, ὧν τὸ μέν ἐστι κινήσεως ἀρχὴ καὶ μεταβολῆς, τὸ δὲ μονῆς, ψυχὴν γεγονέναι μηδὲν ἧττον τοῦ ἱστάναι καὶ ἵστασθαι δύναμιν ἢ τοῦ κινεῖσθαι καὶ κινεῖν οὖσαν. — 3, 1. *ὁμαλῶς δὲ πάντες οὗτοι χρόνῳ μὲν οἴονται τὴν ψυχὴν μὴ γεγονέναι μηδ' εἶναι γεννητήν, πλείονας δὲ δυνάμεις ἔχειν, εἰς ἃς ἀναλύοντα θεωρίας ἕνεκα τὴν οὐσίαν αὐτῆς λόγῳ τὸν Πλάτωνα γιγνομένην ὑποτίθεσθαι καὶ συγκεραννυμένην*[c].

a. Haec definitio ab Aristotele identidem commemoratur auctore non nominato, cf. De An. I 2. 404b 27; 4. 408b 32. Anal. post. II 4. 91a 35.

b. **RP** 60. 260f.

c. Spectatur Plat. Tim. 35A; cf. Ar. de Caelo I 10. 279b 32 et Simpl. ad h. l. (schol. 488b Br.), **RP** 262a.

animalia Clem. Strom. V 13 p. 698 P. *Καθόλου γοῦν τὴν περὶ* 293
τοῦ θείου ἔννοιαν Ξενοκράτης ὁ Χαλκηδόνιος οὐκ ἀπελπίζει καὶ ἐν τοῖς ἀλόγοις ζῴοις[a].

a. Olympiodor. in Plat. Phaed. p. 98, 12 Finckh (cf. Dox. 539b adnot.) p. 145 *οἱ δὲ μέχρι τῆς ἀλογίας (ἀπαθανατίζουσιν), ὡς τῶν παλαιῶν Ξενοκράτης καὶ Σπεύσιππος*: ut animalibus etiam animas immortales et divini intellectus partem tribuerit, cf. **RP** 287a.

insecabiles lineae Simpl. Phys. 30r 138, 10 D. *Τούτῳ δὲ τῷ λόγῳ, φησὶ* 294
(Ἀλέξανδρος ὁ Ἀφροδισιεύς), τῷ περὶ τὰς διχοτομίας[a] *ἐνδοῦναι Ξενοκράτη τὸν Χαλκηδόνιον δεξάμενον μὲν τὸ πᾶν τὸ διαιρετὸν πολλὰ εἶναι (τὸ γὰρ μέρος ἕτερον εἶναι τοῦ ὅλου) καὶ τὸ μὴ δύνασθαι ταὐτὸν ἕν τε ἅμα καὶ πολλὰ εἶναι διὰ τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν, μηκέτι δὲ συγχωρεῖν πᾶν μέγεθος διαιρετὸν εἶναι καὶ μέρος ἔχειν· εἶναι γάρ τινας ἀτόμους γραμμάς, ἐφ' ὧν οὐκέτι ἀληθεύεσθαι τὸ πολλὰς ταύτας εἶναι. οὕτως γὰρ ᾤετο τὴν τοῦ ἑνὸς εὑρίσκειν φύσιν καὶ φεύγειν τὴν ἀντίφασιν διὰ τοῦ μήτε τὸ διαιρετὸν ἓν εἶναι ἀλλὰ πολλά, μήτε τὰς ἀτόμους γραμμὰς πολλὰ ἀλλ' ἓν μόνον.*

a. Zenonem spectat, **RP** 105B.

b. Hoc Xenocratis placitum videtur profectum esse ex Platonis doc-

trina, qua elementa ad triangula orthogonia revocabantur, Tim. 53 C; cf. Z. II 1³ 676. 868.

295 Clem. Strom. II 22 p. 500 P. Ξενοκράτης — τὴν εὐδαιμονίαν ἀποδίδωσι κτῆσιν τῆς οἰκείας ἀρετῆς καὶ τῆς ὑπηρετικῆς αὐτῇ δυνάμεως. εἶτα ὡς μὲν ἐν ᾧ γίγνεται φαίνεται λέγων τὴν ψυχήν, ὡς δ' ὑφ' ὧν τὰς ἀρετάς, ὡς δὲ ἐξ ὧν ὡς μερῶν τὰς καλὰς πράξεις καὶ τὰς σπουδαίας ἕξεις τε καὶ διαθέσεις καὶ κινήσεις καὶ σχέσεις, ὡς τούτων οὐκ ἄνευ τὰ σωματικὰ καὶ τὰ ἐκτός. vita beata

Bonam vitam et beatam vitam eodem venire putabat (v. Arist. Top. VII 1. 152ᵃ 7. Cic. Tusc. V 39), sed praeter bonas res et malas etiam tales admisit, quae neque bonae neque malae essent, Sext. Math. XI 4. — Sapientiam a prudentia differre putabat, v. Clem. Strom. II 5 p. 441 P. Ξενοκράτης ἐν τῷ περὶ φρονήσεως τὴν σοφίαν ἐπιστήμην τῶν πρώτων αἰτίων καὶ τῆς νοητῆς οὐσίας εἶναί φησιν, τὴν φρόνησιν ἡγούμενος διττήν, τὴν μὲν πρακτικὴν τὴν δὲ θεωρητικήν, ἣν δὴ σοφίαν ὑπάρχειν ἀνθρωπίνην. διόπερ ἡ μὲν σοφία φρόνησις, οὐ μὴν πᾶσα φρόνησις σοφία. — Praeclara eius sententia est (Aelian. V. H. XIV 42) μηδὲν διαφέρειν ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι· ἐν ταὐτῷ γὰρ ἁμαρτάνειν τόν τε εἰς ἃ μὴ δεῖ χωρία βλέποντα καὶ εἰς οὓς μὴ δεῖ τόπους παριόντα. sapientia

296 Cic. Acad. I 34. Speusippus autem et Xenocrates, qui primi Platonis rationem auctoritatemque susceperunt, et post eos Polemo[a] et Crates[b] unaque Crantor[c] in Academia congregati diligenter ea quae a superioribus acceperant tuebantur. Xenocratis successores

a. Polemo Atheniensis cum adulescens dissolutis moribus esset, Xenocratis gravitate ac sermonibus motus resipiscere coepit eique in Academia successit, Ind. Herc. c. 4. 13. 15. Diog. IV 16 sq.; Horat. Satir. II 3, 253 sq.; Lucian. bis Accus. 16; Valer. Max. VI 9. Scholae praefuit ab Ol. 116, 3 usque ad Ol. 127, 3 (a. 314—270). In doctrina nihil mutasse, sed moralem maxime partem coluisse videtur, cf. Diog. IV 18 ἔφασκε δὲ ὁ Πολέμων δεῖν ἐν τοῖς πράγμασι γυμνάζεσθαι καὶ μὴ ἐν τοῖς διαλεκτικοῖς θεωρήμασι. — Cic. Acad. II 131 *honeste — vivere fruentem rebus iis, quas primas homini natura conciliet, et vetus Academia censuit (finem bonorum esse), ut indicant scripta Polemonis, — et Aristoteles.* Cf. Fin. II 34. IV 14. — Cf. Th. Gomperz, *d. herkulan. Biographie d. Polemon (Philos. Aufs. Zeller gewidmet, Leipz.* 1887, 141—149). Polemo

b. Crates Atheniensis Polemoni coniunctissimus erat eique in schola Crates

successit, v. Diog. IV 21; Ind. Herc. c. 16. Eum in Academia secutus est Arcesilas, **RP** 431.

Crantor c. Crantor Solensis Xenocratem et postea Polemonem audiverat, sed ante Polemonem et Cratetem mortuus est, v. Ind. Herc. c. 16. Diog. IV 24 sq. Hic primus librorum Platonicorum interpres fuisse dicitur, v. Procl. in Tim. 24 et **RP** 292. Scripserat librum nobilissimum περὶ πένθους, v. Cic. Acad. II 135 *legimus omnes Crantoris, veteris Academici, de luctu; est enim non magnus, verum aureolus et, ut Tuberoni Panaetius praecipit, ad verbum ediscendus libellus.* — Cf. F. Kayser, de Crantore Academico, Heidelb. 1841. A. Gercke in Tirocin. philol., Berol. 1883. C. Buresch, consolation. a Graecis Romanisque scriptar. hist. critica (*Leipz. Stud.* IX, 1—169) 1886.

Aristoteles.

De vita eius ac scriptis.

297 Dionys. Hal. Ep. I ad Ammaeum 5, p. 727 R. *Ἀριστοτέλης υἱὸς μὲν ἦν Νικομάχου τὸ γένος καὶ τὴν τέχνην ἀναφέροντος εἰς Μαχάονα τὸν Ἀσκληπιοῦ*[a], *μητρὸς δὲ Φαιστίδος, ἀπογόνου τινὸς τῶν ἐκ Χαλκίδος τὴν ἀποικίαν ἀναγαγόντων εἰς Στάγιρα*[b]. *ἐγεννήθη δὲ κατὰ τὴν ἐνενηκοστὴν καὶ ἐνάτην Ὀλυμπιάδα Διοτρεφοῦς Ἀθήνησιν ἄρχοντος* (Ol. 99, 1; a. 384)[c]. — *ἐπὶ δὲ Πολυζήλου ἄρχοντος* (Ol. 103, 2; a. 366/7) *τελευτήσαντος τοῦ πατρὸς ὀκτωκαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθε καὶ συσταθεὶς Πλάτωνι χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ*[d]. *ἀποθανόντος δὲ Πλάτωνος ἐπὶ Θεοφίλου ἄρχοντος* (Ol. 108, 1; a. 348/7) *ἀπῆρε πρὸς Ἑρμείαν τὸν Ἀταρνέως τύραννον*[e] *καὶ τριετῆ χρόνον παρ' αὐτοῦ τρίψας ἐπ' Εὐβούλου ἄρχοντος* (Ol. 108, 4; a. 345/4) *εἰς Μυτιλήνην ἐχωρίσθη. ἐκεῖθεν δὲ πρὸς Φίλιππον ἤρχετο κατὰ Πυθόδοτον ἄρχοντα* (Ol. 109, 2; a. 343/2) *καὶ διέτριψε χρόνον ὀκταετῆ παρ' αὐτῷ καθηγούμενος Ἀλεξάνδρου*[f]. *μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ' Εὐαινέτου ἄρχοντος* (Ol. 111, 2; a. 335/4) *ἀφικόμενος εἰς Ἀθήνας ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα. τῷ δὲ τρισκαιδεκάτῳ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ Κηφισοδώρου ἄρχοντος* (Ol. 114, 3; a. 322) *ἀπάρας εἰς Χαλκίδα*[g] *νόσῳ τελευτᾷ τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.* vita

a. Pater Aristotelis erat medicus Amyntae, regis Macedonum, Philippi patris, cf. Diog. V 1.

b. Inde Aristoteles Stagirita.

c. Cf. Diog. V 9 sq., ex quo loco apparet has temporum rationes omnes ex Apollodoro sumptas esse, cf. Mus. Rh. XXXI, 43.

d. Cf. Diog. V 9. 6. — Quod affirmant multi Aristotelem in simultate cum magistro fuisse natum videtur ex eo quod in multis postea contradicebat Platoni; invidiae vero calumniaeque, quae multa turpiter de Aristotele finxit, tribuendum quod memoratur ingrato animo in magistrum fuisse, v. Aristocl. ap. Euseb. Pr. Ev. XV 2; Z. II 2[3] 8 sq.

e. Hermias, eunuchus et servus Eubuli, qui ex trapezita evaserat Atarnensium et Assensium tyrannus, huius negotia procurans Athenas venit, ubi Platonem audiebat. Deinde illum in tyrannide secutus Aristotelem et Xenocratem ad se vocabat. Cum per Memnonem proditus interisset, Aristoteles Pythiadem, sororem eius vel filiam adoptivam, in matrimonium duxit, v. Strab. XIII 1, 57 p. 610; Diog. V 3; Boeckh, *Hermias v. Atarneus*, *Abh. Berl. Ak.* 1853 p. 133 sq. (*kl. Schr.* VI p. 187). Carmen ab eo ad Hermiae honorem compositum servavit Diog. V. 7. Praeter filiam ex Pythiade susceptam filium habuit ex Herpyllide Nicomachum, v. Diog. V 1. 14; Suid v. Ἀριστοτέλης.

f. Cf. Plut. Alex. 7 sq., qui tamen magis coniecturas quam certam memoriam sequi videtur. Alexander Aristotelem magistrum accepit tredecim annos natus, sed cum mature ad civitatem administrandam a patre adhiberetur, non diu videtur eo usus esse. Multa traduntur de beneficiis ab Alexandro in Aristotelem collatis, inprimis de praesidiis historiae naturalis, quae ei rex ex intima Asia misisse perhibetur, Plin. H. N. VIII 16; Athen. IX 398 E. Qua gratia ante mortem Alexandri excidit propter Callisthenem, v. Diog. V 10; Plut. Alex. 8. 55.

g. Chalcidem concessisse fertur, cum esset impietatis accusatus per causam carminis illius in Hermiam compositi, quod paeanem dicebant accusatores, re vera, quod Antipatri amicus erat et in re publica ab ducibus plebis Atheniensium dissentiebat. v. Favorin. ap. Diog. V 5 coll. Athen. XV 696 sq.

De vita Aristotelis scripserunt antiquitus: Anonymi tres, quorum vitae leguntur in Arist. fragm. ed. Rose, Lips. 1886, p. 426—450. Nuper: Ad. Stahr, *Aristotelia* I, Hal. 1830. Brandis, *Hdb.* II b 1, 48 sq. G. H. Lewes, *Aristotle*, Lond. 1864. G. Grote, *Aristotle*, Lond. 1872, I. A. Grant, *Aristotle*, London 1877. Z. II 2[3], 1—50. Cf. praeterea J. Bernaysii oratio de Ar. libris politicis (*Abhdl.* I 165 sq.).

scripta exoterica et acroatica

Gellius Noct. Att. XX 5. Commentationum suarum ar- 298
tiumque, quas discipulis tradebat, Aristoteles philosophus — duas species habuisse dicitur: alia erant quae nominabat *ἐξωτερικά*, alia quae appellabat *ἀκροατικά*. *Ἐξωτερικὰ* dicebantur quae ad rhetoricas meditationes facultatemque argutiarum civiliumque rerum notitiam conducebant, *ἀκροατικὰ* autem

vocabantur in quibus philosophia remotior subtiliorque agitabatur quaeque ad naturae contemplationes disceptationesve dialecticas pertinebant. Huic disciplinae quam dixi ἀκροατικῇ tempus exercendae dabat in Lycio matutinum nec ad eam quemquam temere admittebat nisi quorum ante ingenium et eruditionis elementa atque in discendo studium laboremque explorasset. Illas vero exotericas auditiones exercitiumque dicendi eodem in loco vesperi faciebat easque vulgo iuvenibus sine delectu praebebat; atque eum δειλινὸν περίπατον appellabat, illum alterum supra ἑωθινόν; utroque enim tempore ambulans disserebat. Libros quoque suos, earum omnium rerum commentarios, seorsum divisit, ut alii exoterici dicerentur, partim acroatici[a].

a. Cic. Fin. V 12 *De summo autem bono quia duo genera librorum sunt, unum populariter scriptum quod ἐξωτερικὸν appellabant, alterum limatius quod in commentariis reliquerunt* (Aristoteles et Theophrastus), *non semper idem dicere videntur, nec in summa tamen ipsa aut varietas est ulla apud hos quidem quos nominavi aut inter ipsos dissensio.* Cf. ad Attic. IV 16, 2. Strabo XIII 1, 54 p. 609. Plut. adv. Colot. 14, 4 p. 1115. — Veteres igitur inde ab Andronici aetate (RP 299) huius auctoritatem secuti pro libris exotericis populariter scriptos, inprimis dialogos habendos esse censuerunt; cui sententiae ex viris doctis huius aetatis J. Bernays (*d. Dialoge des Ar.*, Berol. 1863) assensus est. Apud ipsum Aristotelem vocabuli ἐξωτερικῶν λόγων vis videtur latius patere, ut quascunque disputationes extra Peripateticorum scholam habitas comprehendat. Cf. Diels, *ü. d. exot. Reden des Ar., Sitz. Ber. d. Berl. Ak.* 1883, 477—492. Z. II 2[3] 114—126.

299 A Strab. XIII 1, 54 p. 608. *Ὁ γοῦν Ἀριστοτέλης τὴν ἑαυτοῦ (βιβλιοθήκην) Θεοφράστῳ παρέδωκεν, ᾧπερ καὶ τὴν σχολὴν ἀπέλιπε, πρῶτος ὧν ἴσμεν συναγαγὼν βιβλία καὶ διδάξας τοὺς ἐν Αἰγύπτῳ βασιλέας βιβλιοθήκης σύνταξιν. Θεόφραστος δὲ Νηλεῖ παρέδωκεν, ὁ δ' εἰς Σκῆψιν κομίσας τοῖς μετ' αὐτὸν παρέδωκεν, ἰδιώταις ἀνθρώποις, οἳ κατάκλειστα εἶχον τὰ βιβλία οὐδ' ἐπιμελῶς κείμενα· ἐπειδὴ δὲ ᾔσθοντο τὴν σπουδὴν τῶν Ἀτταλικῶν βασιλέων, ὑφ' οἷς ἦν ἡ πόλις, ζητούντων βιβλία εἰς τὴν κατασκευὴν τῆς ἐν Περγάμῳ βιβλιοθήκης, κατὰ γῆς ἔκρυψαν ἐν διώρυγί τινι· ὑπὸ δὲ νοτίας καὶ σητῶν κακωθέντα ὀψέ ποτε ἀπέδοντο οἱ ἀπὸ* librorum casus

Apellico τοῦ γένους Ἀπελλικῶντι τῷ Τηΐῳ πολλῶν ἀργυρίων τά τε Ἀριστοτέλους καὶ τὰ τοῦ Θεοφράστου βιβλία· ἦν δὲ ὁ Ἀπελλικῶν φιλόβιβλος μᾶλλον ἢ φιλόσοφος· διὸ καὶ ζητῶν ἐπανόρθωσιν τῶν διαβρωμάτων εἰς ἀντίγραφα καινὰ μετήνεγκε τὴν γραφὴν ἀναπληρῶν οὐκ εὖ καὶ ἐξέδωκεν ἁμαρτάδων πλήρη τὰ βιβλία[a]. συνέβη δὲ τοῖς ἐκ τῶν περιπάτων, τοῖς μὲν πάλαι τοῖς μετὰ Θεόφραστον, οὐκ ἔχουσιν ὅλως τὰ βιβλία πλὴν ὀλίγων καὶ μάλιστα τῶν ἐξωτερικῶν[b], μηδὲν ἔχειν φιλοσοφεῖν πραγματικῶς, ἀλλὰ θέσεις ληκυθίζειν, τοῖς δ᾽ ὕστερον, ἀφ᾽ οὗ τὰ βιβλία ταῦτα προῆλθεν, ἄμεινον μὲν ἐκείνων φιλοσοφεῖν καὶ ἀριστοτελίζειν, ἀναγκάζεσθαι μέντοι τὰ πολλὰ εἰκότα λέγειν διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν. πολὺ δὲ εἰς τοῦτο καὶ ἡ Ῥώμη προσελάβετο· εὐθὺς γὰρ μετὰ τὴν Ἀπελλικῶντος τελευτὴν Σύλλας ἦρε τὴν Ἀπελλικῶντος βιβλιοθήκην ὁ τὰς Ἀθήνας ἑλών· δεῦρο δὲ (εἰς Ῥώμην) κομι-
Tyrannio σθεῖσαν Τυραννίων τε ὁ γραμματικὸς διεχειρίσατο φιλαριστοτέλης ὤν, θεραπεύσας τὸν ἐπὶ τῆς βιβλιοθήκης, καὶ βιβλιοπῶλαί τινες γραφεῦσι φαύλοις χρώμενοι καὶ οὐκ ἀντιβάλλοντες, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει τῶν εἰς πρᾶσιν γραφομένων βιβλίων καὶ ἐνθάδε καὶ ἐν Ἀλεξανδρείᾳ.

Andronicus Plut. Sull. 26, 1. Λέγεται δὲ κομισθείσης αὐτῆς (τῆς 299 B Ἀπελλικῶντος βιβλιοθήκης) εἰς Ῥώμην Τυραννίωνα τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλά, καὶ παρ᾽ αὐτοῦ τὸν Ῥόδιον Ἀνδρόνικον εὐπορήσαντα τῶν ἀντιγράφων εἰς μέσον θεῖναι καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας[c].

a. Apellicontem bibliothecam Aristotelis possedisse narrat Athenaeus V 214 d, sed idem I 3 a prodit Neleum Aristotelis libros Ptolemaeo Philadelpho vendidisse.

Neleus b. Quod Strabo affirmat (itemque Plutarchus Sull. 26, 6) Peripateticos post Theophrastum Aristotelis et Theophrasti libris caruisse, aperte falsum est, nam et manifestis vestigiis apparet plerosque ex libris Aristotelicis a Theophrasti temporibus usque ad Andronicum non solum Peripateticis sed etiam adversariis eorum, imprimis Stoicis, in manibus fuisse, neque sine veritatis specie proditum est in bibliothecam Alexandrinam iam a Ptolemaeo Philadelpho Stagiritae libros esse congestos, cf. Ammon. in Categ. 9 b (Schol. Ar. 28[a] 43 Br.); David ib. 28[a] 14. Cf. Brandis, *ü. d. Schicksale d. Arist. Bücher*, Mus. Rh. I (1827) 236 sq.; *Hdb.* II 1, 71 sq. Stahr, *Aristotelia* II, Lips. 1832. Z. II 2[3] 138—154.

c. Ab Andronico eum ordinem repetendum putamus, quem nostra librorum Aristotelicorum exemplaria sequuntur, cf. Porphyr. Vit. Plotin. 24 *ὁ δὲ (Ἀνδρόνικος) τὰ Ἀριστοτέλους καὶ Θεοφράστου εἰς πραγματείας διεῖλε, τὰς οἰκείας ὑποθέσεις εἰς ταὐτὸν συναγαγών.* Ind. Arab. n. 90 p. 1473 R. — Indices librorum Aristotelicorum, quorum auctor videtur Hermippus Alexandrinus (200 a. C.) esse, exstant duo: alter gemina Laertii Diogenis (V 21—27) et Hesychii (500 p. C.) recensione, alter, qui Ptolemaeo cuidam philosopho adscribitur, ab Arabibus duobus saec. XIII scriptoribus traditus, v. Ar. fragm. p. 1463—1473 Rose. — De perditis Ar. libris scripserunt: Val. Rose, Aristoteles pseudepigraphus, Lips. 1863. E. Heitz, *d. verlor. Schriften des Ar.*, Lips. 1865. — De scriptis Ar. in universum cf. Brandis II 2, 65—123; Zeller II 2³ 50—160.

De philosophia in genere eiusque partibus.

---

300 Met. I 2. 982ᵇ 12. *Διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν*[a], *ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω προϊόντες καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περί τε τῶν τῆς σελήνης παθημάτων καὶ τῶν περὶ τὸν ἥλιον καὶ περὶ ἄστρων καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως. ὁ δ' ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν. διὸ καὶ ὁ φιλόμυθος φιλόσοφός πώς ἐστιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων. ὥστ' εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίστασθαι ἐδίωκον, καὶ οὐ χρήσεώς τινος ἕνεκεν. μαρτυρεῖ δὲ αὐτὸ τὸ συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων καὶ πρὸς ῥᾳστώνην καὶ διαγωγὴν ἡ τοιαύτη φρόνησις ἤρξατο ζητεῖσθαι. δῆλον οὖν ὡς δι' οὐδεμίαν αὐτὴν ζητοῦμεν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄνθρωπός φαμεν ἐλεύθερος ὁ αὑτοῦ ἕνεκα καὶ μὴ ἄλλου ὤν, οὕτω καὶ αὕτη μόνη ἐλευθέρα οὖσα τῶν ἐπιστημῶν· μόνη γὰρ αὐτὴ αὑτῆς ἕνεκέν ἐστιν. διὸ καὶ δικαίως ἂν οὐκ ἀνθρωπίνη νομίζοιτο αὐτῆς ἡ κτῆσις· πολλαχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων ἐστίν, ὥστε κατὰ Σιμωνίδην θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας, ἄνδρα δ' οὐκ ἄξιον μὴ οὐ ζητεῖν τὴν καθ' αὑτὸν ἐπιστήμην. εἰ δὴ λέγουσί τι οἱ* philosophiae origo et dignitas

ποιηταὶ καὶ πέφυκε φθονεῖν τὸ θεῖον, ἐπὶ τούτου συμβαίνειν μάλιστα εἰκὸς καὶ δυστυχεῖς εἶναι πάντας τοὺς περιττούς. ἀλλ᾽ οὔτε τὸ θεῖον φθονερὸν ἐνδέχεται εἶναι, ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν πολλὰ ψεύδονται ἀοιδοί, οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν· ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη. τοιαύτη δὲ διχῶς ἂν εἴη μόνον· ἥν τε γὰρ μάλιστ᾽ ἂν θεὸς ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστί, κἂν εἴ τις τῶν θείων εἴη. μόνη δ᾽ αὕτη τούτων ἀμφοτέρων τετύχηκεν· ὅ τε γὰρ θεὸς δοκεῖ τῶν αἰτίων πᾶσιν εἶναι καὶ ἀρχή τις, καὶ τὴν τοιαύτην ἢ μόνος ἢ μάλιστ᾽ ἂν ἔχοι θεός[b]. ἀναγκαιότεραι μὲν οὖν πᾶσαι ταύτης, ἀμείνων δ᾽ οὐδεμία.

a. Cf. RP 245 c.

b. In antecedentibus demonstraverat sapientiam causarum cognitionem esse: 982ᵃ 28 ἀλλὰ μὴν καὶ διδασκαλική γε ἡ τῶν αἰτιῶν θεωρητικὴ μᾶλλον· οὗτοι γὰρ διδάσκουσιν οἱ τὰς αἰτίας λέγοντες περὶ ἕκαστον. τὸ δ᾽ εἰδέναι καὶ τὸ ἐπίστασθαι αὐτῶν ἕνεκα μάλισθ᾽ ὑπάρχει τῇ τοῦ μάλιστα ἐπιστητοῦ ἐπιστήμῃ. ὁ γὰρ τὸ ἐπίστασθαι δι᾽ ἑαυτὸ αἱρούμενος τὴν μάλιστα ἐπιστήμην μάλιστα αἱρήσεται, τοιαύτη δ᾽ ἐστὶν ἡ τοῦ μάλιστα ἐπιστητοῦ, μάλιστα δ᾽ ἐπιστητὰ τὰ πρῶτα καὶ τὰ αἴτια· διὰ γὰρ ταῦτα καὶ ἐκ τούτων τἆλλα γνωρίζεται, ἀλλ᾽ οὐ ταῦτα διὰ τῶν ὑποκειμένων. Cf. Eth. Nic. VI 7. 1141ᵃ 17 δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι, ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥστ᾽ εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη, ὥσπερ κεφαλὴν ἔχουσα ἐπιστήμη τῶν τιμιωτάτων. Cf. RP 311.

philosophia quid spectet

Met. IV 2. 1004ᵃ 34. Καὶ ἔστι τοῦ φιλοσόφου περὶ 301
πάντων δύνασθαι θεωρεῖν[a]. εἰ γὰρ μὴ τοῦ φιλοσόφου, τίς ἔσται ὁ ἐπισκεψόμενος εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτης καθήμενος, ἢ εἰ ἓν ἑνὶ ἐναντίον, ἢ τί ἐστι τὸ ἐναντίον, ἢ ποσαχῶς λέγεται; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. ἐπεὶ οὖν τοῦ ἑνὸς ᾗ ἓν καὶ τοῦ ὄντος ᾗ ὂν ταῦτα καθ᾽ αὑτά ἐστι πάθη, ἀλλ᾽ οὐχ ᾗ ἀριθμοὶ ἢ γραμμαὶ ἢ πῦρ, δῆλον ὡς ἐκείνης τῆς ἐπιστήμης καὶ τί ἐστι γνωρίσαι καὶ τὰ συμβεβηκότ᾽ αὐτοῖς. — ἐπεὶ ὥσπερ ἐστὶ καὶ ἀριθμοῦ ᾗ ἀριθμὸς ἴδια πάθη, οἷον περιττότης ἀρτιότης, συμμετρία ἰσότης, ὑπεροχὴ ἔλλειψις, καὶ ταῦτα καὶ καθ᾽ αὑτοὺς καὶ πρὸς ἀλλήλους ὑπάρχει τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ στερεῷ καὶ ἀκινήτῳ καὶ κινουμένῳ ἀβαρεῖ τε καὶ βάρος ἔχοντι ἔστιν ἕτερα ἴδια· οὕτω καὶ τῷ ὄντι ᾗ ὂν ἔστι τινὰ

ἴδια, καὶ ταῦτ᾽ ἐστὶ περὶ ὧν τοῦ φιλοσόφου ἐπισκέψασθαι τἀληθές. σημεῖον δέ· οἱ γὰρ διαλεκτικοὶ καὶ σοφισταὶ ταὐτὸν μὲν ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ (ἡ γὰρ σοφιστικὴ φαινομένη μόνον σοφία ἐστί, καὶ οἱ διαλεκτικοὶ διαλέγονται περὶ ἁπάντων), κοινὸν δὲ πᾶσι τὸ ὄν ἐστιν. διαλέγονται δὲ περὶ τούτων δῆλον ὅτι διὰ τὸ τῆς φιλοσοφίας εἶναι αὐτὰ οἰκεῖα. περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται ἡ σοφιστικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ, ἀλλὰ διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου τῇ προαιρέσει. ἔστι δὲ ἡ διαλεκτικὴ πειραστικὴ περὶ ὧν ἡ φιλοσοφία γνωριστική, ἡ δὲ σοφιστικὴ φαινομένη οὖσα δ᾽ οὔ[b].

a. Met. I 2. 982[a] 21 τὸ μὲν πάντα ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ἀναγκαῖον ὑπάρχειν· οὗτος γὰρ οἶδέ πως πάντα τὰ ὑποκείμενα. σχεδὸν δὲ καὶ χαλεπώτατα ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις, τὰ μάλιστα καθόλου· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐστιν.

b. Dialectica ars a philosophia differt disputandi facultate, sophistica voluntate quaerendi. Top. I 1. 100[a] 29 διαλεκτικὸς δὲ συλλογισμὸς ὁ ἐξ ἐνδόξων συλλογιζόμενος —, ἔνδοξα δὲ τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς, cf. RP 308b. — Sophist. El. 1. 165[a] 21 ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δ᾽ οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ᾽ οὐκ οὔσης. Rhet. I 1. 1355[b] 17 ὁ γὰρ σοφιστικὸς (συλλογισμὸς) οὐκ ἐν τῇ δυνάμει, ἀλλ᾽ ἐν τῇ προαιρέσει. Top. VIII 11. 162[a] 15 ἔστι δὲ — σόφισμα συλλογισμὸς ἐριστικός. dialectica sophistica

302 Met. VI 1. 1026[a] 10. *Εἰ δέ τί ἐστιν ἀίδιον καὶ ἀκίνητον καὶ χωριστόν, φανερὸν ὅτι θεωρητικῆς τὸ γνῶναι*[a]. *οὐ μέντοι φυσικῆς γε (περὶ κινητῶν γάρ τινων ἡ φυσική), οὐδὲ μαθηματικῆς, ἀλλὰ προτέρας ἀμφοῖν. ἡ μὲν γὰρ φυσικὴ περὶ ἀχώριστα μὲν ἀλλ᾽ οὐκ ἀκίνητα, τῆς δὲ μαθηματικῆς ἔνια περὶ ἀκίνητα μὲν οὐ χωριστὰ δ᾽ ἴσως, ἀλλ᾽ ὡς ἐν ὕλῃ· ἡ δὲ πρώτη καὶ περὶ χωριστὰ καὶ ἀκίνητα. ἀνάγκη δὲ πάντα μὲν τὰ αἴτια ἀίδια εἶναι, μάλιστα δὲ ταῦτα· ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων*[b]. *ὥστε τρεῖς ἂν εἶεν φιλοσοφίαι θεωρητικαί· μαθηματική, φυσική, θεολογική*[c]. *οὐ γὰρ ἄδηλον ὅτι εἴ που τὸ θεῖον ὑπάρχει, ἐν τῇ τοιαύτῃ φύσει ὑπάρχει· καὶ τὴν τιμιωτάτην δεῖ περὶ τὸ τιμιώτατον γένος εἶναι. αἱ μὲν οὖν θεωρητικαὶ τῶν ἄλλων ἐπιστημῶν* theoretica philosophia

αἱρετώτεραι, αὕτη δὲ τῶν θεωρητικῶν. ἀπορήσειε γὰρ ἄν
prima philosophia τις πότερόν ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ἢ περί τι γένος καὶ φύσιν τινὰ μίαν· οὐ γὰρ ὁ αὐτὸς τρόπος οὐδ' ἐν ταῖς μαθηματικαῖς, ἀλλ' ἡ μὲν γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν εἰσίν, ἡ δὲ καθόλου πασῶν κοινή[d]. εἰ μὲν οὖν μή ἐστί τις ἑτέρα οὐσία παρὰ τὰς φύσει συνεστηκυίας, ἡ φυσικὴ ἂν εἴη πρώτη ἐπιστήμη· εἰ δ' ἐστί τις οὐσία ἀκίνητος, αὕτη προτέρα καὶ φιλοσοφία πρώτη, καὶ καθόλου οὕτως ὅτι πρώτη· καὶ περὶ τοῦ ὄντος ᾗ ὄν, ταύτης ἂν εἴη θεωρῆσαι, καὶ τί ἐστι καὶ τὰ ὑπάρχοντα ᾗ ὄν.

a. Τὸ θεωρεῖν ab Aristotele et agendo (πράττειν) et faciendo (ποιεῖν) constanter opponitur, ita ut etiam philosophiae tria genera esse constituat, θεωρητικὸν πρακτικὸν ποιητικόν. In illo res cognitionem movent, in his contra hominis aut voluntas aut ars moderatur res (cf. Met. XI 7; Eth. Nic. VI 4; Bonitz ad Metaph. p. 281 sq.), cumque actio finem suum extra se positum habeat, cognitio et contemplatio semel mota nihil agit nisi ut sibi ipsi satisfaciat, cf. Eth. Nic. VI 2. 1139a 35; 13. 1143b 19; X 7. 1177b 1.

b. Τὰ φανερὰ τῶν θείων sunt sidera, cf. Met. XII 8; de Caelo I 3 270b 10; Meteor. I 3. 339b 25.

c. Physica versatur in cognoscendis rebus sensibilibus, quae et moventur neque a materia separari possunt (RP 303), mathematica in rebus immobilibus, quae a materia cogitatione, non ipsa exsistentia separantur (Met. XI 3. 1061a 28; de Anim. I 1. 403b 14), denique prima philosophia (πρώτη φιλοσοφία, φιλοσοφία, σοφία, θεολογική) in rebus et immobilibus et separatis a materia et per se exsistentibus, h. e. in summis omnium disciplinarum principiis, cf. Met. IV 3. 1005a 21. VI 1. 1026a 21; Phys. I, 9. 192a 34. Ab inferioribus prima philosophia vocatur Metaphysica nomine ab eo opere quo maxime tractatur ad ipsam translato. Quod opus nonnullis partibus incohatum magis quam absolutum neque ab ipso Aristotele editum, sed a discipulis collectum videtur. Constat, si non antea, certe ab Andronico Rhodio, Ciceronis aequali, Metaphysica inscriptum esse. — Cf. Brandis, Comment. Ac. Berol., 1834, p. 63—87, *Hdb.* II b 1, 541. H. Bonitz, Arist. Met. recogn. et enarr., Bonnae 1848—49, II 10 sq. Zeller, *ü. d. Benützung d. Ar. Met. i. d. Schriften d. ält. Peripatetiker,* Ac. Berol. 1877.

d. Ἡ καθόλου μαθηματικὴ est arithmetica, cf. Met. I 2. 982a 26 αἱ γὰρ ἐξ ἐλαττόνων (ἐπιστῆμαι) ἀκριβέστεραι τῶν ἐκ προσθέσεως λαμβανομένων οἷον ἀριθμητικὴ γεωμετρίας. Ib. 5. 985b 26. Anal. post. I 27. 87a 31.

303 Met. VII 11. Τῆς φυσικῆς καὶ δευτέρας φιλοσοφίας ἔργον ἡ περὶ τὰς αἰσθητὰς οὐσίας θεωρία. physica

Cf. **RP** 302; de Anim. I 1. 403^{b} 11. Physices argumenta non perinde certa et definita sunt atque primae philosophiae vel mathematicae (Met. II 3. 995^{a} 14). Nam quae habent materiam et mutari possunt, non sunt necessaria atque absoluta: scientia vero pertinet ad necessaria (Anal. post. I 33. 88^{b} 31).

304 Met. VI 1. 1025^{b} 25. Πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική[a]. philosophia activa

a. Cf. **RP** 302 a. — Philosophia activa, quam posteriores Eudemum (Eth. Eudem. I 8. 1218^{b} 13) secuti dividere solebant in ethicam, oeconomicam, politicam, ab Aristotele ipso vocatur πολιτική, cuius altera pars quam item πολιτικὴν nominat, est de re publica, altera, ἠθική, de singulorum moribus. Cf. Ar. Eth. Nic. I 1. 1094^{a} 27. Rhet. I 2. 1356^{a} 26.

Ethica non eadem subtilitate demonstrari possunt atque prima philosophia et mathematica, cf. Eth. Nic. I 1. 1094^{b} 17 sq. VII 1. 1145^{b} 2. Met. II 3, 995^{a} 14. Ex ethicis operibus tribus in corpore Aristotelicorum exstantibus Ethica Nicomachea (de indice libri cf. Diels, *ü. d. 3. Buch d. Ar. Rhet.* p. 11) sola ipsius Aristotelis esse putantur, Eudemia ab Eudemo secundum Aristotelem composita, Magna quae vocantur Moralia (cf. Trendelenburg, *Hist. Beitr.* II 353) ab inferiore quodam Peripatetico ex Eudemiis et Nicomachiis excerpta videntur (Spengel, Commentat. Acad. Bavar. Vol. III [1840], p. 437—551).

305 A Met. IV 3 1005 b 2. Ὅσα δ' ἐγχειροῦσι τῶν λεγόντων τινὲς περὶ τῆς ἀληθείας, ὃν τρόπον δεῖ ἀποδέχεσθαι; δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν τοῦτο δρῶσιν· δεῖ γὰρ περὶ τούτων ἥκειν προεπισταμένους, ἀλλὰ μὴ ἀκούοντας ζητεῖν. — II 2. 995 a 12 διὸ δεῖ πεπαιδεῦσθαι πῶς ἕκαστα ἀποδεκτέον, ὡς ἄτοπον ἅμα ζητεῖν ἐπιστήμην καὶ τρόπον ἐπιστήμης. logica

305 B Schol. in Anal. pr. I p. 140^{a} 46 Br. Ἄξιόν ἐστι ζητῆσαι τί ἂν εἴη ἡ λογικὴ Ἀριστοτέλει, πότερον μέρος ἢ μόριον ἢ ὄργανον. καὶ οἱ μὲν Στωϊκοὶ κατασκευάζουσιν ὅτι μέρος ἐστίν, οἱ δὲ Περιπατητικοὶ ὅτι ὄργανον, οἱ δὲ Ἀκαδημαϊκοὶ τὴν μέσην βαδίζοντες καὶ μέρος καὶ ὄργανον εἶναι αὐτήν φασι τῆς φιλοσοφίας[a].

a. Cf. Ammon. in Categ. f. 1^{r}. Partem philosophiae primi logicam appellaverunt Stoici, **RP** 389, quos sequitur Cic. de Fin. I 22, de Fato

I 1. Ipse Aristoteles cum vocabulum λογικὸς vario sensu adhibeat, illas quas nos logicae tribuimus quaestiones Analyticis maxime explicavit, quae dicuntur ἀπὸ τοῦ ἀναλύειν, h. e. composita resolvere in elementa et effecta revocare ad causas, cf. Anal. post. I 22. 84^a 7. Waitz, Arist. Organ. II p. 353 sq. — Quaecunque ab Aristotele logice scripta exstabant posterior aetas uno Organi nomine complexa est, quod logica non ipsius philosophiae pars, sed commune omnium disciplinarum tanquam instrumentum esse videbatur, cf. Simplic. in Categ. f. 9, Schol. 39^b 45 Br. ἡ δὲ λογικὴ πᾶσα τὸ ὀργανικόν ἐστι μέρος τῆς φιλοσοφίας. Quamquam Aristoteles ipse has quaestiones philosophiae esse affirmat, Met. IV 3. 1005^b 5. III 2. 997^a 12.

analytica

organon

Aristotelis Organon ed. Th. Waitz, Lips. 1844—46. — Trendelenburg, Elementa logices Aristoteleae (ed. VIII, Berol. 1878). — Prantl, *Gesch. d. Logik* I, 87—346.

Logica.

---

categoriae

Cat. 2. 1^a 16. *Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν* 306
λέγεται τὰ δ' ἄνευ συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκὴν οἷον ἄνθρωπος τρέχει, ἄνθρωπος νικᾷ· τὰ δ' ἄνευ συμπλοκῆς οἷον ἄνθρωπος, βοῦς, τρέχει, νικᾷ[a]. — 4. 1^b 25. *Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποῦ ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος ἵππος, ποσὸν δὲ οἷον δίπηχυ τρίπηχυ, ποιὸν δὲ οἷον λευκὸν γραμματικόν, πρός τι δὲ οἷον διπλάσιον ἥμισυ μεῖζον, ποῦ δὲ οἷον ἐν Λυκείῳ ἐν ἀγορᾷ, ποτὲ δὲ οἷον ἐχθὲς πέρυσιν, κεῖσθαι δὲ οἷον ἀνάκειται κάθηται, ἔχειν δὲ οἷον ὑποδέδεται ὥπλισται, ποιεῖν δὲ οἷον τέμνει καίει, πάσχειν δὲ οἷον τέμνεται καίεται. ἕκαστον δὲ τῶν εἰρημένων αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται ἢ ἀποφάσει, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίγνεται. ἅπασα γὰρ δοκεῖ κατάφασις καὶ ἀπόφασις ἤτοι ἀληθὴς ἢ ψευδὴς εἶναι· τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος λευκόν, τρέχει νικᾷ*[b].

a. *Συμπλοκή* est contextus verborum, v. Plat. Soph. 262 D *συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι.* 262 C *καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκή, — ὅταν εἴπῃ τις Ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον.*

b. Met. VI 4. 1027b 25 *οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν, οἷον τὸ μὲν ἀγαθὸν ἀληθὲς τὸ δὲ κακὸν εὐθὺς ψεῦδος, ἀλλ' ἐν διανοίᾳ.* Cf. **RP** 307 c.

Κατηγορίαι, κατηγορήματα, γένη τῶν κατηγοριῶν, σχήματα τῆς κατηγορίας (τῶν κατηγοριῶν) sunt summa genera enuntiationum. Decem categoriae numerantur Top. I 9. 103b 21 *ἔστι δὲ ταῦτα τὸν ἀριθμὸν δέκα, τί ἐστι, ποσόν, ποιόν, πρός τι, ποῦ, ποτέ, κεῖσθαι, ἔχειν, ποιεῖν, πάσχειν.* Primum locum habet *ἡ οὐσία* sive *τὸ τί ἐστιν*, quae substantiam subiectam significat (**RP** 309 b), nam de ea reliquae praedicantur et semper eam requirunt, cf. Met. IX 1. 1045b 27 *περὶ μὲν οὖν τοῦ πρώτως ὄντος καὶ πρὸς ὃ πᾶσαι αἱ ἄλλαι κατηγορίαι τοῦ ὄντος ἀναφέρονται εἴρηται, περὶ τῆς οὐσίας.* VII 1. 1028a 18. Ceterum hae categoriae nusquam a principiis certis derivantur, sed velut postulata ubique supponuntur; neque de omnibus accurate exposuit Aristoteles, ut multum iam inter antiquos de iis dissensum sit, v. Dexipp. Schol. Arist. 39b 34 Br. Inter recentiores cf. Trendelenburg, *Gesch. d. Kategorienlehre, Berl. 1846,* p. 1—195; Bonitz, *ü. d. Kateg. d. Ar., Sitzber. d. Wien. Ak., phil. hist. Kl.* 1853, X 591—645. W. Schuppe, *d. Ar. Kategorien*, Berol. 1871.

307 De interpret. 4. 17a 1. *Ἔστι δὲ λόγος ἅπας μὲν σημαντικός, — ἀποφαντικὸς δὲ οὐ πᾶς, ἀλλ' ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. οὐκ ἐν ἅπασι δὲ ὑπάρχει, οἷον ἡ εὐχὴ λόγος μέν, ἀλλ' οὔτε ἀληθὴς οὔτε ψευδής. οἱ μὲν οὖν ἄλλοι ἀφείσθωσαν· ῥητορικῆς γὰρ ἢ ποιητικῆς οἰκειοτέρα ἡ σκέψις· ὁ δὲ ἀποφαντικὸς τῆς νῦν θεωρίας*[a]. 5. *Ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς κατάφασις, εἶτα ἀπόφασις· οἱ δ' ἄλλοι πάντες συνδέσμῳ εἷς. ἀνάγκη δὲ πάντα λόγον ἀποφαντικὸν ἐκ ῥήματος εἶναι ἢ πτώσεως ῥήματος· καὶ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος, ἐὰν μὴ τὸ ἔστιν ἢ ἦν ἢ ἔσται ἤ τοιοῦτον προστεθῇ, οὔπω λόγος ἀποφαντικός*[b]. — 6. *Κατάφασις δέ ἐστιν ἀπόφανσίς τινος κατά τινος, ἀπόφασις δέ ἐστιν ἀπόφανσίς τινος ἀπό τινος*[c].

enuntiati formae — iudicium — affirmatio negatio

a. Secus faciebant Stoici, v. **RP** 390 fin. — *Λόγος ἀποφαντικὸς* sive *ἀπόφανσις* (*Urteil*) est enuntiatum de eo quod vel esse vel non esse statuitur. De rationibus eius disputatur in libro *περὶ ἑρμηνείας.*

b. De Interpr. 10. 19b 10 *ἔσται πᾶσα κατάφασις καὶ ἀπόφασις — ἐξ ὀνόματος καὶ ῥήματος —, ἄνευ δὲ ῥήματος οὐδεμία κατάφασις*

nomen οὐδὲ ἀπόφασις. Ib. 2. 16ᵃ 19 ὄνομα μὲν οὖν ἐστι φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον· — verbum ῥῆμα δέ ἐστι τὸ προσσημαῖνον χρόνον, οὗ μέρος οὐδὲν σημαίνει χωρίς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον. De ceteris orationis partibus dixit Poet. 20. 1456ᵇ 20. Cf. Classen, de Gramm. Gr. prim. p. 59 sq. Schömann, *d. Lehre v. d. Redetheilen*, Berol. 1862.

e. Rerum substantia iudiciis nostris non afficitur, sed veritas nostrorum iudiciorum cernitur in eo, ut cogitatio ipsam aequet naturam rerum, Met. IX 10. 1051ᵇ 1 τὸ κυριώτατα ὂν ἀληθὲς ἢ ψεῦδος — ἐπὶ τῶν πραγμάτων ἐστὶ τῷ συγκεῖσθαι ἢ διῃρῆσθαι, ὥστε ἀληθεύει μὲν ὁ τὸ διῃρημένον οἰόμενος διῃρῆσθαι καὶ τὸ συγκείμενον συγκεῖσθαι, ἔψευσται δὲ ὁ ἐναντίως ἔχων ἢ τὰ πράγματα. — οὐ γὰρ διὰ τὸ ἡμᾶς οἴεσθαι ἀληθῶς σε λευκὸν εἶναι εἶ σὺ λευκός, ἀλλὰ διὰ τὸ σὲ εἶναι λευκὸν ἡμεῖς οἱ φάντες τοῦτο ἀληθεύομεν. Cf. de Interpr. 9. 18ᵇ 37.

propositio Analyt. pr. I 1. 24ᵃ 16. *Πρότασις* μὲν οὖν ἐστι λόγος καταφατικὸς ἢ ἀποφατικός τινος κατά τινος[a]. οὗτος δὲ ἢ καθόλου ἢ ἐν μέρει ἀδιόριστος. λέγω δὲ καθόλου μὲν τὸ παντὶ ἢ μηδενὶ ὑπάρχειν, ἐν μέρει δὲ τὸ τινὶ ἢ μὴ τινὶ ἢ μὴ παντὶ ὑπάρχειν, ἀδιόριστον δὲ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἄνευ τοῦ καθόλου, ἢ κατὰ μέρος, οἷον τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην ἢ τὸ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν. διαφέρει δὲ ἡ ἀποδεικτικὴ πρότασις τῆς διαλεκτικῆς, ὅτι ἡ μὲν *ἀποδεικτικὴ* λῆψις θατέρου μορίου τῆς ἀντιφάσεώς ἐστιν (οὐ γὰρ ἐρωτᾷ, ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων), ἡ δὲ *διαλεκτικὴ* ἐρώτησις ἀντιφάσεώς ἐστιν[b]. οὐδὲν δὲ διοίσει πρὸς τὸ γενέσθαι τὸν ἑκατέρου συλλογισμόν· καὶ γὰρ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν συλλογίζεται λαβών τι κατά τινος ὑπάρχειν ἢ μὴ ὑπάρχειν[c]. ὥστε ἔσται *συλλογιστικὴ* μὲν πρότασις ἁπλῶς κατάφασις ἢ ἀπόφασίς τινος κατά τινος τὸν εἰρημένον τρόπον, ἀποδεικτικὴ δέ, ἐὰν ἀληθὴς ᾖ καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη, διαλεκτικὴ δὲ πυνθανομένῳ μὲν ἐρώτησις ἀντιφάσεως, συλλογιζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου, καθάπερ ἐν τοῖς Τοπικοῖς εἴρηται[d]. 308 A

principium contradictionis Met. IV 3. 1005ᵇ 19. *Τὸ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτό* · — αὕτη δὴ πασῶν ἐστι βεβαιοτάτη τῶν ἀρχῶν· — ἀδύνατον γὰρ 308 B

ὁντινοῦν ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι. — διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν.

a. *Πρότασις* est propositio ad conclusionem inde efficiendam praemissa.

b. *Διαλεκτικὴ πρότασις* est quae a probabilibus, *ἀποδεικτικὴ* quae a necessariis proficiscitur. *Ἀντίφασις* dicitur si quid simul et affirmatur et negatur, ut nisi alterutrum verum esse non possit, cf. de Interpr. 6. 104ᵃ 3. Anal. post. I 2. 72ᵃ 9.

c. *Συλλογίζεσθαι* cum proprie sit computando vel ratiocinando coniungere (cf. Plat. Phileb. 41 C), Aristoteles *συλλογισμὸν* ad logicam concludendi formam revocavit, in qua tres notiones ita inter se conectuntur ut interposita media iam tertia et prima in unum enuntiatum colligi possint; Latine appellatur *ratiocinatio*, cf. Cic. de Invent. I 57; Quintil. V 11, 2. VII 8, 3. ratiocinatio

d. *Τόποι* dicuntur loci communes ad persuadendum accommodati, quibus utitur et dialectica et rhetorica, v. Rhet. I 2. 1358ᵃ 10. Inde dicta *τὰ Τοπικά*, quibus propositum est *μέθοδον εὑρεῖν, ἀφ' ἧς δυνησόμεθα συλλογίζεσθαι περὶ παντὸς τοῦ προτεθέντος προβλήματος ἐξ ἐνδόξων*, Top. I 1. 100ᵃ 18. topica

309 A Anal. pr. I. 1. 24ᵇ 18. Συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι[a]. λέγω δὲ τῷ ταῦτα εἶναι τὸ διὰ ταῦτα συμβαίνειν, τὸ δὲ διὰ ταῦτα συμβαίνειν τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. τέλειον μὲν οὖν καλῶ συλλογισμὸν τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον, ἀτελῆ δὲ τὸν προσδεόμενον ἢ ἑνὸς ἢ πλειόνων, ἃ ἔστι μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων[b], οὐ μὴν εἴληπται διὰ προτάσεων. syllogismus

309 B Ib. 4. 25ᵇ 32. Ὅταν οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους, ὥστε τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ καὶ τὸν μέσον ἐν ὅλῳ τῷ πρώτῳ ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον· καλῶ δὲ μέσον μὲν ὃ καὶ αὐτὸ ἐν ἄλλῳ καὶ ἄλλο ἐν τούτῳ ἐστίν, ὃ καὶ τῇ θέσει γίγνεται μέσον. ἄκρα δὲ τὸ αὐτό τε ἐν ἄλλῳ ὂν καὶ ἐν ᾧ ἄλλο ἐστίν. εἰ γὰρ τὸ Α κατὰ παντὸς τοῦ Β καὶ τὸ Β κατὰ παντὸς τοῦ Γ, ἀνάγκη τὸ Α κατὰ παντὸς τοῦ Γ κατηγορεῖσθαι. — καλῶ δὲ τὸ τοιοῦτον τὸ σχῆμα πρῶτον[c]. figurae primae

secundae Ib. 5. 26ᵇ 34. Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ δεύτερον, μέσον δὲ ἐν αὐτῷ λέγω τὸ κατηγορούμενον ἀμφοῖν. — τίθεται δὲ τὸ μέσον ἔξω μὲν τῶν ἄκρων, πρῶτον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς ἐν τούτῳ τῷ σχήματι, δυνατὸς δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων[d]. 309 C

tertiae Ib. 6. 28ᵃ 10. Ἐὰν δὲ τῷ αὐτῷ τὸ μὲν παντὶ τὸ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἄμφω παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ τρίτον, μέσον δ' ἐν αὐτῷ λέγω καθ' οὗ ἄμφω τὰ κατηγορούμενα, ἄκρα δὲ τὰ κατηγορούμενα. — τίθεται τε τὸ μέσον ἔξω μὲν τῶν ἄκρων, ἔσχατον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐ γίγνεται συλλογισμὸς οὐδ' ἐν τούτῳ τῷ σχήματι, δυνατὸς δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων πρὸς τὸ μέσον[e]. 309 D

a. Gellius N. A. XV 26 hanc definitionem sic interpretatur: *syllogismus est oratio, in qua consensis quibusdam et concessis aliud quid quam quae concessa sunt per ea quae concessa sunt necessario conficitur.* — Id quod iusta ratiocinatione ex propositione et assumptione colligitur dicitur *συμπέρασμα*, Anal. pr. I 9. 30ᵃ 24 al.

b. Anal. pr. I 1 24ᵇ 16 *ὅρον* (terminum) *δὲ καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις, οἷον τό τε κατηγορούμενον καὶ τὸ καθ' οὗ κατηγορεῖται* h. e. praedicatum et subiectum. Propositionibus igitur in terminos solutis sequitur ex eo quod praecipit Cat. 5. 3ᵇ 4: *ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται*, ut quicquid de praedicato dicitur etiam in subiectum valeat: unde iam quomodo conclusio fiat apparet. Exemplo sint haec: Omnes homines sunt mortales, Gaius est homo, ergo Gaius mortalis est.

c. Cf. Anal. pr. I 32. 47ᵃ 38 *μέσον δε θετέον τῶν ὅρων τὸν ἐν ἀμφοτέραις ταῖς προτάσεσι λεγόμενον. Ἄκρα* sunt termini extremi: quorum alter qui reliquas notiones tamquam subiectas complectitur dicitur *maior*, alter qui angustior ceterisque quasi subiectus est, *minor*.

d. Secundae figurae exemplum esto hoc: Quidquid vivit movetur, nullus lapis movetur, ergo nullus lapis vivit. — Ceterum cf. Anal. pr. I 5. 28ᵃ 4 *δῆλον δὲ ὅτι οὐ γίγνεται καταφατικὸς συλλογισμὸς διὰ τούτου τοῦ σχήματος, ἀλλὰ πάντες στερητικοὶ καὶ οἱ καθόλου καὶ οἱ κατὰ μέρος.*

e. In hac figura terminus medius et propositionis et assumptionis praedicato angustior est et in trium notionum ordine ultimum locum

tenet. Exemplum hoc esto: Omne quadratum rectos angulos habet, omne quadratum parallelogrammum est, ergo sunt parallelogramma quae rectos angulos habent. — Cf. Anal. pr. I 6. 29a 14 *φανερὸν δὲ — ὅτι συλλογίσασθαι τὸ καθόλου διὰ τούτου τοῦ σχήματος οὐκ ἔσται οὔτε στερητικὸν οὔτε καταφατικόν.*

Omnem de conclusionibus doctrinam a se et fundatam et elaboratam esse ipse Aristoteles dicit Soph. El. 34. 183b 34. 184a 8.

310 A Top. I 12. 105a 13. *Ἐπαγωγὴ δ' (ἐστιν) ἡ ἀπὸ τῶν καθ' ἕκαστον ἐπὶ τὰ καθόλου ἔφοδος, οἷον εἰ ἔστι κυβερνήτης ὁ ἐπιστάμενος κράτιστος καὶ ἡνίοχος, καὶ ὅλως ἐστὶν ὁ ἐπιστάμενος περὶ ἕκαστον ἄριστος. ἔστι δ' ἡ μὲν ἐπαγωγὴ πιθανώτερον καὶ σαφέστερον καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερον καὶ τοῖς πολλοῖς κοινόν, ὁ δὲ συλλογισμὸς βιαστικώτερον καὶ πρὸς τοὺς ἀντιλογικοὺς ἐναργέστερον*[a]. inductio

310 B Anal. pr. I 31. 46a 31. *Ὅτι δ' ἡ διὰ τῶν γενῶν διαίρεσις μικρόν τι μόριόν ἐστι τῆς εἰρημένης μεθόδου, ῥᾴδιον ἰδεῖν. ἔστι γὰρ ἡ διαίρεσις οἷον ἀσθενὴς συλλογισμός· ὃ μὲν γὰρ δεῖ δεῖξαι αἰτεῖται, συλλογίζεται δ' ἀεί τι τῶν ἄνωθεν. πρῶτον δ' αὐτὸ τοῦτο ἐλελήθει τοὺς χρωμένους αὐτῇ πάντας, καὶ πείθειν ἐπεχείρουν ὡς ὄντος δυνατοῦ περὶ οὐσίας ἀπόδειξιν γίγνεσθαι καὶ τοῦ τί ἐστιν. ὥστ' οὔτε ὅ τι ἐνδέχεται συλλογίσασθαι διαιρούμενοι ξυνίεσαν, οὔτε ὅτι οὕτως ἐνεδέχετο ὥσπερ εἰρήκαμεν*[b]. divisio

a. De Socratis inductione v. RP 194. 195. — Ad concludendi rationem inductio revocatur Anal. pr. II 23. 68b 15. *Ἐπαγωγὴ μὲν οὖν ἐστι καὶ ὁ ἐξ ἐπαγωγῆς συλλογισμὸς τὸ διὰ τοῦ ἑτέρου θάτερον ἄκρον τῷ μέσῳ συλλογίσασθαι, οἷον εἰ τῶν ΑΓ μέσον τὸ Β, διὰ τοῦ Γ δεῖξαι τὸ Α τῷ Β ὑπάρχειν· οὕτω γὰρ ποιούμεθα τὰς ἐπαγωγάς. — δεῖ δὲ νοεῖν τὸ Γ τὸ ἐξ ἁπάντων τῶν καθ' ἕκαστον συγκείμενον· ἡ γὰρ ἐπαγωγὴ διὰ πάντων.* Cf. quae sequuntur ibidem 68b 32 *τρόπον τινὰ ἀντίκειται ἡ ἐπαγωγὴ τῷ συλλογισμῷ· ὁ μὲν γὰρ διὰ τοῦ μέσου τὸ ἄκρον τῷ τρίτῳ δείκνυσιν, ἡ δὲ διὰ τοῦ τρίτου τὸ ἄκρον τῷ μέσῳ. φύσει μὲν οὖν πρότερος καὶ γνωριμώτερος ὁ διὰ τοῦ μέσου συλλογισμός, ἡμῖν δ' ἐναργέστερος ὁ διὰ τῆς ἐπαγωγῆς.* comparantur inductio et syllogismus

b. Platonem significat, qui divisioni fere tantum tribuebat quantum Aristoteles syllogismo, cf. RP 255.

311 A Anal. post. I 1. 71a 1. *Πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητική*[a] *ἐκ προϋπαρχούσης γίγνεται γνώσεως.* cognitio discendo prior

φανερὸν δὲ τοῦτο θεωροῦσιν ἐπὶ πασῶν· αἵ τε γὰρ μαθηματικαὶ τῶν ἐπιστημῶν διὰ τούτου τοῦ τρόπου παραγίγνονται καὶ τῶν ἄλλων ἑκάστη τεχνῶν. ὁμοίως δὲ καὶ περὶ τοὺς λόγους οἵ τε διὰ συλλογισμῶν καὶ οἱ δι᾽ ἐπαγωγῆς· ἀμφότεροι γὰρ διὰ προγιγνωσκομένων ποιοῦνται τὴν διδασκαλίαν, οἱ μὲν λαμβάνοντες ὡς παρὰ ξυνιέντων, οἱ δὲ δεικνύντες τὸ καθόλου διὰ τοῦ δῆλον εἶναι τὸ καθ᾽ ἕκαστον.

scientia Ib. 2. 71[b] 9. Ἐπίστασθαι δὲ οἰόμεθ᾽ ἕκαστον ἁπλῶς, 311 B — ὅταν τήν τ᾽ αἰτίαν οἰώμεθα γιγνώσκειν δι᾽ ἣν τὸ πρᾶγμά ἐστιν, ὅτι ἐκείνου αἰτία ἐστί, καὶ μὴ ἐνδέχεσθαι τοῦτ᾽ ἄλλως ἔχειν[b]. — εἰ μὲν οὖν καὶ ἕτερός ἐστι τοῦ ἐπίστασθαι
demonstratio τρόπος, ὕστερον ἐροῦμεν[c], φαμὲν δὲ καὶ δι᾽ ἀποδείξεως εἰδέναι. ἀπόδειξιν δὲ λέγω συλλογισμὸν ἐπιστημονικόν. ἐπιστημονικὸν δὲ λέγω καθ᾽ ὃν τῷ ἔχειν αὐτὸν ἐπιστάμεθα. εἰ τοίνυν ἐστὶ τὸ ἐπίστασθαι οἷον ἔθεμεν, ἀνάγκη καὶ τὴν ἀποδεικτικὴν ἐπιστήμην ἐξ ἀληθῶν τ᾽ εἶναι καὶ πρώτων καὶ ἀμέσων[d] καὶ γνωριμωτέρων καὶ προτέρων καὶ αἰτίων τοῦ συμπεράσματος· οὕτω γὰρ ἔσονται καὶ αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου[e]. συλλογισμὸς μὲν γὰρ ἔσται καὶ ἄνευ τούτων, ἀπόδειξις δ᾽ οὐκ ἔσται· οὐ γὰρ ποιήσει ἐπιστήμην. ἀληθῆ μὲν οὖν δεῖ εἶναι, ὅτι οὐκ ἔστι τὸ μὴ ὂν ἐπίστασθαι, οἷον ὅτι ἡ διάμετρος σύμμετρος. ἐκ πρώτων δ᾽ ἀναποδείκτων, ὅτι οὐκ ἐπιστήσεται μὴ ἔχων ἀπόδειξιν αὐτῶν· τὸ γὰρ ἐπίστασθαι ὧν ἀπόδειξίς ἐστι μὴ κατὰ συμβεβηκός, τὸ ἔχειν ἀπόδειξίν ἐστιν. αἴτιά τε καὶ γνωριμώτερα δεῖ εἶναι καὶ πρότερα, αἴτια μὲν ὅτι τότε ἐπιστάμεθα ὅταν τὴν αἰτίαν εἰδῶμεν, καὶ πρότερα, εἴπερ αἴτια, καὶ προγιγνωσκόμενα οὐ μόνον τὸν ἕτερον τρόπον τῷ ξυνιέναι, ἀλλὰ καὶ τῷ εἰδέναι ὅτι ἔστιν. πρότερα δ᾽ ἐστὶ καὶ γνωριμώτερα διχῶς· οὐ γὰρ ταὐτὸν πρότερον τῇ φύσει καὶ πρὸς ἡμᾶς πρότερον, οὐδὲ γνωριμώτερον καὶ ἡμῖν γνωριμώτερον. λέγω δὲ πρὸς ἡμᾶς μὲν πρότερα καὶ γρωριμώτερα τὰ ἐγγύτερον τῆς αἰσθήσεως, ἁπλῶς δὲ πρότερα καὶ γνωριμώτερα τὰ πορρώτερον. ἔστι δὲ πορρωτάτω μὲν τὰ καθόλου μάλιστα, ἐγγυτάτω δὲ τὰ καθ᾽ ἕκαστα· καὶ ἀντίκειται ταῦτ᾽ ἀλλήλοις[f].

a. *Μάθησις διανοητική* opponitur experientiae, quae usu edocta ratione non ducitur.

b. Anal. post. I 33. 88^b 30 τὸ δ' ἐπιστητὸν καὶ ἐπιστήμη διαφέρει τοῦ δοξαστοῦ καὶ δόξης, ὅτι ἡ μὲν ἐπιστήμη καθόλου καὶ δι' ἀναγκαίων, τὸ δ' ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως ἔχειν. ἔστι δέ τινα ἀληθῆ μὲν καὶ ὄντα, ἐνδεχόμενα δὲ καὶ ἄλλως ἔχειν. δῆλον οὖν ὅτι περὶ μὲν ταῦτα ἐπιστήμη οὐκ ἔστιν· εἴη γὰρ ἂν ἀδύνατα ἄλλως ἔχειν τὰ δυνατὰ ἄλλως ἔχειν. ἀλλὰ μὴν οὐδὲ νοῦς· λέγω γὰρ νοῦν ἀρχὴν ἐπιστήμης. οὐδ' ἐπιστήμη ἀναπόδεικτος· τοῦτο δ' ἐστὶν ὑπόληψις τῆς ἀμέσου προτάσεως. ἀληθὴς δ' ἐστὶ νοῦς καὶ ἐπιστήμη καὶ δόξα καὶ τὸ διὰ τούτων λεγόμενον· ὥστε λείπεται δόξαν εἶναι περὶ τὸ ἀληθὲς μὲν ἢ ψεῦδος, ἐνδεχόμενον δὲ καὶ ἄλλως ἔχειν. τοῦτο δ' ἐστὶν ὑπόληψις τῆς ἀμέσου προτάσεως καὶ μὴ ἀναγκαίας. scientia ab opinione diversa — intellectus

c. Anal. post. I 3. 72^b 5 ἐνίοις μὲν οὖν διὰ τὸ δεῖν τὰ πρῶτα ἐπίστασθαι οὐ δοκεῖ ἐπιστήμη εἶναι, τοῖς δ' εἶναι μέν, πάντων μέντοι ἀποδείξεις εἶναι. — ἡμεῖς δέ φαμεν οὔτε πᾶσαν ἐπιστήμην ἀποδεικτικὴν εἶναι, ἀλλὰ τὴν τῶν ἀμέσων ἀναπόδεικτον. καὶ τοῦθ' ὅτι ἀναγκαῖον, φανερόν· εἰ γὰρ ἀνάγκη μὲν ἐπίστασθαι τὰ πρότερα καὶ ἐξ ὧν ἡ ἀπόδειξις, ἵσταται δέ ποτε τὰ ἄμεσα, ταῦτ' ἀναπόδεικτα ἀνάγκη εἶναι· ταῦτά τ' οὖν οὕτω λέγομεν, καὶ οὐ μόνον ἐπιστήμην ἀλλὰ καὶ ἀρχὴν ἐπιστήμης εἶναί τινά φαμεν, ᾗ τοὺς ὅρους γνωρίζομεν, cf. **RP** 312. scientia demonstratione altior

d. Ἄμεσα quae dicantur v. Anal. post. I 2. 72^a 7: ἀρχὴ δ' ἐστὶν ἀποδείξεως πρότασις ἄμεσος, ἄμεσος δὲ ἧς μή ἐστιν ἄλλη προτέρα.

e. Postulatur enim ut principium demonstrationis ei scientiae proprium sit, in qua proponatur demonstratio, Anal. post. I 7. 75^a 38 οὐκ ἄρα ἔστιν ἐξ ἄλλου γένους μεταβάντα δεῖξαι· — ἐκ γὰρ τοῦ αὐτοῦ γένους ἀνάγκη τὰ ἄκρα καὶ τὰ μέσα εἶναι.

f. Met. V 11. 1018^b 32 κατὰ μὲν γὰρ τὸν λόγον τὰ καθόλου πρότερα, κατὰ δὲ τὴν αἴσθησιν τὰ καθ' ἕκαστα.

312 A Anal. post. II 3. 90^b 24. *Αἱ ἀρχαὶ τῶν ἀποδείξεων ὁρισμοί, ὧν ὅτι οὐκ ἔσονται ἀποδείξεις δέδεικται πρότερον*[a]. — *ὁρισμὸς μὲν γὰρ τοῦ τί ἐστι καὶ οὐσίας· αἱ δ' ἀποδείξεις φαίνονται πᾶσαι ὑποτιθέμεναι καὶ λαμβάνουσαι τὸ τί ἐστιν, οἷον αἱ μαθηματικαὶ τί μονὰς καὶ τί τὸ περιττόν, καὶ αἱ ἄλλαι ὁμοίως*[a]. definitio

312 B Ib. 10. 93^b 29. *Ὁρισμὸς δ' ἐπειδὴ λέγεται εἶναι λόγος τοῦ τί ἐστι, φανερὸν ὅτι ὁ μέν τις ἔσται λόγος τοῦ τί σημαίνει τὸ ὄνομα ἢ λόγος ἕτερος ὀνοματώδης. — ἄλλος δ' ἐστὶν ὅρος λόγος ὁ δηλῶν διὰ τί ἔστιν. ὥστε ὁ μὲν πρότερος σημαίνει μὲν δείκνυσι δ' οὔ, ὁ δ' ὕστερος φανερὸν ὅτι ἔσται οἷον ἀπόδειξις τοῦ τί ἐστι, τῇ θέσει διαφέρων τῆς* aut est nominis — aut rei

ἀποδείξεως. διαφέρει γὰρ εἰπεῖν διὰ τί βροντᾷ καὶ τί ἐστι βροντή· ἐρεῖ γὰρ οὕτω μὲν διότι ἀποσβέννυται τὸ πῦρ ἐν τοῖς νέφεσι· τί δ' ἐστὶ βροντή; ψόφος ἀποσβεννυμένου πυρὸς ἐν νέφεσιν. ὥστε ὁ αὐτὸς λόγος ἄλλον τρόπον λέγεται, καὶ ὡδὶ μὲν ἀπόδειξις συνεχής, ὡδὶ δὲ ὁρισμός[b].

Top. I 8. 103ᵃ 15. *Ὁ ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν ἐστίν*[c]. 312 c

a. Cf. **RP** 311 c. — Anal. post. II 3. 90ᵇ 16 *ὁ ὁρισμὸς οὐσίας τις γνωρισμός.* Definiendo igitur circumscribitur et terminatur generale illud, ad quod, cum ipsum neque demonstrari neque conclusione effici possit, tamen omnis scientia et demonstratio recurrit, cf. Anal. post. II 8. 93ᵇ 16; 9. 93ᵇ 21.

b. Eo differt nominis definitio a definitione rei, quod illa significat tantummodo quid rei sit neque semper rem vere exsistentem spectat, cum nomina sint etiam rerum ficticiarum, cf. Anal. post. II 7. 92ᵇ 4.

c. Cf. **RP** 317.

principia cognoscendi — Anal. post. II 19. 99ᵇ 20. *Ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἐπίστασθαι δι' ἀποδείξεως μὴ γιγνώσκοντι τὰς πρώτας ἀρχὰς τὰς ἀμέσους, εἴρηται πρότερον. τῶν δ' ἀμέσων τὴν γνῶσιν, καὶ πότερον ἡ αὐτή ἐστιν ἢ οὐχ ἡ αὐτή, διαπορήσειεν ἄν τις.* — sensus — *(πάντα τὰ ζῷα) ἔχει γὰρ δύναμιν σύμφυτον κριτικήν, ἣν καλοῦσιν αἴσθησιν*[a]*· ἐνούσης δ' αἰσθήσεως τοῖς μὲν τῶν ζῴων ἐγγίγνεται μονὴ τοῦ αἰσθήματος, τοῖς δ' οὐκ ἐγγίγνεται. ὅσοις μὲν οὖν μὴ ἐγγίγνεται, ἢ ὅλως ἢ περὶ ἃ μὴ ἐγγίγνεται, οὐκ ἔστι τούτοις γνῶσις ἔξω τοῦ αἰσθάνεσθαι· ἐν οἷς δ', ἔνεστι ⟨μὴ⟩*[1] *αἰσθανομένοις ἔχειν ἔτι ἐν τῇ ψυχῇ. πολλῶν δὲ τοιούτων γιγνομένων ἤδη διαφορά τις γίγνεται, ὥστε τοῖς μὲν γίγνεσθαι λόγον ἐκ τῆς τῶν τοιούτων μονῆς, τοῖς δὲ μή.* — memoria — *ἐκ μὲν οὖν αἰσθήσεως γίγνεται μνήμη, ὥσπερ λέγομεν,* — experientia — *ἐκ δὲ μνήμης πολλάκις τοῦ αὐτοῦ γιγνομένης ἐμπειρία· αἱ γὰρ πολλαὶ μνῆμαι τῷ ἀριθμῷ ἐμπειρία μία ἐστίν. ἐκ δ' ἐμπειρίας ἢ ἐκ παντὸς ἠρεμήσαντος τοῦ καθόλου ἐν τῇ ψυχῇ, τοῦ ἑνὸς παρὰ τὰ πολλά*[b]*, ὃ ἂν ἐν ἅπασιν ἓν ἐνῇ ἐκείνοις τὸ αὐτό,* — ars — *τέχνης ἀρχὴ καὶ ἐπιστήμης, ἐὰν* 313

1) *μὴ* adi. *Trendelenb.*: *ἔνεστιν ἢ μή* cod. D.

μὲν περὶ γένεσιν, τέχνης, ἐὰν δὲ περὶ τὸ ὄν, ἐπιστήμης. scientia
οὔτε δὴ ἐνυπάρχουσιν ἀφωρισμέναι αἱ ἕξεις, οὔτ᾽ ἀπ᾽ ἄλλων ἕξεων γίγνονται γνωστικωτέρων, ἀλλ᾽ ἀπὸ αἰσθήσεως, οἷον ἐν μάχῃ τροπῆς γενομένης ἑνὸς στάντος ἕτερος ἔστη, εἶθ᾽ ἕτερος, ἕως ἐπὶ ἀρχὴν ἦλθεν. ἡ δὲ ψυχὴ ὑπάρχει τοιαύτη οὖσα οἵα δύνασθαι πάσχειν τοῦτο. — στάντος γὰρ τῶν ἀδιαφόρων ἑνός, πρῶτον μὲν ἐν τῇ ψυχῇ καθόλου (καὶ γὰρ αἰσθάνεται μὲν τὸ καθ᾽ ἕκαστον, ἡ δ᾽ αἴσθησις τοῦ καθόλου ἐστίν, οἷον ἀνθρώπου, ἀλλ᾽ οὐ Καλλίου ἀνθρώπου), πάλιν δ᾽ ἐν τούτοις ἵσταται, ἕως ἂν τὰ ἀμερῆ στῇ καὶ τὰ καθόλου, οἷον τοιονδὶ ζῷον, ἕως ζῷον[c]· καὶ ἐν τούτῳ ὡσαύτως. δῆλον δὴ ὅτι ἡμῖν τὰ πρῶτα ἐπαγωγῇ γνωρίζειν ἀναγκαῖον· καὶ γὰρ καὶ αἴσθησις οὕτω τὸ καθόλου ἐμποιεῖ. ἐπεὶ δὲ τῶν περὶ τὴν διάνοιαν ἕξεων, αἷς ἀληθεύομεν, αἱ μὲν ἀεὶ ἀληθεῖς εἰσιν, αἱ δὲ ἐπιδέχονται τὸ ψεῦδος, οἷον δόξα καὶ λογισμός, ἀληθῆ δ᾽ ἀεὶ ἐπιστήμη καὶ νοῦς, καὶ οὐδὲν ἐπιστήμης ἀκριβέστερον ἄλλο γένος ἢ νοῦς, αἱ δ᾽ ἀρχαὶ τῶν intellectus
ἀποδείξεων γνωριμώτεραι, ἐπιστήμη δ᾽ ἅπασα μετὰ λόγου ἐστί, τῶν ἀρχῶν ἐπιστήμη μὲν οὐκ ἂν εἴη· ἐπεὶ δ᾽ οὐδὲν ἀληθέστερον ἐνδέχεται εἶναι ἐπιστήμης ἢ νοῦν, νοῦς ἂν εἴη τῶν ἀρχῶν, ἔκ τε τούτων σκοποῦσι καὶ ὅτι ἀποδείξεως ἀρχὴ οὐκ ἀπόδειξις, ὥστ᾽ οὐδ᾽ ἐπιστήμης ἐπιστήμη. εἰ οὖν μηδὲν ἄλλο παρ᾽ ἐπιστήμην γένος ἔχομεν ἀληθές, νοῦς ἂν εἴη ἐπιστήμης ἀρχή[d].

a. Cf. ad totum locum Met. I 1. 980ᵃ 27 sq.

b. *Τὸ ἓν παρὰ τὰ πολλά*, quod cave confundas cum ideis Platonis, est unum illud generale, quod in multis rebus inest tamquam commune et cogitatione ut unum praeter multa separatur. Inde gignitur *τὸ καθόλου*, h. e. generale illud, quod omnibus quae eiusdem naturae et notionis sunt rebus singulis necessario inest, Anal. post. I 4. 73ᵇ 27 *καθόλου δὲ λέγω ὃ ἂν κατὰ παντός τε ὑπάρχῃ καὶ καθ᾽ αὑτὸ καὶ ᾗ αὐτό. φανερὸν ἄρα ὅτι ὅσα καθόλου, ἐξ ἀνάγκης ὑπάρχει τοῖς πράγμασιν.* Cf. Prantl, p. 121 sq.

c. *Ἀδιάφορα* dicit quae ita similia sunt, ut differentiam qua in novas species discedant habeant nullam. — Quo qua notio est amplior, eo pauciores in se notas complectitur, quae quoniam notionis partes sunt, summum genus *ἀμερὲς* est, reliqua vero comparate *ἀμερῆ* dici possunt.

d. Scientia quoniam tota posita est in syllogismis et demonstrationibus, primum aliquid postulat unde et syllogismus et demonstratio de-

ducatur, RP 311. Itaque cum ipsa summum veritatis principium esse nequeat, veritatis fides aut nulla est aut penes intellectum, non illum quidem e sensuum comparatione et inductione pendentem et quasi patientem, sed agentem illum et divinum, RP 323. 324.

Prima philosophia.

---

primae philosophiae munus

Met. IV 1. 1003ᵃ 21. Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτό. αὕτη δ' ἐστὶν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός, οἷον αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν. ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκροτάτας αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς ἀναγκαῖον εἶναι καθ' αὑτήν [1]. εἰ οὖν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες ταύτας τὰς ἀρχὰς ἐζήτουν, ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκός, ἀλλ' ᾗ ὄντα [2]. διὸ καὶ ἡμῖν τοῦ ὄντος ᾗ ὂν τὰς πρώτας αἰτίας ληπτέον [a]. 314

a. Cf. RP 302. — Φύσις hoc loco est substantia per se exsistens. Huius (τοῦ ὄντος) causae perinde nobis sunt investigandae atque veteres physiologi rerum omnium (τῶν ὄντων) quaesiverunt elementa, h. e. tanquam ultima et summa principia.

substantia

Met. IV 2. 1003ᵃ 33. Τὸ δὲ ὂν λέγεται πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ μίαν τινὰ φύσιν, καὶ οὐχ ὁμωνύμως, ἀλλ' ὥσπερ καὶ τὸ ὑγιεινὸν ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ τῷ ποιεῖν, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, τὸ δ' ὅτι δεκτικὸν αὐτῆς. — οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν· τὰ μὲν γὰρ ὅτι οὐσίαι ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας, τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν, ἢ φθοραὶ ἢ στερήσεις ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ 315

---

1) καθ' αὑτάς cod. Aᵇ. — 2) ὂν Bonitz, Christ.

οὐσίας, ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων τινὸς ἀποφάσεις ἢ οὐσίας· διὸ καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν. καθάπερ οὖν καὶ τῶν ὑγιεινῶν ἁπάντων μία ἐπιστήμη ἐστίν, ὁμοίως τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. οὐ γὰρ μόνον τῶν καθ' ἓν λεγομένων ἐπιστήμης ἐστὶ θεωρῆσαι μιᾶς, ἀλλὰ καὶ τῶν πρὸς μίαν λεγομένων φύσιν· καὶ γὰρ ταῦτα τρόπον τινὰ λέγεται καθ' ἕν. δῆλον οὖν ὅτι καὶ τὰ ὄντα μιᾶς θεωρῆσαι ᾗ ὄντα. πανταχοῦ δὲ κυρίως τοῦ πρώτου ἡ ἐπιστήμη, καὶ ἐξ οὗ τὰ ἄλλα ἤρτηται, καὶ δι' ὃ λέγονται. εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον[a].

a. Certissima igitur omnium principia sequi debet prima philosophia, imprimis contradictionis illud RP 308 B. Quod qui verum esse infitiatur tollit omnem rerum substantiam, ut nihil nisi per accidens praedicari possit, Met. IV 4. 1007a 21.

316 Cat. 5. 2a 11. Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται μήτ' ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς ἵππος. δεύτεραι δὲ οὐσίαι λέγονται, ἐν οἷς εἴδεσιν αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσι, ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη, οἷον ὁ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῷον. δεύτεραι οὖν αὗται λέγονται οὐσίαι, οἷον ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον. — 2b 7. Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· ἔγγιον γὰρ τῆς πρώτης οὐσίας ἐστίν. ἐὰν γὰρ ἀποδιδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστι, γνωριμώτερον καὶ οἰκειότερον ἀποδώσει τὸ εἶδος ἀποδιδοὺς ἤπερ τὸ γένος, οἷον τὸν τινὰ ἄνθρωπον ἀποδιδοὺς γνωριμώτερον ἂν ἀποδοίη ἄνθρωπον ἢ ζῷον ἀποδιδούς· τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου, τὸ δὲ κοινότερον. — 3b 10. Πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν. ἐπὶ μὲν οὖν τῶν πρώτων οὐσιῶν ἀναμφισβήτητον· καὶ ἀληθές ἐστιν ὅτι τόδε τι σημαίνει· ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν· ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας τόδε τι σημαίνειν, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῷον, οὐ μὴν ἀληθές γε, ἀλλὰ μᾶλλον ποιόν τι σημαίνει· οὐ γὰρ ἕν ἐστι τὸ ὑποκείμενον ὥσπερ ἡ πρώτη

substantiae primae et secundae

species et genus

individuum

οὐσία, ἀλλὰ κατὰ πολλῶν ὁ ἄνθρωπος λέγεται καὶ τὸ ζῷον. — 4ᵃ 10. *Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν, οἷον ἐπὶ μὲν τῶν ἄλλων οὐκ ἂν ἔχοι τις τὸ τοιοῦτο προενεγκεῖν, ὅσα μή εἰσιν οὐσίαι, ὃ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων δεκτικόν ἐστιν, οἷον τὸ χρῶμα, ὅ ἐστιν ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ, οὐκ ἔσται λευκὸν καὶ μέλαν, οὐδ' ἡ αὐτὴ πρᾶξις καὶ μία τῷ ἀριθμῷ οὐκ ἔσται φαύλη καὶ σπουδαία· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα μή εἰσιν οὐσίαι. ἡ δέ γε οὐσία ἓν καὶ ταὐτὸν ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων ἐστίν, οἷον ὁ τὶς ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὤν, ὁτὲ μὲν λευκός ὁτὲ δὲ μέλας γίγνεται, καὶ θερμὸς καὶ ψυχρός, καὶ φαῦλος καὶ σπουδαῖος*[a].

a. De singulis cf. Trendelenburg, *Gesch. d. Kateg. L.* p. 53 sq. — Aristotelis de substantia doctrina opposita est Platonicae substantias praeter res sensibiles esse statuenti, cf. RP 313 b. Met. VII 16. 1040ᵇ 25 *ἔτι τὸ ἓν πολλαχῇ οὐκ ἂν εἴη ἅμα, τὸ δὲ κοινὸν ἅμα πολλαχῇ ὑπάρχει· ὥστε δῆλον ὅτι οὐθὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ' ἕκαστα χωρίς· ἀλλ' οἱ τὰ εἴδη λέγοντες τῇ μὲν ὀρθῶς λέγουσι χωρίζοντες αὐτά, εἴπερ οὐσίαι εἰσί, τῇ δ' οὐκ ὀρθῶς, ὅτι τὸ ἓν ἐπὶ πολλῶν εἶδος λέγουσιν. αἴτιον δ' ὅτι οὐκ ἔχουσιν ἀποδοῦναι τίνες αἱ τοιαῦται οὐσίαι αἱ ἄφθαρτοι παρὰ τὰς καθ' ἕκαστα καὶ αἰσθητάς. ποιοῦσιν οὖν τὰς αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς (ταύτας γὰρ ἴσμεν), αὐτοάνθρωπον καὶ αὐτοΐππον, προστιθέντες τοῖς αἰσθητοῖς τὸ ῥῆμα τὸ αὐτό.* — *ὅτι μὲν οὖν οὔτε τῶν καθόλου λεγομένων οὐθὲν οὐσία, οὔτ' ἐστὶν οὐσία οὐδεμία ἐξ οὐσιῶν, δῆλον.* Ponit igitur generale verum esse, sine quo vera scientia esse nequeat, ut quae semper versetur in generali; generale vero non reperiri putabat nisi in rebus singulis. Anal. post. I 11. 77ᵃ 5 *εἴδη μὲν οὖν εἶναι ἢ ἕν τι παρὰ τὰ πολλὰ οὐκ ἀνάγκη, εἰ ἀπόδειξις ἔσται, εἶναι μέντοι ἓν κατὰ πολλῶν ἀληθὲς εἰπεῖν ἀνάγκη· οὐ γὰρ ἔσται τὸ καθόλου, ἂν μὴ τοῦτο ᾖ· ἐὰν δὲ τὸ καθόλου μὴ ᾖ, τὸ μέσον οὐκ ἔσται, ὥστ' οὐδ' ἀπόδειξις.* Sequebatur ut negaret eam substantiam, quae cernitur in ipsis rebus et mutabilis est, ad veram scientiam informari posse. Ib. c. 8. 75ᵇ 21 *φανερὸν δὲ καὶ ἐὰν ὦσιν αἱ προτάσεις καθόλου ἐξ ὧν ὁ συλλογισμός, ὅτι ἀνάγκη καὶ τὸ συμπέρασμα ἀΐδιον εἶναι τῆς τοιαύτης ἀποδείξεως καὶ τῆς ἁπλῶς εἰπεῖν ἀποδείξεως. οὐκ ἔστιν ἄρα ἀπόδειξις τῶν φθαρτῶν οὐδ' ἐπιστήμη ἁπλῶς, ἀλλ' οὕτως ὥσπερ κατὰ συμβεβηκός, ὅτι οὐ καθόλου αὐτοῦ ἐστιν, ἀλλὰ ποτὲ καὶ πῶς.* Cf. Met. III 4. 999ᵃ 26. Verum enimvero putabat etiam aliud generale statuendum, quod esset intelligibile et aeternum. Met. III 4. 999ᵇ 1 *εἰ μὲν οὖν μηθέν ἐστι παρὰ τὰ καθ' ἕκαστα, οὐθὲν ἂν εἴη νοητὸν ἀλλὰ πάντα αἰσθητὰ καὶ ἐπιστήμη οὐθενός, εἰ μή τις εἶναι λέγει τὴν αἴσθησιν ἐπιστήμην. ἔτι δ' οὐδ' ἀΐδιον οὐθὲν οὐδ' ἀκίνητον·*

τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται καὶ ἐν κινήσει ἐστίν. ἀλλὰ μὴν εἴ γε ἀΐδιον οὐθέν ἐστιν, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γιγνόμενον καὶ ἐξ οὗ γίγνεται καὶ τούτων τὸ ἔσχατον ἀγέννητον, εἴπερ ἵσταταί τε καὶ ἐκ μὴ ὄντος γενέσθαι ἀδύνατον. Cf. RP 322.

317 A Met. VII 12. 1037[b] 8. *Νῦν δὲ λέγωμεν πρῶτον, ἐφ' ὅσον ἐν τοῖς Ἀναλυτικοῖς περὶ ὁρισμοῦ μὴ εἴρηται*[a]*· ἡ γὰρ ἐν ἐκείνοις ἀπορία λεχθεῖσα πρὸ ἔργου περὶ τῆς οὐσίας ἐστὶ λόγοις. λέγω δὲ ταύτην τὴν ἀπορίαν, διὰ τί ποτε ἕν ἐστιν οὗ τὸν λόγον ὁρισμὸν εἶναί φαμεν, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν· ἔστω γὰρ οὗτος αὐτοῦ λόγος. διὰ τί δὴ τοῦτο ἕν ἐστιν ἀλλ' οὐ πολλά, ζῷον καὶ δίπουν;* — 1037[b] 24 *δεῖ δέ γε ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ· ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ οὐσίας, ὥσθ' ἑνός τινος δεῖ αὐτὸν εἶναι λόγον· καὶ γὰρ ἡ οὐσία ἕν τι καὶ τόδε τι σημαίνει, ὥς φαμεν. δεῖ δ' ἐπισκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν*[b]*. οὐθὲν γὰρ ἕτερόν ἐστιν ἐν τῷ ὁρισμῷ πλὴν τό τε πρῶτον λεγόμενον γένος καὶ αἱ διαφοραί· τὰ δ' ἄλλα γένη ἐστὶ τό τε πρῶτον καὶ μετὰ τούτου αἱ συλλαμβανόμεναι διαφοραί, οἷον τὸ πρῶτον ζῷον, τὸ δ' ἐχόμενον ζῷον δίπουν, καὶ πάλιν ζῷον δίπουν ἄπτερον· ὁμοίως δὲ κἂν διὰ πλειόνων λέγηται. ὅλως δ' οὐθὲν διαφέρει διὰ πολλῶν ἢ δι' ὀλίγων λέγεσθαι, ὥστ' οὐδὲ δι' ὀλίγων ἢ διὰ δυοῖν· τοῖν δυοῖν δὲ τὸ μὲν διαφορὰ τὸ δὲ γένος, οἷον τοῦ ζῷον δίπουν τὸ μὲν ζῷον γένος, διαφορὰ δὲ θάτερον. εἰ οὖν τὸ γένος ἁπλῶς μὴ ἔστι παρὰ τὰ ὡς γένους εἴδη, ἢ εἰ ἔστι μὲν ὡς ὕλη δ' ἐστίν (ἡ μὲν γὰρ φωνὴ γένος καὶ ὕλη, αἱ δὲ διαφοραὶ τὰ εἴδη καὶ τὰ στοιχεῖα ἐκ ταύτης ποιοῦσιν), φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος*[c].

unitas definitionis

et partes

317 B Ib. VIII 6. 1045[a] 12. *Ὁ δ' ὁρισμὸς λόγος ἐστὶν εἷς οὐ συνδέσμῳ καθάπερ ἡ Ἰλιάς, ἀλλὰ τῷ ἑνὸς εἶναι. τί οὖν ἐστιν ὃ ποιεῖ ἓν τὸν ἄνθρωπον, καὶ διὰ τί ἓν ἀλλ' οὐ πολλά, οἷον τό τε ζῷον καὶ τὸ δίπουν; — εἰ δ' ἐστίν, ὥσπερ λέγομεν, τὸ μὲν ὕλη τὸ δὲ μορφή*[d]*, καὶ τὸ μὲν δυνάμει τὸ δ' ἐνεργείᾳ*[e]*, οὐκέτι ἀπορία δόξειεν ἂν εἶναι τὸ ζητούμενον. ἔστι γὰρ αὕτη ἡ ἀπορία ἡ αὐτὴ κἂν εἰ ὅρος εἴη ἱματίου ὁ στρογγύλος χαλκός. εἴη γὰρ ἂν σημεῖον τοὔνομα τοῦτο τοῦ*

unitas notionis

materia et forma

λόγου, ὥστε τὸ ζητούμενόν ἐστι τί αἴτιον τοῦ ἓν εἶναι τὸ στρογγύλον καὶ τὸν χαλκόν. οὐκέτι δ' ἡ ἀπορία φαίνεται, ὅτι τὸ μὲν ὕλη τὸ δὲ μορφή. τί οὖν τούτου αἴτιον τοῦ τὸ δυνάμει ὂν ἐνεργείᾳ εἶναι, παρὰ τὸ ποιῆσαν, ἐν ὅσοις ἐστὶ γένεσις; οὐθὲν γάρ ἐστιν αἴτιον ἕτερον τοῦ τὴν δυνάμει σφαῖραν ἐνεργείᾳ εἶναι σφαῖραν, ἀλλὰ τοῦτ' ἦν τὸ τί ἦν εἶναι[f] *ἑκατέρῳ.* — 1045[b] 17 *ἔστι δ', ὥσπερ εἴρηται, καὶ ἡ ἐσχάτη ὕλη*[g] *καὶ ἡ μορφὴ ταὐτὸ καὶ ἕν* [1], *δυνάμει, τὸ δὲ ἐνεργείᾳ. ὥστε ὅμοιον τὸ ζητεῖν· τοῦ ἑνός τί αἴτιον καὶ τοῦ ἓν εἶναι· ἓν γάρ τι ἕκαστον, καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἕν πώς ἐστιν. ὥστε αἴτιον οὐθὲν ἄλλο πλὴν εἴ τι ὡς κινῆσαν ἐκ δυνάμεως εἰς ἐνέργειαν.*

a. Cf. RP 312.

b. Anal. post. II 13. 96[b] 15 *χρὴ δέ, ὅταν ὅλον τι πραγματεύηταί τις, διελεῖν τὸ γένος εἰς τὰ ἄτομα τῷ εἴδει τὰ πρῶτα, οἷον ἀριθμὸν εἰς τριάδα καὶ δυάδα.*

c. Genus materiam specierum dicit, quia genus per differentias distinguitur ac definitur perinde atque materia per formam, Met. V 28. 1024[b] 6.

d. *Μορφή* est forma, deinde i. q. *εἶδος* h. e. species, qua genus velut formatur, Met. X 1. 1052[a] 22 *τὸ ὅλον καὶ ἔχον τινὰ μορφὴν καὶ εἶδος.* Ad *ἐνέργειαν* et *ἐντελέχειαν* refertur De An. II 2. 414[a] 14 *τριχῶς λεγομένης τῆς οὐσίας —, ὧν τὸ μὲν εἶδος, τὸ δὲ ὕλη, τὸ δὲ ἐξ ἀμφοῖν, τούτων ἡ μὲν ὕλη δύναμις, τὸ δὲ εἶδος ἐντελέχεια.* Met. VIII 2. 1043[a] 25 *τὸ μὲν ὑποκείμενον ὡς ὕλη ἡ θάλαττα, ἡ δ' ἐνέργεια καὶ ἡ μορφὴ ἡ ὁμαλότης.* Item ad causam finalem Met. V 24. 1023[a] 31 et RP 319.

e. *Δύναμις* dicitur ea facultas, qua res fieri potest omnesque fiendi condiciones iam suppetunt; veluti aedificium est *δυνάμει*, si nihil neque ab aedificante neque a materia obstat quo minus aedificetur, similiterque semen tum demum dicitur *δυνάμει* homo, cum nactum est idoneam in qua nascatur homo materiam, cf. Met. IX 7. 1048[b] 37 sq. Contra *ἐνέργεια*, quae quibusdam locis confunditur cum *ἐντελεχείᾳ*, ea est actio et mutatio, qua quid ex mera possibilitate ad plenam essentiam enititur atque perducitur, cf. RP 319 et Trendelenburg ad Arist. De An. p. 295 sq., *Gesch. d. Kateg. L.* p. 157 sq.

f. *Τὸ τί ἦν εἶναι*, in qua formula imperfectum *ἦν* (cf. Antisthenis illud *τί ἦν ἢ ἔστι* RP 221 a) ad *τὸ πρότερον φύσει* pertinere suspicantur (cf. Schwegler, *Ar. Met.* IV 371 sq.), quid sit exponitur Met. VII 4. Angustiorem habet ambitum quam *τὸ τί*

---

1) Post *ἕν* inserebat *τὸ μὲν* Bonitz, sed cf. Phys. VIII 1. 251[b] 1. 3.

ἐστιν, quod eadem varietate usurpatur ab Ar. atque verbum *εἶναι* et nomen *οὐσία*. Itaque alibi (cf. Anal. post. I 22. 82ᵇ 37; II 6. 92ᵃ 7; Top. VII 3. 153ᵃ 18; de An. III 6. 430ᵇ 27; Met. VI 4. 1030ᵃ 18) distinguitur a *τῷ τί ἦν εἶναι*, alibi vel cum eo coniungitur vel alterum alterius loco videtur poni (cf. Anal. post. II 4. 91ᵃ 25; Top. I 4. 101ᵇ 21; 8. 103ᵇ 10). Cf. Trendelenburg, Mus. Rh., 1828, p. 547 sq., ad Ar. De An. p. 192 sq., *Gesch. d. Kat. L.* p. 34—53; Bonitz, Met. II 311 sq. Ind. Ar. 763ᵇ. 764ᵃ. Z. II 2³ 208 sq.

g. *Ἐσχάτη ὕλη* dicitur eodem sensu quo Met. VII 10 1035ᵇ 30, ubi materia carnis et ossium singulorum, ex quibus hic vel ille homo consistit, opponitur *τῇ ὕλῃ ὡς καθόλου* h. e. hominis universi dicti. Cf. Bonitz, Met. II 336.

Si universum locum sequimur, duo insunt tam in definitione quam in substantia: in definitione genus et differentia, in substantia materia et forma (*εἶδος, μορφή*). Genus enim sive notio generalis in finitae cuiusdam rei definitione id significat quod potest duntaxat esse et inter oppositos substantiae modos quasi fluctuat; est igitur in eo materia (*ὕλη*) vel infinitum illud (*ἄπειρον*), unde res ad particulares substantias efformantur: Met. VII 8. 1033ᵃ 31; Phys. III 7. 207ᵇ 35; Met. XII 2. 1069ᵇ 7. Differentia autem, qua genus fit certum aliquid et finitum, est forma (*εἶδος, μορφή*). Sequitur ut quaecunque substantia finita sit composita ex forma et materia. — Per se et omni forma carens materia (*πρώτη ὕλη*) nihil est semperque potentia (*δυνάμει*) tantum exsistit neque cognosci potest nisi ratione habita substantiae cuiusdam finitae: Met. IX 7. 1049ᵃ 26; VIII 1. 1042ᵃ 27. Phys. I 7. 191ᵃ 7 *ἡ δ' ὑποκειμένη φύσις ἐπιστητὴ κατ' ἀναλογίαν· ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς ἢ πρὸς κλίνην ξύλον ἢ πρὸς τῶν ἄλλων τι τῶν ἐχόντων μορφὴν ἡ ὕλη καὶ τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὕτη πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι καὶ τὸ ὄν.* Rebus singulis et mutabilibus materia necessaria est, ut possint contraria, i. e. alicuius qualitatis vel *στέρησιν* vel *ἕξιν*, in se recipere: De Gen. et Corr. 4. 320ᵃ 2 *ἔστι δὲ ὕλη μάλιστα μὲν καὶ κυρίως τὸ ὑποκείμενον, γενέσεως καὶ φθορᾶς δεκτικόν, τρόπον δέ τινα καὶ τὸ ταῖς ἄλλαις μεταβολαῖς, ὅτι πάντα δεκτικὰ τὰ ὑποκείμενα ἐναντιώσεών τινων.* Cf. RP 319ᵈ fin. — Forma quatenus opponitur potentiae est actu (*ἐνεργείᾳ ὄν*), neque corporalis tantum forma putanda, sed vel maxime pertinet ad ipsam rei notionem et substantiam. (Itaque cadaveribus aut dissectis membris, etiamsi habeant speciem animalis, notio vel forma animalis non est tribuenda: De Part. An. I 1. 640ᵇ 28.). Neque vero id quod in singulis rebus forma est unquam purum et a materia discretum invenitur (Phys. II. 1. 193ᵇ 4 *ἡ μορφὴ καὶ τὸ εἶδος οὐ χωριστὸν ὂν ἀλλ' ἢ κατὰ λόγον*); de qua re Plato secus iudicabat, RP 251 c. 255 b.

318 Met. VII 7. 1032ᵃ 13. *Πάντα δὲ τὰ γιγνόμενα ὑπό τέ τινος γίγνεται καὶ ἔκ τινος καὶ τί· — τὸ δ' ἐξ οὗ γίγνεται,* fiendi condiciones

ἣν λέγομεν ὕλην· τὸ δ' ὑφ' οὗ, τῶν φύσει τι ὄντων· τὸ δὲ τί, ἄνθρωπος ἢ φυτὸν ἢ ἄλλο τι τῶν τοιούτων, ἃ δὴ μάλιστα λέγομεν οὐσίας εἶναι. ἅπαντα δὲ τὰ γιγνόμενα ἢ φύσει ἢ τέχνῃ ἔχει ὕλην· δυνατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν, τοῦτο δ' ἐστὶν ἐν ἑκάστῳ ὕλη. — καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδής· αὕτη δ' ἐν ἄλλῳ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ.

Causa efficiens vel movens (τὸ ὑφ' οὗ) extra id posita est, quod per eam efficitur (Met. XII 4. 1070^b 22 *οὐ μόνον τὰ ἐνυπάρχοντα αἴτια, ἀλλὰ καὶ τῶν ἐκτὸς οἷον τὸ κινοῦν*), sed eiusdem semper generis (*ὁμοειδής*) tam in natura quam in arte: Met. VII 8. 1033^b 30 *φανερὸν ὅτι τὸ γεννῶν τοιοῦτον μὲν οἷον τὸ γεννώμενον, οὐ μέντοι τὸ αὐτό γε, οὐδ' ἓν τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει, οἷον ἐν τοῖς φυσικοῖς· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ.* Met. VII 7. 1032^a 32 *ἀπὸ τέχνης δὲ γίγνεται ὅσων τὸ εἶδος ἐν τῇ ψυχῇ. — ὥστε συμβαίνει τρόπον τινὰ ἐξ ὑγιείας τὴν ὑγίειαν γίγνεσθαι καὶ τὴν οἰκίαν ἐξ οἰκίας, τῆς ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην· ἡ γὰρ ἰατρική ἐστι καὶ οἰκοδομικὴ τὸ εἶδος τῆς ὑγιείας καὶ τῆς οἰκίας.* — Casus quoque (*τὸ αὐτόματον*) ab Aristotele inter causas numeratur, sed *κατὰ συμβεβηκός*, Phys. II 5.

quattuor genera causarum

Phys. II 3. 194^b 16. Διωρισμένων δὲ τούτων ἐπισκε- 319
πτέον περὶ τῶν αἰτίων, ποῖά τε καὶ πόσα τὸν ἀριθμόν ἐστιν. ἐπεὶ γὰρ τοῦ εἰδέναι χάριν ἡ πραγματεία, εἰδέναι δ' οὐ πρότερον οἰόμεθα ἕκαστον πρὶν ἂν λάβωμεν τὸ διὰ τί περὶ ἕκαστον (τοῦτο δ' ἐστὶ τὸ λαβεῖν τὴν πρώτην αἰτίαν), δῆλον ὅτι καὶ ἡμῖν τοῦτο ποιητέον καὶ περὶ γενέσεως καὶ φθορᾶς καὶ πάσης τῆς φυσικῆς μεταβολῆς, ὅπως εἰδότες αὐτῶν τὰς ἀρχὰς ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζητουμένων ἕκαστον. ἕνα μὲν οὖν τρόπον αἴτιον λέγεται τὸ ἐξ οὗ γίγνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης καὶ τὰ τούτων γένη, ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα[a]· τοῦτο δ' ἐστὶν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι καὶ τὰ τούτου γένη, οἷον τοῦ διὰ πασῶν[b] τὰ δύο πρὸς ἕν, καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβάλλον τοῦ μεταβαλλομένου. ἔτι ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια· διὰ τί γὰρ περιπατεῖ; φαμὲν

ἵνα ὑγιαίνῃ, καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίγνεται, τοῦ τέλους[c], *οἷον τῆς ὑγιείας ἡ ἰσχνασία ἢ ἡ κάθαρσις ἢ τὰ φάρμακα ἢ τὰ ὄργανα· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστι, διαφέρει δ' ἀλλήλων ὡς ὄντα τὰ μὲν ἔργα τὰ δ' ὄργανα*[d].

a. Consulto utitur hac voce, ne dubitetur quin id quod *εἶδος* ab eo dicitur idem sit atque *παράδειγμα* sive *ἰδέα* Platonis.

b. De formula *τί ἦν εἶναι* cf. **RP** 317 f. Musicorum vocabulo *διὰ πασῶν*, quod plene dicitur *ἡ διὰ πασῶν χορδῶν ἁρμονία* s. *συμφωνία*, octava quam nos vocamus significabatur.

c. Supplendum *ἐστί*.

d. Ad has quattuor causas omnium quaecunque fiunt principia ab Aristotele revocantur. Cf. Met. V 2; Anal. post. II 11; de An. Gener. I 1; Met. I 3; VIII 4. 1044ᵃ 33. — Coniuncta autem est finalis causa (*τὸ τέλος, τὸ οὗ ἕνεκα*) non solum cum motrice propterea quod, ubicunque fit aliquid vel arte vel natura, finis propositus sit necesse est, propter quem illud fiat: De Part. An. I 1. 641ᵇ 12 *ἡ φύσις ἕνεκά του ποιεῖ πάντα.* Met. I 3. 983ᵃ 32 *τέλος γὰρ γενέσεως καὶ κινήσεως πάσης τοῦτ' ἐστίν (τὸ οὗ ἕνεκα καὶ τἀγαθόν)*, sed etiam cum formali, nam sicut id quod fit finis generationis est, ita actus (*ἐνέργεια*) est formae, cf. Part. An. I 1. 640ᵃ 18 *ἡ γὰρ γένεσις ἕνεκα τῆς οὐσίας ἐστίν, ἀλλ' οὐχ ἡ οὐσία ἕνεκα τῆς γενέσεως.* De Gen. An. V 1. 778ᵇ 1. Itaque fit ut *ἐνέργεια* et *τέλος* Aristoteli fere idem significent et ut energiae non modo finis et actus tribuatur, sed etiam motus, cf. Met. IX 8. 1050ᵃ 15. — Vocabulum *ἐνεργείας* Ar. ipse explicat Met. IX 8. 1050ᵃ 23: *τοὔνομα ἐνέργεια λέγεται κατὰ τὸ ἔργον καὶ συντείνει πρὸς τὴν ἐντελέχειαν.* Ibid. 3. 1047ᵃ 30 *ἐλήλυθεν ἡ ἐνέργεια τοὔνομα ἡ πρὸς τὴν ἐντελέχειαν συντιθεμένη καὶ ἐπὶ τὰ ἄλλα ἐκ τῶν κινήσεων μάλιστα.* Videtur igitur *ἐντελέχεια* (de *ἐνδελεχείᾳ* cf. Hirzel, Mus. Rh. XXXIX (1884), 169 sq.) ab *ἐνεργείᾳ* ita distingui, ut *ἐνέργεια* actionem, qua quid ex possibilitate ad plenam et perfectam perducitur essentiam, *ἐντελέχεια* ipsam hanc perfectionem significet. Neque tamen ubique tenetur hoc discrimen. Cf. Trendelenburg, de An. p. 296. Bonitz, Ind. Ar. 253ᵇ. — Inter *ἐνέργειαν* et *κίνησιν* hoc interest: *κίνησις* ubi id assecuta est quo tendebat, esse desinit, *ἐνέργεια* etiamtum manet, cf. Met. IX 6. 1048ᵇ 28 (Bonitz, Met. II 396). — Verum tamen et causa movens et finis, etiamsi opposita sint tanquam initium et finis motus, Met. I 3. 983ᵃ 30, tamen quodam modo ad idem revocari possunt: Phys. II 7. 198ᵃ 24 *ἔρχεται δὲ τὰ τρία εἰς τὸ ἓν πολλάκις· τὸ μὲν γὰρ τί ἐστι καὶ τὸ οὗ ἕνεκα ἕν ἐστι, τὸ δ' ὅθεν ἡ κίνησις πρῶτον τῷ εἴδει ταὐτὸ τούτοις· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. καὶ ὅλως ὅσα κινούμενα κινεῖ.* Materia contra tribus istis causis opposita est: quod contrarium ab Aristotele eodem quo a Platone modo (**RP** 266 g) ad contrarium inter bonum sive finem et necessitatem refer-

tur: Phys. II 9. 200ᵃ 14 *ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον, τὸ δ' οὗ ἕνεκα ἐν τῷ λόγῳ.* Cf. de Part. An. I 1. Est illa insuper causa imperfecti quod exsistit in mundo vicissitudinumque quibus res fluctuantur origo, neque tamen causa motus: Met. IX 8. 1050ᵇ 3. De malo cf. ib. 9. 1051ᵃ 18 (Bonitz, Met. II 407). Phys. I 9. 192ᵃ 13 sq. Neque materia est *τὸ μὴ ὂν καθ' αὑτό*, sed *τὸ μὴ ὂν κατὰ συμβεβηκός*: Phys. I 9. 192ᵃ 3. Met. XII 2. 1069ᵇ 32 *τρία δὴ τὰ αἴτια καὶ τρεῖς αἱ ἀρχαί, δύο μὲν ἡ ἐναντίωσις, ἧς τὸ μὲν λόγος καὶ εἶδος, τὸ δὲ στέρησις* (quo principio fit ut ea quae postea materiam occupatura est forma initio desit), *τὸ δὲ τρίτον ἡ ὕλη.* De *στερήσεως* notione ambigua cf. Z. II 2[3] 216. 317; Bonitz, Ind. Ar. 699ᵇ sq.

unius rei non una est causa

Met. VIII 4. 1044ᵃ 32. *Ὅταν δή τις ζητῇ τί τὸ αἴτιον, ἐπεὶ* 320 *πλεοναχῶς τὰ αἴτια λέγεται, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας. οἷον ἀνθρώπου τίς αἰτία ὡς ὕλη; ἆρα τὰ καταμήνια. τί δ' ὡς κινοῦν; ἆρα τὸ σπέρμα*[a]. *τί δ' ὡς τὸ εἶδος; τὸ τί ἦν εἶναι. τί δ' ὡς οὗ ἕνεκα; τὸ τέλος.* — Ib. III 2. 996ᵇ 5. *Ἐνδέχεται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους τοὺς τῶν αἰτίων ὑπάρχειν, οἷον οἰκίας ὅθεν μὲν ἡ κίνησις ἡ τέχνη καὶ ὁ οἰκοδόμος, οὗ δ' ἕνεκα τὸ ἔργον*[b], *ὕλη δὲ γῆ καὶ λίθοι, τὸ δ' εἶδος ὁ λόγος.*

a. Met. XII 6. 1071ᵇ 29; De Gen. An. I 19. 20. Ad patrem igitur potius quam ad matrem origo stirpis referenda: Met. I 6. 988ᵃ 5; V 28. 1024ᵃ 34; VIII 4. 1044ᵃ 34; De Gen. An. II 1. 4.

b. Opus non aedificatoris intelligendum, sed aedificii, *ἡ τῆς οἰκίας ἐνέργεια*, videlicet ut sit *ἀγγεῖον σκεπαστικὸν σωμάτων καὶ χρημάτων*, Met. VIII 2. 1043ᵈ 16. De An. I 1. 403ᵇ 3.

motus

Phys. VIII 1. 251ᵃ 9. *Φαμὲν δὴ τὴν κίνησιν εἶναι ἐν-* 321 *τελέχειαν τοῦ κινητοῦ ᾗ κινητόν. ἀναγκαῖον ἄρα ὑπάρχειν τὰ πράγματα τὰ δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν. καὶ χωρὶς δὲ τοῦ τῆς κινήσεως ὁρισμοῦ πᾶς ἂν ὁμολογήσειεν ἀναγκαῖον εἶναι κινεῖσθαι τὸ δυνατὸν κινεῖσθαι καθ' ἑκάστην κίνησιν, οἷον ἀλλοιοῦσθαι μὲν τὸ ἀλλοιωτόν, φέρεσθαι δὲ τὸ κατὰ τόπον μεταβλητόν, ὥστε δεῖ πρότερον καυστὸν εἶναι πρὶν κάεσθαι καὶ καυστικὸν πρὶν κάειν. οὐκοῦν καὶ ταῦτα ἀναγκαῖον ἢ γενέσθαι ποτὲ οὐκ ὄντα ἢ ἀίδια εἶναι. εἰ μὲν τοίνυν ἐγένετο τῶν κινητῶν ἕκαστον, ἀναγκαῖον πρότερον τῆς ληφθείσης ἄλλην γενέσθαι μεταβολὴν καὶ κίνησιν, καθ' ἣν ἐγένετο τὸ δυνατὸν κινηθῆναι ἢ κινῆσαι. εἰ δ' ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης, ἄλογον μὲν φαίνεται*

καὶ αὐτόθεν ἐπιστήσασιν, οὐ μὴν ἀλλὰ μᾶλλον ἔτι προϊοῦσι τοῦτο συμβαίνειν ἀναγκαῖον. εἰ γὰρ τῶν μὲν κινητῶν ὄντων τῶν δὲ κινητικῶν ὁτὲ μὲν ἔσται τι πρῶτον κινοῦν, τὸ δὲ κινούμενον, ὁτὲ δ᾽ οὐθέν, ἀλλ᾽ ἠρεμεῖ, ἀναγκαῖον τοῦτο μεταβάλλειν πρότερον· ἦν γάρ τι αἴτιον τῆς ἠρεμίας· ἡ γὰρ ἠρέμησις στέρησις τῆς κινήσεως. ὥστε πρὸ τῆς πρώτης μεταβολῆς ἔσται μεταβολὴ προτέρα. — 251ᵇ 28. *ὁ δ᾽ αὐτὸς λόγος καὶ περὶ τοῦ ἄφθαρτον εἶναι τὴν κίνησιν· καθάπερ γὰρ ἐπὶ τοῦ γενέσθαι κίνησιν συνέβαινε προτέραν εἶναί τινα μεταβολὴν τῆς πρώτης, οὕτως ἐνταῦθα ὑστέραν τῆς τελευταίας· οὐ γὰρ ἅμα παύεται κινούμενον καὶ κινητὸν ὄν, οἷον καόμενον καὶ καυστὸν ὄν (ἐνδέχεται γὰρ καυστὸν εἶναι μὴ καόμενον), οὐδὲ κινητικὸν καὶ κινοῦν. καὶ τὸ φθαρτὸν δὲ δεήσει φθαρῆναι, ὅταν φθείρηται· καὶ τὸ τούτου φθαρτικὸν πάλιν ὕστερον· καὶ γὰρ ἡ φθορὰ μεταβολή τίς ἐστιν. εἰ δὴ ταῦτ᾽ ἀδύνατα, δῆλον ὡς ἔστιν ἀίδιος κίνησις, ἀλλ᾽ οὐχ ὁτὲ μὲν ἦν ὁτὲ δ᾽ οὔ*[a]. aeternus

a. Cf. Met. XII 6. 7. Infinitum rerum motum velut sempiternam naturae vitam esse docebat: Phys. VIII 1. 250ᵇ 14; II 1. 192ᵇ 13. Neque initium motus repetendum ab anima: De Anim. I 4. 408ᵇ 32 *πολὺ δὲ τῶν εἰρημένων ἀλογώτατον τὸ λέγειν ἀριθμὸν εἶναι τὴν ψυχὴν κινοῦνθ᾽ ἑαυτόν. — πῶς γὰρ χρὴ νοῆσαι μονάδα κινουμένην, καὶ ὑπὸ τίνος, καὶ πῶς, ἀμερῆ καὶ ἀδιάφορον οὖσαν; εἰ γάρ ἐστι κινητικὴ καὶ κινητή, διαφέρειν δεῖ.* Ib. III 10. 432ᵇ 26.

322 Phys. VIII 6. 258ᵇ 10. *Ἐπεὶ δὲ δεῖ κίνησιν ἀεὶ εἶναι καὶ μὴ διαλείπειν, ἀνάγκη εἶναί τι ὃ πρῶτον κινεῖ, εἴτε ἓν εἴτε πλείω, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον. ἕκαστον μὲν οὖν ἀίδιον εἶναι τῶν ἀκινήτων μὲν κινούντων δὲ οὐδὲν πρὸς τὸν νῦν λόγον· ὅτι δ᾽ ἀναγκαῖον εἶναί τι τὸ ἀκίνητον μὲν αὐτὸ πάσης τῆς ἐκτὸς μεταβολῆς καὶ ἁπλῶς καὶ κατὰ συμβεβηκός, κινητικὸν δ᾽ ἑτέρου, δῆλον ὧδε σκοποῦσιν. ἔστω δ᾽, εἴ τις βούλεται, ἐπί τινων ἐνδεχόμενον ὥστ᾽ εἶναί ποτε καὶ μὴ εἶναι ἄνευ γενέσεως καὶ φθορᾶς. τάχα γὰρ ἀναγκαῖον, εἴ τι ἀμερὲς ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ μή ἐστιν ἄνευ τοῦ μεταβάλλειν, ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι πᾶν τὸ τοιοῦτον. καὶ τῶν ἀρχῶν τῶν ἀκινήτων μὲν κινητικῶν δ᾽ ἐνίας ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι, ἐνδεχέσθω καὶ τοῦτο. ἀλλ᾽ οὔ τι* principium movens

πάσας γε δυνατόν· δῆλον γὰρ ὡς αἴτιόν τι τοῖς αὐτὰ ἑαυτὰ κινοῦσίν ἐστι τοῦ ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μή. τὸ μὲν γὰρ αὐτὸ ἑαυτὸ κινοῦν ἅπαν ἔχειν ἀνάγκη μέγεθος, εἰ μηδὲν κινεῖται ἀμερές, τὸ δὲ κινοῦν οὐδεμία ἀνάγκη ἐκ τῶν εἰρημένων[a]. *τοῦ δὴ τὰ μὲν γίγνεσθαι τὰ δὲ φθείρεσθαι, καὶ τοῦτ᾽ εἶναι συνεχῶς, οὐδὲν αἴτιον τῶν ἀκινήτων μὲν μὴ ἀεὶ δ᾽ ὄντων, οὐδ᾽ αὖ τῶν ἀεὶ μὲν ταδὶ κινούντων, τούτων δ᾽ ἕτερα. τοῦ γὰρ ἀεὶ καὶ συνεχοῦς οὔτε ἕκαστον αὐτῶν αἴτιον οὔτε πάντα· τὸ μὲν γὰρ οὕτως ἔχειν ἀίδιον καὶ ἐξ ἀνάγκης, τὰ δὲ πάντα ἄπειρα, καὶ οὐχ ἅμα πάντα ὄντα*[b]. *δῆλον τοίνυν ὅτι, εἰ καὶ μυριάκις ἔνιαι ἀρχαὶ τῶν ἀκινήτων μὲν κινουσῶν δέ, καὶ πολλὰ τῶν αὐτὰ ἑαυτὰ κινούντων φθείρεται, τὰ δ᾽ ἐπιγίγνεται, καὶ τόδε μὲν ἀκίνητον ὂν τόδε κινεῖ, ἕτερον δὲ τοδί· ἀλλ᾽ οὐδὲν ἧττον ἔστι τι ὃ περιέχει, καὶ τοῦτο παρ᾽ ἕκαστον, ὅ ἐστιν αἴτιον τοῦ τὰ μὲν εἶναι τὰ δὲ μὴ καὶ τῆς συνεχοῦς μεταβολῆς· καὶ τοῦτο μὲν τούτοις, ταῦτα δὲ τοῖς ἄλλοις αἴτια κινήσεως. εἴπερ οὖν ἀίδιος ἡ κίνησις, ἀίδιον καὶ τὸ κινοῦν ἔσται πρῶτον, εἰ ἕν· εἰ δὲ πλείω, πλείω τὰ ἀίδια. ἓν δὲ μᾶλλον ἢ πολλὰ καὶ πεπερασμένα ἢ ἄπειρα δεῖ νομίζειν. τῶν αὐτῶν γὰρ συμβαινόντων ἀεὶ τὰ πεπερασμένα μᾶλλον ληπτέον· ἐν γὰρ τοῖς φύσει δεῖ τὸ πεπερασμένον καὶ τὸ βέλτιον, ἂν ἐνδέχηται, ὑπάρχειν μᾶλλον. ἱκανὸν δὲ καὶ εἰ ἕν, ὃ πρῶτον τῶν ἀκινήτων ἀίδιον ὂν ἔσται ἀρχὴ τοῖς ἄλλοις κινήσεως. φανερὸν δὲ καὶ ἐκ τοῦδε ὅτι ἀνάγκη εἶναί τι ἓν καὶ ἀίδιον τὸ πρῶτον κινοῦν. δέδεικται γὰρ ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι. εἰ δὲ ἀεί, ἀνάγκη καὶ συνεχῆ εἶναι· καὶ γὰρ τὸ ἀεὶ συνεχές, τὸ δ᾽ ἐφεξῆς οὐ συνεχές. ἀλλὰ μὴν εἴ γε συνεχής, μία. μία δ᾽, εἰ ὑφ᾽ ἑνός τε τοῦ κινοῦντος καὶ ἑνὸς τοῦ κινουμένου*[c]*· εἰ γάρ τι ἄλλο καὶ ἄλλο κινήσει, οὐ συνεχὴς ἡ ὅλη κίνησις, ἀλλ᾽ ἐφεξῆς.*

a. Cf. Met. XII 7. 1073a 5 *δέδεικται δὲ καὶ ὅτι μέγεθος οὐθὲν ἔχειν ἐνδέχεται ταύτην τὴν οὐσίαν (τὴν ἀίδιον καὶ ἀκίνητον καὶ κεχωρισμένην τῶν αἰσθητῶν), ἀλλ᾽ ἀμερὴς καὶ ἀδιαίρετός ἐστιν. κινεῖ γὰρ τὸν ἄπειρον χρόνον, οὐθὲν δ᾽ ἔχει δύναμιν ἄπειρον πεπερασμένον· ἐπεὶ δὲ πᾶν μέγεθος ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τοῦτο οὐκ ἂν ἔχοι μέγεθος, ἄπειρον δ᾽ ὅτι ὅλως οὐκ ἔστιν οὐθὲν ἄπειρον μέγεθος.* De iisdem copiosius Phys. VIII 10. Primum movens ut aeternum et immotum e temporis quoque finibus exemtum est: Phys. IV 12. 221b 3.

b. Explicatius Phys. VIII 6. 259 b 1 *ὁρῶμεν δὲ καὶ φανερῶς ὄντα τοιαῦτα ἃ κινεῖ αὑτὰ ἑαυτά, οἷον τὸ τῶν ἐμψύχων καὶ τὸ τῶν ζῴων γένος. ταῦτα δὴ καὶ δόξαν παρεῖχε μή ποτ' ἐνδέχεται κίνησιν ἐγγίγνεσθαι μὴ οὖσαν ὅλως, διὰ τὸ ἐν τούτοις ὁρᾶν ἡμᾶς τοῦτο συμβαῖνον· ἀκίνητα γάρ ποτε ὄντα κινεῖται πάλιν, ὡς δοκεῖ. τοῦτο δὴ δεῖ λαβεῖν, ὅτι μίαν κίνησιν αὑτὰ κινεῖ (τὴν κατὰ τόπον) καὶ ὅτι ταύτην οὐ κυρίως (τῆς πρώτης ἀρχῆς ἔξωθεν οὔσης).*

c. *Ἓν κινούμενον* est caelum, cf. RP 325 b. Met. XII 6. 1072 a 9 *εἰ δὴ τὸ αὐτὸ ἀεὶ περιόδῳ, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν. εἰ δὲ μέλλει γένεσις καὶ φθορὰ εἶναι, ἄλλο δεῖ εἶναι ἀεὶ ἐνεργοῦν ἄλλως καὶ ἄλλως. ἀνάγκη ἄρα ὡδὶ μὲν καθ' αὑτὸ ἐνεργεῖν, ὡδὶ δὲ κατ' ἄλλο· ἤτοι ἄρα καθ' ἕτερον ἢ κατὰ τὸ πρῶτον. ἀνάγκη δὴ κατὰ τοῦτο· πάλιν γὰρ ἐκεῖνο αὐτῷ τε αἴτιον κἀκείνῳ. οὐκοῦν βέλτιον τὸ πρῶτον· καὶ γὰρ αἴτιον ἦν ἐκεῖνο τοῦ ἀεὶ ὡσαύτως, τοῦ δ' ἄλλως ἕτερον· τοῦ δ' ἀεὶ ἄλλως ἄμφω δηλονότι. οὐκοῦν οὕτως καὶ ἔχουσιν αἱ κινήσεις.* — De Gen. et. Corr. II 10. 336 a 29 *δεῖ δὲ πλείους εἶναι τὰς κινήσεις καὶ ἐναντίας ἢ τῇ φορᾷ ἢ τῇ ἀνωμαλίᾳ· τῶν γὰρ ἐναντίων τἀναντία αἴτια. διὸ καὶ οὐχ ἡ πρώτη φορὰ αἰτία ἐστὶ γενέσεως καὶ φθορᾶς, ἀλλ' ἡ κατὰ τὸν λοξὸν κύκλον. — τῆς μὲν οὖν συνεχείας ἡ τοῦ ὅλου φορὰ αἰτία, τοῦ δὲ προσιέναι καὶ ἀπιέναι ἡ ἔγκλισις.* causa varietatis

Primus motor ab Aristotele deus appellatur, Met. XII 7. 1072 b 25; 8. 1074 b 7 (unde prima philosophia theologia, ib. VI 1. 1026 a 19), vel substantia: Met. XII 6. 1071 b 4 *ἀνάγκη εἶναί τινα ἀΐδιον οὐσίαν ἀκίνητον. αἵ τε γὰρ οὐσίαι πρῶται τῶν ὄντων, καὶ εἰ πᾶσαι φθαρταί, πάντα φθαρτά.* Materiae expers est: ib. 1071 b 19 *ἐνδέχεται δὲ τὸ δυνάμει ὂν μὴ εἶναι. δεῖ ἄρα εἶναι ἀρχὴν τοιαύτην, ἧς ἡ οὐσία ἐνέργεια,* Neque sensibus percipitur, verum est idem *νοητὸν* atque *νοῦς*: De Anim. III 4. 430 a 3 *ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον· ἡ γὰρ ἐπιστήμη ἡ θεωρητικὴ καὶ τὸ οὕτως ἐπιστητὸν τὸ αὐτό ἐστιν.* Cf. RP 324.

323 Met. XII 7. 1072 a 23. *Ἔστι τοίνυν τι καὶ ὃ κινεῖ (τὸν πρῶτον οὐρανόν). ἐπεὶ δὲ τὸ κινούμενον καὶ κινοῦν, καὶ μέσον τοίνυν ἔστι τι ὃ οὐ κινούμενον κινεῖ* [1], *ἀΐδιον καὶ οὐσία καὶ ἐνέργεια οὖσα· κινεῖ δὲ ὧδε τὸ ὀρεκτόν, καὶ τὸ νοητὸν κινεῖ οὐ κινούμενον· τούτων τὰ πρῶτα τὰ αὐτά*[a]. *ἐπιθυμητὸν μὲν γὰρ τὸ φαινόμενον καλόν, βουλητὸν δὲ πρῶτον τὸ ὂν καλόν. ὀρεγόμεθα δὲ διότι δοκεῖ μᾶλλον ἢ δοκεῖ διότι* natura divina

1) post *μέσον* distinxit Alex.: *ἐπεὶ δὲ τὸ μὲν κινούμενον καὶ μὴ κινοῦν, τὸ δὲ κινούμενον καὶ κινοῦν, καὶ τρίτον τοίνυν ἔστι τι* coni. Bonitz, Met. II 495 (cf. eiusdem Observ. ad Ar. Met. p. 125).

ὀρεγόμεθα. ἀρχὴ δὲ ἡ νόησις. νοῦς δὲ ὑπὸ τοῦ νοητοῦ κινεῖται, νοητὴ δὲ ἡ ἑτέρα συστοιχία καθ' αὑτήν· καὶ ταύτης ἡ οὐσία πρώτη, καὶ ταύτης ἡ ἁπλῆ καὶ κατ' ἐνέργειαν[b]. — ἀλλὰ μὴν καὶ τὸ καλὸν καὶ τὸ δι' αὑτὸ αἱρετὸν ἐν τῇ αὐτῇ συστοιχίᾳ· καὶ ἔστιν ἄριστον ἀεὶ ἢ ἀνάλογον τὸ πρῶτον[c]. ὅτι δ' ἔστι τὸ οὗ ἕνεκα ἐν τοῖς ἀκινήτοις, ἡ διαίρεσις δηλοῖ. ἔστι γάρ τινὶ τὸ οὗ ἕνεκα καὶ τινός[1], ὧν τὸ μὲν ἔστι τὸ δ' οὐκ ἔστι[d], κινεῖ δὲ ὡς ἐρώμενον, κινουμένῳ[2] δὲ τἆλλα κινεῖ[e]. εἰ μὲν οὖν τι κινεῖται, ἐνδέχεται καὶ ἄλλως ἔχειν. — ἐπεὶ δ' ἐστί τι κινοῦν αὐτὸ ἀκίνητον ὄν, ἐνεργείᾳ ὄν, τοῦτο οὐκ ἐνδέχεται ἄλλως ἔχειν οὐδαμῶς. — ἐξ ἀνάγκης ἄρα ἐστὶν ὄν· καὶ ᾗ ἀνάγκῃ, καλῶς, καὶ οὕτως ἀρχή. τὸ γὰρ ἀναγκαῖον τοσαυταχῶς· τὸ μὲν βίᾳ ὅτι παρὰ τὴν ὁρμήν, τὸ δὲ οὗ οὐκ ἄνευ τὸ εὖ, τὸ δὲ μὴ ἐνδεχόμενον ἄλλως ἀλλ' ἁπλῶς[f]. ἐκ τοιαύτης ἄρα ἀρχῆς ἤρτηται ὁ οὐρανὸς καὶ ἡ φύσις[g].

a. Sensus: Hunc in modum (ὧδε i. e. αὐτὸ ἀκίνητον ὄν) movet id quod est appetibile (τὸ ὀρεκτόν); itemque cogitabile (τὸ νοητὸν) ita movet, ut ipsum sit immotum, cf. De An. III 10. 433ª 17. Ac si sua et primaria vi utrumque acceperis, ad idem redeunt (τούτων τὰ πρῶτα τὰ αὐτά). Nam per se ὀρεκτὸν est τὸ ὂν καλόν, idemque principem inter τὰ νοητὰ locum habet. Cf. Bonitz, Met. II 496.

b. Hoc dicit: Cum duae sint rerum series, cogitabilis per se est altera, quae substantiam et formam et reliqua per affirmationem definita continet: at quae in altera enumerantur negativa, ea non per se, sed per accidens cogitationi subiciuntur. Atqui in illa serie est prima substantia simplex, ab omni materiae et potentiae ambiguitate immunis, quae est ipse actus, et cum ea coniunctum id quod sua natura appetibile est et pulchrum. Respicit hic (et infra verbis ἡ διαίρεσις δηλοῖ) disputationem quandam quam scripserat de contrariis ad primam unitatis et multitudinis contrarietatem reducendis, cf. X 3. 1054ª 30. Z. II 2³ 64. Bz., Met. II 297.

c. Quod primum est in aliqua serie, id praecipue eam habet qualitatem, quae in reliqua cernitur serie; ergo prima illa substantia est τὸ ἄριστον.

d. Ad ἔστι supplendum ἐν τοῖς ἀκινήτοις. — Cf. Themist. ad Ar. de An. 76ᵛ τὸ δ' οὗ ἕνεκα διττόν, τὸ μὲν οὗ τὸ δὲ ᾧ. — ὥσπερ γὰρ

1) καί τινος Alexander ap. Averroem: om. libri. — 2) κινουμένωι Aᵇ E: κινούμενον Aᵇ ex corr., Alex., vulgo: τὸ δὲ κινούμενον suspicatur Bonitz: κινούμενος δ' ὁ οὐρανὸς interpretatur Alexander.

καὶ ἐπὶ ἰατρικῆς οὗ μὲν ἡ ὑγίεια, ᾧ δὲ τῷ κάμνοντι, οὕτω δὲ καὶ ἐν τῇ φύσει τὴν διπλόην ταύτην θετέον τοῦ τέλους, καὶ οὗ μέν ἐστι ῥητέον τοῦτο εἶναι τὸ θεῖον καὶ ἀΐδιον, ᾧ δὲ τοῦτο εἶναι τὸ ἔμψυχον καὶ τὸ ἐν γενέσει.

e. Primus motor per inerrantium stellarum sphaeram motum ad reliqua propagat, **RP** 332.

f. Ab omni potentiae ambiguitate exemptum principium movens suae ipsius naturae necessitate tale est quale est. — Quattuor *τοῦ ἀναγκαίου* genera enumerantur Met. V 5. 1015ᵃ 20.

g. Divinam illam aeternamque naturam etiam animalia sataque pro sua quodque facultate attingere student progeniem sui similem procreantia, cf. de An. II 4. 415ᵃ 26 *φυσικώτατον γὰρ τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα ἢ τὴν γένεσιν αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ζῷον μὲν ζῷον, φυτὸν δὲ φυτόν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν ᾗ δύνανται· πάντα γὰρ ἐκείνου ὀρέγεται κἀκείνου ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν. — ἐπεὶ οὖν κοινωνεῖν ἀδυνατεῖ τοῦ ἀεὶ καὶ τοῦ θείου τῇ συνεχείᾳ, διὰ τὸ μηδὲν ἐνδέχεσθαι τῶν φθαρτῶν ταὐτὸ καὶ ἓν ἀριθμῷ διαμένειν, ᾗ δύναται μετέχειν ἕκαστον κοινωνεῖ ταύτῃ, τὸ μὲν μᾶλλον τὸ δ' ἧττον· καὶ διαμένει οὐκ αὐτὸ ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δ' ἕν.* — Ubicunque vero intellectus in anima deprehenditur, ibi et ipse deus tanquam causa prima et agens adesse putandus est, cf. Eth. Eud. VII 14. 1248ᵃ 24 *τὸ δὲ ζητούμενον τοῦτ' ἐστί, τίς ἡ τῆς κινήσεως ἀρχὴ ἐν τῇ ψυχῇ. δῆλον δή, ὥσπερ ἐν τῷ ὅλῳ θεός, καὶ πᾶν ἐκείνῳ. κινεῖ γάρ πως πάντα τὸ ἐν ἡμῖν θεῖον, λόγου δὲ ἀρχὴ οὐ λόγος, ἀλλά τι κρεῖττον. τί οὖν ἂν κρεῖττον καὶ ἐπιστήμης εἴη που*[1] *πλὴν θεός;* Cf. **RP** 337. — Propterea *τὸ κινοῦν ἀκίνητον* etiam ad singulas doctrinas refertur velut ad artem medendi, De Gen. et Corr. I 7. 324ᵃ 30. Praecipuum vero et velut suum locum habet in caelo, Phys. VIII 10. 267ᵇ 6 *ἀνάγκη δὴ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι· αὗται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δ' ἡ τοῦ ὅλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν.* De Caelo I 9. 278ᵇ 14 *εἰώθαμεν γὰρ τὸ ἔσχατον καὶ τὸ ἄνω μάλιστα καλεῖν οὐρανόν, ἐν ᾧ καὶ τὸ θεῖον πᾶν ἱδρῦσθαί φαμεν.* Inde Sext. Pyrrh. III 218 p. 172 B *Ἀριστοτέλης μὲν ἀσώματον εἶπεν εἶναι τὸν θεὸν καὶ πέρας τοῦ οὐρανοῦ.* Cf. Math. X 33 p. 483 B. et **RP** 332. caelum

324 Met. XII 7. 1072ᵇ 15. *Διαγωγὴ δ' ἐστὶν (τῷ πρώτῳ κινοῦντι) οἵα ἡ ἀρίστη μικρὸν χρόνον ἡμῖν. οὕτω γὰρ ἀεὶ ἐκεῖνο (ἡμῖν μὲν γὰρ ἀδύνατον), ἐπεὶ καὶ ἡδονὴ ἡ ἐνέργεια τούτου*ᵃ· *καὶ διὰ τοῦτο ἐγρήγορσις αἴσθησις νόησις ἥδιστον,* dei beatitudo et vita

1) *εἴη που* **RP**: *εἴποι* libri.

ἐλπίδες δὲ καὶ μνῆμαι διὰ ταῦτα[b]. *ἡ δὲ νόησις ἡ καθ᾿ αὑτὴν τοῦ καθ᾿ αὑτὸ ἀρίστου, καὶ ἡ μάλιστα τοῦ μάλιστα· αὑτὸν δὲ νοεῖ ὁ νοῦς κατὰ μετάληψιν τοῦ νοητοῦ· νοητὸς γὰρ γίγνεται θιγγάνων καὶ νοῶν, ὥστε ταὐτὸν νοῦς καὶ νοητόν· τὸ γὰρ δεκτικὸν τοῦ νοητοῦ καὶ τῆς οὐσίας νοῦς*[c]. *ἐνεργεῖ δὲ ἔχων. ὥστ᾿ ἐκεῖνο μᾶλλον τούτου ὃ δοκεῖ ὁ νοῦς θεῖον ἔχειν, καὶ ἡ θεωρία τὸ ἥδιστον καὶ ἄριστον. εἰ οὖν οὕτως εὖ ἔχει ὡς ἡμεῖς ποτὲ ὁ θεὸς ἀεί, θαυμαστόν· εἰ δὲ μᾶλλον, ἔτι θαυμασιώτερον· ἔχει δὲ ὡδί*[d]. *καὶ ζωὴ δέ γε ὑπάρχει· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, ἐκεῖνος δὲ ἡ ἐνέργεια· ἐνέργεια δὲ ἡ καθ᾿ αὑτὴν ἐκείνου ζωὴ ἀρίστη καὶ ἀίδιος. φαμὲν δὲ τὸν θεὸν εἶναι ζῷον ἀίδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀίδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός*[e].

a. *Διαγωγὴ* quid sit v. **RP** 300; Bonitz, Met. II 45. — Cf. Eth. Nic. X 7. 1177[b] 26 *ὁ δὲ τοιοῦτος ἂν εἴη βίος κρείττων ἢ κατ᾿ ἄνθρωπον· οὐ γὰρ ᾗ ἄνθρωπός ἐστιν οὕτω βιώσεται, ἀλλ᾿ ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει. — εἰ δὴ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τοῦτον βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. οὐ χρὴ δὲ κατὰ τοὺς παραινοῦντας* (Rhet. II 21. 1394[b] 24) *ἀνθρώπινα φρονεῖν ἄνθρωπον ὄντα οὐδὲ θνητὰ τὸν θνητόν, ἀλλ᾿ ἐφ᾿ ὅσον ἐνδέχεται ἀθανατίζειν.* Ibid. c. 8 in deum nullam actionem (*πρᾶξιν*) convenire praeter contemplationem (*θεωρίαν*) uberius demonstratur. De Caelo II 12. 292[b] 4 *τῷ δ᾿ ὡς ἄριστα ἔχοντι οὐθὲν δεῖ πράξεως· ἔστι γὰρ αὐτὸ τὸ οὗ ἕνεκα.* Eth. Nic. VII 15. 1154[b] 24 *ἐπεὶ εἴ του ἡ φύσις ἁπλῆ εἴη, ἀεὶ ἡ αὐτὴ πρᾶξις ἡδίστη ἔσται. διὸ ὁ θεὸς ἀεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν· οὐ γὰρ μόνον κινήσεώς ἐστιν ἐνέργεια, ἀλλὰ καὶ ἀκινησίας, καὶ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστὶν ἢ ἐν κινήσει,* **RP** 339.

b. Hominibus voluptatem afferunt variae animae actiones et quae ad eas referri possunt.

c. „Intellectio summa et absoluta summam contemplatur et absolutam substantiam, se igitur ipsum contemplatur summus intellectus. Cum enim comprehendit et quasi attingit id quod est intelligibile, sibi ipse fit intelligibilis, ut idem sit intellectus et intelligibile. Intellectus enim suapte natura aptus est ad recipiendum id quod est intelligibile, est autem ad recipiendam substantiam." Bonitz p. 501.

d. *Ἐνεργεῖ δὲ ἔχων* (*τὸ νοητόν*) i. e. ipse in se neque extra positum habet *τὸ νοητόν*, propterea non solum facultas sed ipse actus est intellegendi. Atque si actum potentia potiorem esse constat (cf. IX 8), in hoc intellegendi actu (*ἐκεῖνο*) potius quam in potentia (*μᾶλλον τούτου*) divinam eius naturam cerni apparet, eaque suimet ipsius contemplatio summa

eius et virtus est et beatitudo. Deus igitur, is enim est summus ille intellectus, quia perpetuo in hoc est actu neque unquam e potentia transit ad actum, perpetuo ea fruitur beatitudine, cui summa humanae vitae beatitudo vix comparari nedum aequari possit.

e. Etiam vita inest summo intellectui; ipsa enim eius actio est vita. Itaque deus est *ζῷον ἀίδιον ἄριστον*, ac vita aeterna et optima non inest solum in deo, sed ipse deus est haec vita, cf. De Caelo II 3. 286ª 9, RP 332. Bonitz p. 502. — Ad totum locum cf. Met. X 119. 1074ᵇ 21.

Physica.

---

325 Phys. II 1. 192ᵇ 8. *Τῶν ὄντων τὰ μέν ἐστι φύσει τὰ δὲ δι' ἄλλας αἰτίας, φύσει μὲν τά τε ζῷα καὶ τὰ μέρη αὐτῶν καὶ τὰ φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, οἷον γῆ καὶ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ· ταῦτα γὰρ εἶναι καὶ τὰ τοιαῦτα φύσει φαμέν. πάντα δὲ τὰ ῥηθέντα φαίνεται διαφέροντα πρὸς τὰ μὴ φύσει συνεστῶτα. τὰ μὲν γὰρ φύσει ὄντα πάντα φαίνεται ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ στάσεως, τὰ μὲν κατὰ τόπον, τὰ δὲ κατ' αὔξησιν καὶ φθίσιν, τὰ δὲ κατ' ἀλλοίωσιν· κλίνη δὲ καὶ ἱμάτιον, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν, ᾗ μὲν τετύχηκε τῆς κατηγορίας*[a] *ἑκάστης καὶ καθ' ὅσον ἐστὶν ἀπὸ τέχνης, οὐδεμίαν ὁρμὴν ἔχει μεταβολῆς ἔμφυτον, ᾗ δὲ συμβέβηκεν αὐτοῖς εἶναι λιθίνοις ἢ γηΐνοις ἢ μικτοῖς ἐκ τούτων, ἔχει, καὶ κατὰ τοσοῦτον, ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινος καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός*[b]. natura quid sit

a. *Κατηγορία* hoc loco est notio vel significatio quae cogitatur nomine aliquo usurpato. Ind. Ar. p. 378ª.

b. Hoc natura differt ab arte factis et ab iis quae pertinent ad intellectum; velut medicus sibi ipse mederi potest, 192ᵇ 24 *ἀλλ' ὅμως οὐ καθὸ ὑγιάζεται τὴν ἰατρικὴν ἔχει, ἀλλὰ συμβέβηκε τὸν αὐτὸν ἰατρὸν εἶναι καὶ ὑγιαζόμενον· διὸ καὶ χωρίζεταί ποτ' ἀπ' ἀλλήλων.* Propterea *ἐπιστήμη ποιητικὴ* et *πρακτικὴ* differt a physica: Met. VI 1. 1025ᵇ 18 *ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος τι τοῦ ὄντος*

(περὶ γὰρ τὴν τοιαύτην ἐστὶν οὐσίαν ἐν ᾗ ἡ ἀρχὴ τῆς κινήσεως καὶ στάσεως ἐν αὐτῇ), δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε ποιητική. Cf. RP 302. 303.

Natura, si ἀρχὴ κινήσεως esse dicitur, quodam modo idem est atque τὸ πρῶτον κινούμενον κινοῦν, caelum, RP 322 c; 323 d. Ut motrix causa formalis est, non materialis Met. VII 17. 1041[b] 28 ἐπεὶ δ' ἔνια οὐκ οὐσίαι τῶν πραγμάτων, ἀλλ' ὅσαι οὐσίαι κατὰ φύσιν καὶ φύσει συνεστήκασι, φανείη ἂν αὕτη ἡ φύσις οὐσία, ἥ ἐστιν οὐ στοιχεῖον ἀλλ' ἀρχή. Aliis locis vix distinguitur ab numine divino: De Caelo I 4. 271[a] 33 ὁ δὲ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν. Alibi significatur universi quaedam vita vel in elementis conspicua Phys. VIII 1. 250[b] 11. De Gen. An. III 11. 762[a] 18 γίγνεται δ' ἐν γῇ καὶ ἐν ὑγρῷ τὰ ζῷα καὶ τὰ φυτὰ διὰ τὸ ἐν γῇ μὲν ὕδωρ ὑπάρχειν, ἐν δ' ὕδατι πνεῦμα, ἐν δὲ τούτῳ παντὶ θερμότητα ψυχικήν, ὥστε τρόπον τινὰ πάντα ψυχῆς εἶναι πλήρη. De Caelo II 13. 295[a] 2.

finis naturae

Phys. II 8. 199[a] 15. Ὅλως δὲ ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ 326 ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται. εἰ οὖν τὰ κατὰ τὴν τέχνην ἕνεκά του, δῆλον ὅτι καὶ τὰ κατὰ τὴν φύσιν· ὁμοίως γὰρ ἔχει πρὸς ἄλληλα ἐν τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς κατὰ φύσιν τὰ ὕστερα πρὸς τὰ πρότερα[a]. μάλιστα δὲ φανερὸν ἐπὶ τῶν ζῴων τῶν ἄλλων, ἃ οὔτε τέχνῃ οὔτε ζητήσαντα οὔτε βουλευσάμενα ποιεῖ· ὅθεν διαποροῦσί τινες πότερον νῷ ἤ τινι ἄλλῳ ἐργάζονται οἵ τ' ἀράχναι καὶ οἱ μύρμηκες καὶ τὰ τοιαῦτα. κατὰ μικρὸν δ' οὕτω προϊόντι καὶ ἐν τοῖς φυτοῖς φαίνεται τὰ συμφέροντα γιγνόμενα πρὸς τὸ τέλος, οἷον τὰ φύλλα τῆς τοῦ καρποῦ ἕνεκα σκέπης. ὥστ' εἰ φύσει τε ποιεῖ καὶ ἕνεκά του ἡ χελιδὼν τὴν νεοττιὰν καὶ ὁ ἀράχνης τὸ ἀράχνιον, καὶ τὰ φυτὰ τὰ φύλλα ἕνεκα τῶν καρπῶν καὶ τὰς ῥίζας οὐκ ἄνω ἀλλὰ κάτω ἕνεκα τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γιγνομένοις καὶ οὖσιν. καὶ ἐπεὶ ἡ φύσις διττή, ἡ μὲν ὡς ὕλη ἡ δ' ὡς μορφή, τέλος δ' αὕτη, τοῦ τέλους δ' ἕνεκα τἆλλα,

monstra

αὕτη ἂν εἴη ἡ αἰτία ἡ οὗ ἕνεκα[b]. ἁμαρτία δὲ γίγνεται καὶ ἐν τοῖς κατὰ τέχνην· ἔγραψε γὰρ οὐκ ὀρθῶς ὁ γραμματικός, καὶ ἐπότισεν οὐκ ὀρθῶς ὁ ἰατρὸς τὸ φάρμακον· ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ ἐν τοῖς κατὰ φύσιν. εἰ δή ἐστιν ἔνια κατὰ τέχνην ἐν οἷς τὸ ὀρθῶς ἕνεκά του, ἐν δὲ τοῖς ἁμαρτανομένοις ἕνεκα μέν τινος ἐπιχειρεῖται ἀλλ' ἀποτυγχάνεται, ὁμοίως ἂν ἔχοι καὶ ἐν τοῖς φυσικοῖς, καὶ τὰ τέρατα

ἁμαρτήματα ἐκείνου τοῦ ἕνεκά του[c]. — 199[b] 25 ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως, ἂν μή τι ἐμποδίσῃ. ἄτοπον δὲ τὸ μὴ οἴεσθαι ἕνεκά του γίγνεσθαι, ἐὰν μὴ ἴδωσι τὸ κινοῦν βουλευσάμενον. καίτοι καὶ ἡ τέχνη οὐ βουλεύεται.

a. Met. IX 8. 1050[a] 4 τὰ τῇ γενέσει ὕστερα τῷ εἴδει καὶ τῇ οὐσίᾳ πρότερα, οἷον ἀνὴρ παιδὸς καὶ ἄνθρωπος σπέρματος. — ἅπαν ἐπ' ἀρχὴν βαδίζει τὸ γιγνόμενον καὶ τέλος· ἀρχὴ γὰρ τὸ οὗ ἕνεκα, τοῦ τέλους δ' ἕνεκα ἡ γένεσις. Cf. Part. An. II 1. 646[a] 25.

b. Cf. RP 319.

c. Causa huius inertiae in materia quaerenda est: Gen. An. IV 4. 770[b] 9 ἔστι γὰρ τὸ τέρας τῶν παρὰ φύσιν τι, παρὰ φύσιν δ' οὐ πᾶσαν ἀλλὰ τὴν ὡς ἐπὶ τὸ πολύ· περὶ γὰρ τὴν ἀεὶ καὶ τὴν ἐξ ἀνάγκης οὐθὲν γίγνεται παρὰ φύσιν, ἀλλ' ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ μὲν οὕτω γιγνομένοις, ἐνδεχομένοις δὲ καὶ ἄλλως, ἐπεὶ καὶ τούτων ἐν ὅσοις συμβαίνει παρὰ τὴν τάξιν μὲν ταύτην, ἀεὶ μέντοι μὴ τυχόντως, ἧττον εἶναι δοκεῖ τέρας διὰ τὸ καὶ τὸ παρὰ φύσιν εἶναι τρόπον τινὰ κατὰ φύσιν, ὅταν μὴ κρατήσῃ τὴν κατὰ τὴν ὕλην ἡ κατὰ τὸ εἶδος φύσις. — Etiam femininum genus quasi mutilatio masculini est: Gen. An. II 3. 737[a] 27 τὸ γὰρ θῆλυ ὥσπερ ἄρρεν ἐστὶ πεπηρωμένον (cf. Plat. Tim. 90 E), et cetera animalia cum homine comparata tanquam pumiliones: Part. An. IV 10. 686[b] 2 πάντα γάρ ἐστι τὰ ζῷα νανώδη τἆλλα παρὰ τὸν ἄνθρωπον.

327 Phys. IV 1. 208[b] 1. Ὅτι μὲν οὖν ἔστιν ὁ τόπος, δοκεῖ δῆλον εἶναι ἐκ τῆς ἀντιμεταστάσεως· ὅπου γάρ ἐστι νῦν ὕδωρ, ἐνταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου πάλιν ἀὴρ ἔνεστιν· ὅτε δὲ τὸν αὐτὸν τόπον τοῦτον ἄλλο τι τῶν σωμάτων κατέχει, τοῦτο δὴ τῶν ἐγγιγνομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ· ἐν ᾧ γὰρ ἀήρ ἐστι νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν, ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρα ἕτερον ἀμφοῖν, εἰς ἣν καὶ ἐξ ἧς μετέβαλον. — 4. 212[a] 14. ἔστι δ' ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητός, οὕτω καὶ ὁ τόπος ἀγγεῖον ἀμετακίνητον. διὸ ὅταν μὲν ἐν κινουμένῳ τι κινῆται καὶ μεταβάλλῃ τὸ ἐντός, οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι. βούλεται δ' ἀκίνητος εἶναι ὁ τόπος· διὸ ὁ πᾶς μᾶλλον ποταμὸς τόπος, ὅτι ἀκίνητος ὁ πᾶς. ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος[a]. — 5. 212[a] 31. ᾧ μὲν οὖν σώματι ἔστι τι ἐκτὸς σῶμα περιέχον αὐτό, τοῦτό ἐστιν ἐν τόπῳ, ᾧ δὲ μή, οὔ. — spatium

212[b] 16. παρὰ δὲ τὸ πᾶν καὶ ὅλον οὐδέν ἐστιν ἔξω τοῦ παντός, καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα· ὁ γὰρ οὐρανὸς τὸ πᾶν ἴσως. ἔστι δ' ὁ τόπος οὐχ ὁ οὐρανός, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος [πέρας ἠρεμοῦν][1]· καὶ διὰ τοῦτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τοῦτο δ' ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ αἰθέρι, ὁ δ' αἰθὴρ ἐν τῷ οὐρανῷ, ὁ δ' οὐρανὸς οὐκέτι ἐν ἄλλῳ[b]. — καὶ ἔστιν ὁ τόπος καὶ ποῦ, οὐχ ὡς ἐν τόπῳ δέ, ἀλλ' ὡς τὸ πέρας ἐν τῷ πεπερασμένῳ. οὐ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα[c].

a. Phys. IV 4. 212[a] 5 ἀνάγκη τὸν τόπον εἶναι — τὸ πέρας τοῦ περιέχοντος σώματος, <καθ' ὃ συνάπτει τῷ περιεχομένῳ>. De hoc loco e Simplicio supplendo cf. Diels, *zur Textgesch. d. Ar. Phys.*, *Abh. d. Berl. Ak.* 1882, p. 4 sq.

b. Cf. **RP** 332 b.

c. Respicit argumentum Zenonis **RP** 106. — Hanc spatii notionem persecutus vacuum posse neque in mundo neque extra mundum esse contendit: Phys. IV 6—9.

tempus Phys. IV 10. 218[b] 9. Ἐπεὶ δὲ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον. ἡ μὲν οὖν ἑκάστου μεταβολὴ καὶ κίνησις ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον ἐστίν, ἢ οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινούμενον καὶ μεταβάλλον· ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν· ἔτι δὲ μεταβολὴ μέν ἐστι πᾶσα θάττων καὶ βραδυτέρα, χρόνος δ' οὐκ ἔστιν. — ὅτι μὲν τοίνυν οὐκ ἔστι (ὁ χρόνος) κίνησις, φανερόν· μηδὲν δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ μεταβολήν. — 11. 219[a] 2. ληπτέον δέ, ἐπεὶ ζητοῦμεν τί ἐστιν ὁ χρόνος, ἐντεῦθεν ἀρχομένοις, τί τῆς κινήσεώς ἐστιν. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα[a] καὶ χρόνου· καὶ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, εὐθὺς ἅμα δοκεῖ τις γεγονέναι καὶ χρόνος. ἀλλὰ μὴν καὶ ὅταν γε χρόνος δοκῇ γεγονέναι τις, ἅμα καὶ κίνησίς τις φαίνεται γεγονέναι. ὥστε ἤτοι κίνησις ἢ τῆς κινήσεώς τί ἐστιν ὁ χρόνος. ἐπεὶ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι αὐτόν. — 22[a]. ἀλλὰ μὴν καὶ τὸν χρόνον γε γνωρίζομεν, ὅταν ὁρίσωμεν 328

1) πέρας ἠρεμοῦν om. cod. E, Simplic. Phys. p. 594, 25; 602, 3 Diels. Cf. Z. II 2³ 398⁴; Diels, *zr. Textgesch.* 4³.

τὴν κίνησιν, τὸ πρότερον καὶ ὕστερον ὁρίζοντες· καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν. ὁρίζομεν δὲ τῷ ἄλλο καὶ ἄλλο ὑπολαβεῖν αὐτά, καὶ μεταξύ τι αὐτῶν ἕτερον· ὅταν γὰρ ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν πρότερον τὸ δ' ὕστερον, τότε καὶ τοῦτό φαμεν εἶναι χρόνον. τὸ γὰρ ὁριζόμενον τῷ νῦν χρόνος εἶναι δοκεῖ· καὶ ὑποκείσθω. ὅταν μὲν οὖν ὡς ἓν τὸ νῦν αἰσθανώμεθα, καὶ μὴ ἤτοι ὡς πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει ἢ ὡς τὸ αὐτὸ μὲν προτέρου δὲ καὶ ὑστέρου τινός, οὐ δοκεῖ χρόνος γεγονέναι οὐθείς, ὅτι οὐδὲ κίνησις. ὅταν δὲ τὸ πρότερον καὶ ὕστερον, τότε λέγομεν χρόνον· τοῦτο γάρ ἐστιν ὁ χρόνος, ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. οὐκ ἄρα κίνησις ὁ χρόνος ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις. σημεῖον δέ· τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κρίνομεν ἀριθμῷ, κίνησιν δὲ πλείω καὶ ἐλάττω χρόνῳ· ἀριθμὸς ἄρα τις ὁ χρόνος· ἐπεὶ δ' ἀριθμός ἐστι διχῶς (καὶ γὰρ τὸ ἀριθμούμενον καὶ τὸ ἀριθμητὸν ἀριθμὸν λέγομεν, καὶ ᾧ ἀριθμοῦμεν), ὁ δὲ χρόνος ἐστὶ τὸ ἀριθμούμενον καὶ οὐχ ᾧ ἀριθμοῦμεν[b].

a. Ergo tempus sicut motus non singulo quodam sed communi sensu a nobis apprehenditur, cf. De An. II 6. 418a 8; III 1. 425a 13 *οὐδὲ τῶν κοινῶν οἷόν τ' εἶναι αἰσθητήριόν τι ἴδιον, ὧν ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα κατὰ συμβεβηκός, οἷον κινήσεως, στάσεως, σχήματος, μεγέθους, ἀριθμοῦ ἑνός· ταῦτα γὰρ πάντα κινήσει αἰσθανόμεθα.* Cf. **RP** 313d.

b. Phys. IV 14. 223a 25 *εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἀριθμεῖν ἢ ψυχὴ καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον ψυχῆς μὴ οὔσης, ἀλλ' ἢ τοῦτο ὅ ποτε ὂν ἐστιν ὁ χρόνος, οἷον εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς.*

329 Phys. V 1. 224b 35. Ἐπεὶ δὲ πᾶσα μεταβολή ἐστιν ἔκ τινος εἴς τι (δηλοῖ δὲ καὶ τοὔνομα· μετ' ἄλλο γάρ τι καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον), μεταβάλλοι ἂν τὸ μεταβάλλον τετραχῶς· ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον· λέγω δὲ ὑποκείμενον τὸ καταφάσει δηλούμενον. ὥστε ἀνάγκη ἐκ τῶν εἰρημένων τρεῖς εἶναι μεταβολάς, τήν τε ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς μὴ mutationis formae

ὑποκείμενον, καὶ τὴν ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον. ἡ γὰρ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον οὐκ ἔστι μεταβολὴ διὰ τὸ μὴ εἶναι κατ᾽ ἀντίθεσιν· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν. ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ᾽ ἀντίφασιν γένεσίς ἐστιν, — ἡ δ᾽ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον φθορά· — ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι, εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι. — οὐδὲ δὲ ἡ φθορὰ κίνησις· ἐναντίον μὲν γὰρ κινήσει ἢ κίνησις ἢ ἠρεμία, ἡ δὲ φθορὰ γενέσει ἐναντίον. ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή τις, μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι, τούτων δὲ αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ᾽ εἰσὶν αἱ κατ᾽ ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν κίνησιν εἶναι μόνην[a]. — εἰ οὖν αἱ κατηγορίαι διῄρηνται οὐσίᾳ καὶ ποιότητι καὶ τῷ ποῦ καὶ τῷ ποτὲ καὶ τῷ πρός τι καὶ τῷ ποσῷ καὶ τῷ ποιεῖν ἢ πάσχειν[b], ἀνάγκη τρεῖς εἶναι κινήσεις, τήν τε τοῦ ποιοῦ καὶ τὴν τοῦ ποσοῦ καὶ τὴν κατὰ τόπον. — 2. 225ᵇ 10. κατ᾽ οὐσίαν δ᾽ οὐκ ἔστι κίνησις διὰ τὸ μηδὲν εἶναι οὐσίᾳ τῶν ὄντων ἐναντίον[c]. οὐδὲ δὴ τῷ πρός τι· ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. οὐδὲ δὴ ποιοῦντος καὶ πάσχοντος, οὐδὲ παντὸς κινουμένου καὶ κινοῦντος, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις, οὐδ᾽ ὅλως μεταβολὴ μεταβολῆς. — 226ᵃ 23. ἐπεὶ δέ οὔτε οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποῦ κίνησιν εἶναι μόνον· ἐν ἑκάστῳ γάρ ἐστι τούτων ἐναντίωσις. ἡ μὲν οὖν κατὰ τὸ ποιὸν κίνησις ἀλλοίωσις ἔστω· τοῦτο γὰρ ἐπέζευκται κοινὸν ὄνομα. — ἡ δὲ κατὰ τὸ ποσόν, τὸ μὲν κοινὸν ἀνώνυμον, καθ᾽ ἑκάτερον δ᾽ αὔξησις καὶ φθίσις, ἡ μὲν εἰς τὸ τέλειον μέγεθος αὔξησις, ἡ δ᾽ ἐκ τούτου φθίσις. ἡ δὲ κατὰ τόπον καὶ τὸ κοινὸν καὶ τὸ ἴδιον ἀνώνυμος, ἔστω δὲ φορὰ καλουμένη τὸ κοινόν[d].

motus genera

a. Simillimus est locus Met. XI 11. 1067ᵇ 14 sq. Ortus atque interitus inter motus genera numerantur Cat. 14. 15ᵃ 13. Phys. III 1. 201ᵃ 8.

b. Omittuntur duae categoriae κεῖσθαι et ἔχειν, sicut Met. XI 12 1068ᵃ 8 etiam categoria ποτὲ neglegitur, quae ne hoc quidem loco respicitur in argumentatione subsequenti.

c. Cf. Cat. 5. 3b 24 *ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον εἶναι. τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον, οἷον τῷ τινὶ ἀνθρώπῳ ἢ τῷ τινὶ ζῴῳ; οὐδὲν γάρ ἐστιν ἐναντίον.* Cf. RP 316.

d. Cf. de Anim. I 3. 406a 12.

330 Phys. VIII 7. 260a 21. *Σκεπτέον γὰρ πότερον ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ ἢ οὔ, καὶ εἰ ἐνδέχεται, τίς αὕτη, καὶ τίς πρώτη τῶν κινήσεων· δῆλον γὰρ ὡς εἴπερ ἀναγκαῖον μὲν ἀεὶ κίνησιν εἶναι, πρώτη δ' ἥδε καὶ συνεχής, ὅτι τὸ πρῶτον κινοῦν κινεῖ ταύτην τὴν κίνησιν, ἣν ἀναγκαῖον μίαν καὶ τὴν αὐτὴν εἶναι καὶ συνεχῆ καὶ πρώτην. τριῶν δ' οὐσῶν κινήσεων, τῆς τε κατὰ μέγεθος καὶ τῆς κατὰ πάθος*[a] *καὶ τῆς κατὰ τόπον, ἣν καλοῦμεν φοράν, ταύτην ἀναγκαῖον εἶναι πρώτην. ἀδύνατον γὰρ αὔξησιν εἶναι ἀλλοιώσεως μὴ προϋπαρχούσης· τὸ γὰρ αὐξανόμενον ἔστι μὲν ὡς ὁμοίῳ αὐξάνεται, ἔστι δ' ὡς ἀνομοίῳ· τροφὴ γὰρ λέγεται τῷ ἐναντίῳ τὸ ἐναντίον. προσγίγνεται δὲ πᾶν γιγνόμενον ὅμοιον ὁμοίῳ. ἀνάγκη οὖν ἀλλοίωσιν εἶναι τὴν εἰς τἀναντία μεταβολήν. ἀλλὰ μὴν εἴγε ἀλλοιοῦται, δεῖ τι εἶναι τὸ ἀλλοιοῦν καὶ ποιοῦν ἐκ τοῦ δυνάμει θερμοῦ τὸ ἐνεργείᾳ θερμόν. δῆλον οὖν ὅτι τὸ κινοῦν οὐχ ὁμοίως ἔχει, ἀλλ' ὁτὲ μὲν ἐγγύτερον ὁτὲ δὲ πορρώτερον τοῦ ἀλλοιουμένου ἐστίν. ταῦτα δ' ἄνευ φορᾶς οὐκ ἐνδέχεται ὑπάρχειν. εἰ ἄρα ἀνάγκη ἀεὶ κίνησιν εἶναι, ἀνάγκη καὶ φορὰν ἀεὶ εἶναι πρώτην τῶν κινήσεων, καὶ φορᾶς, εἰ ἔστιν ἡ μὲν πρώτη ἡ δ' ὑστέρα, τὴν πρώτην*[b]. motus princeps

Ib. c. 9. 265a 13. *Ὅτι δὲ τῶν φορῶν ἡ κυκλοφορία πρώτη, δῆλον. πᾶσα γὰρ φορά, ὥσπερ καὶ πρότερον εἴπομεν*[c], *ἢ κύκλῳ ἢ ἐπ' εὐθείας ἢ μικτή. ταύτης δ' ἀνάγκη προτέρας εἶναι ἐκείνας· ἐξ ἐκείνων γὰρ συνέστηκεν. τῆς δ' εὐθείας ἡ κύκλῳ· ἁπλῆ γὰρ καὶ τέλειος μᾶλλον· ἄπειρον μὲν γὰρ οὐκ ἔστιν εὐθεῖαν φέρεσθαι· τὸ γὰρ οὕτως ἄπειρον οὐκ ἔστιν*[d]. *ἀλλ' οὐδ' εἰ ἦν, ἐκινεῖτ' ἂν οὐδέν· οὐ γὰρ γίγνεται τὸ ἀδύνατον. διελθεῖν δὲ τὴν ἄπειρον ἀδύνατον. ἡ δ' ἐπὶ τῆς πεπερασμένης εὐθείας ἀνακάμπτουσα μὲν συνθετὴ καὶ δύο κινήσεις, μὴ ἀνακάμπτουσα δὲ ἀτελὴς καὶ φθαρτή. πρότερον δὲ καὶ φύσει καὶ λόγῳ καὶ χρόνῳ τὸ τέλειον μὲν τοῦ ἀτελοῦς, τοῦ φθαρτοῦ δὲ τὸ ἄφθαρτον. ἔτι* est circularis

προτέρα ἣν ἐνδέχεται ἀίδιον εἶναι τῆς μὴ ἐνδεχομένης· τὴν μὲν οὖν κύκλῳ ἐνδέχεται ἀίδιον εἶναι, τῶν δ' ἄλλων οὔτε φορὰν οὔτ' ἄλλην οὐδεμίαν· στάσιν γὰρ δεῖ γίγνεσθαι, εἰ δὲ στάσις, ἔφθαρται ἡ κίνησις[e].

a. *Ἡ κατὰ πάθος κίνησις* est *ἀλλοίωσις*. Cf. Phys. V 2 226ª 27.

b. Etiam ortum et interitum motu locali posteriores esse demonstratur infra 260ᵇ 30 *ἀλλ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν ἐχόντων γένεσιν τὴν φορὰν ἀναγκαῖον ὑστάτην εἶναι τῶν κινήσεων· μετὰ γὰρ τὸ γενέσθαι πρῶτον ἀλλοίωσις καὶ αὔξησις, φορὰ δ' ἤδη τετελειωμένων κίνησίς ἐστιν. — ὅλως δὲ φαίνεται τὸ γιγνόμενον ἀτελὲς καὶ ἐπ' ἀρχὴν ἰόν. ὥστε τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον εἶναι.*

c. Phys. VIII 8. 261ᵇ 27 sq.

d. Spatii infinitas esse nequit propterea, quod spatio continentur fines corporum, corpus autem infinitum esse non potest, Met. XI 10. 1066ᵇ 23; de Caelo I 5. 271ᵇ 2.

e. Ar. in planis circulum, in solidis globum simplicissimam formam et perfectissimam esse arbitrabatur, cf. de Caelo II 4. 286ᵇ 10.

res corporea simplicissima

De Caelo I 2. 268ᵇ 20. *Κύκλῳ μὲν οὖν ἐστιν ἡ περὶ τὸ μέσον (κίνησις), εὐθεῖα δ' ἡ ἄνω καὶ κάτω. λέγω δ' ἄνω μὲν τὴν ἀπὸ τοῦ μέσου, κάτω δὲ τὴν ἐπὶ τὸ μέσον. ὥστ' ἀνάγκη πᾶσαν εἶναι τὴν ἁπλῆν φορὰν τὴν μὲν ἀπὸ τοῦ μέσου, τὴν δ' ἐπὶ τὸ μέσον, τὴν δὲ περὶ τὸ μέσον. — ἐπεὶ δὲ τῶν σωμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα ἐκ τούτων (λέγω δ' ἁπλᾶ ὅσα κινήσεως ἀρχὴν ἔχει κατὰ φύσιν, οἷον πῦρ καὶ γῆν καὶ τὰ τούτων εἴδη καὶ τὰ συγγενῆ*[a] *τούτοις), ἀνάγκη καὶ τὰς κινήσεις εἶναι τὰς μὲν ἁπλᾶς, τὰς δὲ μικτάς πως, καὶ τῶν μὲν ἁπλῶν ἁπλᾶς, μικτὰς δὲ τῶν συνθέτων, κινεῖσθαι δὲ κατὰ τὸ ἐπικρατοῦν. εἴπερ οὖν ἐστιν ἁπλῆ κίνησις, ἁπλῆ δ' ἡ κύκλῳ κίνησις, καὶ τοῦ τε ἁπλοῦ σώματος ἁπλῆ ἡ κίνησις καὶ ἡ ἁπλῆ κίνησις ἁπλοῦ σώματος (καὶ γὰρ ἂν συνθέτου ᾖ, κατὰ τὸ ἐπικρατοῦν ἔσται), ἀναγκαῖον εἶναί τι σῶμα ἁπλοῦν ὃ πέφυκε φέρεσθαι τὴν κύκλῳ κίνησιν κατὰ τὴν ἑαυτοῦ φύσιν· βίᾳ μὲν γὰρ ἐνδέχεται τὴν ἄλλου καὶ ἑτέρου, κατὰ φύσιν δὲ ἀδύνατον, εἴπερ μία ἑκάστου κίνησις ἡ κατὰ φύσιν τῶν ἁπλῶν. — ἀλλὰ μὴν καὶ πρώτην γε ἀναγκαῖον εἶναι τὴν τοιαύτην φοράν. τὸ γὰρ* 331 A

τέλειον πρότερον τῇ φύσει τοῦ ἀτελοῦς, ὁ δὲ κύκλος τῶν τελείων. — ἔκ τε δὴ τούτων φανερὸν ὅτι πέφυκέ τις οὐσία σώματος ἄλλη παρὰ τὰς ἐνταῦθα[b] συστάσεις, θειοτέρα καὶ προτέρα τούτων ἁπάντων.

331 B Ib. 3. 270[a] 12. Ὁμοίως δ' εὔλογον ὑπολαβεῖν περὶ αὐτοῦ (τοῦ κύκλῳ φερομένου σώματος) καὶ ὅτι ἀγένητον καὶ ἄφθαρτον καὶ ἀναυξὲς καὶ ἀναλλοίωτον, διὰ τὸ γίγνεσθαι μὲν ἅπαν τὸ γιγνόμενον ἐξ ἐναντίου τε καὶ ὑποκειμένου τινός, καὶ φθείρεσθαι ὡσαύτως ὑποκειμένου τέ τινος καὶ ὑπ' ἐναντίου καὶ εἰς ἐναντίον, καθάπερ ἐν τοῖς πρώτοις εἴρηται λόγοις[c]· τῶν δ' ἐναντίων καὶ αἱ φοραὶ ἐναντίαι. εἰ δὴ τούτῳ μηδὲν ἐναντίον ἐνδέχεται εἶναι διὰ τὸ καὶ τῇ φορᾷ τῇ κύκλῳ μὴ εἶναι ἄν τιν' ἐναντίαν κίνησιν[d], ὀρθῶς ἔοικεν ἡ φύσις τὸ μέλλον ἔσεσθαι ἀγένητον καὶ ἄφθαρτον ἐξελέσθαι ἐκ τῶν ἐναντίων· ἐν τοῖς ἐναντίοις γὰρ ἡ γένεσις καὶ ἡ φθορά. ἀλλὰ μὴν καὶ τὸ αὐξανόμενον ἅπαν αὐξάνεται καὶ τὸ φθῖνον φθίνει ὑπὸ συγγενοῦς προσιόντος καὶ ἀναλυομένου εἰς τὴν ὕλην· τούτῳ δ' οὐκ ἔστιν ἐξ οὗ γέγονεν. εἰ δ' ἐστὶ καὶ ἀναύξητον καὶ ἄφθαρτον, τῆς αὐτῆς διανοίας ἐστὶν ὑπολαβεῖν καὶ ἀναλλοίωτον εἶναι. ἔστι μὲν γὰρ ἡ ἀλλοίωσις κίνησις κατὰ τὸ ποιόν, τοῦ δὲ ποιοῦ αἱ μὲν ἕξεις καὶ διαθέσεις οὐκ ἄνευ τῶν κατὰ πάθη γίγνονται μεταβολῶν, οἷον ὑγίεια καὶ νόσος. κατὰ δὲ πάθος ὅσα μεταβάλλει τῶν φυσικῶν σωμάτων, ἔχονθ' ὁρῶμεν πάντα καὶ αὔξησιν καὶ φθίσιν, οἷον τά τε τῶν ζῴων σώματα καὶ τὰ μόρια αὐτῶν καὶ τὰ τῶν φυτῶν, ὁμοίως δὲ καὶ τὰ τῶν στοιχείων· ὥστ' εἴπερ τὸ κύκλῳ σῶμα μήτ' αὔξησιν ἔχειν ἐνδέχεται μήτε φθίσιν, εὔλογον καὶ ἀναλλοίωτον εἶναι. — συμβαίνει δὲ τοῦτο καὶ διὰ τῆς αἰσθήσεως ἱκανῶς, ὥς γε πρὸς ἀνθρωπίνην εἰπεῖν πίστιν· ἐν ἅπαντι γὰρ τῷ παρεληλυθότι χρόνῳ κατὰ τὴν παραδεδομένην ἀλλήλοις μνήμην οὐθὲν φαίνεται μεταβεβληκὸς οὔτε καθ' ὅλον τὸν ἔσχατον οὐρανὸν οὔτε κατὰ μόριον αὐτοῦ τῶν οἰκείων οὐθέν. ἔοικε δὲ καὶ τοὔνομα παρὰ τῶν ἀρχαίων διαδεδόσθαι μέχρι καὶ τοῦ νῦν χρόνου, τοῦτον τὸν τρόπον ὑπολαμβανόντων ὅνπερ καὶ ἡμεῖς λέγομεν· οὐ γὰρ ἅπαξ οὐδὲ δὶς ἀλλ' ἀπειράκις δεῖ νομίζειν τὰς αὐτὰς ἀφικνεῖσθαι δόξας εἰς ἡμᾶς[e]. διόπερ ὡς ἑτέρου τινὸς ὄντος

aeterna et constans

nominatur aether

τοῦ πρώτου σώματος παρὰ γῆν καὶ πῦρ καὶ ἀέρα καὶ ὕδωρ, αἰθέρα προσωνόμασαν τὸν ἀνωτάτω τόπον, ἀπὸ τοῦ θεῖν ἀεὶ τὸν ἀίδιον χρόνον θέμενοι τὴν ἐπωνυμίαν αὐτῷ[f].

a. *Τὰ συγγενῆ τούτοις* sunt reliqua elementa.

b. Hic in terra.

c. Cf. RP 330.

d. De Caelo I 4 rectum motum circulari non oppositum esse demonstratur.

e. Eadem sententia legitur Met. XII 8. 1074[b] 8; Meteorol. I 3. 339[b] 25.

f. Aristotelis aether ab inferioribus appellabatur *τὸ πέμπτον γένος τῶν στοιχείων*, cf. Cic. Acad. I 26 *quintum genus, e quo essent astra mentesque*, v. Krische, *Forsch.* 306 sq.

constitutio mundi

De Caelo II 3. 286[a] 9. *Θεοῦ δ' ἐνέργεια ἀθανασία· τοῦτο δ' ἐστὶ ζωὴ ἀίδιος[a]. ὥστ' ἀνάγκη τῷ θείῳ κίνησιν ἀίδιον ὑπάρχειν. ἐπεὶ δ' ὁ οὐρανὸς τοιοῦτος (σῶμα γάρ τι θεῖον), διὰ τοῦτο ἔχει τὸ ἐγκύκλιον σῶμα, ὃ φύσει κινεῖται κύκλῳ ἀεί. διὰ τί οὖν οὐχ ὅλον τὸ σῶμα τοῦ οὐρανοῦ τοιοῦτον; ὅτι ἀνάγκη μένειν τι τοῦ σώματος τοῦ φερομένου κύκλῳ τὸ ἐπὶ τοῦ μέσου, τούτου δ' οὐθὲν οἷόν τε μένειν μόριον, οὔθ' ὅλως οὔτ' ἐπὶ τοῦ μέσου[b]. καὶ γὰρ ἂν ἡ κατὰ φύσιν κίνησις ἦν αὐτοῦ ἐπὶ τὸ μέσον· φύσει δὲ κύκλῳ κινεῖται· οὐ γὰρ ἂν ἦν ἀίδιος ἡ κίνησις· οὐθὲν γὰρ παρὰ φύσιν ἀίδιον. ὕστερον δὲ τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν, καὶ ἔκστασίς τίς ἐστιν ἐν τῇ γενέσει τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν. ἀνάγκη τοίνυν γῆν εἶναι· τοῦτο γὰρ ἠρεμεῖ ἐπὶ τοῦ μέσου. νῦν μὲν οὖν ὑποκείσθω τοῦτο, ὕστερον δὲ λεχθήσεται περὶ αὐτοῦ[c]. ἀλλὰ μὴν εἰ γῆν, ἀνάγκη καὶ πῦρ εἶναι· τῶν γὰρ ἐναντίων εἰ θάτερον φύσει, ἀνάγκη καὶ θάτερον εἶναι φύσει. — ἀλλὰ μὴν εἴπερ ἔστι πῦρ καὶ γῆ, ἀνάγκη καὶ τὰ μεταξὺ αὐτῶν εἶναι σώματα· ἐναντίωσιν γὰρ ἔχει ἕκαστον τῶν στοιχείων πρὸς ἕκαστον. ὑποκείσθω δὲ καὶ τοῦτο νῦν, ὕστερον δὲ πειρατέον δεῖξαι[d]. τούτων δ' ὑπαρχόντων φανερὸν ὅτι ἀνάγκη γένεσιν εἶναι διὰ τὸ μηδὲν οἷόν τ' αὐτῶν εἶναι ἀίδιον· πάσχει γὰρ καὶ ποιεῖ τἀναντία ὑπ' ἀλλήλων, καὶ φθαρτικὰ ἀλλήλων ἐστίν. ἔτι δ' οὐκ εὔλογον εἶναί τι*

κινητὸν ἀίδιον, οὗ μὴ ἐνδέχεται εἶναι κατὰ φύσιν τὴν κίνησιν ἀίδιον· τούτων δ' ἐστὶ [1] κίνησις. ὅτι μὲν τοίνυν ἀναγκαῖον εἶναι γένεσιν, ἐκ τούτων δῆλον. εἰ δὲ γένεσιν, ἀναγκαῖον καὶ ἄλλην εἶναι φοράν[e], ἢ μίαν ἢ πλείους· κατὰ γὰρ τὴν τοῦ ὅλου ὡσαύτως ἀναγκαῖον ἔχειν τὰ στοιχεῖα τῶν σωμάτων πρὸς ἄλληλα. λεχθήσεται δὲ καὶ περὶ τούτου ἐν τοῖς ἑπομένοις σαφέστερον. νῦν δὲ τοσοῦτόν ἐστι δῆλον, διὰ τίνα αἰτίαν πλείω τὰ ἐγκύκλιά ἐστι σώματα, ὅτι ἀνάγκη γένεσιν εἶναι, γένεσιν δ', εἴπερ καὶ πῦρ, τοῦτο δὲ καὶ τἆλλα, εἴπερ καὶ γῆν· ταύτην δ' ὅτι ἀνάγκη μένειν τι ἀεί, εἴπερ κινεῖσθαί τι ἀεί.

a. V. RP 324.

b. Cf. Nicolaus apud. Simplicium De Caelo (Schol. Arist. 493a 25 Br.) διὰ τί οὖν οὐχ ὅλος ὁ κόσμος τοιοῦτος; ὅτι ἀνάγκη μένειν τι περὶ τὸ μέσον τοῦ κύκλῳ φερομένου, τὸ δὲ πέμπτον σῶμα οὔτε μένειν ἐδύνατο οὔτε ἐν τῷ μέσῳ εἶναι.

c. De Caelo II 14. 296a 24 sq.

d. Quattuor elementa esse duobus argumentis demonstratur. Nam primum quae contraria tactu, qui sensus ceteris omnibus subest, deprehenduntur, frigidum calidum, aridum udum, ea diverse composita singulis elementis ita continentur ut ignis sit calidus et aridus, aer calidus et udus, aqua frigida et uda, terra frigida et arida. De Gen. et Corr. II 2. 3. Deinde, sicut motus circularis aetheris proprius est, ita elementorum directus, qui naturaliter aut sursum tendit aut deorsum. Elementum grave quod deorsum fertur est terra, elementum leve quod sursum nititur ignis. Praeterea necesse est medium esse, quod et sursum et deorsum feratur; id duobus reliquis elementis continetur, aere et aqua. De Caelo IV 4. 5. — Haec elementa in se invicem transmutantur, quia et agentes sunt et patientes, De Caelo III 6. Quid sit elementum aperit ib. 3. 302a 15 ἔστω δὴ στοιχεῖον τῶν σωμάτων, εἰς ὃ τἆλλα σώματα διαιρεῖται, ἐνυπάρχον δυνάμει ἢ ἐνεργείᾳ· τοῦτο γὰρ ποτέρως ἔτι ἀμφισβητήσιμον· αὐτὸ δ' ἐστὶν ἀδιαίρετον εἰς ἕτερα τῷ εἴδει· τοιοῦτον γάρ τι τὸ στοιχεῖον ἅπαντες καὶ ἐν ἅπασι βούλονται λέγειν. — Omnibus elementis commune est ut sint materia, quae non exsistit nisi potentia et oppositis qualitatibus, De Gen. et Corr. II 1. 329a 24. elementa

e. Ad ἄλλην φορὰν ex sequentibus supplendum ἢ τὴν τοῦ ὅλου. — Statuit enim Aristoteles inferiorem mundi sphaeram pendere a superiore et quo remotior sit a primo motore eo minus perfectam esse: itaque qui reperian-

1) ἐστὶ libri, Simplic.: εἶς τι ἡ Prantl.

tur in terra motus ad multo minus certam regulam constitutos esse quam stellarum, v. De Caelo II 12. 292ᵇ 23; Meteorol. I 2. 339ᵃ 19; De Gen. Anim. IV 10. 777ᵇ 29.

In astronomia, quam philosophiae omnium disciplinarum maxime cognatam esse dicit, Ar. Eudoxi Cnidii et Callippi Cyziceni placitis ita utitur, ut ipse ad ea emendanda et supplenda non nihil adiecerit, cf. Met. XII 8 cum comm. Bonitzii et Krische, *Forsch.* 283 sq.

variae rerum coniunctionis ratio

De Part. An. II 1. 646ᵃ 12. *Τριῶν δ' οὐσῶν τῶν συν-* 333
θέσεων πρώτην μὲν ἄν τις θείη τὴν ἐκ τῶν καλουμένων ὑπό τινων στοιχείων, οἷον γῆς ἀέρος ὕδατος πυρός. — δευτέρα δὲ σύστασις ἐκ τῶν πρώτων ἡ τῶν ὁμοιομερῶν φύσις ἐν τοῖς ζῴοις ἐστίν, οἷον ὀστοῦ καὶ σαρκὸς καὶ τῶν ἄλλων τῶν τοιούτων. τρίτη δὲ καὶ τελευταία κατ' ἀριθμὸν ἡ τῶν ἀνομοιομερῶν, οἷον προσώπου καὶ χειρὸς καὶ τῶν τοιούτων μορίων[a]. — *τῷ μὲν οὖν χρόνῳ προτέραν τὴν ὕλην ἀναγκαῖον εἶναι καὶ τὴν γένεσιν, τῷ λόγῳ δὲ τὴν οὐσίαν καὶ τὴν ἑκάστου μορφήν. — ὥστε τὴν μὲν τῶν στοιχείων ὕλην ἀναγκαῖον εἶναι τῶν ὁμοιομερῶν ἕνεκεν. ὕστερα γὰρ ἐκείνων ταῦτα τῇ γενέσει, τούτων δὲ τὰ ἀνομοιομερῆ· ταῦτα γὰρ ἤδη τὸ τέλος ἔχει καὶ τὸ πέρας, ἐπὶ τοῦ τρίτου λαβόντα τὴν σύστασιν ἀριθμοῦ, καθάπερ ἐπὶ πολλῶν συμβαίνει τελειοῦσθαι τὰς γενέσεις. ἐξ ἀμφοτέρων μὲν οὖν τὰ ζῷα συνέστηκε τῶν μορίων τούτων, ἀλλὰ τὰ ὁμοιομερῆ τῶν ἀνομοιομερῶν ἕνεκέν ἐστιν· ἐκείνων γὰρ ἔργα καὶ πράξεις εἰσίν, οἷον ὀφθαλμοῦ καὶ μυκτῆρος καὶ τοῦ προσώπου παντὸς καὶ δακτύλου καὶ χειρὸς καὶ παντὸς τοῦ βραχίονος. πολυμόρφων δὲ τῶν πράξεων καὶ τῶν κινήσεων ὑπαρχουσῶν τοῖς ζῴοις ὅλοις τε καὶ τοῖς μορίοις τοῖς τοιούτοις, ἀναγκαῖον ἐξ ὧν σύγκειται, τὰς δυνάμεις ἀνομοίας ἔχειν· πρὸς μὲν γάρ τινα μαλακότης χρήσιμος, πρὸς δέ τινα σκληρότης, καὶ τὰ μὲν τάσιν ἔχειν δεῖ, τὰ δὲ κάμψιν*[b].

a. Cf. **RP** 119a.

b. Demonstrare conatur necessariam esse quattuor elementorum in animalium corporibus coniunctionem; terram et aquam inesse, ut efficiatur durum ac molle, duo reliqua, ut efficiantur quae illis opposita sunt: Meteorol. IV 4; De Gen. et Corr. II 7. Insuper quintum nescio quid in animalibus inesse existimat, quod cernatur in calore animante, De Gen. Anim. II 3. 736ᵇ 33 *πάντων μὲν γὰρ ἐν τῷ σπέρματι ἐνυπάρχει, ὅπερ ποιεῖ γόνιμα*

εἶναι τὰ σπέρματα, τὸ καλούμενον θερμόν. τοῦτο δ' οὐ πῦρ οὐδὲ τοιαύτη δύναμίς ἐστιν, ἀλλὰ τὸ ἐμπεριλαμβανόμενον ἐν τῷ σπέρματι καὶ ἐν τῷ ἀφρώδει πνεῦμα καὶ ἡ ἐν τῷ πνεύματι φύσις ἀνάλογον οὖσα τῷ τῶν ἄστρων στοιχείῳ, cf. **RP** 331 f. Cuius caloris ut quodque animalium genus aut maiorem aut minorem partem nactum est, ita aut perfectius est aut minus perfectum: De Gen. An. II 1. 733ª 32. — Ceterum natura in creationibus suis continua serie ab rebus inanimatis gradatim ad animantia et superiora animalium genera enititur: Part. An. IV 5. 681ª 12 *ἡ γὰρ φύσις μεταβαίνει συνεχῶς ἀπὸ τῶν ἀψύχων εἰς τὰ ζῷα διὰ τῶν ζώντων μὲν οὐκ ὄντων δὲ ζῴων, οὕτως ὥστε δοκεῖν πάμπαν μικρὸν διαφέρειν θατέρου θάτερον τῷ σύνεγγυς ἀλλήλοις.*

334 A De Part. An. II 10. 655ᵇ 29. *Πᾶσι γὰρ τοῖς ζῴοις καὶ τελείοις*[a] *δύο τὰ ἀναγκαιότατα μόριά ἐστιν, ᾗ τε δέχονται τὴν τροφὴν καὶ ᾗ τὸ περίττωμα ἀφήσουσιν· οὔτε γὰρ εἶναι οὔτε αὐξάνεσθαι ἐνδέχεται ἄνευ τροφῆς. — τρίτον δὲ μέρος ἐν πᾶσίν ἐστι τὸ τούτων μέσον, ἐν ᾧ ἡ ἀρχή ἐστιν ἡ τῆς ζωῆς.* animalium partes

334 B Ib. III 4. 665ᵇ 9. *Καρδία μὲν οὖν ἅπασιν ὑπάρχει τοῖς ἐναίμοις· — αἷμα μὲν γὰρ ἔχειν τοῖς ἐναίμοις δῆλον ὡς ἀναγκαῖον· ὑγροῦ δ' ὄντος τοῦ αἵματος ἀναγκαῖον ἀγγεῖον ὑπάρχειν, ἐφ' ὃ δὴ καὶ φαίνεται μεμηχανῆσθαι τὰς φλέβας ἡ φύσις. ἀρχὴν δὲ τούτων ἀναγκαῖον εἶναι μίαν· ὅπου γὰρ ἐνδέχεται, μίαν βέλτιον ἢ πολλάς. ἡ δὲ καρδία τῶν φλεβῶν ἀρχή· φαίνονται γὰρ ἐκ ταύτης οὖσαι καὶ οὐ διὰ ταύτης, καὶ ἡ φύσις αὐτῆς φλεβώδης ὡς ὁμογενοῦς οὔσης*[b]*. ἔχει δὲ καὶ ἡ θέσις αὐτῆς ἀρχικὴν χώραν· περὶ μέσον γάρ, μᾶλλον δ' ἐν τῷ ἄνω ἢ κάτω καὶ ἔμπροσθεν ἢ ὄπισθεν· ἐν τοῖς γὰρ τιμιωτέροις τὸ τιμιώτερον καθίδρυκεν ἡ φύσις, οὗ μή τι κωλύει μεῖζον. ἐμφανέστατον δὲ τὸ λεχθέν ἐστιν ἐπὶ τῶν ἀνθρώπων, βούλεται δὲ καὶ ἐν τοῖς ἄλλοις ὁμολόγως ἐν μέσῳ κεῖσθαι τοῦ ἀναγκαίου σώματος. τούτου δὲ πέρας ᾗ τὰ περιττώματα ἀποκρίνεται· τὰ δὲ κῶλα πέφυκεν ἄλλοις ἄλλως, καὶ οὐκ ἔστι τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, διὸ καὶ ἀφαιρουμένων ζῶσιν.* cor

334 C Ib. IV 10. 686ª 25. *Ὁ μὲν οὖν ἄνθρωπος ἀντὶ σκελῶν καὶ ποδῶν τῶν προσθίων βραχίονας καὶ τὰς καλουμένας ἔχει χεῖρας. ὀρθὸν μὲν γάρ ἐστι μόνον τῶν ζῴων διὰ τὸ* corpus humanum

τὴν φύσιν αὐτοῦ καὶ τὴν οὐσίαν εἶναι θείαν· ἔργον δὲ τοῦ θειοτάτου τὸ νοεῖν καὶ φρονεῖν· τοῦτο δ' οὐ ῥᾴδιον πολλοῦ τοῦ ἄνωθεν ἐπικειμένου σώματος· τὸ γὰρ βάρος δυσκίνητον ποιεῖ τὴν διάνοιαν καὶ τὴν κοινὴν αἴσθησιν. διὸ πλείονος γιγνομένου τοῦ βάρους καὶ τοῦ σωματώδους ἀνάγκη ῥέπειν τὰ σώματα πρὸς τὴν γῆν, ὥστε πρὸς τὴν ἀσφάλειαν ἀντὶ βραχιόνων καὶ χειρῶν τοὺς προσθίους πόδας ὑπέθηκεν ἡ manus φύσις τοῖς τετράποσιν. — 687ᵃ 7 Ἀναξαγόρας μὲν οὖν φησι διὰ τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι τῶν ζῴων ἄνθρωπον· εὔλογον δὲ διὰ τὸ φρονιμώτατον εἶναι χεῖρας λαμβάνειν. αἱ μὲν γὰρ χεῖρες ὄργανόν εἰσιν, ἡ δὲ φύσις ἀεὶ διανέμει καθάπερ ἄνθρωπος φρόνιμος ἕκαστον τῷ δυναμένῳ χρῆσθαι. προσήκει γὰρ τῷ ὄντι αὐλητῇ δοῦναι μᾶλλον αὐλοὺς ἢ τῷ αὐλοὺς ἔχοντι προσθεῖναι αὐλητικήν· τῷ γὰρ μείζονι καὶ κυριωτέρῳ προσέθηκε τοὔλαττον, ἀλλ' οὐ τῷ ἐλάττονι τὸ τιμιώτερον καὶ μεῖζον. — τῷ οὖν πλείστας δυναμένῳ δέξασθαι τέχνας τὸ ἐπὶ πλεῖστον τῶν ὀργάνων χρήσιμον τὴν χεῖρα ἀποδέδωκεν ἡ φύσις. ἀλλ' οἱ λέγοντες ὡς συνέστηκεν οὐ καλῶς ὁ ἄνθρωπος ἀλλὰ χείριστα τῶν ζῴων (ἀνυπόδητόν τε γὰρ αὐτὸν εἶναί φασι καὶ γυμνὸν καὶ οὐκ ἔχοντα ὅπλον πρὸς τὴν ἀλκήν) οὐκ ὀρθῶς λέγουσι. τὰ μὲν γὰρ ἄλλα μίαν ἔχει βοήθειαν καὶ μεταβάλλεσθαι ἀντὶ ταύτης ἑτέραν οὐκ ἔστιν, ἀλλ' ἀναγκαῖον ὥσπερ ὑποδεδεμένον ἀεὶ καθεύδειν καὶ πάντα πράττειν, καὶ τὴν περὶ τὸ σῶμα ἀλεώραν μηδέποτε καταθέσθαι μηδὲ μεταβάλλεσθαι ὃ δὴ ἐτύγχανεν ὅπλον ἔχων. τῷ δὲ ἀνθρώπῳ τάς τε βοηθείας πολλὰς ἔχειν καὶ ταύτας ἀεὶ ἔξεστι μεταβάλλειν, ἔτι δ' ὅπλον οἷον ἂν βούληται καὶ ὅπου ἂν βούληται ἔχειν. ἡ γὰρ χεὶρ καὶ ὄνυξ καὶ χηλὴ καὶ κέρας γίγνεται καὶ δόρυ καὶ ξίφος καὶ ἄλλο ὁποιονοῦν ὅπλον καὶ ὄργανον· πάντα γὰρ ἔσται ταῦτα διὰ τὸ πάντα δύνασθαι λαμβάνειν καὶ ἔχειν[c].

a. De An. III 9. 432ᵇ 23 τὰ δὲ τοιαῦτα τῶν ζῴων τέλεια καὶ οὐ πηρώματά ἐστιν· σημεῖον δ' ὅτι ἔστι γεννητικὰ καὶ ἀκμὴν ἔχει καὶ φθίσιν. — Cetera animalia Aristoteli ex eorum generum comparatione iudicanda videntur, quae habeant sanguinem, cf. De Part. An. II 10. De Gen. An. II 4. 738ᵇ 16 ἀρχὴ γὰρ τῆς φύσεως ἡ καρδία καὶ τὸ ἀνάλογον. — 740ᵃ 21 τροφὴ δὲ ζῴου ἡ ἐσχάτη αἷμα καὶ τὸ ἀνάλογον.

b. Cor non solum ἡ ἀρχὴ τοῦ θρεπτικοῦ est, quod etiam arboribus

tribuendum, sed etiam τοῦ αἰσθητικοῦ, quod animalium proprium est: De Part. An. II 7. 652a 24 sq. De Gen. An. II 6 743b 25 διὰ μὲν οὖν τὸ τὴν ἀρχὴν ἐν τῇ καρδίᾳ τῶν αἰσθήσεων εἶναι καὶ τοῦ ζῴου πάντος αὕτη γίγνεται πρῶτον· διὰ δὲ τὴν θερμότητα τὴν ταύτης, ᾗ τελευτῶσιν αἱ φλέβες ἄνω, τὸ ψυχρὸν συνίστησιν ἀντίστροφον τῇ θερμότητι τῇ περὶ τὴν καρδίαν τὸν ἐγκέφαλον. διόπερ τὰ περὶ τὴν κεφαλὴν λαμβάνει συνεχῆ τὴν γένεσιν μετὰ τὴν καρδίαν. — 744a 26 αἴτιον δὲ τοῦ μάλιστ' ἐπὶ τῶν ἀνθρώπων τοῦτο συμβαίνειν, ὅτι τὸν ἐγκέφαλον ὑγρότατον ἔχουσι καὶ πλεῖστον τῶν ζῴων. τούτου δ' αἴτιον ὅτι καὶ τὴν ἐν τῇ καρδίᾳ θερμότητα καθαρωτάτην. δηλοῖ δὲ τὴν εὐκρασίαν ἡ διάνοια· φρονιμώτατον γάρ ἐστι τῶν ζῴων ἄνθρωπος. cerebrum

c. De Part. An. II 10 656a 3 τὰ δὲ πρὸς τῷ ζῆν αἴσθησιν ἔχοντα (ζῷα) πολυμορφοτέραν ἔχει τὴν ἰδέαν, καὶ τούτων ἕτερα πρὸ ἑτέρων μᾶλλον καὶ πολυχουστέραν, ὅσων μὴ μόνον τοῦ ζῆν, ἀλλὰ καὶ τοῦ εὖ ζῆν ἡ φύσις μετείληφεν. τοιοῦτο δ' ἐστὶ τὸ τῶν ἀνθρώπων γένος· ἢ γὰρ μόνον μετέχει τοῦ θείου τῶν ἡμῖν γνωρίμων ζῴων ἢ μάλιστα πάντων.

335 A De Part. An. I 5. 645b 14. Ἐπεὶ δὲ τὸ μὲν ὄργανον πᾶν ἕνεκά του, τῶν δὲ τοῦ σώματος μορίων ἕκαστον ἕνεκά του, τὸ δ' οὗ ἕνεκα πρᾶξίς τις, φανερὸν ὅτι καὶ τὸ σύνολον σῶμα συνέστηκε πράξεώς τινος ἕνεκα πλήρους. οὐ γὰρ ἡ πρίσις τοῦ πρίονος χάριν γέγονεν, ἀλλ' ὁ πρίων τῆς πρίσεως· χρῆσις γάρ τις ἡ πρίσις ἐστίν. ὥστε καὶ τὸ σῶμά πως τῆς ψυχῆς ἕνεκεν, καὶ τὰ μόρια τῶν ἔργων πρὸς ἃ πέφυκεν ἕκαστον. corporis finis anima

335 B De An. II 1. 412a 6. Λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγεται τόδε τι, καὶ τρίτον τὸ ἐκ τούτων. ἔστι δ' ἡ μὲν ὕλη δύναμις, τὸ δ' εἶδος ἐντελέχεια, καὶ τοῦτο διχῶς, τὸ μὲν ὡς ἐπιστήμη, τὸ δ' ὡς τὸ θεωρεῖν[a]. οὐσίαι δὲ μάλιστ' εἶναι δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν ἄλλων ἀρχαί[b]. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει· ζωὴν δὲ λέγομεν τὴν δι' αὑτοῦ τροφήν τε καὶ αὔξησιν καὶ φθίσιν. ὥστε πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία ἂν εἴη, οὐσία δ' οὕτως ὡς συνθέτη, ἐπεὶ δ' ἐστὶ σῶμα τοιόνδε, ζωὴν γὰρ ἔχον, οὐκ ἂν εἴη τὸ σῶμα ψυχή· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα, μᾶλλον anima quid sit

δ᾿ ὡς ὑποκείμενον καὶ ὕλη. ἀναγκαῖον ἄρα τὴν ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος· ἡ δ᾿ οὐσία ἐντελέχεια. τοιούτου ἄρα σώματος ἐντελέχεια. αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη, ἡ δ᾿ ὡς τὸ θεωρεῖν. φανερὸν οὖν ὅτι ὡς ἐπιστήμη· ἐν γὰρ τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν, ἀνάλογον δ᾿ ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ᾿ ὕπνος τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν. προτέρα δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ ἐπιστήμη. διὸ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος[b]. *τοιοῦτο δέ, ὃ ἂν ᾖ ὀργανικόν. ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον καρποῦ. αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν. εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ*[c].

a. Cf. RP 317 d; 319. *Θεωρεῖν* ab *ἐπιστήμῃ* perinde distinguitur atque *ἐνέργεια* a *δυνάμει*, cf. Phys. VIII 4. 255a 33.

b. Cf. Met. V 8. 1017b 10.

c. De An. II 2. 414a 14 *τριχῶς γὰρ λεγομένης τῆς οὐσίας, καθάπερ εἴπομεν, ὧν τὸ μὲν εἶδος, τὸ δὲ ὕλη, τὸ δὲ ἐξ ἀμφοῖν, τούτων δ᾿ ἡ μὲν ὕλη δύναμις, τὸ δὲ εἶδος ἐντελέχεια· ἐπεὶ δὲ τὸ ἐξ ἀμφοῖν ἔμψυχον, οὐ τὸ σῶμά ἐστιν ἐντελέχεια ψυχῆς, ἀλλ᾿ αὕτη σώματός τινος. καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν οἷς δοκεῖ μήτ᾿ ἄνευ σώματος εἶναι μήτε σῶμά τι ἡ ψυχή· σῶμα μὲν γὰρ οὐκ ἔστι, σώματος δέ τι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει, καὶ ἐν σώματι τοιούτῳ, καὶ οὐχ ὥσπερ οἱ πρότερον εἰς σῶμα ἐνήρμοζον αὐτὴν οὐθὲν προσδιορίζοντες ἐν τίνι καὶ ποίῳ, καίπερ οὐδὲ φαινομένου τοῦ τυχόντος δέχεσθαι τὸ τυχόν.* — Ib. 4. 415b 7 *ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή. ταῦτα δέ πολλαχῶς λέγεται. ὁμοίως δ᾿ ἡ ψυχὴ κατὰ τοὺς διωρισμένους τρόπους τρεῖς αἰτία· καὶ γὰρ ὅθεν ἡ κίνησις αὐτή, καὶ οὗ ἕνεκα, καὶ ὡς ἡ οὐσία τῶν ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία.*

animae facultates

De An. II 3. 414a 29. *Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ* 336
λεχθεῖσαι τοῖς μὲν ὑπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ μία μόνη. δυνάμεις δ᾿ εἴπομεν θρεπτικόν, ὀρεκτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, διανοητικόν. ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς τὸ θρεπτικὸν μόνον[a], *ἑτέροις δὲ τοῦτό τε καὶ τὸ αἰσθητικόν. εἰ δὲ τὸ*

αἰσθητικόν, καὶ τὸ ὀρεκτικόν· ὄρεξις μὲν γὰρ ἐπιθυμία καὶ θυμὸς καὶ βούλησις[b], τὰ δὲ ζῷα πάντ᾽ ἔχουσι μίαν γε τῶν αἰσθήσεων, τὴν ἁφήν· ᾧ δ᾽ αἴσθησις ὑπάρχει, τούτῳ ἡδονή τε καὶ λύπη καὶ τὸ ἡδύ τε καὶ λυπηρόν, οἷς δὲ ταῦτα, καὶ ἡ ἐπιθυμία· τοῦ γὰρ ἡδέος ὄρεξις αὕτη. — ἐνίοις δὲ πρὸς τούτοις ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, ἑτέροις δὲ καὶ τὸ διανοητικόν τε καὶ νοῦς, οἷον ἀνθρώποις καὶ εἴ τι τοιοῦτον ἕτερόν ἐστιν ἢ καὶ τιμιώτερον. — 415a 1 ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστιν· τοῦ δ᾽ αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικὸν ἐν τοῖς φυτοῖς. πάλιν δ᾽ ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει, ἁφὴ δ᾽ ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γὰρ τῶν ζῴων οὔτ᾽ ὄψιν οὔτ᾽ ἀκοὴν ἔχουσιν οὔτ᾽ ὀσμῆς ὅλως αἴσθησιν. καὶ τῶν αἰσθητικῶν δὲ τὰ μὲν ἔχει τὸ κατὰ τόπον κινητικόν, τὰ δ᾽ οὐκ ἔχει[c]. τελευταῖον δὲ καὶ ἐλάχιστα λογισμὸν καὶ διάνοιαν· οἷς μὲν γὰρ ὑπάρχει λογισμὸς τῶν φθαρτῶν[d], τούτοις καὶ τὰ λοιπὰ πάντα, οἷς δ᾽ ἐκείνων ἕκαστον, οὐ πᾶσι λογισμός, ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασία[e], τὰ δὲ ταύτῃ μόνῃ ζῶσιν. περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος[f].

a. Ad animam vegetantem generatio refertur: De Gen. An. II 4. 740b 34 *ἡ γὰρ αὐτή ἐστιν ὕλη ᾗ αὐξάνεται καὶ ἐξ ἧς συνίσταται τὸ πρῶτον (τὸ φύσει γιγνόμενον), ὥστε καὶ ἡ ποιοῦσα δύναμις ταὐτὸ τῷ ἐξ ἀρχῆς. μείζων δὲ αὕτη ἐστίν. εἰ οὖν αὕτη ἐστὶν ἡ θρεπτικὴ ψυχή, αὕτη ἐστὶ καὶ ἡ γεννῶσα.*

b. De An. III 9. 432b 5 *ἔν τε τῷ λογιστικῷ γὰρ ἡ βούλησις γίγνεται, καὶ ἐν τῷ ἀλόγῳ ἡ ἐπιθυμία καὶ ὁ θυμός.*

c. De An. III 12. 434b 21 *ὥστε καὶ τὴν γεῦσιν ἀνάγκη ἁφήν εἶναί* gustus
τινα διὰ τὸ τοῦ ἁπτοῦ καὶ θρεπτικοῦ αἴσθησιν εἶναι. αὗται μὲν οὖν (αἱ αἰσθήσεις) ἀναγκαῖαι τῷ ζῴῳ. — αἱ δὲ ἄλλαι τοῦ τε εὖ ἕνεκα καὶ γένει ζῴων ἤδη οὐ τῷ τυχόντι, ἀλλὰ τισίν, οἷον τῷ πορευτικῷ ἀνάγκη ὑπάρχειν· εἰ γὰρ μέλλει σῴζεσθαι, οὐ μόνον δεῖ ἁπτόμενον αἰσθάνεσθαι ἀλλὰ καὶ ἄποθεν. Ibid. II 3. 414b 3. De Sensu 1. 436b 10.

d. *Τῶν φθαρτῶν* addit, ne quis opinetur haec pertinere ad astrorum sphaeras, quae sunt *ζῷα ἀίδια*. Cf. Met. XII 7. 1073a 34; De Caelo II 12. 292a 20. 292b 1. — Z. II 2^3 494^4.

e. De An. III 3 428b 11 *ἡ δὲ φαντασία κίνησίς τε δοκεῖ εἶναι καὶ* imaginatio
οὐκ ἄνευ αἰσθήσεως γίγνεσθαι, ἀλλ᾽ αἰσθανομένοις καὶ ὧν αἴσθησίς ἐστιν. Ib. 13. 429a 1 *ἡ φαντασία ἂν εἴη κίνησις ὑπὸ τῆς αἰσθήσεως τῆς κατ᾽ ἐνέργειαν γιγνομένη.* Eodem referenda est memoria: De Memor.

1. 449ᵇ 24. Altior gradus significatur hisce: Met. I 1. 980ᵇ 25 *τὰ μὲν οὖν ἄλλα ταῖς φαντασίαις ζῇ καὶ ταῖς μνήμαις, ἐμπειρίας δὲ μετέχει μικρόν· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ τέχνῃ καὶ λογισμοῖς. γίγνε-* experientia *ται δ' ἐκ τῆς μνήμης ἐμπειρία τοῖς ἀνθρώποις· αἱ γὰρ πολλαὶ μνῆμαι τοῦ αὐτοῦ πράγματος μιᾶς ἐμπειρίας δύναμιν ἀποτελοῦσιν.*

f. De Gen. An. II 3 736ᵇ 27. De An. II 2. 413ᵇ 24 *περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ.*

intellectus De Anima III 4. 429ᵃ 10. *Περὶ δὲ τοῦ μορίου τοῦ τῆς* 337 A *ψυχῆς ᾧ γιγνώσκει τε ἡ ψυχὴ καὶ φρονεῖ, εἴτε χωριστοῦ ὄντος εἴτε καὶ μὴ χωριστοῦ κατὰ μέγεθος ἀλλὰ κατὰ λόγον, σκεπτέον τίν' ἔχει διαφορὰν καὶ πῶς ποτε γίγνεται τὸ νοεῖν. εἰ δή ἐστι τὸ νοεῖν ὥσπερ τὸ αἰσθάνεσθαι, ἢ πάσχειν τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ ἤ τι τοιοῦτον ἕτερον. ἀπαθὲς ἄρα δεῖ εἶναι*[a], *δεκτικὸν δὲ τοῦ εἴδους καὶ δυνάμει τοιοῦτον ἀλλὰ μὴ τοῦτο, καὶ ὁμοίως ἔχειν, ὥσπερ αἰσθητικὸν πρὸς τὰ αἰσθητά, οὕτω τὸν νοῦν πρὸς τὰ νοητά. ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ, τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ*[b]*· παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράττει, ὥστε μηδ' αὐτοῦ εἶναι φύσιν μηδεμίαν ἀλλ' ἢ ταύτην ὅτι δυνατόν. ὁ ἄρα καλούμενος τῆς ψυχῆς νοῦς (λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή) οὐθέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι· ποιός τις γὰρ ἂν γίγνοιτο, ψυχρὸς ἢ θερμός, ἢ κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ· νῦν δ' οὐθέν ἐστιν. καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν*[c], *πλὴν ὅτι οὔτε ὅλη ἀλλ' ἡ νοητική, οὔτε ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη.*

intellectus agens et patiens Ib. 5. 430ᵃ 10. *Ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί* 337 B *τι τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ τὸ αἴτιον καὶ ποιητικὸν τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς. καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίγνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα. καὶ οὗτος ὁ*

νοῦς χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγὴς τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ. ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης. τὸ δ᾽ αὐτό ἐστιν ἡ κατ᾽ ἐνέργειαν ἐπιστήμη τῷ πράγματι[d]· ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ οὐ χρόνῳ· ἀλλ᾽ οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δ᾽ οὐ νοεῖ[e]. χωρισθεὶς δ᾽ ἐστὶ μόνον τοῦθ᾽ ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀίδιον. οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐθὲν νοεῖ[f].

a. Ἀπαθὲς i. q. μηδέν πω πεπονθώς, cf. Bonitz, Ind. Ar. 72a 38. Z. II 2[3] 192[3].

b. Cf. RP 123; 258 d. Anaxagorae verba in suam sententiam interpretatur.

c. Respicit Platonem eiusque sectatores. Cf. 429b 30 δυνάμει πώς ἐστι τὰ νοητὰ ὁ νοῦς, ἀλλ᾽ ἐντελεχείᾳ οὐδέν, πρὶν ἂν νοῇ. δεῖ δ᾽ οὕτως ὥσπερ ἐν γραμματείῳ ᾧ μηθὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον.

d. De An. III 4. 430a 3 ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον· ἡ γὰρ ἐπιστήμη ἡ θεωρητικὴ καὶ τὸ οὕτως ἐπιστητὸν τὸ αὐτό ἐστιν, cf. Met. XII 7. 1072b 15; 9. 1074b 21, RP 324.

e. Scientia, quae potentia est, in singulis quidem hominibus (ἐν τῷ ἑνὶ) tempore prior est quam ea, quae actu est, in universum vero (ὅλως opponitur τῷ ἑνὶ) scientia non exsistit in tempore, nedum intellectus agens, qui nunquam potest non intellegere.

f. Nostra cognitio si esset recordatio (cf. Plato RP 266 c), intellectus divinus quodam modo afficeretur nostra cognitione, quod absurdum esse videtur; nam νοῦς ille ποιητικός, qui patet per universum, ab omni mortalium rerum concretione separatus est omnisque perpessionis expers. Contra intellectus patiens una cum corpore et nascitur et interit neque quidquam sine eo humana mens intellegere potest. Cf. Zeller II 2[3] 574[4]. Aliter hunc locum interpretatur Trendelenburg, de Anim. 491.

Eodem pertinet quod Ar. in foetu humano ceteras facultates a corpore ac semine, intellectum solum a divina natura repetit eumque extrinsecus in animum humanum intrare dicit: De Gen. An. II 3. 736b 22 ὅσων γάρ ἐστιν ἀρχῶν ἡ ἐνέργεια σωματική, δῆλον ὅτι ταύτας ἄνευ σώματος ἀδύνατον ὑπάρχειν, οἷον βαδίζειν ἄνευ ποδῶν, ὥστε καὶ θύραθεν εἰσιέναι ἀδύνατον. — λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον· οὐθὲν γὰρ αὐτοῦ τῇ ἐνεργείᾳ κοινωνεῖ σωματικὴ ἐνέργεια. — Aristotelis de intellectu agente et patiente doctrinam ab ipso non satis explanatam viri docti inde a Theophrasti temporibus varie interpretati sunt. Cf. Trendelenburg, Arist. de An. p. 492 sq. Zeller,

Ph. d. Gr. II 2[3], 570—578. Prantl, *Gesch. d. Log.* I 106 sq. F. Brentano, *d. Psychol. d. Ar.*, Mogunt. 1867. F. Kampe, *d. Erkenntnistheorie d. Ar.*, Lips. 1870. Brentano, *ü. d. Creatianismus d. Ar., Wien. Ak.* 1882. A. Bullinger, *Ar. Nus-Lehre, Dillingen* 1882. Zeller, *üb. d. Lehre d. Ar. v. d. Ewigk. d. Geistes, Berl. Ak.* 1882. H. Siebeck, *Gesch. d. Psychol. I, Gotha* 1884. A. Elfes, Ar. doctrina de mente humana, Bonn. 1887.

Ethica.

---

civitas quid spectet

Polit. I 1. 1252[a] 1. *Ἐπειδὴ πᾶσαν πόλιν ὁρῶμεν κοινωνίαν τινὰ οὖσαν καὶ πᾶσαν κοινωνίαν ἀγαθοῦ τινος ἕνεκα συνεστηκυῖαν (τοῦ γὰρ εἶναι δοκοῦντος ἀγαθοῦ χάριν πάντα πράττουσι πάντες), δῆλον ὡς πᾶσαι μὲν ἀγαθοῦ τινος στοχάζονται, μάλιστα δὲ καὶ τοῦ κυριωτάτου πάντων ἡ πασῶν κυριωτάτη καὶ πάσας περιέχουσα τὰς ἄλλας. αὕτη δ' ἐστὶν ἡ καλουμένη πόλις καὶ ἡ κοινωνία ἡ πολιτική*[a]. 338

necessaria est

a. Ibid. I 2. 1253[a] 18. *Καὶ πρότερον δὴ τῇ φύσει πόλις ἢ οἰκία καὶ ἕκαστος ἡμῶν ἐστιν· τὸ γὰρ ὅλον πρότερον ἀναγκαῖον εἶναι τοῦ μέρους. — εἰ γὰρ μὴ αὐτάρκης ἕκαστος χωρισθείς, ὁμοίως τοῖς ἄλλοις μέρεσιν ἕξει πρὸς τὸ ὅλον· ὁ δὲ μὴ δυνάμενος κοινωνεῖν ἢ μηθὲν δεόμενος δι' αὐτάρκειαν οὐθὲν μέρος πόλεως, ὥστε ἢ θηρίον ἢ θεός.*

De ethica Aristotelis doctrina cf.: Eth. Nicom. ed. C. Zell, Heidelb. 1820; ed. G. Ramsauer, Lips. 1878. *Ar. Ethics ill. by A. Grant*, 4. ed. Lond. 1884. — G. Teichmüller, *d. Einh. d. Ar. Eudämonie (Mélanges gréco-romains II)*, Petrop. 1859. — J. Walter, *d. Lehre v. d. prakt. Vernunft i. d. griech. Philos.*, Jena 1874. — L. Spengel, *ü. die unter d. Namen des Ar. erhalt. eth. Schriften, Münch. Ak.* III 439 sq. — H. Rassow, *Forschungen ü. d. nik. Ethik, Weim.* 1874.

summum bonum

Eth. Nic. I 1. 1094[a] 18. *Εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν ὃ δι' αὐτὸ βουλόμεθα, τἆλλα δὲ διὰ τοῦτο καὶ μὴ πάντα δι' ἕτερον αἱρούμεθα (πρόεισι γὰρ οὕτω γ' εἰς ἄπειρον, ὥστ' εἶναι κενὴν καὶ ματαίαν τὴν ὄρεξιν), δῆλον ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν καὶ τὸ ἄριστον.* 339 A

vita beata

Ib. 2. 1095[a] 14. *Λέγωμεν δ' ἀναλαβόντες, ἐπειδὴ πᾶσα* 339 B

γνῶσις καὶ προαίρεσις ἀγαθοῦ τινος ὀρέγεται, τί ἐστιν οὗ λέγομεν τὴν πολιτικὴν ἐφίεσθαι καὶ τί τὸ πάντων ἀκρότατον τῶν πρακτῶν ἀγαθῶν. ὀνόματι μὲν οὖν σχεδὸν ὑπὸ τῶν πλείστων ὁμολογεῖται· τὴν γὰρ εὐδαιμονίαν καὶ οἱ πολλοὶ καὶ οἱ χαρίεντες λέγουσι, τὸ δ' εὖ ζῆν καὶ τὸ εὖ πράττειν ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. περὶ δὲ τῆς εὐδαιμονίας, τί ἐστιν, ἀμφισβητοῦσι καὶ οὐχ ὁμοίως οἱ πολλοὶ τοῖς σοφοῖς ἀποδιδόασιν.

339 c Ib. 6. 1097 b 25. Ὥσπερ γὰρ αὐλητῇ καὶ ἀγαλματοποιῷ καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν ἐστιν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ ἔργῳ δοκεῖ τἀγαθὸν εἶναι καὶ τὸ εὖ, οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴπερ ἔστι τι ἔργον αὐτοῦ. — τί οὖν δὴ τοῦτ' ἂν εἴη ποτέ; τὸ μὲν γὰρ ζῆν κοινὸν εἶναι φαίνεται καὶ τοῖς φυτοῖς, ζητεῖται δὲ τὸ ἴδιον. ἀφοριστέον ἄρα τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωήν. ἑπομένη δὲ αἰσθητική τις ἂν εἴη, φαίνεται δὲ καὶ αὕτη κοινὴ καὶ ἵππῳ καὶ βοῒ καὶ παντὶ ζῴῳ. λείπεται δὴ πρακτική τις τοῦ λόγον ἔχοντος (τούτου δὲ τὸ μὲν ὡς ἐπιπειθὲς λόγῳ, τὸ δ' ὡς ἔχον καὶ διανοούμενον). διττῶς δὲ καὶ ταύτης λεγομένης τὴν κατ' ἐνέργειαν θετέον· κυριώτερον γὰρ αὕτη δοκεῖ λέγεσθαι. — εἰ δ' οὕτω, τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια γίγνεται κατ' ἀρετήν, εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην[a]. ἔτι δ' ἐν βίῳ τελείῳ. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα οὐδ' ὀλίγος χρόνος[b]. bonum proprie humanum

a. Perfecta felicitas neque solitaria esse neque externis vitae subsidiis carere potest: Eth. Nic. I 5. 1097 b 8 τὸ γὰρ τέλειον ἀγαθὸν αὔταρκες εἶναι δοκεῖ. τὸ δ' αὔταρκες λέγομεν οὐκ αὐτῷ μόνῳ τῷ ζῶντι βίον μονώτην, ἀλλὰ καὶ γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ καὶ ὅλως τοῖς φίλοις καὶ πολίταις, ἐπειδὴ φύσει πολιτικὸς ἄνθρωπος. Ibid. I 9. 1099 a 31 φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη (ἡ εὐδαιμονία), καθάπερ εἴπομεν· ἀδύνατον γὰρ ἢ οὐ ῥᾴδιον τὰ καλὰ πράττειν ἀχορήγητον ὄντα. πολλὰ μὲν γὰρ πράττεται, καθάπερ δι' ὀργάνων, διὰ φίλων καὶ πλούτου καὶ πολιτικῆς δυνάμεως· ἐνίων δὲ τητώμενοι ῥυπαίνουσι τὸ μακάριον, οἷον εὐγενείας, εὐτεκνίας, κάλλους· οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης ἢ δυσγενὴς ἢ μονώτης καὶ ἄτεκνος, ἔτι δ' ἴσως ἧττον, εἴ τῳ πάγκακοι παῖδες εἶεν ἢ φίλοι, ἢ ἀγαθοὶ ὄντες τεθνᾶσιν. Etiam voluptas, cum est de rebus pulchris, ad beate vivendum pertinet: Eth. Nic. I 9. 1099 a 7 ἔστι δὲ καὶ ὁ βίος αὐτῶν voluptas

(*τῶν καλῶν κἀγαθῶν*) *καθ' αὑτὸν ἡδύς. τὸ μὲν γὰρ ἥδεσθαι τῶν ψυχικῶν, ἑκάστῳ δ' ἐστὶν ἡδὺ πρὸς ὃ λέγεται φιλοτοιοῦτος, οἷον ἵππος μὲν τῷ φιλίππῳ, θέαμα δὲ τῷ φιλοθεώρῳ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ δίκαια τῷ φιλοδικαίῳ καὶ ὅλως τὰ κατ' ἀρετὴν τῷ φιλαρέτῳ. τοῖς μὲν οὖν πολλοῖς τὰ ἡδέα μάχεται διὰ τὸ μὴ φύσει τοιαῦτ' εἶναι, τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα τὰ φύσει ἡδέα. τοιαῦτα δ' αἱ κατ' ἀρετὴν πράξεις. ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι καὶ καθ' αὑτάς. οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν ὥσπερ περιάπτου τινός, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ.* — Neque vero voluptas est putanda *αἰσθητὴ γένεσις* (cf. Plato **RP** 272) sed *ἐνέργεια ἀνεμπόδιστος τῆς κατὰ φύσιν ἕξεως* (Eth. Nic. VII 13. 1153ª 12; X 4. 1174ᵇ 31: *κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡδονή, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίστη δ' ἡ τελειοτάτη, τελειοτάτη δ' ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ' αὐτήν. τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγιγνόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα*). — Vita corporis voluptatibus dedita (*βίος ἀπολαυστικός*) non hominis est sed brutorum animalium (Eth. Nic. I 2. 1095ᵇ 20), civilis vel activa (*β. πολιτικός, πρακτικός*) maxime humana videtur, contemplativa denique (*β. θεωρητικός*) supra humanam sortem enititur: Eth. Nic. X 7. 1177ᵇ 26 *ὁ δὲ τοιοῦτος* (*θεωρητικὸς*) *ἂν εἴη βίος κρείττων ἢ κατ' ἄνθρωπον· οὐ γὰρ ᾗ ἄνθρωπός ἐστιν οὕτω βιώσεται, ἀλλ' ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει.* Ib. 8. 1178ª 20 *αἱ δὲ τοῦ συνθέτου* (*ἐκ ψυχῆς καὶ σώματος*) *ἀρεταὶ ἀνθρωπικαί. καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία. ἡ δὲ τοῦ νοῦ κεχωρισμένη.* Cf. **RP** 324.

b. Ethic. Nic. I 10. 1100ª 1 *οὐδὲ παῖς εὐδαίμων ἐστίν. οὔπω γὰρ πρακτικὸς τῶν τοιούτων διὰ τὴν ἡλικίαν. δεῖ γάρ, ὥσπερ εἴπομεν, καὶ ἀρετῆς τελείας καὶ βίου τελείου. πολλαὶ γὰρ μεταβολαὶ γίγνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον, καὶ ἐνδέχεται τὸν μάλιστ' εὐθηνοῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν τοῖς ἡρωικοῖς περὶ Πριάμου μυθεύεται· τὸν δὲ τοιαύταις χρησάμενον τύχαις καὶ τελευτήσαντα ἀθλίως οὐδεὶς εὐδαιμονίζει.*

virtus Eth. Nic. II 4. 1105ᵇ 19. *Μετὰ δὲ ταῦτα τί ἐστιν ἡ* 340 *ἀρετὴ σκεπτέον. ἐπεὶ οὖν τὰ ἐν τῇ ψυχῇ γιγνόμενα τρία ἐστί, πάθη δυνάμεις ἕξεις, τούτων ἄν τι εἴη ἡ ἀρετή. λέγω δὲ πάθη μὲν ἐπιθυμίαν, ὀργήν, φόβον, θράσος, φθόνον, χαράν, φιλίαν, μῖσος, πόθον, ζῆλον, ἔλεον, ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη, δυνάμεις δὲ καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἃς δυνατοὶ ὀργισθῆναι ἢ λυπηθῆναι ἢ ἐλεῆσαι, ἕξεις δὲ καθ' ἃς πρὸς τὰ πάθη ἔχομεν εὖ ἢ κακῶς, οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν σφοδρῶς ἢ ἀνειμένως, κακῶς ἔχομεν, εἰ δὲ μέσως, εὖ. ὁμοίως δὲ καὶ πρὸς τἆλλα. πάθη*

μὲν οὖν οὐκ εἰσὶν οὔθ᾽ αἱ ἀρεταὶ οὔθ᾽ αἱ κακίαι, ὅτι οὐ λεγόμεθα κατὰ τὰ πάθη σπουδαῖοι ἢ φαῦλοι, κατὰ δὲ τὰς ἀρετὰς ἢ τὰς κακίας λεγόμεθα, καὶ ὅτι κατὰ μὲν τὰ πάθη οὔτ᾽ ἐπαινούμεθα οὔτε ψεγόμεθα (οὐ γὰρ ἐπαινεῖται ὁ φοβούμενος οὐδὲ ὁ ὀργιζόμενος, οὐδὲ ψέγεται ὁ ἁπλῶς ὀργιζόμενος ἀλλ᾽ ὁ πώς), κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. ἔτι ὀργιζόμεθα μὲν καὶ φοβούμεθα ἀπροαιρέτως, αἱ δ᾽ ἀρεταὶ προαιρέσεις τινὲς ἢ οὐκ ἄνευ προαιρέσεως[a]. πρὸς δὲ τούτοις κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας οὐ κινεῖσθαι ἀλλὰ διακεῖσθαί πως. διὰ ταῦτα δὲ οὐδὲ δυνάμεις εἰσίν· οὔτε γὰρ ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι πάσχειν ἁπλῶς οὔτε κακοί, οὔτ᾽ ἐπαινούμεθα οὔτε ψεγόμεθα. καὶ ἔτι δυνατοὶ μέν ἐσμεν φύσει, ἀγαθοὶ δὲ ἢ κακοὶ οὐ γιγνόμεθα φύσει. — εἰ οὖν μήτε πάθη εἰσὶν αἱ ἀρεταὶ μήτε δυνάμεις, λείπεται ἕξεις[b] αὐτὰς εἶναι. — 5. δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. ῥητέον οὖν ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν, οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. — εἰ δὴ τοῦτ᾽ ἐπὶ πάντων οὕτως ἔχει, καὶ ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις ἀφ᾽ ἧς ἀγαθὸς ἄνθρωπος γίγνεται καὶ ἀφ᾽ ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει. — ἐν παντὶ δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον τὸ δ᾽ ἔλαττον τὸ δ᾽ ἴσον, καὶ ταῦτα ἢ κατ᾽ αὐτὸ τὸ πρᾶγμα ἢ πρὸς ἡμᾶς· τὸ δ᾽ ἴσον μέσον τι ὑπερβολῆς καὶ ἐλλείψεως. λέγω δὲ τοῦ μὲν πράγματος μέσον τὸ ἴσον ἀπέχον ἀφ᾽ ἑκατέρου τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ ταὐτὸν πᾶσιν, πρὸς ἡμᾶς δὲ ὃ μήτε πλεονάζει μήτε ἐλλείπει. τοῦτο δ᾽ οὐχ ἕν, οὐδὲ ταὐτὸν πᾶσιν, οἷον εἰ τὰ δέκα πολλὰ τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσῳ γὰρ ὑπερέχει τε καὶ ὑπερέχεται, τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. τὸ δὲ πρὸς ἡμᾶς οὐχ οὕτω ληπτέον· οὐ γὰρ εἴ τῳ δέκα μναῖ φαγεῖν πολὺ δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξει· ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ ἢ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ. ὁμοίως ἐπὶ δρόμου καὶ πάλης. οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν

non est affectus

neque facultas

sed habitus bonus

et medietas

μὲν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ' αἱρεῖται, μέσον δὲ οὐ τὸ τοῦ πράγματος ἀλλὰ τὸ πρὸς ὑμᾶς. εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα (ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις ὅτι οὔτ' ἀφελεῖν ἔστιν οὔτε προσθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σῳζούσης), οἱ δ' ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται, ἡ δ' ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστίν, ὥσπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. λέγω δὲ τὴν moralis *ἠθικήν*[c]*· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. οἷον καὶ φοβηθῆναι καὶ θαρρῆσαι καὶ ἐπιθυμῆσαι καὶ ὀργισθῆναι καὶ ἐλεῆσαι καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι ἔστι καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ· τὸ δ' ὅτε δεῖ καὶ ἐφ' οἷς καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ ἐστὶ τῆς ἀρετῆς. ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. — μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετή, στοχαστική γε οὖσα τοῦ μέσου*[d]. — 6. *ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειεν.*

liberum arbitrium **a.** Eth. Nic. III 5. 1113[a] 10 *ἡ προαίρεσις ἂν εἴη βουλευτικὴ ὄρεξις τῶν ἐφ' ἡμῖν.* Ib. 4. 1112[a] 15 *ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ διανοίας.* — Actiones hominum morales Ar. liberi arbitrii esse censuit, cf. Eth. Nic. III 7. 1113[b] 3 *ὄντος δὲ βουλητοῦ μὲν τοῦ τέλους, βουλευτῶν δὲ καὶ προαιρετῶν τῶν πρὸς τὸ τέλος, αἱ περὶ ταῦτα πράξεις κατὰ προαίρεσιν ἂν εἶεν καὶ ἑκούσιοι. αἱ δὲ τῶν ἀρετῶν ἐνέργεια περὶ ταῦτα. ἐφ' ἡμῖν δὲ καὶ ἡ ἀρετή, ὁμοίως δὲ καὶ ἡ κακία. — τὸ δὲ λέγειν, ὡς οὐδεὶς ἑκὼν πονηρὸς* (**RP** 201d; 271 a) *οὐδ' ἄκων μάκαρ, ἔοικε τὸ μὲν ψευδεῖ τὸ δ' ἀληθεῖ· μακάριος μὲν γὰρ οὐδεὶς ἄκων, ἡ δὲ μοχθηρία ἑκούσιον.* Cf. Trendelenburg, *Hist. Beitr.* II 152. Z. II 2[3] 590[3].

b. *Ἕξις* habitus est universus, communis actionum (*ἐνεργειῶν*) fons, cum a materia prorsus aliena sit, certas actionum formas gignit: at facultas (*δύναμις*) magis ad materiam pertinet, ut contraria ex se gignere possit. Cf. Trendelenburg, de Anim. 310 sq.

c. Virtus aut moralis est aut intellectualis, cf. Eth. Nic. II 1. 1103[a] 14 *διττῆς δὲ τῆς ἀρετῆς οὔσης, τῆς μὲν διανοητικῆς τῆς δὲ ἠθικῆς, ἡ μὲν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν, διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δ' ἠθικὴ ἐξ*

ἔθους περιγίγνεται, ὅθεν καὶ τοὔνομα ἔσχηκε μικρὸν παρεκκλῖνον ἀπὸ τοῦ ἔθους. Moralis ad irrationalem animi partem pertinet, quae regitur ratione, intellectualis ad rationalem: Eth. Nic. I 13. 1102[b] 33 ὅτι δὲ πείθεταί πως ὑπὸ λόγου τὸ ἄλογον, μηνύει καὶ ἡ νουθέτησις καὶ πᾶσα ἐπιτίμησίς τε καὶ παράκλησις, εἰ δὲ χρὴ καὶ τοῦτο φάναι λόγον ἔχειν, διττὸν ἔσται καὶ τὸ λόγον ἔχον, τὸ μὲν κυρίως καὶ ἐν αὑτῷ, τὸ δ' ὥσπερ τοῦ πατρὸς ἀκουστικόν τι. διορίζεται δὲ καὶ ἡ ἀρετὴ κατὰ τὴν διαφορὰν ταύτην· λέγομεν γὰρ αὐτῶν τὰς μὲν διανοητικὰς τὰς δὲ ἠθικάς, σοφίαν μὲν καὶ σύνεσιν καὶ φρόνησιν διανοητικάς, ἐλευθεριότητα δὲ καὶ σωφροσύνην ἠθικάς. Ex intellectualibus virtutibus ad hominum consilia regenda sola φρόνησις valet, cf. Eth. Nic. VI 8. 1141[b] 8; 13. 1144[b] 31 οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως οὐδὲ φρόνιμον ἄνευ τῆς ἠθικῆς ἀρετῆς. X 8. 1178[a] 16. Nam naturalis virtutis facultas, quae in singulis hominibus diversa est, exercitatione et educatione exculta tum demum, cum accessit ratio (φρόνησις), vera (κυρία) evadit virtus. VI 13. 1144[b] 14. Itaque cum indoles sit varia, tamen ipsa virtus una putanda est: ibid. l. 32 ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἂν ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς εὐφυέστατος πρὸς ἁπάσας, ὥστε τὴν μὲν ἤδη τὴν δ' οὔπω εἰληφὼς ἔσται· τοῦτο μὲν γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, καθ' ἃς δὲ ἁπλῶς λέγεται ἀγαθός, οὐκ ἐνδέχεται· ἅμα γὰρ τῇ φρονήσει μιᾷ οὔσῃ πᾶσαι ὑπάρξουσιν.'

d. In singulis autem causis quid sit medium inter vitia opposita diiudicare φρονήσεως est. Recensum singularum virtutum habes Eth. Nic. II 7. 1107[a] 28 sq. III 9—15. 1115[a] 4 sq.

341 Eth. Nic. V. 3. 1129[b] 11. Ἐπεὶ δ' ὁ παράνομος ἄδικος ἦν, ὁ δὲ νόμιμος δίκαιος, δῆλον ὅτι πάντα τὰ νόμιμά ἐστί πως δίκαια· τά τε γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς νόμιμά ἐστι, καὶ ἕκαστον τούτων δίκαιον εἶναί φαμεν. οἱ δὲ νόμοι ἀγορεύουσι περὶ ἁπάντων, στοχαζόμενοι ἢ τοῦ κοινῇ συμφέροντος πᾶσιν ἢ τοῖς ἀρίστοις ἢ τοῖς κυρίοις, κατ' ἀρετὴν ἢ κατ' ἄλλον τινὰ τρόπον τοιοῦτον· ὥστε ἕνα μὲν τρόπον δίκαια λέγομεν τὰ ποιητικὰ καὶ φυλακτικὰ τῆς εὐδαιμονίας καὶ τῶν μορίων αὐτῆς τῇ πολιτικῇ κοινωνίᾳ· προστάττει δ' ὁ νόμος καὶ τὰ τοῦ ἀνδρείου ἔργα ποιεῖν, οἷον μὴ λείπειν τὴν τάξιν μηδὲ φεύγειν μηδὲ ῥίπτειν τὰ ὅπλα, καὶ τὰ τοῦ σώφρονος, οἷον μὴ μοιχεύειν μηδ' ὑβρίζειν, καὶ τὰ τοῦ πρᾴου, οἷον μὴ τύπτειν μηδὲ κακηγορεῖν, ὁμοίως δὲ καὶ κατὰ τὰς ἄλλας ἀρετὰς καὶ μοχθηρίας τὰ μὲν κελεύων τὰ δ' ἀπαγορεύων, ὀρθῶς μὲν ὁ κείμενος ὀρθῶς, χεῖρον δ' ὁ

iustitia generalis

ἀπεσχεδιασμένος. αὕτη μὲν οὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία, ἀλλ' οὐχ ἁπλῶς ἀλλὰ πρὸς ἕτερον. — 1130ᵃ 10 *τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη αὕτη, δῆλον ἐκ τῶν εἰρημένων· ἔστι μὲν γὰρ ἡ αὐτή, τὸ δ' εἶναι οὐ τὸ αὐτό, ἀλλ' ᾗ μὲν πρὸς ἕτερον, δικαιοσύνη, ᾗ δὲ τοιάδε ἕξις ἁπλῶς,*
propria *ἀρετή*ᵃ. 4. *ζητοῦμεν δέ γε τὴν ἐν μέρει ἀρετῆς δικαιοσύνην· ἔστι γάρ τις, ὡς φαμέν. ὁμοίως δὲ καὶ περὶ ἀδικίας τῆς κατὰ μέρος. σημεῖον δ' ὅτι ἔστιν· κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν ἀδικεῖ μέν, πλεονεκτεῖ δ' οὐδέν, οἷον ὁ ῥίψας τὴν ἀσπίδα διὰ δειλίαν ἢ κακῶς εἰπὼν διὰ χαλεπότητα ἢ οὐ βοηθήσας χρήμασι δι' ἀνελευθερίαν· ὅταν δὲ πλεονεκτῇ, πολλάκις κατ' οὐδεμίαν τῶν τοιούτων, ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας, κατὰ πονηρίαν δέ γε τινα (ψέγομεν γάρ) καὶ κατ' ἀδικίαν. ἔστιν ἄρα γε ἄλλη τις ἀδικία ὡς μέρος τῆς ὅλης, καὶ ἄδικόν τι ἐν μέρει τοῦ ὅλου ἀδίκου τοῦ παρὰ τὸν νόμον.* — Ib. 5. 1130ᵇ 6. *Ὅτι μὲν οὖν εἰσι δικαιοσύναι πλείους, καὶ ὅτι ἔστι τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετήν, δῆλον· τίς δὲ καὶ ὁποία τις, ληπτέον. διώρισται δὴ τὸ ἄδικον τό τε παράνομον καὶ τὸ ἄνισον, τὸ δὲ δίκαιον τό τε νόμιμον καὶ τὸ ἴσον. κατὰ μὲν οὖν τὸ παρά-*
aut distribuens *νομον ἡ πρότερον εἰρημένη ἀδικία ἐστίν.* — 30 *τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου ἓν μέν ἐστιν εἶδος τὸ ἐν ταῖς διανομαῖς τιμῆς ἢ χρημάτων ἢ τῶν ἄλλων ὅσα μεριστὰ τοῖς κοινωνοῦσι τῆς πολιτείας (ἐν τούτοις γὰρ ἔστι καὶ ἄνισον ἔχειν καὶ ἴσον ἕτερον ἑτέρου), ἓν δὲ τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν.* — Ib. 6. 1131ᵃ 9 *ἐπεὶ δ' ὅ τ' ἄδικος ἄνισος καὶ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον*
est medium quiddam et aequum *τί ἐστι τοῦ ἀνίσου. τοῦτο δ' ἐστὶ τὸ ἴσον·. ἐν ὁποίᾳ γὰρ πράξει ἐστὶ τὸ πλέον καὶ τὸ ἔλαττον, ἐστὶ καὶ τὸ ἴσον. εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον· ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν. ἐπεὶ δὲ τὸ ἴσον μέσον, τὸ δίκαιον μέσον τι ἂν εἴη. ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν· ἀνάγκη τοίνυν τὸ δίκαιον μέσον τε καὶ ἴσον εἶναι [καὶ πρός τι καὶ τισίν* [1]*], καὶ ᾗ μὲν μέσον, τινῶν (ταῦτα δ' ἐστὶ πλεῖον καὶ ἔλαττον), ᾗ δ' ἴσον ἐστί, δυοῖν, ᾗ δὲ δίκαιον, τισίν*ᵇ. *ἀνάγκη*

1) *καὶ πρός τι* om. Kᵇ, seclus. Bekker. — *καὶ τισίν* om. Lᵇ, seclus. RP.

ἄρα τὸ δίκαιον ἐν ἐλαχίστοις εἶναι τέτταρσιν· οἷς τε γὰρ δίκαιον τυγχάνει ὄν, δύο ἐστί, καὶ ἐν οἷς τὰ πράγματα, δύο. καὶ ἡ αὐτὴ ἔσται ἰσότης, οἷς καὶ ἐν οἷς· ὡς γὰρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς, οὕτω κἀκεῖνα ἔχει· εἰ γὰρ μὴ ἴσοι οὐκ ἴσα ἕξουσιν, ἀλλ᾽ ἐντεῦθεν αἱ μάχαι καὶ τὰ ἐγκλήματα, ὅταν ἢ ἴσοι μὴ ἴσα ἢ μὴ ἴσοι ἴσα ἔχωσι καὶ νέμωνται. ἔτι ἐκ τοῦ κατ᾽ ἀξίαν τοῦτο δῆλον· τὸ γὰρ δίκαιον ἐν ταῖς διανομαῖς ὁμολογοῦσι πάντες κατ᾽ ἀξίαν τινὰ δεῖν εἶναι. — Ib. 7. 1131[b] 25 τὸ δὲ λοιπὸν ἓν τὸ διορθωτικόν, ὃ γίγνεται ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἑκουσίοις καὶ τοῖς ἀκουσίοις· τοῦτο δὲ τὸ δίκαιον ἄλλο εἶδος ἔχει τοῦ προτέρου. τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον τῶν κοινῶν ἀεὶ κατὰ τὴν ἀναλογίαν ἐστὶ τὴν εἰρημένην[c]. — τὸ δ᾽ ἐν τοῖς συναλλάγμασι δίκαιόν ἐστι μὲν ἴσον τι, καὶ τὸ ἄδικον ἄνισον, ἀλλ᾽ οὐ κατὰ τὴν ἀναλογίαν ἐκείνην ἀλλὰ κατὰ τὴν ἀριθμητικήν. οὐθὲν γὰρ διαφέρει, εἰ ἐπιεικὴς φαῦλον ἀπεστέρησεν ἢ φαῦλος ἐπιεικῆ, οὐδ᾽ εἰ ἐμοίχευσεν ἐπιεικὴς ἢ φαῦλος· ἀλλὰ πρὸς τοῦ βλάβους τὴν διαφορὰν μόνον βλέπει ὁ νόμος καὶ χρῆται ὡς ἴσοις, εἰ ὁ μὲν ἀδικεῖ ὁ δ᾽ ἀδικεῖται καὶ εἰ ἔβλαψεν ὁ δὲ βέβλαπται. ὥστε τὸ ἄδικον τοῦτο ἄνισον ὂν ἰσάζειν πειρᾶται ὁ δικαστής[d].

aut rependens

a. Cf. Trendelenburg, *Hist. Beitr.* II 356.

b. Distinguuntur tria: opposita bina, inter quae est medium (τινῶν), et personae (τισίν οἷς) et res (δυοῖν, ἐν οἷς).

c. Dicit analogiam proportionis geometricae, velut a : b = c : d.

d. Iustitiae species est aequitas: Eth. Nic. V 14. 1137[b] 8 τό τε γὰρ ἐπιεικὲς δικαίου τινὸς ὂν βέλτιόν ἐστι δίκαιον, καὶ οὐχ ὡς ἄλλο τι γένος ὂν βέλτιόν ἐστι τοῦ δικαίου. ταὐτὸν ἄρα δίκαιον καὶ ἐπιεικές, καὶ ἀμφοῖν σπουδαίοιν ὄντοιν κρεῖττον τὸ ἐπιεικές. ποιεῖ δὲ τὴν ἀπορίαν ὅτι τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δέ, ἀλλ᾽ ἐπανόρθωμα νομίμου δικαίου. — καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς, ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου. Aequitas

342 Polit. I 2. 1252[a] 26 Ἀνάγκη δὴ πρῶτον συνδυάζεσθαι τοὺς ἄνευ ἀλλήλων μὴ δυναμένους εἶναι, οἷον θῆλυ μὲν καὶ ἄρρεν τῆς γενέσεως ἕνεκεν (καὶ τοῦτο οὐκ ἐκ προαιρέσεως, ἀλλ᾽ ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι, οἷον αὐτό, τοιοῦτον καταλιπεῖν ἕτερον), ἄρχον δὲ societatis humanae formae

φύσει καὶ ἀρχόμενον διὰ τὴν σωτηρίαν· τὸ μὲν γὰρ δυνάμενον τῇ διανοίᾳ προορᾶν ἄρχον φύσει καὶ δεσπόζον φύσει, τὸ δὲ δυνάμενον τῷ σώματι ταῦτα ποιεῖν ἀρχόμενον καὶ φύσει δοῦλον. διὸ δεσπότῃ καὶ δούλῳ ταὐτὸ συμφέρει. familia φύσει μὲν οὖν διώρισται τὸ θῆλυ καὶ τὸ δοῦλον. — ἐκ μὲν pagus οὖν τούτων τῶν δύο κοινωνιῶν οἰκία πρώτη[a]. — ἡ δ' ἐκ πλειόνων οἰκιῶν κοινωνία πρώτη χρήσεως ἕνεκεν μὴ ἐφημέρου civitas κώμη. — ἡ δ' ἐκ πλειόνων κωμῶν κοινωνία τέλειος πόλις, ἡ δὴ πάσης ἔχουσα πέρας τῆς αὐταρκείας ὡς ἔπος εἰπεῖν, γιγνομένη μὲν οὖν τοῦ ζῆν ἕνεκεν, οὖσα δὲ τοῦ εὖ ζῆν. διὸ πᾶσα πόλις φύσει ἐστίν, εἴπερ καὶ αἱ πρῶται κοινωνίαι· τέλος γὰρ αὕτη ἐκείνων, ἡ δὲ φύσις τέλος ἐστίν· οἷον γὰρ ἕκαστόν ἐστι τῆς γενέσεως τελεσθείσης, ταύτην φαμὲν τὴν φύσιν εἶναι ἑκάστου, ὥσπερ ἀνθρώπου, ἵππου, οἰκίας. ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος βέλτιστον· ἡ δ' αὐτάρκεια τέλος καὶ βέλτιστον. ἐκ τούτων οὖν φανερὸν ὅτι τῶν φύσει ἡ πόλις ἐστὶ καὶ ὅτι ἄνθρωπος φύσει πολιτικὸν ζῷον, καὶ ὁ ἄπολις διὰ φύσιν καὶ οὐ διὰ τύχην ἤτοι φαῦλός ἐστιν ἢ κρείττων ἢ ἄνθρωπος. — 1253ᵃ 29 φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν πᾶσιν ἐπὶ τὴν τοιαύτην κοινωνίαν· ὁ δὲ πρῶτος συστήσας μεγίστων ἀγαθῶν αἴτιος. ὥσπερ γὰρ καὶ τελεωθὲν βέλτιστον τῶν ζῴων ἄνθρωπός ἐστιν, οὕτω καὶ χωρισθὲν νόμου καὶ δίκης χείριστον πάντων. χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα· ὁ δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ, οἷς ἐπὶ τἀναντία ἔστι χρῆσθαι μάλιστα. διὸ ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνευ ἀρετῆς, καὶ πρὸς ἀφροδίσια καὶ ius ἐδωδὴν χείριστον. ἡ δὲ δικαιοσύνη πολιτικόν· ἡ γὰρ δίκη πολιτικῆς κοινωνίας τάξις ἐστίν· ἡ δὲ δίκη τοῦ δικαίου κρίσις[b].

Arist. Polit. ed. F. Susemihl, Lips. 1870. 1879. 1882; ed. J. Bernays, Berol. 1872. — Praeterea cf. W. Oncken, *d. Staatslehre des Ar.*, Lips. 1870. 1875. — A. C. Bradley, *ü. d. Staatsl d. Ar.* (vert. Imelmann), Berol. 1884. — G. Teichmüller, *die Ar. Eintheilung d. Verfassungen*, Berol. 1859.

a. Conubium, cui sicuti proprietati singulorum Aristoteles adversus Platonem (**RP** 279. 280) suffragatur, non solum liberorum procreandorum causa iniri censet, verum etiam in mutua benevolentia et praesidio positum esse. Eth. Nic. VIII 14. 1162ᵃ 19 *τοῖς μὲν οὖν ἄλλοις ἐπὶ τοσοῦτον ἡ κοινωνία ἐστίν, οἱ δ' ἄνθρωποι οὐ μόνον τῆς τεκνο-*

ποιίας χάριν συνοικοῦσιν, ἀλλὰ καὶ τῶν εἰς τὸν βίον· εὐθὺς γὰρ διήρηται τὰ ἔργα, καὶ ἔστιν ἕτερα ἀνδρὸς καὶ γυναικός· ἐπαρκοῦσιν οὖν ἀλλήλοις, εἰς τὸ κοινὸν τιθέντες τὰ ἴδια. διὰ ταῦτα δὲ καὶ τὸ χρήσιμον εἶναι δοκεῖ καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ. εἴη δ' ἂν καὶ δι' ἀρετήν, εἰ ἐπιεικεῖς εἶεν. ἔστι γὰρ ἑκατέρου ἀρετή, καὶ χαίροιεν ἂν τῷ τοιούτῳ. — Servitutem comprobat sicut Plato (RP 279a): Pol. I 4. servi
1253ᵇ 30 (τῷ οἰκονομικῷ) τὸ κτῆμα ὄργανον πρὸς ζωήν ἐστι καὶ ἡ κτῆσις πλῆθος ὀργάνων ἐστί, καὶ ὁ δοῦλος κτῆμά τι ἔμψυχον. καὶ ὥσπερ ὄργανον πρὸ ὀργάνων πᾶς ὑπηρέτης. — καὶ ὁ δοῦλος ὑπηρέτης τῶν πρὸς τὴν πρᾶξιν. Nonnulli ad servitutem nati sunt: Pol. I 5. 1254ᵇ 20 ἔστι γὰρ φύσει δοῦλος ὁ δυνάμενος ἄλλου εἶναι (διὸ καὶ ἄλλου ἐστίν) καὶ ὁ κοινωνῶν λόγου τοσοῦτον ὅσον αἰσθάνεσθαι ἀλλὰ μὴ ἔχειν. Talis indoles in barbaris praesertim nationibus reperitur (Pol. I 2. 1252ᵇ 5), cum Graeci, quibus mediae inter Europam et Asiam regiones obtigerunt, soli sint ad vitam civilem idonei: Pol. VII 7. 1327ᵇ 23 τὰ μὲν γὰρ ἐν τοῖς ψυχροῖς τόποις ἔθνη καὶ τὰ περὶ τὴν Εὐρώπην θυμοῦ μέν ἐστι πλήρη, διανοίας δὲ ἐνδεέστερα καὶ τέχνης· διόπερ ἐλεύθερα μὲν διατελεῖ μᾶλλον, ἀπολίτευτα δὲ καὶ τῶν πλησίον ἄρχειν οὐ δυνάμενα. τὰ δὲ περὶ τὴν Ἀσίαν διανοητικὰ μὲν καὶ τεχνικὰ τὴν ψυχήν, ἄθυμα δέ· διόπερ ἀρχόμενα καὶ δουλεύοντα διατελεῖ. τὸ δὲ τῶν Ἑλλήνων γένος ὥσπερ μεσεύει κατὰ τοὺς τόπους, οὕτως ἀμφοῖν μετέχει· καὶ γὰρ ἔνθυμον καὶ διανοητικόν ἐστι. διόπερ ἐλεύθερόν τε διατελεῖ καὶ βέλτιστα πολιτευόμενον καὶ δυνάμενον ἄρχειν πάντων, μιᾶς τυγχάνον πολιτείας. Ad servitutem natos venari iusta belli causa est: Ib. I 8. 1256ᵇ 23 ἡ γὰρ θηρευτικὴ μέρος αὐτῆς (τῆς πολεμικῆς), ᾗ δεῖ χρῆσθαι πρός τε τὰ θηρία καὶ τῶν ἀνθρώπων ὅσοι πεφυκότες ἄρχεσθαι μὴ θέλουσιν, ὡς φύσει δίκαιον τοῦτον ὄντα τὸν πόλεμον. — Diversi rei imperium domesticum
domesticae ordines cum imperii gradibus, qui in civitate obtinent, comparantur: Pol. I 12. 1259ᵃ 37. 13. 1260ᵃ 9 ἄλλον γὰρ τρόπον τὸ ἐλεύθερον τοῦ δούλου ἄρχει καὶ τὸ ἄρρεν τοῦ θήλεος καὶ ἀνὴρ παιδός· καὶ πᾶσιν ἐνυπάρχει μὲν τὰ μόρια τῆς ψυχῆς, ἀλλ' ἐνυπάρχει διαφερόντως. ὁ μὲν γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν, τὸ δὲ θῆλυ ἔχει μέν, ἀλλ' ἄκυρον· ὁ δὲ παῖς ἔχει μέν, ἀλλ' ἀτελές. Eth. Nic. VIII 12. 1160ᵇ 24 ἡ μὲν γὰρ πατρὸς πρὸς υἱεῖς κοινωνία βασιλείας ἔχει σχῆμα· τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει. — τυραννικὴ δὲ καὶ ἡ δεσπότου πρὸς δούλους· τὸ γὰρ τοῦ δεσπότου συμφέρον ἐν αὐτῇ πράττεται. — ἀνδρὸς δὲ καὶ γυναικὸς ἀριστοκρατικὴ φαίνεται· κατ' ἀξίαν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ περὶ ταῦτα ἃ δεῖ τὸν ἄνδρα· ὅσα δὲ γυναικὶ ἁρμόζει, ἐκείνῃ ἀποδίδωσιν. — τιμοκρατικῇ δ' ἔοικεν ἡ τῶν ἀδελφῶν· ἴσοι γάρ, πλὴν ἐφ' ὅσον ταῖς ἡλικίαις διαλλάττουσιν.

b. Non propter vivendum civitas constituitur, sed propter bene vivendum: Pol. III 9. 1280ᵇ 29 φανερὸν τοίνυν ὅτι ἡ πόλις οὐκ ἔστι κοινωνία τόπου καὶ τοῦ μὴ ἀδικεῖν σφᾶς αὐτοὺς καὶ τῆς μεταδόσεως χάριν, ἀλλὰ ταῦτα μὲν ἀναγκαῖον ὑπάρχειν, εἴπερ ἔσται πόλις, οὐ μὴν οὐδ' ὑπαρχόντων τούτων ἁπάντων ἤδη πόλις· ἀλλ' ἡ τοῦ εὖ ζῆν κοι-

νωνία καὶ ταῖς οἰκίαις καὶ τοῖς γένεσι, ζωῆς τελείας χάριν καὶ αὐτάρκους. VII 8. 1328ᵃ 35 *ἡ δὲ πόλις κοινωνία τίς ἐστι τῶν ὁμοίων, ἕνεκεν δὲ ζωῆς τῆς ἐνδεχομένης ἀρίστης.*

optimae rei publicae fundamenta

Pol. VII 4. 1325ᵇ 37. *Οὐ γὰρ οἷόν τε πολιτείαν γενέσθαι τὴν ἀρίστην ἄνευ συμμέτρου χορηγίας. διὸ δεῖ πολλὰ προϋποτεθεῖσθαι καθάπερ εὐχομένους, εἶναι μέντοι μηθὲν τούτων ἀδύνατον. λέγω δὲ οἷον περί τε πλήθους πολιτῶν καὶ χώρας. ὥσπερ γὰρ καὶ τοῖς ἄλλοις δημιουργοῖς οἷον ὑφάντῃ καὶ ναυπηγῷ δεῖ τὴν ὕλην ὑπάρχειν ἐπιτηδείαν οὖσαν πρὸς τὴν ἐργασίαν, — οὕτω καὶ τῷ πολιτικῷ καὶ τῷ νομοθέτῃ δεῖ τὴν οἰκείαν ὕλην ὑπάρχειν ἐπιτηδείως ἔχουσαν. ἔστι δὲ πολιτικῆς χορηγίας πρῶτον τό τε πλῆθος τῶν ἀνθρώπων, πόσους τε καὶ ποίους τινὰς ὑπάρχειν δεῖ φύσει, καὶ κατὰ τὴν χώραν ὡσαύτως, πόσην*[1] *τε εἶναι καὶ ποίαν τινὰ ταύτην. — οὐ γὰρ ταὐτὸν μεγάλη τε πόλις καὶ πολυάνθρωπος. ἀλλὰ μὴν καὶ τοῦτό γε ἐκ τῶν ἔργων φανερὸν ὅτι χαλεπόν, ἴσως δ' ἀδύνατον, εὐνομεῖσθαι τὴν λίαν πολυάνθρωπον. — ὅ τε γὰρ νόμος τάξις τίς ἐστι, καὶ τὴν εὐνομίαν ἀναγκαῖον εὐταξίαν εἶναι, ὁ δὲ λίαν ὑπερβάλλων ἀριθμὸς οὐ δύναται μετέχειν τάξεως.* — 1326ᵇ 22 *δῆλον τοίνυν ὡς οὗτός ἐστι πόλεως ὅρος ἄριστος, ἡ μεγίστη τοῦ πλήθους ὑπερβολὴ πρὸς αὐτάρκειαν ζωῆς εὐσύνοπτος.* — Ib. 5. *παραπλησίως δὲ καὶ τὰ περὶ τῆς χώρας ἔχει.* 343 A

Ib. 7. 1327ᵇ 36 *φανερὸν τοίνυν (περὶ τοῦ πολιτικοῦ πλήθους) ὅτι δεῖ διανοητικούς τε εἶναι καὶ θυμοειδεῖς τὴν φύσιν τοὺς μέλλοντας εὐαγώγους ἔσεσθαι τῷ νομοθέτῃ πρὸς τὴν ἀρετήν.*

civibus quid agendum

Ib. 9. 1328ᵇ 33. *Ἐπεὶ δὲ τυγχάνομεν σκοποῦντες περὶ τῆς ἀρίστης πολιτείας, αὕτη δ' ἐστὶ καθ' ἣν ἡ πόλις ἂν εἴη μάλιστ' εὐδαίμων, τὴν δ' εὐδαιμονίαν ὅτι χωρὶς ἀρετῆς ἀδύνατον ὑπάρχειν εἴρηται πρότερον, φανερὸν ἐκ τούτων ὡς ἐν τῇ κάλλιστα πολιτευομένῃ πόλει καὶ τῇ κεκτημένῃ δικαίους ἄνδρας ἁπλῶς, ἀλλὰ μὴ πρὸς τὴν ὑπόθεσιν*[a]*, οὔτε βάναυσον βίον οὔτ' ἀγοραῖον δεῖ ζῆν τοὺς πολίτας· ἀγεννὴς γὰρ ὁ* 343 B

1) *πόσην* Sylburg: *ὅσην* libri.

τοιοῦτος βίος καὶ πρὸς ἀρετὴν ὑπεναντίος. οὐδὲ δὴ γεωργοὺς εἶναι τοὺς μέλλοντας ἔσεσθαι· δεῖ γὰρ σχολῆς καὶ πρὸς τὴν γένεσιν τῆς ἀρετῆς καὶ πρὸς τὰς πράξεις τὰς πολιτικάς. ἐπεὶ δὲ καὶ τὸ πολεμικὸν καὶ τὸ βουλευόμενον περὶ τῶν συμφερόντων καὶ κρῖνον περὶ τῶν δικαίων ἐνυπάρχει καὶ μέρη φαίνεται τῆς πόλεως μάλιστα ὄντα, πότερον ἕτερα ⟨ἑτέροις⟩[1] καὶ ταῦτα θετέον ἢ τοῖς αὐτοῖς ἀποδοτέον ἄμφω; φανερὸν δὲ καὶ τοῦτο, διότι τρόπον μέν τινα τοῖς αὐτοῖς, τρόπον δέ τινα καὶ ἑτέροις. ᾗ μὲν γὰρ ἑτέρας ἀκμῆς ἑκάτερον τῶν ἔργων, καὶ τὸ μὲν δεῖται φρονήσεως τὸ δὲ δυνάμεως, ἑτέροις· ᾗ δὲ τῶν ἀδυνάτων ἐστὶ τοὺς δυναμένους βιάζεσθαι καὶ κωλύειν, τούτους ὑπομένειν ἀρχομένους ἀεί, ταύτῃ δὲ τοῖς αὐτοῖς· οἱ γὰρ τῶν ὅπλων κύριοι καὶ μένειν ἢ μὴ μένειν κύριοι τὴν πολιτείαν. λείπεται τοίνυν τοῖς αὐτοῖς μὲν ἀμφοτέροις ἀποδιδόναι τὴν πολιτείαν ταύτην, μὴ ἅμα δέ, ἀλλ᾽ ὥσπερ πέφυκεν ἡ μὲν δύναμις ἐν νεωτέροις, ἡ δὲ φρόνησις ἐν πρεσβυτέροις εἶναι[2]. οὐκοῦν οὕτως ἀμφοῖν νενεμῆσθαι συμφέρει καὶ δίκαιόν ἐστιν[3]· ἔχει γὰρ αὕτη ἡ διαίρεσις τὸ κατ᾽ ἀξίαν. ἀλλὰ μὴν καὶ τὰς κτήσεις δεῖ εἶναι περὶ τούτους· ἀναγκαῖον γὰρ εὐπορίαν ὑπάρχειν τοῖς πολίταις, πολῖται δὲ οὗτοι. τὸ γὰρ βάναυσον οὐ μετέχει τῆς πόλεως, οὐδ᾽ ἄλλο οὐθὲν γένος ὃ μὴ τῆς ἀρετῆς δημιουργόν ἐστιν. τοῦτο δὲ δῆλον ἐκ τῆς ὑποθέσεως· τὸ μὲν γὰρ εὐδαιμονεῖν ἀναγκαῖον ὑπάρχειν μετὰ τῆς ἀρετῆς, εὐδαίμονα δὲ πόλιν οὐκ εἰς μέρος τι βλέψαντας δεῖ λέγειν αὐτῆς, ἀλλ᾽ εἰς πάντας τοὺς πολίτας. φανερὸν δὲ καὶ ὅτι δεῖ τὰς κτήσεις εἶναι τούτων, εἴπερ ἀναγκαῖον εἶναι τοὺς γεωργοὺς δούλους ἢ βαρβάρους ἢ περιοίκους. λοιπὸν δ᾽ ἐκ τῶν καταριθμηθέντων[b] τὸ τῶν ἱερέων γένος. φανερὰ δὲ καὶ ἡ τούτων τάξις. οὔτε γὰρ γεωργὸν οὔτε βάναυσον ἱερέα καταστατέον· ὑπὸ γὰρ τῶν πολιτῶν πρέπει τιμᾶσθαι τοὺς θεούς· ἐπεὶ δὲ διῄρηται τὸ πολιτικὸν εἰς δύο μέρη, τοῦτ᾽ ἔστι τό τε ὁπλιτικὸν καὶ τὸ βουλευτικόν, πρέπει δὲ τήν τε θεραπείαν ἀποδιδόναι τοῖς θεοῖς καὶ τὴν ἀνάπαυσιν ἔχειν περὶ αὐτοὺς τοὺς διὰ τὸν χρόνον ἀπειρηκότας, τούτους ἂν sacerdotes

1) ἑτέροις add. Coraes, Schneider. — 2) εἶναι Lambinus: ἐστίν libri. — 3) ἐστιν Lambinus: εἶναι libri.

εἴη ταῖς ἱερωσύναις ἀποδοτέον. ὧν μὲν τοίνυν ἄνευ πόλις οὐ συνίσταται, καὶ ὅσα μέρη πόλεως, εἴρηται. γεωργοὶ μὲν γὰρ καὶ τεχνῖται καὶ πᾶν τὸ θητικὸν ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσιν, μέρη δὲ τῆς πόλεως τό τε ὁπλιτικὸν καὶ βουλευτικόν· καὶ κεχώρισται δὴ τούτων ἕκαστον, τὸ μὲν ἀεί, τὸ δὲ κατὰ μέρος.

a. Cf. Pol. III 5. 1278ᵃ 4 *ἐπεὶ οὐδ' οἱ παῖδες ὡσαύτως πολῖται καὶ οἱ ἄνδρες, ἀλλ' οἱ μὲν ἁπλῶς, οἱ δ' ἐξ ὑποθέσεως.*

b. Cf. Pol. VII 8. 1328ᵇ 21 *δεῖ ἄρα γεωργῶν τ' εἶναι πλῆθος, οἳ παρασκευάζουσι τὴν τροφήν, καὶ τεχνίτας, καὶ τὸ μάχιμον, καὶ τὸ εὔπορον, καὶ ἱερεῖς, καὶ κριτὰς τῶν δικαίων καὶ συμφερόντων.*

formae rei publicae

Pol. III 6. 1278ᵇ 6. *Ἐπεὶ δὲ ταῦτα διώρισται, τὸ μετὰ ταῦτα σκεπτέον πότερον μίαν θετέον πολιτείαν ἢ πλείους, κἂν εἰ πλείους, τίνες καὶ πόσαι, καὶ διαφοραὶ τίνες αὐτῶν εἰσιν. ἔστι δὲ* π ο λ ι τ ε ί α *πόλεως τάξις τῶν τε ἄλλων ἀρχῶν καὶ μάλιστα τῆς κυρίας πάντων*[a]. — 1279ᵃ 17 *φανερὸν τοίνυν ὡς ὅσαι μὲν πολιτεῖαι τὸ κοινῇ συμφέρον σκοποῦσιν, αὗται μὲν ὀρθαὶ τυγχάνουσιν οὖσαι κατὰ τὸ ἁπλῶς δίκαιον, ὅσαι δὲ τὸ σφέτερον μόνον τῶν ἀρχόντων, ἡμαρτημέναι πᾶσαι καὶ*[1] *παρεκβάσεις τῶν ὀρθῶν πολιτειῶν· δεσποτικαὶ γάρ, ἡ δὲ πόλις κοινωνία τῶν ἐλευθέρων ἐστίν.* 7. *διωρισμένων δὲ τούτων ἐχόμενόν ἐστι τὰς πολιτείας ἐπισκέψασθαι, πόσαι τὸν ἀριθμὸν καὶ τίνες εἰσί, καὶ πρῶτον τὰς ὀρθὰς αὐτῶν· καὶ γὰρ αἱ παρεκβάσεις ἔσονται φανεραὶ τούτων διορισθεισῶν.* 344 A

verae

ἐπεὶ δὲ πολιτεία μὲν καὶ πολίτευμα σημαίνει ταὐτόν, πολίτευμα δ' ἐστὶ τὸ κύριον τῶν πόλεων, ἀνάγκη δ' εἶναι κύριον ἢ ἕνα ἢ ὀλίγους ἢ τοὺς πολλούς, ὅταν μὲν ὁ εἷς ἢ οἱ ὀλίγοι ἢ οἱ πολλοὶ πρὸς τὸ κοινὸν συμφέρον ἄρχωσι, ταύτας μὲν ὀρθὰς ἀναγκαῖον εἶναι τὰς πολιτείας, τὰς δὲ πρὸς τὸ ἴδιον ἢ τοῦ ἑνὸς ἢ τῶν ὀλίγων ἢ τοῦ πλήθους παρεκβάσεις· ἢ γὰρ οὐ πολίτας φατέον εἶναι τοὺς μετέχοντας, ἢ δεῖ κοινωνεῖν τοῦ συμφέροντος. καλεῖν δ' εἰώθαμεν τῶν μὲν μοναρχιῶν τὴν πρὸς τὸ κοινὸν ἀποβλέπουσαν συμφέρον β α σ ι λ ε ί α ν, *τὴν δὲ τῶν ὀλίγων μὲν πλειόνων δ' ἑνὸς* ἀ ρ ι σ τ ο κ ρ α τ ί α ν, *ἢ διὰ τὸ τοὺς ἀρίστους ἄρχειν ἢ διὰ τὸ πρὸς τὸ ἄριστον τῇ*

---

1) *πᾶσαι καὶ* vulgo, Bekker: *καὶ πᾶσαι* cod. Jᵇ, Goettl., Stahr.

πόλει καὶ τοῖς κοινωνοῦσιν αὐτῆς. ὅταν δὲ τὸ πλῆθος πρὸς τὸ κοινὸν πολιτεύηται συμφέρον, καλεῖται τὸ κοινὸν ὄνομα πασῶν τῶν πολιτειῶν, πολιτεία. συμβαίνει δ' εὐλόγως· ἕνα μὲν γὰρ διαφέρειν κατ' ἀρετὴν ἢ ὀλίγους ἐνδέχεται, πλείους δ' ἤδη χαλεπὸν ἠκριβῶσθαι πρὸς πᾶσαν ἀρετήν, ἀλλὰ μάλιστα τὴν πολεμικήν· αὕτη γὰρ ἐν πλήθει γίγνεται. διόπερ κατὰ ταύτην τὴν πολιτείαν κυριώτατον τὸ προπολεμοῦν, καὶ μετέχουσιν αὐτῆς οἱ κεκτημένοι τὰ ὅπλα[b]. *παρεκβάσεις δὲ τῶν εἰρημένων τυραννὶς μὲν βασιλείας, ὀλιγαρχία δὲ ἀριστοκρατίας, δημοκρατία δὲ πολιτείας. ἡ μὲν γὰρ τυραννίς ἐστι μοναρχία πρὸς τὸ συμφέρον τὸ τοῦ μοναρχοῦντος, ἡ δ' ὀλιγαρχία πρὸς τὸ τῶν εὐπόρων, ἡ δὲ δημοκρατία πρὸς τὸ συμφέρον τὸ τῶν ἀπόρων· πρὸς δὲ τὸ τῷ κοινῷ λυσιτελοῦν οὐδεμία αὐτῶν.* degenerae

344 B Ib. IV 8. 1294ᵃ 9. *Δοκεῖ δὲ ἀριστοκρατία μὲν εἶναι μάλιστα τὸ τὰς τιμὰς νενεμῆσθαι κατ' ἀρετήν· ἀριστοκρατίας μὲν γὰρ ὅρος ἀρετή, ὀλιγαρχίας δὲ πλοῦτος, δήμου δ' ἐλευθερία. — ἐπεὶ δὲ τρία ἐστὶ τὰ ἀμφισβητοῦντα τῆς ἰσότητος τῆς πολιτείας, ἐλευθερία, πλοῦτος, ἀρετή (τὸ γὰρ τέταρτον, ὃ καλοῦσιν εὐγένειαν, ἀκολουθεῖ τοῖς δυσίν· ἡ γὰρ εὐγένειά ἐστιν ἀρχαῖος πλοῦτος καὶ ἀρετή), φανερὸν ὅτι τὴν μὲν τοῖν δυοῖν μῖξιν, τῶν εὐπόρων καὶ τῶν ἀπόρων, πολιτείαν λεκτέον, τὴν δὲ τῶν τριῶν ἀριστοκρατίαν μάλιστα τῶν ἄλλων παρὰ τὴν ἀληθινὴν καὶ πρώτην*[d]. temperatae

a. Pol. IV 14. 1297ᵇ 37 *ἔστι δὴ τρία μόρια τῶν πολιτειῶν πασῶν. — ἔστι δὲ τῶν τριῶν τούτων ἓν μέν τι τὸ βουλευόμενον περὶ τῶν κοινῶν, δεύτερον δὲ τὸ περὶ τὰς ἀρχάς (τοῦτο δ' ἐστὶν ἃς δεῖ καὶ τίνων εἶναι κυρίας, καὶ ποίαν τινὰ δεῖ γίγνεσθαι τὴν αἵρεσιν αὐτῶν), τρίτον δὲ τί τὸ δικάζον, κύριον δ' ἐστὶ τὸ βουλευόμενον περὶ πολέμου καὶ εἰρήνης καὶ συμμαχίας καὶ διαλύσεως, καὶ περὶ νόμων, καὶ περὶ θανάτου καὶ φυγῆς καὶ δημεύσεως, καὶ τῶν εὐθυνῶν.*

b. Necessitudo quaedam intercedit inter formam civitatis et ingenium plebis: Pol. III 17. 1288ᵃ 8 *βασιλευτὸν μὲν οὖν τὸ τοιοῦτόν ἐστι πλῆθος ὃ πέφυκε φέρειν γένος ὑπερέχον κατ' ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν, ἀριστοκρατικὸν δὲ πλῆθος ὃ πέφυκε φέρειν τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ' ἀρετὴν ἡγεμονικῶν πρὸς πολιτικὴν ἀρχήν, πολιτικὸν δὲ πλῆθος ἐν ᾧ πέφυκε ἐγγίγνεσθαι πλῆθος πολεμικὸν δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ' ἀξίαν διανέμοντα τοῖς εὐπόροις τὰς ἀρχάς.*

c. Itaque πολιτεία vocatur τιμοκρατία Eth. Nic. VIII 12. 1160ᵃ 36.

d. De dubiis πολιτείας et ἀριστοκρατίας notionibus cf. Z. II 2³ 713 sq. 741. 745.

civitas censu temperata

Pol. IV 11. 1295ᵃ 25. Τίς δ' ἀρίστη πολιτεία καὶ τίς 345
ἄριστος βίος ταῖς πλείσταις πόλεσι καὶ τοῖς πλείστοις τῶν ἀνθρώπων, μήτε πρὸς ἀρετὴν συγκρίνουσι τὴν ὑπὲρ τοὺς ἰδιώτας, μήτε πρὸς παιδείαν ᾗ [1] φύσεως δεῖται καὶ χορηγίας τυχηρᾶς, μήτε πρὸς πολιτείαν τὴν κατ' εὐχὴν γιγνομένην, ἀλλὰ βίον τε τὸν τοῖς πλείστοις κοινωνῆσαι δυνατὸν καὶ πολιτείαν ἧς τὰς πλείστας πόλεις ἐνδέχεται μετασχεῖν; — ἡ δὲ δὴ κρίσις περὶ ἁπάντων τούτων ἐκ τῶν αὐτῶν στοιχείων ἐστίν. εἰ γὰρ καλῶς ἐν τοῖς ἠθικοῖς εἴρηται τὸ τὸν εὐδαίμονα βίον εἶναι τὸν κατ' ἀρετὴν ἀνεμπόδιστον, μεσότητα δὲ τὴν ἀρετήν, τὸν μέσον ἀναγκαῖον βίον εἶναι βέλτιστον, τῆς ἑκάστοις ἐνδεχομένης τυχεῖν μεσότητος. τοὺς δὲ αὐτοὺς τούτους ὅρους ἀναγκαῖον εἶναι καὶ πόλεως ἀρετῆς καὶ κακίας καὶ πολιτείας· ἡ γὰρ πολιτεία βίος τίς ἐστι πόλεως. ἐν ἁπάσαις δὴ ταῖς πόλεσίν ἐστι τρία μέρη τῆς πόλεως, οἱ μὲν εὔποροι σφόδρα, οἱ δὲ ἄποροι σφόδρα, οἱ δὲ τρίτοι οἱ μέσοι τούτων. ἐπεὶ τοίνυν ὁμολογεῖται τὸ μέτριον ἄριστον καὶ τὸ μέσον, φανερὸν ὅτι καὶ τῶν εὐτυχημάτων ἡ κτῆσις ἡ μέση βελτίστη πάντων· ῥᾴστη γὰρ τῷ λόγῳ πειθαρχεῖν· ὑπέρκαλον δὲ ἢ ὑπερίσχυρον ἢ ὑπερευγενῆ ἢ ὑπερπλούσιον, ἢ τἀναντία τούτοις, ὑπέρπτωχον ἢ ὑπερασθενῆ καὶ σφόδρα ἄτιμον, χαλεπὸν τῷ λόγῳ ἀκολουθεῖν. — 1295ᵇ 34. Δῆλον ἄρα ὅτι καὶ ἡ κοινωνία ἡ πολιτικὴ ἀρίστη ἡ διὰ τῶν μέσων, καὶ τὰς τοιαύτας ἐνδέχεται εὖ πολιτεύεσθαι πόλεις ἐν αἷς δὴ πολὺ τὸ μέσον, καὶ κρεῖττον μάλιστα μὲν ἀμφοῖν, εἰ δὲ μή, θατέρου μέρους· προστιθέμενον γὰρ ποιεῖ ῥοπὴν καὶ κωλύει γίγνεσθαι τὰς ἐναντίας ὑπερβολάς. — Ib. 12.

quo modo stabilienda

1296ᵇ 14. Δεῖ γὰρ κρεῖττον εἶναι τὸ βουλόμενον μέρος τῆς πόλεως τοῦ μὴ βουλομένου μένειν τὴν πολιτείαν. ἔστι δὲ πᾶσα πόλις ἔκ τε τοῦ ποιοῦ καὶ ποσοῦ. λέγω δὲ ποιὸν μὲν ἐλευθερίαν πλοῦτον παιδείαν εὐγένειαν, ποσὸν δὲ τὴν τοῦ

---

1) ᾗ Bekker: ἃ vulgo.

πλήθους ὑπεροχήν. ἐνδέχεται δὲ τὸ μὲν ποιὸν ὑπάρχειν ἑτέρῳ μέρει τῆς πόλεως, ἐξ ὧν συνέστηκε μερῶν ἡ πόλις, ἄλλῳ δὲ μέρει τὸ ποσόν, οἷον πλείους τὸν ἀριθμὸν εἶναι τῶν γενναίων τοὺς ἀγεννεῖς ἢ τῶν πλουσίων τοὺς ἀπόρους, μὴ μέντοι τοσοῦτον ὑπερέχειν τῷ ποσῷ ὅσον λείπεσθαι τῷ ποιῷ. διὸ ταῦτα πρὸς ἄλληλα συγκριτέον. — δεῖ δ' ἀεὶ τὸν νομοθέτην ἐν τῇ πολιτείᾳ προσλαμβάνειν τοὺς μέσους· ἄν τε γὰρ ὀλιγαρχικοὺς τοὺς νόμους τιθῇ, στοχάζεσθαι χρὴ τῶν μέσων, ἐάν τε δημοκρατικούς, προσάγεσθαι τοῖς νόμοις τούτους[a]. *ὅπου δὲ τὸ τῶν μέσων ὑπερτείνει πλῆθος ἢ συναμφοτέρων τῶν ἄκρων ἢ καὶ θατέρου μόνον, ἐνταῦθ' ἐνδέχεται πολιτείαν εἶναι μόνιμον. οὐθὲν γὰρ φοβερὸν μή ποτε συμφωνήσωσιν οἱ πλούσιοι τοῖς πένησιν ἐπὶ τούτους· οὐδέποτε γὰρ ἅτεροι βουλήσονται δουλεύειν τοῖς ἑτέροις, κοινοτέραν δ' ἂν ζητῶσιν, οὐδεμίαν εὑρήσουσιν ἄλλην ταύτης. ἐν μέρει γὰρ ἄρχειν οὐκ ἂν ὑπομείνειαν διὰ τὴν ἀπιστίαν τὴν πρὸς ἀλλήλους· πανταχοῦ δὲ πιστότατος ὁ διαιτητής, διαιτητὴς δ' ὁ μέσος. ὅσῳ δ' ἂν ἄμεινον ἡ πολιτεία μιχθῇ, τοσούτῳ μονιμωτέρα.*

a. In legibus civitatis, quamquam non satis prospicere possunt singulis casibus (**RP** 341 d), nihil temere est mutandum (Pol. II 8. 1269[a] 9 sq.), nam ut quisque est pessimae indolis, ita maxime novis rebus studere solet: Eth. Nic. VII 15. 1154[b] 28.

346 Pol. VIII 1. 1337[a] 11. *Ὅτι μὲν οὖν τῷ νομοθέτῃ μάλιστα πραγματευτέον περὶ τὴν τῶν νέων παιδείαν, οὐδεὶς ἂν ἀμφισβητήσειεν· καὶ γὰρ ἐν ταῖς πόλεσιν οὐ γιγνόμενον τοῦτο βλάπτει τὰς πολιτείας. δεῖ γὰρ πρὸς ἑκάστην πολιτεύεσθαι. τὸ γὰρ ἦθος τῆς πολιτείας ἑκάστης τὸ οἰκεῖον καὶ φυλάττειν εἴωθε τὴν πολιτείαν καὶ καθίστησιν ἐξ ἀρχῆς, οἷον τὸ μὲν δημοκρατικὸν δημοκρατίαν, τὸ δ' ὀλιγαρχικὸν ὀλιγαρχίαν· ἀεὶ δὲ τὸ βέλτιστον ἦθος βελτίονος αἴτιον πολιτείας. ἔτι δὲ πρὸς πάσας δυνάμεις καὶ τέχνας ἔστιν ἃ δεῖ προπαιδεύεσθαι καὶ προεθίζεσθαι πρὸς τὰς ἑκάστων ἐργασίας, ὥστε δῆλον ὅτι καὶ πρὸς τὰς τῆς ἀρετῆς πράξεις. ἐπεὶ δ' ἓν τὸ τέλος τῇ πόλει πάσῃ, φανερὸν ὅτι καὶ τὴν παιδείαν μίαν καὶ τὴν αὐτὴν ἀναγκαῖον εἶναι πάντων καὶ ταύτης τὴν ἐπιμέλειαν εἶναι κοινὴν καὶ μὴ κατ' ἰδίαν, ὃν τρόπον νῦν* educatio puerorum

ἕκαστος ἐπιμελεῖται τῶν αὑτοῦ τέκνων ἰδίᾳ τε καὶ μάθησιν ἰδίαν, ἣν ἂν δόξῃ, διδάσκων. δεῖ δὲ τῶν κοινῶν κοινὴν ποιεῖσθαι καὶ τὴν ἄσκησιν.

Rhetorica et Poetica.

---

rhetorica Rhet. I 2. 1355[b] 26. *Ἔστω δὴ ῥητορικὴ δύναμις περὶ* 347 A *ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν.* — Ib. I 4. 1359[b] 9. *Ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς.* — Ib. I 3. 1358[a] 36. *Ἔστι δὲ τῆς ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν· τοσοῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες. — ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ θεωρὸν εἶναι ἢ κριτήν, κριτὴν δὲ ἢ τῶν γεγενημένων ἢ τῶν μελλόντων. ἔστι δ' ὁ μὲν περὶ τῶν μελλόντων κρίνων οἷον ἐκκλησιαστής, ὁ δὲ περὶ τῶν γεγενημένων οἷον ὁ δικαστής, ὁ δὲ περὶ τῆς δυνάμεως ὁ θεωρός· ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν· συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν*[a].

ars Anal. post. II 19. 100[a] 6. *Ἐκ δ' ἐμπειρίας ἢ ἐκ παν-* 347 B *τὸς ἠρεμήσαντος τοῦ καθόλου ἐν τῇ ψυχῇ, τοῦ ἑνὸς παρὰ τὰ πολλά, ὃ ἂν ἐν ἅπασιν ἓν ἐνῇ ἐκείνοις τὸ αὐτό, τέχνης ἀρχὴ καὶ ἐπιστήμης, ἐὰν μὲν περὶ γένεσιν, τέχνης, ἐὰν δὲ περὶ τὸ ὄν, ἐπιστήμης.* — Eth. Nic. VI 4. 1140[a] 1. *Τοῦ δ' ἐνδεχομένου ἄλλως ἔχειν ἔστι τι καὶ ποιητὸν καὶ πρακτόν, ἕτερον δ' ἐστὶ ποίησις καὶ πρᾶξις. — ἡ μὲν οὖν τέχνη — ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν.*

imitatio Poet. 1. 1447[a] 13. *Ἐποποιία δὴ καὶ ἡ τῆς τραγῳδίας ποίησις, ἔτι δὲ κωμῳδία καὶ ἡ διθυραμβοποιητικὴ καὶ τῆς αὐλητικῆς ἡ πλείστη καὶ κιθαριστικῆς, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον. διαφέρουσι δὲ ἀλλήλων τρισίν· ἢ γὰρ τῷ γένει ἑτέροις μιμεῖσθαι, ἢ τῷ ἕτερα ἢ τῷ ἑτέρως*

καὶ μὴ τὸν αὐτὸν τρόπον. — ἅπασαι μὲν ποιοῦνται τὴν μίμησιν ἐν ῥυθμῷ καὶ λόγῳ καὶ ἁρμονίᾳ, τούτοις δ' ἢ χωρὶς ἢ μεμιγμένοις.

Ib. 6. 1449[b] 24. Ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, ἡδυσμένῳ λόγῳ, χωρὶς ἑκάστου τῶν εἰδῶν ἐν τοῖς μορίοις, δρώντων καὶ οὐ δι' ἀπαγγελίας, δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν[b]. tragoedia

a. Cf. Ar. ars rhet. c. comm. ed. L. Spengel, Lips. 1867. — L. Spengel, *ü. d. Rhet. d. Ar.*, *Abh. d. Münch. Ak.* VI, 1851. H. Diels, *ü. d. dritte Buch d. Arist. Rhet., Abh. d. Berl. Ak.*, 1886.

b. Cf. Ar. de arte poet. liber ed. F. Susemihl Lips. 1865; ed. F. Überweg, Berol. 1871; J. Vahlen, Berol. 1874. — G. Teichmüller, *Aristotel. Forschungen* I. II, Hal. 1867. 1869. — J. Bernays, *ü. d. Arist. Theorie d. Drama*, Berol. 1880. — A. Döring, *d. Kunstlehre d. Ar.*, Jen. 1876. Brandis, *Hdb.* II, 1683—1714. III 1, 156—178. Z. II 2[3] 763—787.

Aristotelis discipuli.

348 A Diog. V 35. Τοῦ δὴ Σταγειρίτου γεγόνασι μὲν πολλοὶ γνώριμοι, διαφέρων δὲ μάλιστα Θεόφραστος[a]. — 36. Θεόφραστος[b] Μελάντα Ἐρέσιος. — οὗτος πρῶτον μὲν ἤκουσεν Ἀλκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ' ἀκούσας Πλάτωνος μετέστη πρὸς Ἀριστοτέλην· κἀκείνου εἰς Χαλκίδα ὑποχωρήσαντος αὐτὸς διεδέξατο τὴν σχολὴν Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ (a. 324—320). — 38. χἀπεδήμησε πρὸς ὀλίγον καὶ οὗτος καὶ πάντες οἱ λοιποὶ φιλόσοφοι Σοφοκλέους τοῦ Ἀμφικλείδου νόμον εἰσενεγκόντος μηδένα τῶν φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν. ἀλλ' αὖθις ἐπανῆλθον εἰς νέωτα Φίλωνος τὸν Σοφοκλέα γραψαμένου παρανόμων. — 40. ἐτελεύτα[c] δὴ γηραιὸς βιοὺς Theophrasti vita

ἔτη πέντε καὶ ὀγδοήκοντα, ἐπειδήπερ ὀλίγον ἀνῆκε τῶν πόνων. — 42. καταλέλοιπε δὲ βιβλία καὶ αὐτὸς ὅτι μάλιστα πάμπλειστα[d].

a. Narratiuncula lepidissima sed haud fide digna de Aristotele verbis ἡδίων ὁ Λέσβιος successorem Theophrastum, non Eudemum significante est apud Gellium N. A. XIII 5.

b. Quod Aristoteles nomen eius, cum antea fuisset Tyrtamus, propter divinum loquendi nitorem (Cic. Brut. 121. Quintil. Inst. X 1, 83) in Theophrastum mutasse fertur (Strab. XIII 2, 4 p. 618. Cic. orat. 62. Diog. 38), veri simile non est.

c. Ol. 123 (a. 288—284), cf. **RP** 352.

libri **d.** De indicibus librorum a Diogene V 42—50 ex Hermippo aliisque compilatis cf. Usener, Analecta Theophrastea I, Lips. 1858. Prantl, *Gesch. d. Log.* I 350. — Ex ingenti multitudine librorum pauci iique partim depravati aetatem tulerunt, inprimis π. φυτῶν ἱστορίας l. IX, π. φυτῶν αἰτιῶν l. VI. Quae exstant maximam partem ed. J. G. Schneider, Lips. 1818—21; F. Wimmer, Lips. 1854, Paris. 1866. Metaphysicorum fragm. ed. Brandis, Berol. 1823; emend. Usener, Mus. Rhen. XVI (1861) p. 259 sq. Libros de physicorum opinionibus uberrimum et fere unicum fontem doctrinae doxographorum inferioris aetatis fuisse demonstravit et vestigia eorum quam longissime persecutus reliquias collegit atque recensuit H. Diels in Doxographis Graecis, Berol. 1879. **RP** 4*. 12*. 14 B*. 17 b. 88. 91 b. 102 a. 118 a. 143 b. Scriptionis π. εὐσεβείας frustula ex Porphyrio expiscatus est J. Bernays (*Theophrastos' Schrift ü. Frömmigkeit*, Berol. 1866). Ex moralis philosophiae scriptis mansit, quamquam in angustum coactus (cf. Diels, Theophrastea, Berol. 1883), libellus qui inscribitur ἠθικοὶ χαρακτῆρες (ed. Dübner, Paris. 1842; Foss, Lips. 1858; Petersen, Lips. 1859). De libro qui inscriptus erat Καλλισθένης ἢ περὶ πένθους cf. Cic. Tusc. III 21. V 25. De Th. libris π. φιλίας scripsit G. Heylbut, Bonn. 1876. Cf. praeterea Zeller, *d. Streit Th.s geg. Zenon ü. d. Ewigk. d. Welt, Hermes* XI, 422 sq., Berol. 1876. Idem, *Hermes* XV (1880) 137 sq.

doctrina Boethius de Interpret.[2] I p. 292 Bas. 12, 3 Meiser. Theo- 348 B
phrastus, ut in aliis solet, cum de similibus rebus tractat, quae scilicet ab Aristotele ante tractata sunt, in libro quoque de adfirmatione et negatione isdem aliquibus verbis utitur, quibus hoc libro Aristoteles usus est. — in omnibus enim, de quibus ipse disputat post magistrum, leviter ea tangit quae ab Aristotele dicta ante cognovit, alias vero diligentius res non ab Aristotele tractatas exsequitur[a].

a. Sensuum auctoritatem et experientiam inprimis sequebatur (Simplic. Phys. f. 5v. 20, 17 D.) In logicis (cf. Prantl I 346 sq.) et physicis praeceptoris doctrinam paucis mutatis et adiectis retinuit, in metaphysicis religiose examinavit. In ethicis maxime singula persecutus externis bonis nimium tribuisse insimulatur (Cic. de Fin. V 12. Tusc. V 24 sq.). Vitam contemplativam adeo omnibus anteponebat (Cic. ad Att. II 16, 3), ut philosopho, ne studia impedirentur, vel uxorem ducere dissuaderet (Hieron. adv. Iovin. I 47 p. 189 sq. Bened.). — Cf. Brandis, *Hdb.* III 1, 250—374. Zeller II 2³ 806—869.

349 Simplic. Phys. 93r 411, 15 D. *Εὔδημος ὁ γνησιώτατος τῶν Ἀριστοτέλους ἑταίρων*[a].

a. Eudemus, Rhodius (RP 348 A a), in omnibus fere praeceptoris vestigia pressit. Huius de physica libros scholarum in usum retractans fere ad verbum expresserat (Simplic. Phys. f. 201v. 279r). Ethicorum libri inter Aristotelis opera exstant, RP 304. Historias conscripserat arithmeticam, geometricam, astrologicam, ex quibus posteri fere omnem de harum artium memoria doctrinam hauserunt. — Ethica Eudemia ed. A. Th. H. Fritzsche, Ratisbon. 1851. Eudemi Rhodii fragm. ed. L. Spengel, Berol. 1866 (1870). Idem *Abh. d. Münch. Ak.* III p. 506 sq. Brandis, *Hdb.* III 1, 215—250. Zeller II 2³ 869—881.

350 Cic. Tusc. I 19. Aristoxenus musicus idemque philosophus[a] ipsius corporis intentiones quandam (animam esse dixit); velut in cantu et fidibus quae harmonia dicitur, sic ex corporis totius natura et figura varios motus cieri tamquam in cantu sonos[b]. Aristoxenus

a. Ar., Spinthari f., Tarentinus, Xenophili Pythagorei, deinde Aristotelis discipulus, musicorum totius antiquitatis nobilissimus, de musica, philosophia, historia ita scripsit, ut morum austeritatem et musicam scientiam Pythagoream cum Peripateticorum doctrina coniungeret. — Cf. RP 41—51 passim. Mahne, de Ar., Amstelod. 1793. Müller F H G II 269 sq. Brandis, *Hdb.* III 1, 378 sq. Z. II 2³ 881 sq.

b. Tali doctrina adversatur Arist. de An. I 4. 407b 27.

351 Cic. Tusc. I 21. Dicaearchus autem in eo sermone, quem Corinthi habitum tribus libris exponit, doctorum hominum disputantium primo libro multos loquentes facit, duobus Pherecraten quendam Phthiotam senem, quem ait a Deucalione ortum, disserentem inducit nihil esse omnino Dicaearchus

animum et hoc esse nomen totum inane frustraque et animalia et animantes appellari, neque in homine inesse animum vel animam nec in bestia, vimque omnem eam, qua vel agamus quid vel sentiamus, in omnibus corporibus vivis aequabiliter esse fusam nec separabilem a corpore esse, quippe quae nulla sit nec sit quicquam nisi corpus unum et simplex ita figuratum, ut temperatione naturae vigeat et sentiat[a].

a. Dic., Phidiae f., Messana in Sicilia natus, condiscipulus Aristoxeni, *τὸν πρακτικὸν βίον* longe omnibus anteponebat (Cic. ad Att. II 16, 3). Cum de geographia, historia, poesi, philosophia multa, tum de optima reipublicae temperatione *Τριπολιτικὸν* scripsit (Cic. ad Att. XIII 32. Athen. IV 141 a). — Cf. Fuhr, Dic. Mess. quae supersunt, Darmst. 1841. F. Osann, *Beitr. z. gr. u. röm. Litt.gesch., Cassel* 1839, II 1—119. Schrader, Quaest. Peripat., Hamb. 1884. Müller, F H G II 225 sq. Brd. III 1, 384 sq. Z. II 2[3] 889 sq.

Strato Diog. V 58. *Διεδέξατο δ' αὐτοῦ (τοῦ Θεοφράστου) τὴν σχολὴν Στράτων Ἀρκεσιλάου Λαμψακηνός, — ἀνὴρ ἐλλογιμώτατος καὶ φυσικὸς ἐπικληθεὶς ἀπὸ τοῦ περὶ τὴν θεωρίαν ταύτην παρ' ὁντινοῦν ἐπιμελέστατα διατετριφέναι. ἀλλὰ καὶ καθηγήσατο Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ ἔλαβε, φασί, παρ' αὐτοῦ τάλαντα ὀγδοήκοντα. σχολαρχεῖν δέ, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ἤρξατο τῇ τρίτῃ καὶ εἰκοστῇ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὀκτωκαίδεκα* (a. 288/284—270/268)[a]. 352

a. Cic. Acad. post. I 34. *Strato, eius* (Theophrasti) *auditor, quamquam fuit acri ingenio, tamen ab ea disciplina omnino semovendus est: qui cum maxime necessariam partem philosophiae, quae posita est in virtute et in moribus, reliquisset totumque se ad investigationem naturae contulisset, in ea ipsa plurimum discedit a suis.* Cf. Cic. Fin. V 13. Libros enumerat Diog. V 59—60. De disserendi genere Polyb. XII 25[c], 3 p. 750 Bk. *παραπλήσιον γὰρ δή τι τοιοῦτο συμβέβηκε καὶ Στράτωνι τῷ φυσικῷ· καὶ γὰρ ἐκεῖνος, ὅταν ἐγχειρήσῃ τὰς τῶν ἄλλων δόξας διαστέλλεσθαι καὶ ψευδοποιεῖν, θαυμάσιός ἐστιν, ὅταν δ' ἐξ αὑτοῦ τι προφέρηται καί τι τῶν ἰδίων ἐπινοημάτων ἐξηγῆται, παρὰ πολὺ φαίνεται τοῖς ἐπιστήμοσιν εὐηθέστερος αὑτοῦ καὶ νωθρότερος.*

anima movetur Simpl. Phys. f. 225[r]. *Καὶ Στράτων δὲ ὁ Λαμψακηνὸς τὴν ψυχὴν ὁμολογεῖ κινεῖσθαι, οὐ μόνον τὴν ἄλογον, ἀλλὰ καὶ τὴν λογικήν, κινήσεις λέγων εἶναι τὰς ἐνεργείας τῆς ψυχῆς.* 353

λέγει οὖν ἐν τῷ περὶ κινήσεως πρὸς ἄλλοις πολλοῖς καὶ τάδε· „ἀεὶ γὰρ ὁ νοῶν κινεῖται, ὥσπερ καὶ ὁ ὁρῶν καὶ ἀκούων καὶ ὀσφραινόμενος· ἐνέργεια γὰρ ἡ νόησις τῆς διανοίας καθάπερ καὶ ἡ ὅρασις τῆς ὄψεως.“ καὶ πρὸ τούτου δὲ τοῦ ῥητοῦ γέγραφεν· „ὅτι οὖν εἰσιν αἱ πλεῖσται τῶν κινήσεων αἰτίαι, ἃς ἡ ψυχὴ καθ᾽ αὑτὴν κινεῖται διανοουμένη καὶ ἃς ὑπὸ τῶν αἰσθήσεων ἐκινήθη πρότερον, δῆλόν ἐστιν. ὅσα γὰρ μὴ πρότερον ἑώρακε, ταῦτα οὐ δύναται νοεῖν, οἷον τόπους ἢ λιμένας ἢ γραφὰς ἢ ἀνδριάντας ἢ ἀνθρώπους ἢ τῶν ἄλλων τι τῶν τοιούτων.“[a]

a. Cf. RP 335 sq. Sext. Math. VII 350 *οἱ δὲ αὐτὴν (τὴν διάνοιαν) εἶναι τὰς αἰσθήσεις, καθάπερ διά τινων ὀπῶν τῶν αἰσθητηρίων προκύπτουσαν, ἧς στάσεως ἦρξε Στράτων.* Cf. Plac. IV 5, 2. Dox. 391; 23, 3. Dox. 415.

354 Cic. Deor. Nat. I 35. Nec audiendus eius (Theophrasti) auditor Strato, is qui physicus appellatur, qui omnem vim divinam in natura sitam esse censet, quae causas gignendi, augendi, minuendi habeat, sed careat omni sensu et figura[a]. natura

a. Cic. Acad. II 38 *negat (Strato) opera deorum se uti ad fabricandum mundum. quaecunque sint, docet omnia effecta esse natura nec ut ille, qui asperis et levibus et hamatis uncinatisque corporibus concreta haec esse dicat interiecto inani. somnia censet haec esse Democriti, non docentis sed optantis. ipse autem singulas mundi partes persequens, quidquid aut sit aut fiat, naturalibus fieri aut factum esse docet ponderibus et motibus.* — Plut. adv. Colot. 14. p. 1115 *τελευτῶν τὸν κόσμον αὐτὸν οὐ ζῷον εἶναί φησι, τὸ δὲ κατὰ φύσιν ἕπεσθαι τῷ κατὰ τύχην· ἀρχὴν γὰρ ἐνδιδόναι τὸ αὐτόματον, εἶτα οὕτω περαίνεσθαι τῶν φυσικῶν παθῶν ἕκαστον.* — Cf. C. Nauwerck, de Strat. Lamps., Berol. 1836. Müller, FHG II 369. Krische, *Forsch.* 349 sq. Br. III 1, 394 sq. Z. II 2³ 901 sq.

355 Cic. Fin. V 13. Huius (Stratonis discipulus) Lyco, oratione locuples, rebus ipsis ieiunior[a]. Concinnus deinde et elegans huius Aristo[b]; sed ea quae desideratur a magno philosopho gravitas in eo non fuit: scripta sane et multa et polita, sed nescio quo pacto auctoritatem oratio non habet. Praetereo multos, in his doctum hominem et suavem, Hieronymum, quem iam cur Peripateticum appellem nescio. Summum enim bonum exposuit vacuitatem doloris[c]; qui

Lyco · Aristo · Hieronymus

autem de summo bono dissentit, de tota philosophiae ratione dissentit. Critolaus[d] imitari voluit antiquos, et quidem est gravitate proximus et redundat oratio: ac tamen ne is quidem in patriis institutis manet. Diodorus, eius auditor, adiungit ad honestatem vacuitatem doloris. Hic quoque suus est; de summo bono dissentiens vere Peripateticus dici non potest[e].

Critolaus

Diodorus

a. Lyco, Troadensis, post Stratonem scholae praeerat usque ad a. 226/224. Diog. V 65; Plut. de Exsil. 14 p. 605.

b. De Aristone Ceo Peripatetico ab Aristone Chio Stoico recte distinguendo cf. Hubmann in Jahnii Annal. Suppl. III (1834), 102 sq.; Ritschl, Mus. Rh. I (1842) 193 sq. (= Opusc. I 551); H. Sauppe, Philodem. de vitiis, Lips. 1853, p. 6 sq.

c. De Hieronymo, Rhodio, qui Arcesilae et Lyconis aequalis fuit, praeter illam sententiam nihil quod ad philosophiam attineat traditur, cf. Cic. Fin. II 8; Acad. II 131. Fragm. coll. E. Hiller in Satura philol. Sauppio obl., Berol. 1879.

d. Critolaus, Phaselites, qui Lyconi in schola successit, ab Atheniensibus una cum Carneade et Diogene Romam legatus missus est a. 155, v. **RP** 444. — De argumentis, quibus aeternitatem mundi defendit, cf. [Philo] *π. ἀφθαρσίας κόσμου* c. 11—15.

e. Diodorus, Tyrius, erat Critolai auditor et in schola successor, cf. Cic. Fin. II 19; de Orat. I 45; Stob. Ecl. I 58; Clem. Strom. I 63, p. 353 P. — Cic. de Fin. V 21; Acad. II 131. — De iis, quos Cicero praetermisisse videtur, et de successione Peripateticorum v. Zumpt, Comm. Ac. Berol. a. 1842, p. 91 sq.; de ethica recentiorum Peripateticorum Stob. Ecl. II 58; Clem. Strom. II 34, p. 447 P.; de logica Prantl, *Gesch. d. Log.* I 529 sq.

Sceptici antiquiores.

356 Diog. IX 61. *Πύρρων Ἠλεῖος Πλειστάρχου μὲν ἦν υἱός —, ὥς φησι δ' Ἀπολλόδωρος ἐν Χρονικοῖς, πρότερον ἦν ζωγράφος καὶ ἤκουσε Βρύσωνος τοῦ Στίλπωνος —, εἶτ' Ἀναξάρχῳ ξυνακολουθῶν πανταχοῦ, ὡς καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμῖξαι καὶ τοῖς Μάγοις*[a]. Pyrrho

a. Sicut Anaxarchus, Abderita, Alexandri in oriente comes, erat ex Democriteis, ita Pyrrho quoque in multis Democritum secutus esse dicitur: Diog. IX 58. 63. 67; Aristocl. ap. Euseb. Pr. Ev. XIV 18, 27. Nihil scripti reliquisse dicitur: Aristocl. l. l. 18, 2; Diog. prooem. 16; IX 102. — Cf. Ch. Waddington, *Pyrrhon et le pyrrhonisme,* Paris. 1877.

357 Aristocl. ap. Euseb. Pr. Ev. XIV 18, 28. *Ἐγένετο δὲ μαθητὴς αὐτοῦ (Πύρρωνος) Τίμων Φλιάσιος*[a], *ὃς τὸ μὲν πρῶτον ἐχόρευεν ἐν τοῖς θεάτροις, ἔπειτα δ' ἐντυχὼν αὐτῷ συνέγραψεν ἀργαλέας παρῳδίας καὶ βωμολόχους, ἐν αἷς βεβλασφήμηκε πάντας τοὺς πώποτε φιλοσοφήσαντας. οὗτος γὰρ ἦν ὁ τοὺς σίλλους γράψας*[b]. Timon

a. Etiam Stilpo eius magister fuisse perhibetur. Versabatur plerumque Athenis et Chalcedone. Ut inferiores Sceptici (**RP** 474c) videtur medicam artem professus esse: Diog. IX 109. 110.

b. Sillis adeo inclaruit ut *σιλλογράφος* diceretur: Diog. IX 110 *καὶ γὰρ ποιήματα συνέγραφε καὶ ἔπη καὶ τραγῳδίας καὶ σατύρους καὶ δράματα κωμικὰ τριάκοντα, τραγικὰ δὲ ἑξήκοντα, σίλλους τε καὶ κιναίδους.* 111. *φέρεται δ' αὐτοῦ καὶ καταλογάδην βιβλία. — τῶν δὲ σίλλων τρία ἐστίν, ἐν οἷς ὡς ἂν σκεπτικὸς ὢν πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικοὺς ἐν παρῳδίας εἴδει. ὧν τὸ μὲν πρῶτον αὐτοδιήγητον ἔχει τὴν ἑρμηνείαν, τὸ δὲ δεύτερον καὶ τρίτον ἐν διαλόγου σχήματι. φαίνεται γοῦν ἀνακρίνων Ξενοφάνην τὸν Κολοφώνιον περὶ ἑκάστων* (**RP** 80b), *ὁ δ' αὐτῷ διηγούμενός ἐστι· καὶ ἐν μὲν τῷ δευτέρῳ περὶ*

τῶν ἀρχαιοτέρων, ἐν δὲ τῷ τρίτῳ περὶ τῶν ὑστέρων. — 112. τὸ δὲ πρῶτον ταὐτὰ περιέχει πράγματα πλὴν ὅτι μονοπρόσωπός ἐστιν ἡ ποίησις. — Antiquiorum Scepticorum disciplina cum Timone fere exstincta est, cf. Diog. IX 115. Cic. de Or. III 62. De recentioribus v. RP 474 sq. — De Timonis vita et scriptis disseruerunt: C. Wachsmuth, Sillograph. Graec. reliqu., Lips. 1885, p. 8—85. U. de Wilamowitz, *Antig. v. Kar.* p. 31 sq. 41 sq. R. Hirzel, *Untersuch. z. Cic. phil. Schr.* III, Lips. 1883. P. Natorp, *Forschungen z. Gesch. d. Erkenntnissproblems i. Alterth., Berl.* 1884.

summa praecepta

Aristocles ap. Euseb. Pr. Ev. XIV 18, 2. Ὁ δέ γε μαθητὴς αὐτοῦ (Πύρρωνος) Τίμων φησὶ δεῖν τὸν μέλλοντα εὐδαιμονήσειν εἰς τρία ταῦτα βλέπειν· πρῶτον μὲν ὁποῖα πέφυκε τὰ πράγματα, δεύτερον δὲ τίνα χρὴ τρόπον ἡμᾶς πρὸς αὐτὰ διακεῖσθαι, τελευταῖον δὲ τί περιέσται τοῖς οὕτως ἔχουσι. 3. τὰ μὲν οὖν πράγματά φησιν αὐτὸν ἀποφαίνειν ἐπ' ἴσης ἀδιάφορα καὶ ἀστάθμητα καὶ ἀνεπίκριτα· διὰ τοῦτο μήτε τὰς αἰσθήσεις ἡμῶν μήτε τὰς δόξας ἀληθεύειν ἢ ψεύδεσθαι. διὰ τοῦτο οὖν μηδὲ πιστεύειν αὐταῖς δεῖν, ἀλλ' ἀδοξάστους καὶ ἀκλινεῖς καὶ ἀκραδάντους εἶναι περὶ ἑνὸς ἑκάστου λέγοντας ὅτι οὐ μᾶλλον ἔστιν ἢ οὐκ ἔστιν, ἢ καὶ ἔστι καὶ οὐκ ἔστιν, ἢ οὔτε ἔστιν οὔτ' οὐκ ἔστιν[a]. 4. τοῖς μέντοι διακειμένοις οὕτω περιέσεσθαι Τίμων φησὶ πρῶτον μὲν ἀφασίαν, ἔπειτα δ' ἀταραξίαν[b]. 358

a. Gell. N. A. XI 5. 4 (Pyrrhonem his verbis) *esse usum tradunt:* οὐ μᾶλλον οὕτως ἔχει τόδε ἢ ἐκείνως ἢ οὐθετέρως.

b. Quam animi tranquillitatem qui assecutus est in una virtute veram felicitatem inesse sentit: Cic. de Fin. IV 43 *Pyrrho —, qui virtute constituta nihil omnino quod appetendum sit relinquat.* Timo ap. Sext. Math. XI 20 ἡ γὰρ ἐγὼν ἐρέω ὥς μοι καταφαίνεται εἶναι, | μῦθον ἀληθείης ὀρθὸν ἔχων κανόνα, | ὡς ἡ τοῦ θείου τε φύσις καὶ τἀγαθοῦ αἰεί, | ἐξ ὧν ἰσότατος γίνεται ἀνδρὶ βίος. — Hoc autem maxime egisse videtur Timo, ut prioribus dogmaticis refutandis et irridendis suo ipsius scepticismo probabilitatem adstrueret, v. RP 357 b; Diog. IX 90.

hypothesis

Sext. Math. III 2. Καὶ γὰρ ὁ Τίμων ἐν τοῖς πρὸς τοὺς φυσικοὺς τοῦτο ὑπέλαβε δεῖν ἐν πρώτοις ζητεῖν, φημὶ δὲ τὸ εἰ ἐξ ὑποθέσεώς τι ληπτέον[a]. 359

a. Hypothesis a Scepticis dicebatur quodlibet axioma, ex quo argumentum derivari posset, ideoque etiam definitio quaelibet: Diog. IX 74 καὶ τὸ μὴ ὁρίζειν ἀνῄρουν λέγοντες· Οὐδὲν ὁρίζομεν. Ib. 90; 91.

360 Diog. IX 103. *Περὶ μὲν ὧν ὡς ἄνθρωποι πάσχομεν ὁμολογοῦμεν (ἀποκρίνονται οἱ Σκεπτικοί)· καὶ γὰρ ὅτι ἡμέρα ἐστὶ καὶ ὅτι ζῶμεν καὶ ἄλλα πολλὰ τῶν ἐν τῷ βίῳ φαινομένων διαγιγνώσκομεν· περὶ δ' ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάμενοι κατειλῆφθαι, περὶ τούτων ἐπέχομεν ὡς ἀδήλων, μόνα δὲ τὰ πάθη γιγνώσκομεν. τὸ μὲν γὰρ ὅτι ὁρῶμεν ὁμολογοῦμεν καὶ τὸ ὅτι τόδε νοοῦμεν γιγνώσκομεν, πῶς δ' ὁρῶμεν ἢ πῶς νοοῦμεν ἀγνοοῦμεν· καὶ ὅτι τόδε λευκὸν φαίνεται διηγηματικῶς λέγομεν, οὐ διαβεβαιούμενοι εἰ καὶ ὄντως ἐστί.* — 105. *ὅθεν καὶ ὁ Τίμων ἐν τῷ Πύθωνί φησι μὴ ἐκβεβηκέναι τὴν συνήθειαν. καὶ ἐν τοῖς Ἰνδαλμοῖς οὕτω λέγει·* sensuum visa

Ἀλλὰ τὸ φαινόμενον πάντῃ σθένει οὗπερ ἂν ἔλθῃ[a].

καὶ ἐν τοῖς περὶ αἰσθήσεων φησί· Τὸ μέλι ὅτι ἐστὶ γλυκὺ οὐ τίθημι, τὸ δὲ ὅτι φαίνεται ὁμολογῶ. 106. *καὶ Αἰνεσίδημος ἐν τῷ πρώτῳ τῶν Πυρρωνείων λόγων οὐδέν φησιν ὁρίζειν τὸν Πύρρωνα δογματικῶς διὰ τὴν ἀντιλογίαν, τοῖς δὲ φαινομένοις ἀκολουθεῖν*[b].

a. Cf. Sext. Math. VII 30.

b. Veritatem concursu quem quis dixerit sensuum atque intellectus percipi posse negabat iam Timo duobus testimoniis ambiguis nil ratum fieri argumentatus: Diog. IX 114 *συνεχές τ' ἐπιλέγειν εἰώθει πρὸς τοὺς τὰς αἰσθήσεις μετ' ἐπιμαρτυροῦντος τοῦ νοῦ ἐγκρίνοντας· Συνῆλθεν Ἀτταγᾶς τε καὶ Νουμήνιος*, de quo proverbio v. Wachsmuth, Sill. 16 [1]. Sceptici non pro certo affirmabant neque intelligibile neque sensibile verum esse, sed haesitabant de utroque: Diog. IX 76 *τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ.*

361 Diog. IX 61. *Οὐδὲν γὰρ ἔφασκεν (ὁ Πύρρων) οὔτε καλὸν οὔτ' αἰσχρὸν οὔτε δίκαιον οὔτ' ἄδικον· καὶ ὁμοίως ἐπὶ πάντων μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τοὺς ἀνθρώπους πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον.* nihil vere honestum

Cf. Sext. Math. XI 140 *οὔτε ἀγαθόν τί ἐστι φύσει οὔτε κακόν,*

Ἀλλὰ πρὸς ἀνθρώπων ταῦτα νόῳ [1] *κέκριται*

κατὰ τὸν Τίμωνα. — Diog. IX 83 *τὸ γοῦν αὐτὸ παρ' οἷς μὲν δίκαιον,*

---

1) *νόμῳ* ci. Hirzel.

παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθόν, ἄλλοις δὲ κακόν. Ibid. 90. 101 *εἰ γάρ τί ἐστι φύσει ἀγαθὸν καὶ κακόν, πᾶσιν ὀφείλει ἀγαθὸν ἢ κακὸν ὑπάρχειν, ὥσπερ ἡ χιὼν πᾶσι ψυχρόν· κοινὸν δ' οὐδὲν πάντων ἀγαθὸν ἢ κακόν ἐστιν· οὐκ ἄρα ἐστὶ φύσει ἀγαθὸν ἢ κακόν. ἤτοι γὰρ πᾶν τὸ ὑπό τινος δοξαζόμενον ῥητέον ἀγαθὸν ἢ οὐ πᾶν· καὶ πᾶν μὲν οὐ ῥητέον, ἐπεὶ τὸ αὐτὸ ὑφ' οὗ μὲν δοξάζεται ἀγαθόν, ὡς ἡ ἡδονὴ ὑπὸ Ἐπικούρου, ὑφ' οὗ δὲ κακόν, ὑπ' Ἀντισθένους. συμβήσεται τοίνυν τὸ αὐτὸ ἀγαθόν τ' εἶναι καὶ κακόν. εἰ δ' οὐ πᾶν λέγοιμεν τὸ ὑπό τινος δοξαζόμενον ἀγαθόν, δεήσει ἡμᾶς διακρίνειν τὰς δόξας· ὅπερ οὐκ ἐνδεχόμενόν ἐστι διὰ τὴν ἰσοσθένειαν τῶν λόγων. ἄγνωστον οὖν τὸ φύσει ἀγαθόν.* Eadem consecutione efficitur res esse *ἀδιάφορα*, neque bonas neque malas: Aristocl. l. l. 18, 2; cf. Cic. Fin. II 43 *quae* (prima natura approbavit) *Aristoni et Pyrrhoni omnino visa sunt pro nihilo, ut inter optime valere et gravissime aegrotare nihil prorsus interesse dicerent.* Epictet. ap. Stob. Floril. 121, 28 *Πύρρων ἔλεγε μηδὲν διαφέρειν ζῆν ἢ τεθνάναι.*

visorum varietas quid valeat

Diog. IX 107. *Οἱ Σκεπτικοί φασιν ὅτι ὅτε προσπίπτουσιν ἀλλοῖαι φαντασίαι, ἑκατέρας ἐροῦμεν φαίνεσθαι· καὶ διὰ τοῦτο τὰ φαινόμενα τιθέναι ὅτι φαίνεται. τέλος δὲ οἱ Σκεπτικοί φασι τὴν ἐποχήν, ᾗ σκιᾶς τρόπον ἐπακολουθεῖ ἡ ἀταραξία, ὥς φασιν οἵ τε περὶ τὸν Τίμωνα καὶ Αἰνεσίδημον*[a]. 108. *οὔτε γὰρ τάδ' ἑλούμεθα ἢ ταῦτα φευξόμεθα ὅσα περὶ ἡμᾶς ἐστι· τὰ δ' ὅσα περὶ ἡμᾶς οὐκ ἔστιν, ἀλλὰ κατ' ἀνάγκην, οὐ δυνάμεθα φεύγειν, ὡς τὸ πεινῆν καὶ διψῆν καὶ ἀλγεῖν· οὐκ ἔστι γὰρ λόγῳ περιελεῖν ταῦτα. — ὥστε καὶ αἱρούμεθά τι κατὰ τὴν συνήθειαν καὶ φεύγομεν καὶ νόμοις χρώμεθα.* 362

a. His alteri, ex parte etiam tertiae Timonis quaestioni respondetur, cf. **RP** 358; 364. Neque tamen *ἐποχῆς* praecepto, cum ad contemplativam vitam solam spectet, eae actiones e medio tolluntur, quae fiunt secundum consuetudinem et phaenomenorum necessitatem, cf. Sext. Math. VII 30; **RP** 360. Itaque Pyrrho cum subito terrore correptus deprehenderetur, arduum, inquit, hominem exuere. Diog. IX 66; Aristocl. l. l. 26.

assensus retentio

Diog. IX 74. *Διετέλουν δὴ οἱ Σκεπτικοὶ τὰ τῶν αἱρέσεων δόγματα πάντ' ἀνατρέποντες, αὐτοὶ δ' οὐδὲν ἀπεφαίνοντο δογματικῶς· ἕως δὲ τοῦ προφέρεσθαι τὰ τῶν ἄλλων καὶ διηγεῖσθαι μηδὲν ὁρίζοντες, μηδ' αὐτὸ τοῦτο. ὥστε καὶ τὸ μὴ ὁρίζειν ἀνῄρουν, λέγοντες οἷον Οὐδὲν ὁρίζομεν, ἐπεὶ ὥριζον ἄν· προφερόμεθα δέ, φασί, τὰς ἀποφάσεις εἰς μή-* 363

νυσιν τῆς ἀπροπτωσίας, ὡς εἰ καὶ νεύσαντας τοῦτο ἐνεδέχετο δηλῶσαι. διὰ τῆς οὖν Οὐδὲν ὁρίζομεν φωνῆς τὸ τῆς ἀρρεψίας πάθος δηλοῦται· ὁμοίως δὲ καὶ διὰ τῆς Οὐδὲν μᾶλλον καὶ τῆς Παντὶ λόγῳ λόγος ἀντίκειται καὶ τῶν ὁμοίων. — 76. ἀναιροῦσι δ' οἱ Σκεπτικοὶ καὶ αὐτὴν τὴν Οὐδὲν μᾶλλον φωνήν· ὡς γὰρ οὐ μᾶλλόν ἐστι πρόνοια ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ Οὐδὲν μᾶλλον οὐ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστι. σημαίνει οὖν ἡ φωνή, καθά φησι καὶ Τίμων ἐν τῷ Πύθωνι, τὸ μηδὲν ὁρίζειν, ἀλλ' ἀπροσθετεῖν· ἡ δὲ Παντὶ λόγῳ φωνὴ καὶ αὐτὴ συνάγει τὴν ἐποχήν· τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ· καὶ αὐτῷ δὲ τούτῳ τῷ λόγῳ λόγος ἀντίκειται, ὃς καὶ αὐτὸς μετὰ τὸ ἀνελεῖν τοὺς ἄλλους ὑφ' ἑαυτοῦ περιτραπεὶς ἀπόλλυται, κατ' ἴσον τοῖς καθαρτικοῖς, ἃ τὴν ὕλην προεκκρίναντα καὶ αὐτὰ ὑπεκκρίνεται καὶ ἐξαπόλλυται[a].

a. De extremis cf. Aristocl. l. l. 21 et Sext. Pyrrh. I 206; II 188. Math. VIII 480. De dictionibus (*φωναῖς*) Scepticorum v. Sext. Pyrrh. I 187—208.

364 Sext. Pyrrh. I 29. *Καὶ οἱ Σκεπτικοὶ οὖν ἤλπιζον μὲν τὴν ἀταραξίαν ἀναλήψεσθαι διὰ τοῦ τὴν ἀνωμαλίαν τῶν φαινομένων τε καὶ νοουμένων ἐπικρῖναι, μὴ δυνηθέντες δὲ ποιῆσαι τοῦτο ἐπέσχον· ἐπισχοῦσι δὲ αὐτοῖς οἷον τυχικῶς ἡ ἀταραξία παρηκολούθησεν, ὡς σκιὰ σώματι. οὐ μὴν ἀόχλητον πάντῃ τὸν Σκεπτικὸν εἶναι νομίζομεν, ἀλλ' ὀχλεῖσθαί φαμεν ὑπὸ τῶν κατηναγκασμένων· καὶ γὰρ ῥιγοῦν ποτὲ ὁμολογοῦμεν καὶ διψῆν καὶ τοιουτότροπά τινα πάσχειν.* 30. *ἀλλὰ καὶ ἐν τούτοις οἱ μὲν ἰδιῶται δισσαῖς συνέχονται περιστάσεσιν, ὑπό τε τῶν παθῶν αὐτῶν καὶ οὐχ ἧττον ὑπὸ τοῦ τὰς περιστάσεις ταύτας κακὰς εἶναι φύσει δοκεῖν· ὁ δὲ Σκεπτικὸς τὸ προσδοξάζειν ὅτι ἐστὶ κακὸν τούτων ἕκαστον ὡς πρὸς τὴν φύσιν περιαιρῶν μετριώτερον καὶ ἐν τούτοις ἀπαλλάσσει. διὰ τοῦτο οὖν ἐν μὲν τοῖς δοξαστοῖς ἀταραξίαν τέλος εἶναί φαμεν τοῦ Σκεπτικοῦ, ἐν δὲ τοῖς κατηναγκασμένοις μετριοπάθειαν. τινὲς δὲ τῶν δοκίμων Σκεπτικῶν προσέθηκαν τούτοις καὶ τὴν ἐν ταῖς ζητήσεσιν ἐποχήν*[a].

tranquillitas animi

affectuum moderatio

a. His tertiae quaestioni Timonis respondetur, qui *ἀφασίαν* vocabulum usurpavit ad *ἐποχὴν* significandam, de qua cf. Wachsmuth, Sill. 29[5]; Hirzel III 24[1]. — Antiquiores summum bonum in *ἀταραξίᾳ* posuisse certis testimoniis constat, **RP** 358. 362; Sext. Math. XI 1 *οὕτω γὰρ ἕκαστος ἡμῶν τὴν τελείαν καὶ σκεπτικὴν ἀπολαβὼν διάθεσιν κατὰ τὸν Τίμωνα βιώσεται*

ῥῆστα μεθ' ἡσυχίης
αἰεὶ ἀφροντίστως καὶ ἀκινήτως κατὰ ταὐτά,
μὴ προσέχων δειλοῖς ἡδυλόγου σοφίης.

Μετριοπάθειαν autem *ἐν τοῖς κατηναγκασμένοις* Sceptico propositum esse ut persequatur, a recentioribus solis profertur; cf. Sext. Pyrrh. I 25; III 235 sq. Alias formulas, quibus Sceptici summum bonum indicaverint, affert Diog. IX 108 *τινὲς δὲ καὶ τὴν ἀπάθειαν, ἄλλοι δὲ τὴν πρᾳότητα τέλος εἰπεῖν φασι τοὺς Σκεπτικούς*, ubi *πρᾳότης* est i. q. *μετριοπάθεια*, *ἀπάθεια* i. q. *ἀταραξία*, cf. Cic. Acad. II 130 *Pyrrho autem ea* (bona, mala, media) *ne sentire quidem sapientem: quae ἀπάθεια nominatur.*

Epicurei.

De vita et schola Epicuri.

365 Diog. X 1. Ἐπίκουρος Νεοκλέους καὶ Χαιρεστράτης Ἀθηναῖος, τῶν δήμων Γαργήττιος. — τοῦτόν φασιν — κληρουχησάντων Ἀθηναίων τὴν Σάμον[a] ἐκεῖθι τραφῆναι· ὀκτωκαιδεκέτη δ' ἐλθεῖν εἰς Ἀθήνας Ξενοκράτους μὲν ἐν Ἀκαδημείᾳ, Ἀριστοτέλους δ' ἐν Χαλκίδι διατρίβοντος. τελευτήσαντος δ' Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν Ἀθηναίων ἐκπεσόντων[b] ὑπὸ Περδίκκου μετελθεῖν εἰς Κολοφῶνα πρὸς τὸν πατέρα. 2. χρόνον δέ τινα διατρίψαντα αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα πάλιν ἐπανελθεῖν εἰς Ἀθήνας ἐπὶ Ἀναξικράτους[c]· καὶ μέχρι μὲν τινὸς κατ' ἐπιμιξίαν τοῖς ἄλλοις φιλοσοφεῖν, ἔπειτα ἰδίᾳ ἀποφαίνεσθαι[1] τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἵρεσιν συστήσαντα. vita

Scripserunt de Epicuri vita et scriptis: P. Gassendi, de vita morib. et doctr. Epicuri, Lugd. 1647. K. Steinhart in Ersch. Grub. Encycl. sect. I vol. 35, 459 sq. — Epicurea ed. H. Usener, Lips. 1887.

a. Colonia Samum deducta est Ol. 107, 1 (a. 352/1), v. Clinton F. H. p. 142 Kr. Inter colonos erat Neocles, Epicuri pater; v. Strab. XIV 1, 18, p. 638. Ipse Epicurus Sami non solum educatus, sed etiam natus esse videtur Ol. 109, 3: quam ob rem fuerunt qui negarent eum fuisse legitimum civem Atheniensem; v. Diog. X 4. Tempora accuratius indicat Apollodorus ap. Diog. X 14 *ἐγεννήθη δέ, φησὶν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὸ τρίτον ἔτος τῆς ἐνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Σωσιγένους ἄρχοντος μηνὸς Γαμηλιῶνος ἑβδόμῃ ἔτεσιν ὕστερον τῆς*

1) ἀπο (cum fenestra) τὴν et in marg. λείπει B: ἀποφαίνεσθαι Usener.

Πλάτωνος τελευτῆς ἑπτά (a. 341 m. Ianuario). 15. *ὑπάρχοντα δὲ αὐτὸν ἐτῶν δύο καὶ τριάκοντα πρῶτον ἐν Μυτιλήνῃ καὶ Λαμψάκῳ συστήσασθαι σχολὴν ἐπὶ ἔτη πέντε· ἔπειθ' οὕτως εἰς Ἀθήνας μετελθεῖν, καὶ τελευτῆσαι κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης καὶ εἰκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Πυθαράτου ἔτη βιώσαντα δύο πρὸς τοῖς ἑβδομήκοντα.*

b. I. e. *ἐκ τῆς Σάμου* (a. 322), cf. Diod. Sic. XVIII 18, 9.

c. Ol. 118, 2 (a. 306). Cf. Diog. X 15.

magistri Cic. Deor. Nat. I 72. Ista a vobis (Epicureis) quasi 366
dictata redduntur, quae Epicurus oscitans halucinatus est, cum quidem gloriaretur, ut videmus in scriptis, se magistrum habuisse nullum[a]. Quod et non praedicanti tamen facile equidem crederem, sicut mali aedificii domino glorianti se architectum non habuisse. Nihil enim olet ex Academia, nihil ex Lycio, nihil ne puerilibus quidem disciplinis[b]. Xenocraten audire potuit, — et sunt qui putent audivisse[c]: ipse non vult: credo plus nemini. Pamphilum quendam, Platonis auditorem, ait a se Sami auditum[d]; ibi enim adulescens habitabat cum patre et fratribus, quod in eam pater eius Neocles agripeta venerat; sed cum agellus eum non satis aleret, ut opinor, ludi magister fuit. 73. Sed hunc Platonicum mirifice contemnit Epicurus; ita metuit ne quid unquam didicisse videatur. In Nausiphane Democriteo tenetur, quem cum a se non neget auditum, vexat tamen omnibus contumeliis[e]. Atqui si haec Democritea non audisset, quid audierat? quid est in physicis Epicuri non a Democrito?[f]

a. Gloriabatur se annum quartum decimum vel duodecimum egisse, cum philosophari sua sponte coepisset neque quemquam nisi se ipsum magistrum habuisse: Diog. X 2. 13. 14.

b. Epicurum in litteris et in oratione rudiorem fuisse omnes uno ore testantur; cf. Aristoph. ap. Diog. X 13. Cic. de Fin. I 15. 26. Sext. Math. I 1. Usener, Epicurea p. 88 sq.

c. Velut Demetrius Magnes, Diog. X 13.

d. Idem narrat Diog. X 14.

e. A Nausiphane plerumque Epicuri doctrina repetitur, v. Sext. Math. I 3; Diog. X 14 *Ἀρίστων* [1] *δέ φησιν — τὸν Κανόνα γράψαι αὐτὸν ἐκ*

1) *Ἀρίστων* Cobet: *ἄριστον* libri: *Ἀντίγονος* (vel *Καρύστιος*) Usener.

τοῦ Ναυσιφάνους Τρίποδος, οὗ καὶ ἀκοῦσαί φησιν αὐτόν. Is modo traditur Democriteus fuisse, modo Pyrrhonis discipulus, cf. Diog. IX 64 *ἔφασκε γοῦν (Ναυσιφάνης) γίνεσθαι δεῖν τῆς μὲν διαθέσεως τῆς Πυρρωνείου, τῶν δὲ λόγων τῶν ἑαυτοῦ.* V. praeterea Diog. X 7. 8; Sext. Math. I 2. 4; Cic. D. N. I 93.

f. Plut. adv. Colot. 3, 3 p. 1108 *καίτοι πολὺν χρόνον αὐτὸς ἑαυτὸν ἀνηγόρευε Δημοκρίτειον ὁ Ἐπίκουρος, ὡς ἄλλοι τε λέγουσι καὶ Λεοντεύς, εἷς τῶν ἐπ' ἄκρον Ἐπικούρου μαθητῶν, πρὸς Λυκόφρονα γράφων τιμᾶσθαί τέ φησι τὸν Δημόκριτον ὑπ' Ἐπικούρου διὰ τὸ πρότερον ἅψασθαι τῆς ὀρθῆς γνώσεως, καὶ τὸ σύνολον τὴν πραγματείαν Δημοκρίτειον προσαγορεύεσθαι διὰ τὸ περιπεσεῖν αὐτὸν πρότερον ταῖς ἀρχαῖς περὶ φύσεως.* 4. *ὁ δὲ Μητρόδωρος ἄντικρυς ⟨ἐν τῷ [1]⟩ περὶ φιλοσοφίας εἴρηκεν ὡς, εἰ μὴ καθηγήσατο Δημόκριτος, οὐκ ἂν προῆλθεν Ἐπίκουρος ἐπὶ τὴν σοφίαν.* Cf. Diog. X 2. Nihilominus Democritum detorto nomine vocabat *Ληρόκριτον*, ib. 8.

367 Diog. X 9. *Τῷ γὰρ ἀνδρὶ μάρτυρες ἱκανοὶ τῆς ἀνυπερβλήτου πρὸς πάντας εὐγνωμοσύνης ἥ τε πατρὶς χαλκαῖς εἰκόσι τιμήσασα, οἵ τε φίλοι τοσοῦτοι τὸ πλῆθος, ὡς μηδ' ἂν πόλεσιν ὅλαις μετρεῖσθαι δύνασθαι, οἵ τε γνώριμοι πάντες ταῖς δογματικαῖς αὐτοῦ σειρῆσι προσκατασχεθέντες· —* 10. *ἥ τε πρὸς τοὺς γονέας εὐχαριστία καὶ ἡ πρὸς τοὺς ἀδελφοὺς εὐποιία πρός τε τοὺς οἰκέτας ἡμερότης —, καθόλου τε ἡ πρὸς πάντας αὐτοῦ φιλανθρωπία. — καὶ χαλεπωτάτων δὲ καιρῶν κατασχόντων τηνικάδε τὴν Ἑλλάδα αὐτόθι καταβιῶναι δὶς ἢ τρὶς τοὺς περὶ τὴν Ἰωνίαν τόπους πρὸς τοὺς φίλους διαδραμόντα· οἳ καὶ πανταχόθεν πρὸς αὐτὸν ἀφικνοῦντο καὶ συνεβίουν αὐτῷ ἐν τῷ κήπῳ.*[a] mores

a. Cic. de Fin. II 80: ***Quis quaeso illum negat et bonum virum et comem et humanum fuisse?*** Constat discipulos et magistri observantissimos fuisse et artissima amicitia coniunctos, cf. Cic. de Fin. V 3; Numen. ap. Eus. Pr. Ev. XIV 5, 3; Diog. X 11 *τόν τε Ἐπίκουρον μὴ ἀξιοῦν εἰς τὸ κοινὸν κατατίθεσθαι τὰς οὐσίας, καθάπερ τὸν Πυθαγόραν κοινὰ τὰ φίλων λέγοντα· ἀπιστούντων γὰρ εἶναι τὸ τοιοῦτον· εἰ δ' ἀπίστων, οὐδὲ φίλων.* Plut. vit. Demetr. 34, 2. Observantia magistri eo alebatur, quod excerpta quaedam doctrinae capita memoriter ediscere solebant: Diog. X 12 *ἐγύμναζε δὲ — τοὺς γνωρίμους καὶ διὰ μνήμης ἔχειν τὰ ἑαυτοῦ συγγράμματα*, cf. Cic. de Fin. II 20, Epicur. ap. Diog.

1) *ἐν τῷ* add. Usener.

X 35. 83. 85. — De horto Epicuri, qui postea transiit ad eius successores, v. Zumpt, Comm. Acad. Berol. a. 1842, p. 35 sq. Ibi videtur temperantissime vitam egisse: Diog. X 11; sed quod etiam meretriculae in scholae familiaritatem recipiebantur, ex quibus Leontium litteris innotuit (Cic. Deor. Nat. I 93), adversarii foedissimis voluptatibus eum deditum fuisse criminabantur: Diog. X 7; Plut. contra Epicuri beatitud. 4, 8 p. 1089. 16, 1 p. 1097. Ipse Epicurus principio quidem latuit, deinde eo magis eminuit colebaturque cum ab eruditioribus tum ab imperitorum turba: Senec. Ep. 79, 15; Cic. Fin. II 44. Ex discipulis, quorum recensus habetur ap. Diog. X 22 sq., nobiles erant Metrodorus, Polyaenus, Hermarchus, nobilissimus Metrodorus Lampsacenus, paene alter Epicurus (Cic. de Fin. II 92), ab ipso magistro, quem morte antecessit, unice dilectus et una cum eo in schola cultus (Diog. X 23; Cic. de Fin. II 101; Seneca Ep. l. l.). De libris Metrodori cf. Diog. X 24 et Duening, De M. vita et scriptis, acc. fragm., Lips. 1870. Qui ab aliis Epicureis editi erant libri haud magni aestimabantur; neque ipsum Epicurum et Metrodorum fere praeter suos quemquam in manus sumpsisse testatur Cicero Tusc. II 8. De Epicureorum successione v. Zumpt, l. l. p. 109 sq.; RP 447.

discipuli

libri

Diog. X 26. *Γέγονε δὲ πολυγραφώτατος ὁ Ἐπίκουρος, πάντας ὑπερβαλλόμενος πλήθει βιβλίων· κύλινδροι γὰρ πρὸς τοὺς τριακοσίους εἰσί.* 368

Optimorum librorum tituli recensentur ib. 27 sq. (Usener p. 85). Exstant apud Laertium Diogenem epistulae tres, quibus compendium doctrinae exhibetur, prima (X 35—83, p. 3—32 Us.) ad Herodotum, tertia (ib. 122—135, p. 59—66 Us.) ad Menoeceum data, utraque genuinum et incorruptum Epicuri opus, altera (84—116, p. 35—55 Us.) ad Pythoclem non ab Epicuro scripta, sed ex eius *περὶ φύσεως* libris compilata; praeterea *κύριαι δόξαι* (ib. 139—154, p. 71—81 Us.) i. e. sententiae selectae sive disciplinae Epicureae de rebus gravissimis praecepta in brevem pleraque formulam redacta: cf. Useneri praef. p. XXXVII—LI. Perditorum librorum reliquias collegit Usener p. 85—358.

De philosophia in genere eiusque partibus.

philosophia quid spectet

Sext. Math. XI 169 (fr. 219 Us.). *Ἐπίκουρος — ἔλεγε τὴν φιλοσοφίαν ἐνέργειαν εἶναι λόγοις καὶ διαλογισμοῖς τὸν εὐδαίμονα βίον περιποιοῦσαν*[a]. 369

Scripserunt de Epicuri doctrina: P. Gassendi, animadversiones in Diog. L. X, Lugd. Bat. 1649. P. Natorp, *Epikur u. d. epik. Schule* (*Forschungen*, p. 209 sq.). R. Hirzel, *Unters. z. Cic. phil. Schrift.* I 98 sq.

a. Contemnebantur ab eo quaecunque non spectarent ad vitam agendam, etiam artes liberales, historia, mathematica, v. Sext. Math. I 1 (fr. 227); Athen. XIII p. 588 A (fr. 117). Solis physicis studendum esse, ut animus metu solveretur, v. Epicur. Sent. select. 11 ap. Diog. X 142 (p. 73 Us.) *εἰ μηθὲν ἡμᾶς αἱ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν καὶ αἱ περὶ θανάτου, μή ποτε πρὸς ἡμᾶς ᾖ τι, ἔτι τε τὸ μὴ κατανοεῖν τοὺς ὅρους τῶν ἀλγηδόνων καὶ τῶν ἐπιθυμιῶν, οὐκ ἂν προσεδεόμεθα φυσιολογίας.* [Epic.] Ep. 2 ap. Diog. X 85 p. 36, 1 Us. *πρῶτον μὲν οὖν μὴ ἄλλο τι τέλος ἐκ τῆς περὶ μετεώρων γνώσεως — νομίζειν δεῖ εἶναι ἤπερ ἀταραξίαν καὶ πίστιν βέβαιον, καθάπερ καὶ ἐπὶ τῶν λοιπῶν.* Cic. de Fin. I 63 (fr. 243) *in physicis plurimum posuit. ea scientia et verborum vis et natura orationis et consequentium repugnantiumve ratio potest perspici; omnium autem rerum natura cognita levamur superstitione, liberamur mortis metu.*

370 Senec. Epist. 89, 11 (fr. 242). Epicurei duas partes philosophiae putaverunt esse, naturalem atque moralem: rationalem removerunt. Deinde cum ipsis rebus cogerentur ambigua secernere, falsa sub specie veri latentia coarguere, ipsi quoque locum, quem de iudicio et regula appellant, alio nomine rationalem induxerunt; sed eum accessionem esse naturalis partis existimant[a]. philosophiae partes

a. Diog. X 30 p. 370, 14 Us. *Διαιρεῖται (ἡ κατ' Ἐπίκουρον φιλοσοφία) τοίνυν εἰς τρία, τό τε κανονικὸν καὶ φυσικὸν καὶ ἠθικόν. — εἰώθασι μέντοι τὸ κανονικὸν ὁμοῦ τῷ φυσικῷ τάττειν.* Cf. Sext. Math. VII 14. 15.

Canonica.

371 Cic. de Fin. I 64. Quicquid animo cernimus, id omne oritur a sensibus, qui si omnes veri erunt, ut Epicuri ratio docet, tum denique poterit aliquid cognosci et percipi. Quos qui tollunt et nihil posse percipi dicunt, ii remotis sensibus ne id ipsum quidem expedire possunt quod disserunt. Prae- sensus

terea sublata cognitione et scientia tollitur omnis ratio et vitae degendae et rerum gerendarum[a].

a. Epicur. Sent. 23 ap. Diog. X 146 p. 76 Us. *εἰ μάχῃ πάσαις ταῖς αἰσθήσεσιν, οὐχ ἕξεις οὐδ' ἃς ἂν φῇς αὐτῶν διεψεῦσθαι πρὸς τί ποιούμενος τὴν ἀναγωγὴν κρίνῃς.* Cf. Lucret. IV 471 sq. — Sensibus percipiuntur res ut sunt praesentes atque naturaliter efficaces, Sext. Math. VII 210 (fr. 247) *αἰσθήσεως δὲ ἴδιον ὑπῆρχε τοῦ παρόντος μόνον καὶ κινοῦντος αὐτὴν ἀντιλαμβάνεσθαι.* Ib. VIII 9 *τήν τε αἴσθησιν ἀναληπτικὴν οὖσαν τῶν ὑποπιπτόντων αὐτῇ καὶ μήτε ἀφαιροῦσάν τι μήτε προστιθεῖσαν μήτε μετατιθεῖσαν τῷ ἄλογον εἶναι, διὰ παντός τε ἀληθεύειν καὶ οὕτω τὸ ὂν λαμβάνειν, ὡς εἶχε φύσεως αὐτὸ ἐκεῖνο.* Quapropter omnem sensuum perceptionem vocabat *ἐνάργειαν* (Sext. Math. VII 203. 216; Epicur. Epist. I ap. Diog. X 52, p. 13 Us.) atque ipsis etiam insanorum imaginationibus et visis somniantium verum subesse statuebat: Diog. X 32 (fr. 36 Us.) *τά τε τῶν μαινομένων φαντάσματα καὶ τὰ κατ' ὄναρ ἀληθῆ· κινεῖ γάρ· τὸ δὲ μὴ ὂν οὐ κινεῖ,* cf. Sext. Math. VIII 63—66. At enim diligenter cavendum esse, ne affectiones sensuum confundantur cum iis quae opinando a nobismet ipsis adiciuntur: Epicur. Sent. 24 ap. Diog. X 147, p. 76 Us. *εἴ τιν' ἐκβαλεῖς ἁπλῶς αἴσθησιν καὶ μὴ διαιρήσεις τὸ δοξαζόμενον κατὰ τὸ προσμένον* (cf. Diog. X 34. 38) *καὶ τὸ παρὸν ἤδη κατὰ τὴν αἴσθησιν καὶ τὰ πάθη καὶ πᾶσαν φανταστικὴν ἐπιβολὴν τῆς διανοίας, συνταράξεις καὶ τὰς λοιπὰς αἰσθήσεις τῇ ματαίῳ δόξῃ, ὥστε τὸ κριτήριον ἅπαν ἐκβαλεῖς.* Cf. Sext. Math. VII 203—216, VIII 9. 63. 185; Plut. adv. Colot. 4—6 p. 1108 E, alii.

evidentia

notionum origo

Diog. X 31 (fr. 35. 36). *Ἐν τοίνυν τῷ Κανόνι λέγων* 372 *ἐστὶν ὁ Ἐπίκουρος κριτήρια τῆς ἀληθείας εἶναι τὰς αἰσθήσεις καὶ προλήψεις*[a] *καὶ τὰ πάθη*[b]*· οἱ δ' Ἐπικούρειοι καὶ τὰς φανταστικὰς ἐπιβολὰς*[c] *τῆς διανοίας. λέγει δὲ καὶ ἐν τῇ πρὸς Ἡρόδοτον ἐπιτομῇ καὶ ἐν ταῖς κυρίαις δόξαις*[d]. *πᾶσα γάρ, φησίν, αἴσθησις ἄλογός ἐστι καὶ μνήμης οὐδεμιᾶς δεκτική· οὔτε γὰρ ὑφ' αὑτῆς κινεῖται, οὔτε ὑφ' ἑτέρου κινηθεῖσα δύναταί τι προσθεῖναι ἢ ἀφελεῖν. οὐδὲ ἔστι τὸ δυνάμενον αὐτὰς διελέγξαι·* 32. *οὔτε γὰρ ἡ ὁμοιογένεια αἴσθησις τὴν ὁμογενῆ διὰ τὴν ἰσοσθένειαν· οὔθ' ἡ ἀνομοιογένεια τὴν ἀνομοιογένειαν, οὐ γὰρ τῶν αὐτῶν εἰσι κριτικαί· οὔτε μὴν λόγος, πᾶς γὰρ λόγος ἀπὸ τῶν αἰσθήσεων ἤρτηται· οὔθ' ἡ ἑτέρα τὴν ἑτέραν, πάσαις γὰρ προσέχομεν.*

praenotio

a. Clemens Strom. II 4. 437 P. (fr. 255) *πρόληψιν δὲ ἀποδίδωσιν (ὁ Ἐπ.) ἐπιβολὴν ἐπί τι ἐναργὲς καὶ ἐπὶ τὴν ἐναργῆ τοῦ πράγματος ἐπίνοιαν· μὴ δύνασθαι δὲ μηδένα μήτε ζητῆσαι μήτε ἀπορῆσαι μηδὲ*

μὴν δοξάσαι, ἀλλ' οὐδὲ ἐλέγξαι χωρὶς προλήψεως. — Diog. X 33 *τὴν δὲ πρόληψιν λέγουσιν οἱονεὶ κατάληψιν ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τοῦτ' ἔστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος, οἷον τὸ Τοιοῦτόν ἐστιν ἄνθρωπος· ἅμα γὰρ τῷ ῥηθῆναι Ἄνθρωπος εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται προηγουμένων τῶν αἰσθήσεων· παντὶ οὖν ὀνόματι τὸ πρώτως ὑποτεταγμένον ἐναργές ἐστι. — οὐδ' ἂν ὠνομάσαμέν τι μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσιν αἱ προλήψεις.* Sext. Math. I 57. Cic. D. N. I 43 sq. (qui Ep. praenotiones falso interpretatur *insitas vel potius innatas cognitiones*). — Epicurus ap. Diog. X 32 (fr. 36) *καὶ γὰρ αἱ ἐπίνοιαι πᾶσαι ἀπὸ τῶν αἰσθήσεων γεγόνασι κατά τε περίπτωσιν καὶ ἀναλογίαν καὶ ὁμοιότητα καὶ σύνθεσιν, συμβαλλομένου τι καὶ τοῦ λογισμοῦ.* Omnis igitur *πρόληψις* vera est, quippe ex sensibus nata.

b. De affectibus cf. Diog. X 34 (fr. 260) *πάθη δὲ λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα, ἱστάμενα περὶ πᾶν ζῷον.*

c. Ceterum eiusmodi mentis imaginationes iam ipse Epicurus ad veritatem pertinere censuerat, cf. Diog. X 50. 51. 147. Z. III 1[3] 386[2]; 389[1].

d. Cf. Epist. I ap. Diog. X 38. 50 sq., p. 5. 12 Us.; Sent. 24 ib. 147, p. 76 Us.

373 Diog. X 34, p. 372 Us. *Τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσιν, ἀληθῆ τέ φασι καὶ ψευδῆ· ἂν μὲν γὰρ ἐπιμαρτυρῆται ἢ μὴ ἀντιμαρτυρῆται, ἀληθῆ εἶναι· ἐὰν δὲ μὴ ἐπιμαρτυρῆται ἢ ἀντιμαρτυρῆται, ψευδῆ τυγχάνειν*[a]. opinio

a. Eadem Epicur. Ep. I ap. Diog. X 51 p. 13 Us. Sext. Math. VII 211 (fr. 247 p. 181 Us.) *οὐκοῦν τῶν δοξῶν κατὰ τὸν Ἐπίκουρον αἱ μὲν ἀληθεῖς εἰσιν, αἱ δὲ ψευδεῖς· ἀληθεῖς μὲν αἵ τε ἐπιμαρτυρούμεναι καὶ οὐκ ἀντιμαρτυρούμεναι πρὸς τῆς ἐναργείας· ψευδεῖς δὲ αἵ τε ἀντιμαρτυρούμεναι καὶ οὐκ ἐπιμαρτυρούμεναι πρὸς τῆς ἐναργείας* (cf. Z. III 1[3] 391[1]). Itaque ex notis de ignotis coniecturam facere oportet: Epicur. ap. Diog. X 32 (fr. 36 Us.) *καὶ περὶ τῶν ἀδήλων ἀπὸ τῶν φαινομένων χρὴ σημειοῦσθαι.* Ignotum autem bifariam dicitur, aut quod natura sua haud notum est velut atomi, aut quod potest futuro tempore notum fieri; Epicur. Ep. I ap. Diog. X 38 p. 5 Us. *κατὰ τὰς αἰσθήσεις δεῖ πάντα τηρεῖν —, ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη, ὅπως ἂν καὶ τὸ προσμένον καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειωσόμεθα.* Cf. ib. 34 p. 372 Us. *ὅθεν τὸ προσμένον εἰσήχθη· οἷον τὸ προσμεῖναι καὶ ἐγγὺς γενέσθαι τῷ πύργῳ καὶ μαθεῖν ὁποῖος ἐγγὺς φαίνεται.* Opinionis errores repetit ex motu intrinsecus orto qui cum visorum impressione ita cohaereat, ut habeat separationem quandam, v. Epicur. Ep. I ap. Diog. X 51 p. 13 Us. *τὸ διημαρτημένον οὐκ ἂν ὑπῆρχεν, εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην τινὰ*

κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην μὲν <τῇ φανταστικῇ ἐπιβολῇ>, διάληψιν δ᾽ ἔχουσαν· κατὰ δὲ ταύτην [1], *ἐὰν μὲν μὴ ἐπιμαρτυρηθῇ ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν δ᾽ ἐπιμαρτυρηθῇ ἢ μὴ ἀντιμαρτυρηθῇ, τὸ ἀληθές.*

dialectica

Diog. X 31 p. 371 Us. *Τὴν διαλεκτικὴν ὡς παρέλκουσαν ἀποδοκιμάζουσιν*[a]*· ἀρκεῖν γὰρ τοὺς φυσικοὺς χωρεῖν κατὰ τοὺς τῶν πραγμάτων φθόγγους*[b]. 374

a. His tollitur omnis de notionibus quaestio ad certam rationem artemque instituenda. Cf. Cic. de Fin. I 22 *iam in altera philosophiae parte, quae est quaerendi ac disserendi, quae λογικὴ dicitur, iste vester* (*Epicurus*) *plane, ut mihi quidem videtur, inermis ac nudus est. tollit definitiones; nihil de dividendo ac partiendo docet; non quo modo efficiatur concludaturque ratio tradit, non qua via captiosa solvantur, ambigua distinguantur ostendit; iudicia rerum in sensibus ponit* etc. Cic. Acad. II 97; Deor. N. I 70.

voces

b. Simili significatione *φωναὶ* ab Epicuro dicuntur Ep. I ap. Diog. X 36 p. 4 Us. itemque *φθόγγοι* ib. 37 *πρῶτον μὲν οὖν τὰ ὑποτεταγμένα τοῖς φθόγγοις — δεῖ διειληφέναι, ὅπως ἂν τὰ δοξαζόμενα ἢ ζητούμενα ἢ ἀπορούμενα ἔχωμεν εἰς ταῦτα ἀναγαγόντες ἐπικρίνειν καὶ μὴ ἄκριτα πάντα ἡμῖν <ἴῃ> εἰς ἄπειρον ἀποδεικνύουσιν ἢ κενοὺς φθόγγους ἔχωμεν.* 38 *ἀνάγκη γὰρ τὸ πρῶτον ἐννόημα καθ᾽ ἕκαστον φθόγγον βλέπεσθαι καὶ μηδὲν ἀποδείξεως προσδεῖσθαι.*

Physica.

---

atomorum motus

Cic. de Fin. I 17 (fr. 234; 281). In Physicis, quibus maxime gloriatur, — totus est alienus (Epicurus): Democritea dicit perpauca mutans, sed ita ut ea quae corrigere vult mihi quidem depravare videatur[a]. — 18. Epicurus autem in quibus sequitur Democritum non fere labitur — illae Epicuri propriae ruinae: censet enim eadem illa individua et solida corpora ferri deorsum suo pondere ad lineam, hunc naturalem esse omnium corporum motum. 19. Deinde 375

---

1) Locum glossemate (post *ταύτην*) deformatum emendavit Usener.

ibidem homo acutus, cum illud occurreret, si omnia deorsus e regione ferrentur et ut dixi ad lineam, numquam fore ut atomus altera alteram posset attingere, itaque attulit rem commenticiam: declinare dixit atomum perpaulum, quo nihil posset fieri minus; ita effici complexiones et copulationes et adhaesiones atomorum inter se, ex quo efficeretur mundus omnesque partes mundi quaeque in eo essent[b].

a. Cf. **RP** 147 sq. — Proficiscitur inde quod nihil fieri possit ex nihilo neque quidquam interire possit, cf. Epicur. Ep. I ap. Diog. X 38 p. 5 Us. Deinde nihil nisi corpora et spatium esse pronuntiat: ib. 39 p. 6 Us. *τὸ πᾶν ἐστι ⟨σώματα καὶ τόπος⟩*[1]*· σώματα μὲν γὰρ ὡς ἔστιν, αὐτὴ ἡ αἴσθησις ἐπὶ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι. τόπος δὲ εἰ μὴ ἦν, ὃν κενὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν οὐδὲ δι' οὗ ἐκινεῖτο.* Corpora negat in infinitum dividi posse, nam si possent, fore ut omnia in id quod non est dissiparentur: ib. 56 p. 16 Us. Atomi immutabiles sunt, quia mutabili necesse est subsit stabile aliquid; estque iis tribuendum figura pondus magnitudo, non qualitas, quippe quae immutetur: ib. 54 p. 14 Us. Atomos minimas esse ex eo colligitur, quod omnium oculos fugiunt: ib. 56 p. 15 Us. Necesse est universum esse infinitum: ib. 41 p. 7 Us. *ἀλλὰ μὴν καὶ τὸ πᾶν ἄπειρόν ἐστι· τὸ γὰρ πεπερασμένον ἄκρον ἔχει, τὸ δὲ ἄκρον παρ' ἕτερόν τι θεωρεῖται.* Sequitur infinitam multitudinem esse atomorum, ne per infinitum spatium inane dispersae evanescant: ib. 42 p. 7 Us. Esse inane ex eo efficitur, quod est motus quodque necesse est esse quo atomi separentur: ib. 40 p. 6; 44 p. 8 Us.; infinitum id esse convenit, ut atomi multitudine infinitae habeant quo contineantur: ib. 42 p. 7 Us. — Motus atomorum duplex est, nam altero fit ut pondere suo deorsum ferantur, altero ut de recta via declinantes inter se collidant: Plac. I 23, 4 (Dox. 321). Prior ab ipso Epicuro in Ep. I ap. Diog. X 43 p. 8 Us. non attingitur (sed hiat oratio), commemoratur a Lucret. II 83 sq., posterior simul ethicae stabiliendae inservit, quo arbitrii libertas contra eos qui omnia necessaria esse statuebant defendatur: Epicur. Epist. III ap. Diog. X 133 p. 65 Us. *κρεῖττον ἦν τῷ περὶ θεῶν μύθῳ κατακολουθεῖν ἢ τῇ τῶν φυσικῶν εἱμαρμένῃ δουλεύειν· ὁ μὲν γὰρ ἐλπίδα παραιτήσεως ὑπογράφει θεῶν διὰ τιμῆς, ἡ δὲ ἀπαραίτητον ἔχει τὴν ἀνάγκην.* Cf. **RP** 382.

b. Cic. Deor. N. I 69 *Epicurus cum videret, si atomi ferrentur in locum inferiorem suopte pondere, nihil fore in nostra potestate, quod esset earum motus certus et necessarius, invenit quo modo necessitatem effugeret, quod videlicet Democritum fugerat: ait atomum, cum pondere et gravitate directo deorsus feratur, declinare paululum.*

---

1) Hiatum supplevit Usener.

mundus quid sit

[Epicur.] Epist. II ap. Diog. X 88 p. 37 Us. *Κόσμος ἐστὶ περιοχή τις οὐρανοῦ ἄστρα τε καὶ γῆν καὶ πάντα τὰ φαινόμενα περιέχουσα, ἀποτομὴν ἔχουσα ἀπὸ τοῦ ἀπείρου καὶ λήγουσα [ἐν πέρατι ἢ ἀραιῷ ἢ πυκνῷ]* [1] *ἢ ἐν περιαγομένῳ ἢ ἐν στάσιν ἔχοντι καὶ στρογγύλην ἢ τρίγωνον ἢ οἵαν δή ποτε περιγραφήν. πανταχῶς γὰρ ἐνδέχεται· τῶν γὰρ φαινομένων οὐδὲν ἀντιμαρτυρεῖ ⟨ἐν⟩ τῷδε* [2] *τῷ κόσμῳ, ἐν ᾧ λῆγον οὐκ ἔστι καταλαβεῖν [καὶ οὗ λυομένου πάντα τὰ ἐν αὐτῷ σύγχυσιν λήψεται]* [3]. 89. *Ὅτι δὲ καὶ τοιοῦτοι κόσμοι εἰσὶν ἄπειροι τὸ πλῆθος, ἔστι καταλαβεῖν· καὶ ὅτι ὁ τοιοῦτος δύναται κόσμος γίνεσθαι καὶ ἐν κόσμῳ καὶ μετακοσμίῳ, ὃ λέγομεν μεταξὺ κόσμων διάστημα, ἐν πολυκένῳ τόπῳ*[a]. 376

mundi innumerabiles

eiusdem rei variae causae

a. Epicur. Epist. I ap. Diog. X 45 p. 9 Us. — In universum hoc sequitur Epicurus, unamquamque rem sensibus obiectam a diversis causis repeti posse, ideoque eos vituperat qui ea, quae certo decursu facto revertantur, ex eadem protinus lege et quasi fatali quadam necessitate identidem fieri censeant. Exemplo sint quae disseruntur de sole in Epist. II ap. Diog. X 93 p. 40 Us. *τροπὰς ἡλίου καὶ σελήνης ἐνδέχεται μὲν γίνεσθαι κατὰ λόξωσιν οὐρανοῦ οὕτω τοῖς χρόνοις κατηναγκασμένου· ὁμοίως δὲ καὶ κατὰ ἀέρος ἀντέξωσιν ἢ καὶ ὕλης ἀεὶ ἐπιτηδείας ἐχομένως ἐμπιπραμένης, τῆς δ' ἐκλειπούσης* [4]*· ἢ καὶ ἐξ ἀρχῆς τοιαύτην δίνην κατειληθῆναι τοῖς ἄστροις τούτοις, ὥσθ' οἱόν τιν'* [5] *ἕλικα κινεῖσθαι. πάντα γὰρ τὰ τοιαῦτα καὶ τὰ τούτοις συγγενῆ οὐθενὶ* [6] *τῶν ἐναργημάτων διαφωνεῖ, ἐάν τις ἀεὶ ἐπὶ τῶν τοιούτων μερῶν ἐχόμενος τοῦ δυνατοῦ εἰς τὸ σύμφωνον τοῖς φαινομένοις ἕκαστον τούτων δύνηται ἐπάγειν μὴ φοβούμενος τὰς ἀνδραποδώδεις ἀστρολόγων τεχνιτείας.* Cf. ib. 94 sq. — De motibus siderum ib. 113 p. 53 Us. *τὸ δὲ μίαν αἰτίαν τούτων ἀποδιδόναι, πλεοναχῶς τῶν φαινομένων ἐκκαλουμένων, μανικὸν καὶ οὐ καθηκόντως πραττόμενον ὑπὸ τῶν τὴν ματαίαν ἀστρολογίαν ἐζηλωκότων καὶ εἰς τὸ κενὸν αἰτίας ἄστρων* [7] *ἀποδιδόντων, ὅταν τὴν θείαν φύσιν μηθαμῇ λειτουργιῶν ἀπολύωσι.*

siderum magnitudo

[Epicur.] Epist. II ap. Diog. X 91 p. 39 Us. *Τὸ δὲ μέγεθος ἡλίου τε ⟨καὶ σελήνης⟩*[8] *καὶ τῶν λοιπῶν ἄστρων κατὰ μὲν τὸ* [9] *πρὸς ἡμᾶς τηλικοῦτόν ἐστιν ἡλίκον φαίνεται·* 377

---

1) Uncis inclusa eiecit Us. — 2) *ἐν τῷδε* Us.: *τῷδε* libri. — 3) Uncis inclusa eiecit Us. — 4) *δ' ἐκλειπούσης* Us.: *δὲ καταλιπούσης* libri. — 5) *οἱόν τιν'* Us.: *οἷον τε* libri. — 6) *οὐθενὶ* Us.: *οὐθὲν* vel *οὐδὲν* libri. — 7) *ἄστρων* Us.: *τινῶν* libri. — 8) *καὶ σελ.* add. Us. — 9) *μὲν τὸ* Schneider: *μέντοι* libri.

κατὰ δὲ τὸ καθ᾽ αὐτὸ ἤτοι μεῖζον τοῦ ὁρωμένου ἢ μικρῷ ἔλαττον ἢ τηλικοῦτον ἡλίκον τυγχάνει [1]. *οὕτω γὰρ καὶ τὰ παρ᾽ ἡμῖν πυρὰ ἐξ ἀποστήματος θεωρούμενα κατὰ τὴν αἴσθησιν θεωρεῖται* [a].

a. Epicur. de Nat. XI fr. 81 Us. ap. Diog. X 91 *εἰ γὰρ τὸ μέγεθος (ὁ ἥλιος) διὰ τὸ διάστημα ἀπεβεβλήκει, πολλῷ μᾶλλον ἂν τὴν χρόαν· ἀλλ᾽ οὐ γὰρ τούτῳ συμμετρότερον διάστημα οὐθέν ἐστι.* Cf. Lucret. V 564—595. Plac. II 21, 5. Dox. 352.

378 A Epicur. Epist. I ap. Diog. X 63 p. 19 Us. *Μετὰ δὲ ταῦτα δεῖ συνορᾶν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη (οὕτω γὰρ ἡ βεβαιοτάτη πίστις ἔσται), ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερὲς παρ᾽ ὅλον τὸ ἄθροισμα παρεσπαρμένον, προσεμφερέστατον δὲ πνεύματι θερμοῦ τινα κρᾶσιν ἔχοντι καὶ πῇ μὲν τούτῳ προσεμφερές, πῇ δὲ τούτῳ, ἐπὶ δὲ τοῦ μέρους* [2] *πολλὴν παραλλαγὴν εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων, συμπαθὲς δὲ τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι· τοῦτο δὲ πᾶν αἱ δυνάμεις τῆς ψυχῆς διῆγον* [3] *καὶ τὰ πάθη καὶ αἱ εὐκινησίαι καὶ αἱ διανοήσεις καὶ ὧν στερόμενοι θνήσκομεν. καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν πλείστην αἰτίαν δεῖ κατέχειν·* 64. *οὐ μὴν εἰλήφει ἂν ταύτην, εἰ μὴ ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐστεγάζετό πως. τὸ δὲ λοιπὸν ἄθροισμα παρασκευάσαν ἐκείνῃ τὴν αἰτίαν ταύτην μετείληφε καὶ αὐτὸ τοιούτου συμπτώματος παρ᾽ ἐκείνης, οὐ μέντοι πάντων ὧν ἐκείνη κέκτηται* [a]. animae natura

378 B Scholion ap. Diog. X 66 (fr. 311). *Λέγει (ὁ Ἐπίκουρος) ἐν ἄλλοις καὶ ἐξ ἀτόμων αὐτὴν (τὴν ψυχὴν) συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός· καὶ τὸ μέν τι ἄλογον αὐτῆς, ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρῆς.* sedes

378 C Plac. IV 3, 11. Dox. 388. *Ἐπίκουρος (ἀπεφήνατο τὴν ψυχὴν) κρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ* elementa

1) *τυγχάνει* Us.: *οὐχ ἅμα* libri. — 2) *ἐπὶ δὲ τοῦ μέρους* Us.: *ἔστι δέ τι μέρος* Woltjer: *ἔστι δὲ τὸ μέρος* libri. — 3) *διῆγον* Us.: *δῆλον* libri.

ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου· τοῦτο δ' ἦν αὐτῷ τὸ αἰσθητικόν. ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ θερμὸν τὴν φαινομένην θερμότητα τοῦ σώματος, τὸ δ' ἀκατονόμαστον τὴν ἐν ἡμῖν ἐμποιεῖν αἴσθησιν· ἐν οὐδενὶ γὰρ τῶν ὀνομαζομένων στοιχείων εἶναι αἴσθησιν[b].

a. Epicur. Epist. I ap. Diog. X 67 p. 21 Us. *καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι τὸ ἀσώματον πλὴν τοῦ κενοῦ. τὸ δὲ κενὸν οὔτε ποιῆσαι οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται. ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν ματάζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν οὔτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα συμβαίνει*[1] *περὶ τὴν ψυχὴν τὰ συμπτώματα.* — Cum sensus pendeat ab animae cum corpore coniunctione, consentaneum est hac soluta illam interire: Epicur. Epist. I ap. Diog. X 65. p. 21 Us. *καὶ μὴν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχὴ διασπείρεται καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις οὐδὲ κινεῖται, ὥστε οὐδ' αἴσθησιν κέκτηται. οὐ γὰρ οἷόν τε νοεῖν τὸ*[2] *αἰσθανόμενον μὴ ἐν τούτῳ τῷ συστήματι καὶ ταῖς κινήσεσι ταύταις χρωμένην, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς κινήσεις.* Cf. Sext. Math. IX 72; Lucret. III 413 sq. Mortem igitur non est quod perhorrescamus, quandoquidem nullus post eam manet sensus; cf. **RP** 382.

b. Easdem partes enumerat Lucret. III 227 sq. — Cognitionem rerum repetebat ab emanationibus simulacrorum per sensus in animam nostram penetrantibus: Epicur. Epist. I ap. Diog. X 46 p. 9 Us. *καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσί, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. — τούτους δὲ τοὺς τύπους* εἴδωλα *προσαγορεύομεν.* Ib. 48 p. 11 *καὶ γὰρ ῥεῦσις ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχής, οὐκ ἐπίδηλος τῇ μειώσει διὰ τὴν ἀνταναπλήρωσιν, σῴζουσα τὴν ἐπὶ τοῦ στερεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων ἐπὶ πολὺν χρόνον, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει.* Cf. Democritus (**RP** 155 sq.), cui simulacra in aëre nasci et per aëra ad nos manare statuenti Epicurus in eo adversatur, quod illa per inane infinita celeritate ad nos penetrare censebat: ib. 47. 49. 52. 53.

simulacra

deorum natura

Epicur. Epist. III ap. Diog. 123 p. 59 Us. *Ἃ δέ σοι συνεχῶς παρήγγελλον, ταῦτα καὶ πρᾶττε καὶ μελέτα, στοιχεῖα τοῦ καλῶς ζῆν ταῦτ' εἶναι διαλαμβάνων· πρῶτον μὲν τὸν θεὸν ζῷον ἄφθαρτον καὶ μακάριον νομίζων, ὡς ἡ κοινὴ τοῦ θεοῦ νόησις ὑπεγράφη, μηθὲν μήτε τῆς ἀφθαρσίας* 379

---

1) *συμβαίνει* Us.: *διαλαμβάνει* libri. — 2) *τὸ* Us.: *αὐτὸ* libri.

ἀλλότριον μήτε τῆς μακαριότητος ἀνοίκειον αὐτῷ πρόσαπτε· πᾶν δὲ τὸ φυλάττειν αὐτοῦ δυνάμενον τὴν μετὰ ἀφθαρσίας μακαριότητα περὶ αὐτὸν δόξαζε[a]. θεοὶ μὲν γάρ εἰσιν· ἐναργὴς γὰρ αὐτῶν ἐστιν ἡ γνῶσις[b]. οἵους δ' αὐτοὺς οἱ πολλοὶ νομίζουσιν, οὐκ εἰσίν· οὐ γὰρ φυλάττουσιν αὐτοὺς οἵους νοοῦσιν[1]. ἀσεβὴς δὲ οὐχ ὁ τοὺς τῶν πολλῶν θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τὰς τῶν πολλῶν δόξας θεοῖς προσάπτων. 124. οὐ γὰρ προλήψεις εἰσὶν ἀλλ' ὑπολήψεις ψευδεῖς αἱ τῶν πολλῶν ὑπὲρ θεῶν ἀποφάσεις[c].

a. Epicur. Sentent. select. 1 ap. Diog. X 139 p. 71 Us. *τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει οὔτε ἄλλῳ παρέχει, ὥστε οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον.* Cf. Cic. Deor. N. I 50 sq.

b. Scilicet per *πρόληψιν*, quae semper vera est. Videtur igitur Epicurus hoc concesisse communi hominum persuasioni, ut deos re vera exsistere et species eorum similes hominum esse poneret, v. Diog. X 139 (fr. 355) *ἐν ἄλλοις δέ φησι τοὺς θεοὺς λόγῳ θεωρητούς, οὓς μὲν κατ' ἀριθμὸν ὑφεστῶτας* (soliditate quadam ad numerum permanentes), *οὓς δὲ κατὰ ὁμοείδειαν ἐκ τῆς συνεχοῦς ἐπιρρύσεως τῶν ὁμοίων εἰδώλων ἐπὶ τὸ αὐτὸ ἀποτετελεσμένους, ἀνθρωποειδεῖς*: cf. Cic. Deor. N. I 49; Plac. I 7, 34 (Dox. 306); Hirzel, *Unters.* I 46 sq. Zeller III 1[3] 431. Subtilissimum eos corpus habere docebat, propter immortalitatem: Cic. Deor. N. I 71 (*Epicurus*) *ne interitus et dissipatio consequatur, negat esse corpus deorum, sed tanquam corpus, nec sanguinem, sed tanquam sanguinem.* Cf. ib. 123. Multitudinem deorum infinitam esse statuebat propter *ἰσονομίαν*, h. e. ut omnia omnibus paribus paria responderent, v. ib. I 50 *ex hac igitur* (*ἰσονομίᾳ*) *illud efficitur, si mortalium tanta multitudo sit, esse immortalium non minorem.*

c. Propterea et fabulas poetarum et populares de dis opiniones maximopere fastidiebat, v. Epist. I ap. Diog. X 81; II ib. 87. 104. 114. 116; Sent. sel. 12 ib. 143; Cic. D. N. I 42 sq. — Etiam fato ac providentiae Stoicae et divinationi adversabatur: Epist. III ap. Diog. X 135; Cic. D. N. I 18 sq. (fr. 352). 54 sq. (fr. 367); Plut. c. Epicur. beatit. 21 p. 1101 (fr. 369); adv. Colot. 27 p. 1123. 30 p. 1124 (fr. 368); cf. **RP** 376 a. — Talibus sapienti deorum timorem eximere studebat: v. **RP** 375 a; Cic. Deor. N. I 45 (fr. 352). — Habitare in intermundiis (*μετακόσμια* **RP** 376) deos dicebat: Cic. de Divin. II 40 *deos enim ipsos iocandi causa induxit Epicurus perlucidos et perflabilis et habitantis tamquam inter duos lucos sic inter duos mundos propter metum ruinarum.* Cf. Lucret. V 146 sq.

---

1) *νοοῦσιν* Us.: *νομίζουσιν* libri.

Ethica.

voluptas finis bonorum

Epicur. Epist. III ap. Diog. X 128 p. 62 Us. *Τούτου γὰρ χάριν πάντα πράττομεν, ὅπως μήτε ἀλγῶμεν μήτε ταρβῶμεν. ὅταν δὲ ἅπαξ τοῦτο περὶ ἡμᾶς γένηται, λύεται πᾶς ὁ τῆς ψυχῆς χειμών, οὐκ ἔχοντος τοῦ ζῴου βαδίζειν ὡς πρὸς ἐνδέον τι καὶ ζητεῖν ἕτερον ᾧ τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀγαθὸν συμπληρώσεται. τότε γὰρ ἡδονῆς χρείαν ἔχομεν, ὅταν ἐκ τοῦ μὴ παρεῖναι τὴν ἡδονὴν ἀλγῶμεν· ⟨ὅταν δὲ μηδὲν ἀλγῶμεν⟩*[1]*, οὐκέτι τῆς ἡδονῆς δεόμεθα. καὶ διὰ τοῦτο τὴν ἡδονὴν ἀρχὴν καὶ τέλος λέγομεν εἶναι τοῦ μακαρίως ζῆν*[a]. 129. *ταύτην γὰρ ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν, καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς, καὶ ἐπὶ ταύτην καταντῶμεν ὡς κανόνι τῷ πάθει πᾶν ἀγαθὸν κρίνοντες*[b]. *καὶ ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο καὶ σύμφυτον, διὰ τοῦτο καὶ οὐ πᾶσαν ἡδονὴν αἱρούμεθα, ἀλλ' ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν τὸ δυσχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας ἡδονῶν κρείττους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν ἡδονὴ παρακολουθῇ πολὺν χρόνον ὑπομείνασι τὰς ἀλγηδόνας. πᾶσα οὖν ἡδονὴ διὰ τὸ φύσιν ἔχειν οἰκείαν ἀγαθόν, οὐ πᾶσα μέντοι γ' αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα κακόν, οὐ πᾶσα δὲ ἀεὶ φευκτὴ πεφυκυῖα.* 380

a. His maximam partem consentit cum Democrito (**RP** 158) et Aristippo (**RP** 207—209).

b. *Πάθος* Epicuro in iudicii normis est (ut Cyrenaicis **RP** 208; 210) Diog. X 31 (fr. 35); 34 (fr. 260). — Differt a Cyrenaicis hisce (cf. Us. p. 293 sq.): 1) Finis Epicuro non est *ἡδονὴ μονόχρονος*, sed voluptas per totam vitam durans, v. Epicur. Sent. 27 ap. Diog. X 148 p. 77 Us. *ἡ τοῦ ὅλου βίου μακαριότης.* Propterea futurum prospicere debemus in agendo: Epicur. Epist. III ap. Diog. X 127 p. 62 Us. *μνημονευτέον δὲ ὡς τὸ μέλλον οὔτε ἡμέτερον οὔτε πάντως οὐχ ἡμέτερον, ἵνα μήτε πάντως προσμένωμεν ὡς ἐσόμενον μήτε ἀπελπίζωμεν ὡς πάντως οὐκ ἐσόμενον.* — 2) Voluptas non solum in motu posita est verum etiam in statu quieto. Epicur. ap. Diog. X 136 (fr. 2) *ἡ μὲν γὰρ ἀταραξία καὶ ἡ ἀπονία καταστηματικαί εἰσιν ἡδοναί, ἡ δὲ χαρὰ καὶ ἡ εὐφροσύνη*

1) Lacunam ita supplevit Usener Gassendum secutus.

κατὰ κίνησιν ἐνεργείᾳ βλέπονται. Quare fuerunt qui Epicurum summum bonum in vacuitate doloris posuisse dicerent: Diog. II 87. 89. Clem. Strom. II 21 p. 495 P. (fr. 450). — 3) Animi voluptas corporis voluptate praestantior: Diog. X 137 (fr. 452) *ἔτι πρὸς τοὺς Κυρηναϊκούς· οἱ μὲν γὰρ χείρους τὰς σωματικὰς ἀλγηδόνας τῶν ψυχικῶν· κολάζεσθαι γοῦν τοὺς ἁμαρτάνοντας σώματι· ὁ δὲ τὰς ψυχικάς· τὴν γοῦν σάρκα διὰ τὸ παρὸν μόνον χειμάζειν, τὴν δὲ ψυχὴν καὶ διὰ τὸ παρελθὸν καὶ τὸ παρὸν καὶ τὸ μέλλον· οὕτως οὖν καὶ μείζονας ἡδονὰς εἶναι τὰς τῆς ψυχῆς.* Ib. 118 (fr. 601) *κἂν στρεβλωθῇ δ' ὁ σοφός, εἶναι αὐτὸν εὐδαίμονα.* Epicur. Ep. III ib. 135 p. 66 Us. *κρεῖττον εἶναι νομίζων εὐλογίστως ἀτυχεῖν ἢ ἀλογίστως εὐτυχεῖν.* Et moriens Epicurus ad Idomeneum amicum scripsit haec (Diog. X 138 cf. Cic. Fin. II 96; fr. 138): *τὴν μακαρίαν ἄγοντες καὶ ἅμα τελευτῶντες ἡμέραν τοῦ βίου ἐγράφομεν ὑμῖν ταυτί· στραγγουρικά τε παρηκολούθει καὶ δυσεντερικὰ πάθη ὑπερβολὴν οὐκ ἀπολείποντα τοῦ ἐν ἑαυτοῖς μεγέθους· ἀντιπαρετάττετο δὲ πᾶσι τούτοις τὸ κατὰ ψυχὴν χαῖρον ἐπὶ τῇ τῶν γεγονότων ἡμῖν διαλογισμῶν μνήμῃ.* Quamquam in schola maxime valebat illud, quod voluptatum perceptarum recordationem vitam beatam facere aiebant, et quidem corpore perceptarum, v. Cic. Fin. II 106; **RP** 381 a.

381 Athen. VII p. 279 F. *Καὶ αὐτὸς δέ που ὁ Μητρόδωρός* — *φησιν· „Περὶ γαστέρα γάρ, ὦ φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν." Ἐπίκουρος γὰρ ἦν ὁ τούτων διδάσκαλος, ὃς καὶ βοῶν ἔλεγεν* (fr. 409)*· „Ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή· καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ ἐπὶ ταύτην ἔχει τὴν ἀναφοράν." κἂν τῷ περὶ τέλους δέ φησιν οὕτω πῶς* (fr. 67)*· „Οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθὸν ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν δὲ τὰς διὰ μορφῆς κατ' ὄψιν ἡδείας κινήσεις." καὶ προελθών φησι λέγων* (fr. 70)*· „Τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον."*[a] corporis voluptas

a. Cf. ib. XII p. 546 E; Cic. Tusc. III 41; Diog. X 6. Ipsa etiam animi voluptas nihil est nisi recordatio vel exspectatio eorum quae corpori voluptatem praebent. Clem. Strom. II p. 498 P. (fr. 451) *ὁ δὲ Ἐπίκουρος πᾶσαν χαρὰν τῆς ψυχῆς οἴεται ἐπὶ πρωτοπαθούσῃ τῇ σαρκὶ γενέσθαι. ὅ τε Μητρόδωρος ἐν τῷ Περὶ τοῦ μείζονα εἶναι τὴν παρ' ἡμᾶς αἰτίαν πρὸς εὐδαιμονίαν τῆς ἐκ τῶν πραγμάτων· Ἀγαθόν, φησί, ψυχῆς τί ἄλλο ἢ τὸ σαρκὸς εὐσταθὲς κατάστημα καὶ τὸ περὶ ταύτης*

πιστὸν ἔλπισμα: quem locum ita reddit Cic. Fin. II 92: *ipse enim Metrodorus, paene alter Epicurus, beatum esse describit his fere verbis: cum corpus bene constitutum sit et sit exploratum ita futurum.* Cf. Diog. II 89 (fr. 453).

voluptatum dignitas Epicur. Sentent. 9 ap. Diog. X 142 p. 73 Us. *Εἰ κατεπυκνοῦτο πᾶσα ἡδονὴ καὶ χρόνῳ καὶ περὶ ὅλον τὸ ἄθροισμα ὑπῆρχεν ἢ τὰ κυριώτατα μέρη τῆς φύσεως*[a], *οὐκ ἄν ποτε διέφερον ἀλλήλων αἱ ἡδοναί.* 10. *Εἰ τὰ ποιητικὰ τῶν περὶ τοὺς ἀσώτους ἡδονῶν ἔλυε τοὺς φόβους τῆς διανοίας τούς τε περὶ μετεώρων καὶ θανάτου καὶ ἀλγηδόνων, ἔτι τε τὸ πέρας τῶν ἐπιθυμιῶν ἐδίδασκεν, οὐκ ἄν ποτε εἴχομεν ὅ τι ἐμεμψάμεθα αὐτοῖς, πανταχόθεν ἐκπληρουμένοις τῶν ἡδονῶν καὶ οὐθαμόθεν οὔτε τὸ ἀλγοῦν οὔτε τὸ λυπούμενον ἔχουσιν, ὅπερ ἐστὶ τὸ κακόν*[b]. 382

a. *Ὅλον τὸ ἄθροισμα* est tota corporis compages seu concretio, cf. Epic. Epist. I ap. Diog. X 63. 65. — *Τὰ κυριώτατα μέρη τῆς φύσεως* videntur sensus praecipui esse.

b. Latine ap. Cic. Fin. II 21. — Enumerantur rationes propter quas *φρόνησις* inter singulas voluptates distinguere optimamque ceteris spretis eligere debeat. Sunt autem et libidinum impetus et formidinum terrores subiecti morali virtuti, itaque Epicurus sapientem felicitatem in sua potestate habere docebat liberoque arbitrio enixe patrocinabatur, v. Epicur. Ep. III ap. Diog. X 133 *τὸ δὲ παρ' ἡμᾶς ἀδέσποτον ᾧ καὶ τὸ μεμπτὸν καὶ τὸ ἐναντίον παρακολουθεῖν πέφυκεν.* Cupiditates revocandas esse ad ea sine quibus natura nostra esse non posset; quae si sola sequeretur, facili negotio sapientem vel cupiditatibus satisfacere vel a doloribus sibi cavere posse: Epicur. Sent. 29 ap. Diog. X 149 p. 77 Us. *τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ* <*καὶ ἀναγκαῖαι, αἱ δὲ φυσικαὶ*> *καὶ οὐκ ἀναγκαῖαι, αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι, ἀλλὰ παρὰ κενὴν δόξαν γινόμεναι.* Quibus hoc scholion adiectum: *φυσικὰς καὶ ἀναγκαίας ἡγεῖται ὁ Ἐπίκουρος τὰς ἀλγηδόνας ἀπολυούσας, ὡς ποτὸν ἐπὶ δίψους· φυσικὰς δὲ καὶ οὐκ ἀναγκαίας τὰς ποικιλλούσας μόνον τὴν ἡδονήν, μὴ ὑπεξαιρουμένας δὲ τὸ ἄλγημα, ὡς πολυτελῆ σιτία· οὔτε δὲ φυσικὰς οὔτ' ἀναγκαίας, ὡς στεφάνους καὶ ἀνδριάντων ἀναθέσεις.* Postremum genus aspernatur sapiens, secundum admittit, sed ita ut sine iis esse possit: Epicur. Epist. III ap. Diog. X 130 p. 63 Us. *καὶ τὴν αὐτάρκειαν δὲ ἀγαθὸν μέγα νομίζομεν, οὐχ ἵνα πάντως τοῖς ὀλίγοις χρώμεθα, ἀλλ' ὅπως, ἐὰν μὴ ἔχωμεν τὰ πολλά, τοῖς ὀλίγοις ἀρκώμεθα, πεπεισμένοι γνησίως ὅτι ἥδιστα πολυτελείας ἀπολαύουσιν οἱ ἥκιστα ταύτης δεόμενοι.* Quare ingruente necessitate sapiens primo voluptatum genere solo contentus etiam sic felicitatem sibi comparare callet: Aelian.

cupiditates

temperantia

V. Hist. IV 13 (Stob. Flor. 17, 30; fr. 602) *ἔλεγεν (ὁ Ἐπίκουρος) ἑτοίμως ἔχειν καὶ τῷ Διὶ ὑπὲρ εὐδαιμονίας διαγωνίζεσθαι μᾶζαν ἔχων καὶ ὕδωρ.* Cf. Epicur. Ep. III ap. Diog. X 131 p. 64 Us. Quae ad has voluptates necessaria sunt facile acquiruntur: Epicur. Sentent. 15 ap. Diog. X 144 p. 74 Us. *ὁ τῆς φύσεως πλοῦτος καὶ ὥρισται καὶ εὐπόριστός ἐστιν, ὁ δὲ τῶν κενῶν δοξῶν εἰς ἄπειρον ἐκπίπτει,* cf. Epicur. fr. 469 ap. Stob. Flor. 17, 23. Ita Epicurus suos si non modice vivere, tamen posse modice vivere docebat; unde factum est ut nonnullis eius praeceptis ne adversarii quidem laudem negarent; cf. Cic. Tusc. III 49; Seneca Ep. 33, 2; de Vit. Beat. 13, 1 (fr. 460) *in ea quidem ipse sententia sum — invitis hoc nostris popularibus (Stoicis) dicam — sancta Epicurum et recta praecipere et, si propius accesseris, tristia: voluptas enim illa ad parvum et exile revocatur, et quam nos virtuti legem dicimus, eam ille dicit voluptati.* Neque dolores corporis sapienti in beate vivendo officere possunt, ut quorum vis minuta sit atque fugax: Epicur. Sentent. 4 ap. Diog. X 140 p. 72 Us. *οὐ χρονίζει τὸ ἀλγοῦν συνεχῶς ἐν τῇ σαρκί, ἀλλὰ τὸ μὲν ἄκρον τὸν ἐλάχιστον χρόνον πάρεστι, τὸ δὲ μόνον ὑπερτεῖνον τὸ ἡδόμενον κατὰ σάρκα οὐ πολλὰς ἡμέρας συμβαίνει. αἱ δὲ πολυχρόνιοι τῶν ἀρρωστιῶν πλεονάζον ἔχουσι τὸ ἡδόμενον ἐν τῇ σαρκὶ ἤπερ τὸ ἀλγοῦν.* Ipsa mors, quod est extremum malorum, nihil tamen habet, quo felicitatem sapientis turbare queat: Epicur. Ep. III ap. Diog. X 125 p. 61 Us. *τὸ φρικωδέστατον οὖν τῶν κακῶν ὁ θάνατος οὐθὲν πρὸς ἡμᾶς, ἐπειδήπερ ὅταν μὲν ἡμεῖς ὦμεν, ὁ θάνατος οὐ πάρεστιν, ὅταν δ' ὁ θάνατος παρῇ, τόθ' ἡμεῖς οὐκ ἐσμέν.* mors

383 Epicur. Sentent. 5 ap. Diog. X 140 p. 72 Us. *Οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως ⟨οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως⟩*[1] *ἄνευ τοῦ ἡδέως. ὅτῳ δ' ἓν τούτων*[2] *μὴ ὑπάρχει οἷον ζῆν φρονίμως, καὶ καλῶς καὶ δικαίως ὑπάρχει, οὐκ ἔστι τοῦτον ἡδέως ζῆν.* vita beata

Cf. Diog. X 138 (fr. 506) *ὁ δ' Ἐπίκουρος καὶ ἀχώριστόν φησι τῆς ἡδονῆς τὴν ἀρετὴν μόνην, τὰ δ' ἄλλα χωρίζεσθαι, οἷον βρωτά.* Primaria virtus ei videbatur esse *ἡ φρόνησις*, quae philosophando comparatur, quare philosophia isdem quibus virtus nominibus ab eo commendatur in Ep. III ap. Diog. X 122 p. 59 Us. *μήτε νέος τις ὢν μελλέτω φιλοσοφεῖν μήτε γέρων ὑπάρχων κοπιάτω φιλοσοφῶν· οὔτε γὰρ ἄωρος οὐδείς ἐστιν οὔτε πάρωρος πρὸς τὸ κατὰ ψυχὴν ὑγιαῖνον. ὁ δὲ λέγων μήπω τοῦ φιλοσοφεῖν ὑπάρχειν ἢ παρεληλυθέναι τὴν ὥραν ὅμοιός ἐστι τῷ λέγοντι πρὸς εὐδαιμονίαν ἢ μήπω παρεῖναι τὴν ὥραν ἢ μηκέτι εἶναι. ὥστε* virtus prudentia

1) Lacunam explevit Gassendus. — 2) *δ' ἓν τούτων* Us.: *δὲ τοῦτο* libri.

φιλοσοφητέον καὶ νέῳ καὶ γέροντι, τῷ μὲν ὅπως γηράσκων νεάζῃ τοῖς ἀγαθοῖς διὰ τὴν χάριν τῶν γεγονότων, τῷ δὲ ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ διὰ τὴν ἀφοβίαν τῶν μελλόντων. — Ib. 132 οὐ γὰρ πότοι καὶ κῶμοι συνείροντες οὐδ' ἀπολαύσεις παίδων καὶ γυναικῶν οὐδ' ἰχθύων καὶ τῶν ἄλλων, ὅσα φέρει πολυτελὴς τράπεζα, τὸν ἡδὺν γεννᾷ βίον, ἀλλὰ νήφων λογισμὸς καὶ τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως καὶ φυγῆς καὶ τὰς δόξας ἐξελαύνων, ἀφ' ὧν πλεῖστος τὰς ψυχὰς καταλαμβάνει θόρυβος. τούτων δὲ πάντων ἀρχὴ καὶ τὸ μέγιστον ἀγαθὸν φρόνησις. διὸ καὶ φιλοσοφίας τιμιώτερον ὑπάρχει φρόνησις, ἐξ ἧς αἱ λοιπαὶ πᾶσαι πεφύκασιν ἀρεταί, διδάσκουσα ὡς οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως ⟨οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως⟩[1] ἄνευ τοῦ ἡδέως· συμπεφύκασι γὰρ αἱ ἀρεταὶ τῷ ζῆν ἡδέως, καὶ τὸ ζῆν ἡδέως τούτων ἐστὶν ἀχώριστον.

amicitia Epicur. Sentent. 27 ap. Diog. X 148 p. 77 Us. *Ὧν ἡ σοφία παρασκευάζεται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις*[a]. 384 A

iustitia Sentent. 31 ib. 150 p. 78 Us. *Τὸ τῆς φύσεως δίκαιόν ἐστι σύμβολον τοῦ συμφέροντος εἰς τὸ μὴ βλάπτειν ἀλλήλους μηδὲ βλάπτεσθαι*[b]. — Sentent. 34 ib. 151 p. 79 Us. *Ἡ ἀδικία οὐ καθ' ἑαυτὴν κακόν, ἀλλ' ἐν τῷ κατὰ τὴν ὑποψίαν φόβῳ, εἰ μὴ λήσει τοὺς ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολαστάς.* (35) *Οὐκ ἔστι τὸν λάθρα τι ποιοῦντα ὧν συνέθεντο πρὸς ἀλλήλους εἰς τὸ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι, πιστεύειν ὅτι λήσει, κἂν μυριάκις ἐπὶ*[2] *τοῦ παρόντος λανθάνῃ· μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ καὶ λήσει.* 384 B

leges Sentent. 36 ib. 151 p. 79 Us. *Κατὰ μὲν ⟨τὸ⟩*[3] *κοινὸν πᾶσι τὸ δίκαιον τὸ αὐτό· συμφέρον γάρ τι ἦν ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ· κατὰ δὲ τὸ ἴδιον χώρας καὶ ὅσων δή ποτε αἰτιῶν οὐ πᾶσι συνέπεται τὸ αὐτὸ δίκαιον εἶναι*[c]. 384 C

a. De amicitia cf. Cic. Fin. I 66 *ut enim virtutes, de quibus ante dictum est, sic amicitiam negant posse a voluptate discedere. nam cum solitudo et vita sine amicis insidiarum et metus plena sit, ratio ipsa monet amicitias comparare: quibus partis confirmatur animus et a spe pariendarum voluptatum seiungi non potest.* Cf. **RP** 367.

b. Cf. Sent. 32 ib. 150 *ὅσα τῶν ζῴων μὴ ἐδύνατο συνθήκας ποι-*

1) Supplevit Stephanus. — 2) ἐπὶ Menagius: ἀπὸ vel ὑπὸ libri. — 3) τὸ add. Gassendus.

εἶσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν ἄλλα μηδὲ βλάπτεσθαι, πρὸς ταῦτα οὐθέν ἐστιν οὐδὲ δίκαιον οὐδὲ ἄδικον· ὡσαύτως δὲ καὶ τῶν ἐθνῶν ὅσα μὴ ἐδύνατο ἢ μὴ ἐβούλετο τὰς συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι. (33) *οὐκ ἦν τι καθ' ἑαυτὸ δικαιοσύνη, ἀλλ' ἐν ταῖς μετ' ἀλλήλων συστροφαῖς καθ' ὁπηλίκους δήποτ' ἀεὶ τόπους συνθήκη τις ὑπὲρ τοῦ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι.*

e. Stob. Flor. 43, 139 (fr. 530) *Ἐπικούρου. οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται, οὐχ ὅπως μὴ ἀδικῶσιν, ἀλλ' ὅπως μὴ ἀδικῶνται.* — De vita civili sic statuebat, ut munera publica fugienda potius quam ambienda esse praeciperet, v. Plut. adv. Colot. 31, 2 p. 1125 (fr. 556. 554); 34, 3 p. 1127 (fr. 8); contr. Epic. beatit. 16, 9 p. 1098; de occulte viv. 4 p. 1129. Senec. de Otio 3, 2 (fr. 9) *duae maxime et in hac re dissident sectae Epicureorum et Stoicorum, sed utraque ad otium diversa via mittit. Epicurus ait: Non accedet ad rempublicam sapiens nisi si quid intervenerit. Zenon ait: Accedet ad rempublicam nisi si quid impedierit. alter otium ex proposito petit, alter ex causa.* vita publica

Stoici.

Zeno eiusque schola, Cleanthes, Chrysippus.

De vitis et scriptis eorum.

Zeno Diog. VII 1. *Ζήνων Μνασέου ἢ Δημέου Κιτιεὺς ἀπὸ* 385 *Κύπρου, πολίσματος Ἑλληνικοῦ Φοίνικας ἐποίκους ἐσχηκότος*[a]. *διήκουσε δὲ — Κράτητος· εἶτα καὶ Στίλπωνος ἀκοῦσαί φασιν αὐτὸν καὶ Ξενοκράτους ἔτη δέκα —, ἀλλὰ καὶ Πολέμωνος*[b]. — *Ἀνακάμπτων δὴ ἐν τῇ Ποικίλῃ Στοᾷ (τῇ καὶ Πεισιανακτίῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου Ποικίλῃ) διέθετο τοὺς λόγους. — προσῄεσαν δὴ πολλοὶ ἀκούοντες αὐτοῦ καὶ διὰ τοῦτο Στωϊκοὶ ἐκλήθησαν καὶ οἱ ἀπ᾽ αὐτοῦ ὁμοίως πρότερον Ζηνώνειοι καλούμενοι*[c]. — 6. *Ἐτίμων δὴ οὖν Ἀθηναῖοι σφόδρα τὸν Ζήνωνα, οὕτως ὡς καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι καὶ χρυσῷ στεφάνῳ τιμῆσαι καὶ χαλκῇ εἰκόνι.* — 27. *Ἤδη δὲ καὶ εἰς παροιμίαν σχεδὸν ἐχώρησεν. ἐλέγετο γοῦν ἐπ᾽ αὐτοῦ· Τοῦ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος*[d].

a. Cic. Fin. IV 56 *tuus ille Poenulus, scis enim Citieos clientes tuos e Phoenica profectos.* Mirum quot his temporibus Citienses, Tarsenses et ex ceteris earum regionum civitatibus oriundi in philosophia floruerint, maxime in Stoica.

b. Adde Diodorum Megaricum, v. Diog. VII 16. 25. In universum perhibetur viginti annos magistris impendisse: Diog. VII 4. Priusquam Athenas veniret et philosophiae se dederet, mercator et nauta fuerat: Diog. VII 2. 5. 31.

c. Scholae per quinquaginta octo annos praefuisse dicitur (Diog. VII 28), vixisse supra nonaginta annos (Lucian. Macrob. 19; Suid. v. *Ζήνων*).

d. Apud Antigonum Gonatam (regn. a. 283—240) plurimum valebat: Diog. VII 6. 9. 13. 36; Aelian. V. H. VII 14. Temporum in vita

Zenonis ratio implicatior est, sed videtur satis constare eum mortuum esse a. 264. Cf. E. Rohde, Mus. Rh. XXXIII (1878), 177. 622. Th. Gomperz, ib. XXXIV (1879), 154. U. de Wilamowitz, *Antigon.* p. 110. 254. Unger, Acad. Monac. 1887 p. 101 sq. — Librorum recensum habes ap. Diog. VII 4. Nobilissimus erat eius de republica liber, in quo erant sicut in aliis quibusdam quae nimis Cynismum olere viderentur, v. Diog. VII 4. 34. — Simplicior in docendo et in argumentis concludendis incautior fuisse perhibetur: Diog. VII 84; Senec. Ep. 82, 9; 83, 9.

Scripserunt de Zenonis vita et scriptis: G. P. Weygoldt, *Z. v. Cittium u. se. Lehre, Jena* 1872. E. Wellmann, *d. Philosophie d. Stoikers Z., Neue Jahrb. f. Philol.* 107 (1873), 433—490; 115 (1877), 800 sq. C. Wachsmuth, comment. d. Z. Citiensi et Cleanthe Assio I, ind. schol. Gott. 1874. U. de Wilamowitz, *Antigonos v. Karystos* (*Philol. Unters.* IV), Berol. 1881, p. 103 sq. 231. 340 sq. F. Susemihl, *Z. v. Kit., N. Jahrb. f. Phil.* 125 (1882), 737 sq. R. Hirzel, *Unters.* II. L. Stein, *d. Psychologie d. Stoa*, Berol. 1886. 1888, I 54. 151. II 300.

386 Diog. VII 36. *Μαθηταὶ δὲ Ζήνωνος πολλοὶ μέν, ἔνδοξοι δὲ Περσαῖος Δημητρίου Κιτιεύς*[a]. — 37. *Ἀρίστων Μιλτιάδου Χῖος, ὁ τὴν ἀδιαφορίαν εἰσηγησάμενος*[b]· *Ἥριλλος Καρχηδόνιος, ὁ τὴν ἐπιστήμην τέλος εἰπών*[c]· *Διονύσιος ὁ μεταθέμενος εἰς τὴν ἡδονὴν — Ἡρακλεώτης*[d]· *Σφαῖρος Βοσποριανός· Κλεάνθης Φανίου Ἄσσιος, ὁ διαδεξάμενος τὴν σχολήν*[e]. discipuli

a. Hic gratiosus erat apud Antigonum Gonatam et filium eius instituit. Macedonum praesidio praefectus a. 243 Acrocorinthum defendens ab Arato eiectus est, cf. Plut. Arat. 23; Polyaen. VI 5; Stoicor. Ind. Hercul. c. 12 sq., p. 40 ed. Comparetti. In doctrina videtur nihil novasse. Cf. Krische, *Forsch.* 437 sq. Hirzel, *Unters.* II 59 sq.

b. Hic propriam sectam condidit, quae mox exstincta est, v. Diog. VII 161; Cic. de Leg. I 38 (**RP** 454). Docebat in Cynosarge et in praeceptis etiam magis quam magister Cynicorum similis erat: ib. 160 *Ἀρίστων ὁ Χῖος — τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρὸς τὰ μεταξὺ ἀρετῆς καὶ κακίας μηδ' ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα* (cf. Cic. de Fin. II 43; IV 43. 68)· *εἶναι γὰρ ὅμοιον τῷ ἀγαθῷ ὑποκριτῇ τὸν σοφόν, ὃς ἄν τε Θερσίτου ἄν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ, ἑκάτερον ὑποκρινεῖται προσηκόντως. τόν τε φυσικὸν τόπον καὶ τὸν λογικὸν ἀνῄρει, λέγων τὸν μὲν εἶναι ὑπὲρ ἡμᾶς, τὸν δ' οὐδὲν πρὸς ἡμᾶς, μόνον δὲ τὸν ἠθικὸν εἶναι πρὸς ἡμᾶς.* Cf. Sext. Math. VII 12; Senec. Ep. 89, 13 *Ariston Chius non tantum supervacuas esse dixit naturalem et rationalem* (partem philosophiae) *sed etiam contrarias: moralem quoque, quam solam reliquerat, circumcidit.* Stob. Flor. 82, 11 *Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ'* Aristo

ἐκεῖνον χρήσιμον ὄντα καταπάττειν τοὺς βαδίζοντας. Diog. ib. 161 *ἀρετάς τ᾽ οὔτε πολλὰς εἰσῆγεν ὡς ὁ Ζήνων, οὔτε μίαν πολλοῖς ὀνόμασι καλουμένην ὡς οἱ Μεγαρικοί, ἀλλὰ κατὰ* [1] *τὸ πρός τί πως ἔχειν.* Cf. Plut. Stoic. Rep. 7, 3 p. 1034 *μιᾶς ἀρετῆς σχέσεις ἔλεγε τὰς ἄλλας εἶναι*, quam unam virtutem appellabat *ὑγίειαν*: Plut. de Virt. mor. 2 p. 440. Cf. Krische 407 sq., Hirzel II 32. 44 sq., N. Saal, de Aristonis Chii vita, scriptis et doctrina, Colon. 1832.

Herillus **c.** Etiam Herillus suam habuit successionem. Is summum bonum censebat scientiam (Cic. Fin. IV 36; V 73), cui adiunxit finem secundarium: Diog. VII 165 *διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα· τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ μόνον τὸν σοφόν.* Cic. Fin. IV 40 *sin ea* (quae extra virtutem sunt) *non negligemus neque tamen ad finem summi boni referemus, non multum ab Erilli levitate aberrabimus. — facit enim ille duo seiuncta ultima bonorum.* Cf. Hirzel II 46 sq.

d. Cf. Wilamowitz, *Antig. v. K.* 123.

Cleanthes **e.** Diog. VII 168 *οὗτος πρῶτον ἦν πύκτης· — ἀφικόμενος δὲ εἰς Ἀθήνας τέσσαρας ἔχων δραχμάς, καθά φασί τινες, καὶ Ζήνωνι παραβαλὼν ἐφιλοσόφησε γενναιότατα καὶ ἐπὶ τῶν αὐτῶν ἔμεινε δογμάτων. διεβοήθη δὲ ἐπὶ φιλοπονίᾳ, ὅς γε πένης ὢν ἄγαν ὥρμησε μισθοφορεῖν· καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ᾽ ἡμέραν δ᾽ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ φρεάντλης ἐκλήθη.* Ib. 169 *καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς.* Tardioris ingenii fuisse dicitur: Diog. VII 37. 170. Neque per eum Stoicorum doctrina multum profecit, licet multa etiam versibus scriptitaverit, v. Diog. VII 174 sq. Exstat eius hymnus in Iovem compositus ap. Stob. Ecl. I 30 p. 25 Wachsm. — Cf. Krische 416 sq. Hirzel II 84 sq. Stein, *Psychol.* I 65. 162. II 316. F. Mohnike, *Kl. d. Stoiker*, Gryphisw. 1814. Fragmenta coll. C. Wachsmuth in commentat. I et II de Zenone Cit. et Cleanthe Assio, Gott. (ind. schol.) 1874.

Chrysippi vita Diog. VII 179. *Χρύσιππος Ἀπολλωνίου Σολεὺς ἢ Ταρσεύς*[b], — *μαθητὴς Κλεάνθους. οὗτος πρότερον μὲν δόλιχον ἤσκει, ἔπειτα ἀκούσας Ζήνωνος*[b] *ἢ Κλεάνθους, ὡς Διοκλῆς καὶ οἱ πλείους, ἔτι τε ζῶντος ἀπέστη αὐτοῦ*[c] *καὶ οὐχ ὁ τυχὼν ἐγένετο κατὰ φιλοσοφίαν· ἀνὴρ εὐφυὴς καὶ ὀξύτατος ἐν παντὶ μέρει οὕτως ὥστε καὶ ἐν τοῖς πλείστοις διηνέχθη πρὸς Ζήνωνα, ἀλλὰ καὶ πρὸς Κλεάνθην, ᾧ καὶ πολλάκις ἔλεγε μόνης τῆς τῶν δογμάτων διδασκαλίας χρῄζειν, τὰς δὲ ἀποδείξεις αὐτὸς εὑρήσειν· μετενόει μέντοι ὁπότε πρὸς αὐτὸν ἀποτείνοιτο.* — 180. *οὕτω δ᾽ ἐπίδοξος ἐν τοῖς διαλεκτικοῖς ἐγένετο* 387

1) *κατὰ* Zeller: *καὶ* libri.

ὥστε δοκεῖν τοὺς πλείους ὅτι εἰ παρὰ θεοῖς ἦν ἡ διαλεκτική, οὐκ ἂν ἄλλη ἦν ἢ ἡ Χρυσίππειος. — 183. φασὶν ἐπ' αὐτοῦ λεχθῆναι —·

εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν Στοά[d].

a. Solensis appellari solet. Pater Tarsi habitaverat, deinde Solos se contulerat: Strab. XIV 5, 8 p. 671.

b. Zenonem a Chrysippo auditum esse non est verisimile, cum hic mortuus esse feratur Ol. 143 (a. 208—204): v. Diog. VII 184; Suid. v. *Χρύσιππος*.

c. Etiam Academicos Arcesilam et Lacydem (RP 430) audivisse et ad sententias eorum scripsisse dicitur: Diog. VII 183 *τέλος δὲ Ἀρκεσιλάῳ καὶ Λακύδῃ, καθά φησι Σωτίων ἐν τῷ ὀγδόῳ, παραγενομένοις ἐν Ἀκαδημίᾳ συνεφιλοσόφησε· δι' ἣν αἰτίαν καὶ κατὰ τῆς συνηθείας καὶ ὑπὲρ αὐτῆς ἐπεχείρησε καὶ περὶ μεγεθῶν καὶ πληθῶν τῇ τῶν Ἀκαδημαϊκῶν συστάσει χρησάμενος.* Significantur duae Chrysippi scriptiones, altera *κατὰ τῆς συνηθείας*, altera *περὶ τῆς συνηθείας*, cf. Plut. Stoic. Rep. 10, 5 p. 1035; Cic. Ac. II 87. Narratur scholam in Lyceo habuisse: Diog. VII 185, cf. Z. III 1[3] 40[4]. Stoicus Antipater scripsit *περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς*: Plut. Stoic. Rep. 4 p. 1034.

d. Cf. Cic. Ac. II 75; Gell. N. A. VII (VI) 2, 1. Cleanthis successor erat: Suid. v. *Χρύσιππος*; Strab. XIII 57 p. 610. Veteris Stoae placita adeo excoluit et perpolivit, ut nihil fere ante Panaetium immutatum sit. Nam Diogenes Babylonius et Antipater Tarsensis (RP 422) etsi auctoritate plurimum valebant, tamen doctrinam scholae videntur neque firmasse neque amplificasse.

388 Diog. VII 180. *Πλεονάσας δὲ τοῖς πράγμασι (ὁ Χρύσιππος) τὴν λέξιν οὐ κατώρθωσε. πονικώτατός τε παρ' ὀντινοῦν γέγονεν, ὡς δῆλον ἐκ τῶν συγγραμμάτων αὐτοῦ· τὸν ἀριθμὸν γὰρ ὑπὲρ πέντε καὶ ἑπτακόσιά ἐστιν. ἐπλήθυνε δ' αὐτὰ πολλάκις ὑπὲρ τοῦ αὐτοῦ δόγματος ἐπιχειρῶν καὶ πᾶν τὸ ὑποπεσὸν γράφων καὶ διορθούμενος πλεονάκις πλείστῃ τε τῶν μαρτυριῶν παραθέσει χρώμενος· ὥστε καὶ ἐπειδή ποτ' ἔν τινι τῶν συγγραμμάτων παρ' ὀλίγον τὴν Εὐριπίδου Μήδειαν ὅλην παρέθετο καί τις μετὰ χεῖρας εἶχε τὸ βιβλίον, πρὸς τὸν πυθόμενον τί ἄρα ἔχοι ἔφη· Χρυσίππου Μήδειαν*[a]. scripta

a. Chrysippum in eloquendo negligentiorem fuisse constat ex plurimis veterum testimoniis, velut Dionys. Hal. de Comp. Verb. p. 30, 10 Rsk. *καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὥστ' αἰδεῖσθαι καὶ λέγειν. ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τῷ λόγῳ Χρυσίππου τοῦ Στωϊκοῦ· περαιτέρω γὰρ οὐκ ἂν προβαίην. τούτου γὰρ*

οὔτ' ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν οὔτε χείρονι ἁρμονίᾳ συνταχθέντας ἐξήνεγκε λόγους τῶν ὀνόματος καὶ δόξης ἀξιωθέντων. Cic. Fin. IV 7 (Cleanthes et Chrysippus) *pungunt quasi aculeis interrogatiunculis angustis, quibus etiam qui adsentiuntur nihil commutantur animo et idem abeunt qui venerant: res enim fortasse verae certe graves non ita tractantur ut debent, sed aliquanto minutius.* Dicitur Atticam dialectum temere immutasse (Galen. de Differ. Puls. II p. 579. 631 K.) et nimius fuisse in novis vocabulis philosophiae adspergendis (Plut. de Virt. Mor. 2 p. 441; Cic. Fin. IV 7; de Or. I 50), cumque priorum Stoicorum oratio adstrictior et contractior fuisset (Cic. Brut. 120), Chrysippus abunde loquax erat. Denique nimium sibi concessit in exemplis ex historia atque poetis promendis, cf. Apollod. ap. Diog. VII 181 *εἰ γάρ τις ἀφέλοι τῶν Χρυσίππου βιβλίων ὅσ' ἀλλότρια παρατέθειται, κενὸς αὐτῷ ὁ χάρτης καταλελείψεται* et Galen. de Hippocr. et Plat. passim. — Scriptorum index est ap. Diog. VII 183 sq., e systematis Stoici divisionibus compositus, a fine mutilus. Servatum est fragm. dialecticum, ed. Bergk, Cassel 1841.

Scripserunt de Chrysippo: F. Baguet, de Chr. vita, doctrina et reliquiis, Lovanii 1822. Chr. Petersen, philos. Chrysippeae fundamenta, Hamburg. 1827. Krische 443 sq. Hirzel II 183 sq. Stein I 74. 172. II 332. Nicolai, de logic. Chr. libris, Quedlinb. 1859. Th. Bergk, de Chr. libris *π. ἀποφατικῶν*, Cass. 1841. A. Gercke, Chrysippea (*π. προνοίας, π. εἱμαρμένης*), *Jahrb. f. cl. Philol. Suppl.* XIV 691 sq., Lips. 1885.

De philosophia in genere eiusque partibus.

---

philosophiae definitio et partitio

Plac. I prooem. 2. Dox. 273. *Οἱ μὲν οὖν Στωϊκοὶ ἔφασαν τὴν μὲν σοφίαν εἶναι θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην, τὴν δὲ φιλοσοφίαν ἄσκησιν ἐπιτηδείου τέχνης*[a]· *ἐπιτήδειον δὲ εἶναι μίαν καὶ ἀνωτάτω τὴν ἀρετήν, ἀρετὰς δὲ τὰς γενικωτάτας τρεῖς, φυσικὴν ἠθικὴν λογικήν· δι' ἣν αἰτίαν καὶ τριμερής ἐστιν ἡ φιλοσοφία, ἧς τὸ μὲν φυσικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ λογικόν.* 389

ars

a. *Τέχνην* finiebant esse *σύστημα ἐκ καταλήψεων ἐμπειρίᾳ συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ* (Schol. Dion. Thrac. ap. Bekk. Anecd. p. 649, 31; Lucian. Paras. 4; Olympiodor. in Plat. Gorg. p. 239 Jahn.). Philosophiam studium summae virtutis, summam virtutem sapientiam, sapientiam rerum divinarum humanarumque scientiam esse dicebant (Senec. Ep. 89), sapientiam quam maxime ad

agendum pertinere; quapropter virtutem, ut quae tota posita esset in sapientia, eadem qua philosophiam ratione partiebantur: Cic. Fin. III 72 sq. Consequens erat ut Theophrasti, qui contemplativae vitae plurimum tribuerat, doctrina acriter a Chrysippo impugnaretur his verbis ap. Plut. Stoic. Rep. 2, 3 p. 1033 *ὅσοι δὲ ὑπολαμβάνουσι φιλοσόφοις ἐπιβάλλειν μάλιστα τὸν σχολαστικὸν βίον ἀπ' ἀρχῆς, οὗτοί μοι δοκοῦσι διαμαρτάνειν ὑπονοοῦντες διαγωγῆς τινος ἕνεκεν δεῖν τοῦτο ποιεῖν ἢ ἄλλου τινὸς τούτῳ παραπλησίου καὶ τὸν ὅλον βίον οὕτω πως διελκύσαι· τοῦτο δ' ἔστιν, ἂν σαφῶς θεωρηθῇ, ἡδέως· οὐ γὰρ δεῖ λανθάνειν τὴν ὑπόνοιαν αὐτῶν, πολλῶν μὲν σαφῶς τοῦτο λεγόντων, οὐκ ὀλίγων δ' ἀδηλότερον.*

390 Diog. VII 40. *Εἰκάζουσι δὲ ζῴῳ τὴν φιλοσοφίαν, ὀστοῖς μὲν καὶ νεύροις τὸ λογικὸν προσομοιοῦντες, τοῖς δὲ σαρκωδεστέροις τὸ ἠθικόν, τῇ δὲ ψυχῇ τὸ φυσικόν. ἢ πάλιν ᾠῷ· τὰ μὲν γὰρ ἐκτὸς εἶναι τὸ λογικόν, τὰ δὲ μετὰ ταῦτα τὸ ἠθικὸν, τὰ δ' ἐσωτάτω τὸ φυσικόν. ἢ ἀγρῷ παμφόρῳ· τὸν μὲν περιβεβλημένον φραγμὸν τὸ λογικόν, τὸν δὲ καρπὸν τὸ ἠθικόν, τὴν δὲ γῆν ἢ τὰ δένδρα τὸ φυσικόν*[a]. *ἢ πόλει καλῶς τετειχισμένῃ καὶ κατὰ λόγον διοικουμένῃ. καὶ οὐθὲν μέρος τοῦ ἑτέρου προκεκρίσθαι*[1], *καθά τινες αὐτῶν φασιν, ἀλλὰ μεμῖχθαι αὐτά. καὶ τὴν παράδοσιν μικτὴν ἐποίουν*[b]. philosophiae partium dignitas et ordo

a. Cf. Philo de Agricult. 3 p. 302 Mangey.

b. Cf. Sext. Math. VII 19 *τὰ μέρη τῆς φιλοσοφίας ἀχώριστά ἐστιν ἀλλήλων*, quod etiam similitudinibus illis ex parte indicatur. Nulli igitur trium illarum philosophiae partium ita principatum tribuendum esse censebant, ut idem semper in tradenda philosophia partium tenor observaretur, cf. Diog. VII 41; Sext. Math. VII 22 sq.; Z. III 1[3] 61. Ita Chrysippus ap. Plut. de Stoic. Rep. 9, 2 p. 1035 *πρῶτον μὲν οὖν δοκεῖ μοι κατὰ τὰ ὀρθῶς ὑπὸ τῶν ἀρχαίων εἰρημένα τρία γένη τῶν τοῦ φιλοσόφου θεωρημάτων εἶναι, τὰ μὲν λογικά, τὰ δὲ ἠθικά, τὰ δὲ φυσικά· εἶτα τούτων δεῖν τάττεσθαι πρῶτα μὲν τὰ λογικά, δεύτερα δὲ τὰ ἠθικά, τρίτα δὲ τὰ φυσικά· τῶν δὲ φυσικῶν ἔσχατος εἶναι ὁ περὶ τῶν θεῶν λόγος*, quibus addit Plutarchus: *διὸ καὶ τελετὰς ἠγόρευσαν τὰς τούτων παραδόσεις.* Quamquam in docendo etiam a Chrysippo physicam ante ethicam explicatam esse constat, v. Diog. VII 40 *ἄλλοι δὲ πρῶτον μὲν τὸ λογικὸν τάττουσι, δεύτερον δὲ τὸ φυσικόν καὶ τρίτον τὸ ἠθικόν· ὧν ἐστι Ζήνων ἐν τῷ περὶ λόγου καὶ Χρύσιππος.* Cf. ipsius Chrysippi verba ap. Plut. l. l. 9, 4: *οὐ γάρ ἐστιν εὑρεῖν τῆς δικαιοσύνης ἄλλην ἀρχὴν οὐδ' ἄλλην γένεσιν ἢ τὴν ἐκ τοῦ Διὸς καὶ τὴν ἐκ τῆς κοινῆς φύσεως. — οὐ γὰρ ἔστιν ἄλλως οὐδ' οἰκειότερον ἐπελθεῖν ἐπὶ τὸν τῶν*

1) *προκεκρίσθαι* libri: *ἀποκεκρίσθαι* Cobet.

ἀγαθῶν καὶ κακῶν λόγον, οὐδ' ἐπὶ τὰς ἀρετὰς οὐδ' ἐπὶ εὐδαιμονίαν, ἀλλ' ἢ ἀπὸ τῆς κοινῆς φύσεως καὶ ἀπὸ τῆς τοῦ κόσμου διοικήσεως, — οὐδ' ἄλλου τινὸς ἕνεκεν τῆς φυσικῆς θεωρίας παραληπτῆς οὔσης ἢ πρὸς τὴν περὶ ἀγαθῶν ἢ κακῶν διάστασιν. Diog. VII 87 (cf. Cic. Fin. III 31) *ἴσον ἐστὶ τὸ κατ' ἀρετὴν ζῆν τῷ κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων ζῆν, ὥς φησι Χρύσιππος ἐν τῷ πρώτῳ περὶ τελῶν· μέρη γάρ εἰσιν αἱ ἡμέτεραι φύσεις τῆς τοῦ ὅλου.* Naturales quaestiones Stoici non eadem qua Peripatetici diligentia tractabant, v. Plut. Stoic. Rep. 29, 1 p. 1047. Denique logicam ita dumtaxat cultam esse, ut reliquis philosophiae partibus inserviret, ostendunt omnes illae similitudines, cf. Sext. Math. VII 23; Philo l. l.; Cic. de Leg. I 62. Neque solum dialecticae illae de notionibus, enuntiatis, collectionibus quaestiones, sed etiam rhetorica et grammatica in ea tractabantur. De physicae divisione v. Diog. VII 132; Senec. Ep. 89; de ethicae Diog. 84; cf. Madvig ad Cic. de Fin. Exc. V; Zeller III 1[3] 117. 206. De Stoicorum studiis rhetoricis scripsit F. Striller (*Bresl. philol. Abh. I 2*), Vratisl. 1886.

Logica.

---

logicae partes

Diog. VII 41. *Τὸ δὲ λογικὸν μέρος φασὶν ἔνιοι εἰς δύο διαιρεῖσθαι ἐπιστήμας, εἰς ῥητορικὴν καὶ διαλεκτικήν, τινὲς δὲ καὶ εἰς τὸ ὁρικὸν εἶδος, τό ⟨τε⟩*[1] *περὶ κανόνων καὶ κριτηρίων· ἔνιοι δὲ τὸ ὁρικὸν περιαιροῦσι. — 42. τήν τε ῥητορικὴν (παραλαμβάνουσιν) ἐπιστήμην οὖσαν τοῦ εὖ λέγειν περὶ τῶν ἐν διεξόδῳ λόγων καὶ τὴν διαλεκτικὴν τοῦ ὀρθῶς διαλέγεσθαι περὶ τῶν ἐν ἐρωτήσει καὶ ἀποκρίσει λόγων*[a]. — 43. *τὴν διαλεκτικὴν διαιρεῖσθαι εἴς τε τὸν περὶ τῶν σημαινομένων καὶ τῆς φωνῆς τόπον*[b]*· καὶ τὸν μὲν τῶν σημαινομένων εἴς τε τὸν περὶ τῶν φαντασιῶν τόπον καὶ τῶν ἐκ τούτων ὑφισταμένων λεκτῶν*[c]. — 44. *εἶναι δὲ τῆς διαλεκτικῆς ἴδιον τόπον καὶ τὸν προειρημένον περὶ αὐτῆς τῆς φωνῆς, ἐν ᾧ δείκνυται ἡ ἐγγράμματος φωνὴ καὶ τίνα τὰ τοῦ λόγου μέρη, καὶ περὶ σολοικισμοῦ καὶ βαρβαρισμοῦ καὶ ποιημάτων καὶ ἀμφιβολιῶν καὶ περὶ ἐμμελοῦς φωνῆς καὶ περὶ μουσικῆς, καὶ περὶ ὅρων κατά τινας καὶ διαιρέσεων καὶ λέξεων*[d]. 391

De Stoic. logica cf.: Prantl I 404 sq. R. Nicolai, de logic. Chrysippi libris. R. Hirzel, de logica Stoicor. (in satura Sauppio obl.), Berol.

---

1) *τε* inseruit Zeller.

1879. Stein, *d. Psych. d. Stoa II.* Br. III 2, 83 sq. Z. III 1[3] 63—106.

a. Diog. VII 42 *καὶ οὕτως αὐτὴν (τ. διαλεκτικὴν) ὁρίζονται, ἐπιστήμην ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων.* — Cic. Fin. II 17 *Zenonis est, inquam, hoc Stoici: omnem vim loquendi, ut iam ante Aristoteles, in duas tributam esse partes; rhetoricam palmae, dialecticam pugni similem esse dicebat, quod latius loquerentur rhetores, dialectici autem compressius.* Cf. Orat. 113. Quintil. Inst. II 20, 7. Senec. Ep. 89, 17 *omnis oratio aut continua est aut inter respondentem et interrogantem discissa. hanc διαλεκτικήν, illam ῥητορικὴν placuit vocari: ῥητορικὴ verba curat et sensus et ordinem.* — De veritatis cognoscendae normis et de visorum differentiis quaestiones nonnulli quidem a dialectica separandas eique praemittendas esse censebant, cf. Diocl. Magn. ap. Diog. VII 49 *ἀρέσκει τοῖς Στωϊκοῖς τὸν περὶ φαντασίας καὶ αἰσθήσεως προτάττειν λόγον, καθότι τὸ κριτήριον, ᾧ ἡ ἀλήθεια τῶν πραγμάτων γινώσκεται, κατὰ γένος φαντασία ἐστὶ καὶ καθότι ὁ περὶ συγκαταθέσεως καὶ ὁ περὶ καταλήψεως καὶ νοήσεως λόγος προάγων τῶν ἄλλων οὐκ ἄνευ φαντασίας συνίσταται. προηγεῖται γὰρ ἡ φαντασία, εἶθ' ἡ διάνοια ἐκλαλητικὴ ὑπάρχουσα ὃ πάσχει ὑπὸ τῆς φαντασίας, τοῦτο ἐκφέρει λόγῳ.* Sed plerumque in eo dialecticae loco tractabantur, qui erat *περὶ τῶν σημαινομένων*, cf. Diog. VII 43.

b. Chrysippus dialecticam dividebat in *τὴν περὶ σημαίνοντα* et *τὴν περὶ σημαινόμενα*, Diog. VII 62; cf. Seneca Ep. l. l. *διαλεκτικὴ in duas partes dividitur, in verba et significationes i. e. in res quae dicuntur et vocabula quibus dicuntur. ingens deinde sequitur utriusque divisio.* Quarum divisionum et subdivisionum exempla exstant ap. Diog. VII 43 sq. 63 sq.

c. Cf. Diog. VII 57 *προφέρονται μὲν γὰρ αἱ φωναί, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει.* — 63. *φασὶ δὲ τὸ λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. — τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοί, τὰ δ' ἐλλιπῆ. ἐλλιπῆ μὲν οὖν ἐστι τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφοράν, οἷον Γράφει· ἐπιζητοῦμεν γὰρ Τίς; αὐτοτελῆ δ' ἐστὶ τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν, οἷον Γράφει Σωκράτης. ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα, ἐν δὲ τοῖς αὐτοτελέσι τὰ ἀξιώματα καὶ οἱ συλλογισμοὶ καὶ τὰ ἐρωτήματα καὶ τὰ πύσματα.* Propter artificia dialectica a Chrysippo potissimum exculta, quibus posteriores Stoici enixe operam navabant, ab inferioribus (velut a Sexto Empirico) solebant appellari *οἱ Διαλεκτικοί*, velut a superioribus Megarici (**RP** 222). Et commendabantur maxime haec studia ad doctrinam scholae contra adversarios defendendam: Diog. VII 45 *εὐχρηστοτάτην δέ φασιν εἶναι τὴν περὶ τῶν συλλογισμῶν θεωρίαν· τὸ γὰρ ἀποδεικτικὸν ἐμφαίνειν, ὅπερ συμβάλλεσθαι πολὺ πρὸς διόρθωσιν τῶν δογμάτων.*

d. Cf. Diog. VII 55—62. R. Schmidt, Stoicor. Grammatica, Hal. Sax. 1839. Steinthal, *Gesch. d. Sprachwiss.*, Berol. 1863, I 265 sq.

principia cognoscendi Cic. Acad. I 40. Plurima etiam in illa tertia (rationali) 392 philosophiae parte (Zeno) mutavit. In qua primum de sensibus ipsis quaedam dixit nova, quos iunctos esse censuit e quadam quasi impulsione oblata extrinsecus, quam visum ille *φαντασίαν*, nos visum appellemus licet[a]. — Sed ad haec quae visa sunt et quasi accepta sensibus adsensionem adiungit animorum, quam esse vult in nobis positam et voadsensio luntariam[b]. — 41. Visis non omnibus adiungebat fidem, sed iis solum, quae propriam quandam haberent declarationem[c] earum rerum, quae viderentur: id autem visum, cum ipsum per se cerneretur, comprendibile — (Feretis haec? Nos vero, inquam; quonam enim modo *καταληπτὸν*[1] diceres?) sed comprehensio cum acceptum iam et adprobatum esset, conprehensionem appellabat, similem iis rebus, quae manu prenderentur; ex quo etiam nomen hoc duxerat, cum eo verbo antea nemo tali in re usus esset[d]. — 42. E quo sensibus etiam fidem tribuebat, quod, ut supra dixi, conprehensio facta sensibus et vera esse illi et fidelis videbatur, non quod omnia quae essent in re comprehenderet, sed quia nihil quod cadere in eam posset relinqueret quodque natura quasi normam scientiae et principium sui dedisset unde postea notiones rerum in animis imprimerentur, e quibus non principia solum sed latiores quaedam ad rationem inveniendam viae aperirentur[e]. Errorem autem et temeritatem et ignorantiam et opinationem et suspicionem et uno nomine omnia quae essent aliena firmae et constantis adsensionis a virtute sapientiaque removebat[f].

a. Quid sit *φαντασία* ex Chrysippo explicatur Plac. IV 12, 1. Dox. 401 *φαντασία μὲν οὖν ἐστι πάθος ἐν τῇ ψυχῇ γιγνόμενον, ἐνδεικνύμενον ἐν αὑτῷ καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν δι' ὄψεως θεωρῶμεν τὸ λευκόν, ἔστι πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ. καὶ ⟨κατὰ⟩*[2] *τοῦτο τὸ πάθος εἰπεῖν ἔχομεν ὅτι ὑπόκειται λευκὸν κινοῦν ἡμᾶς· ὁμοίως καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὀσφρήσεως. εἴρηται δὲ φαντασία ἀπὸ τοῦ φωτός· καθάπερ γὰρ τὸ φῶς αὑτὸ δείκνυσι καὶ τὰ ἄλλα τὰ ἐν αὐτῷ περιεχόμενα, καὶ ἡ φαντασία δείκνυσιν ἑαυτὴν καὶ τὸ πεποιηκὸς αὐτήν.* Adde Diog. VII 50 *φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ* (quae definitio est Zenonis, cf. Sext. Math. VII 228 sq.), *τουτέστιν*

1) Scribendum videtur *καταληπτικόν*. — 2) *κατὰ* inseruit Wyttenbach.

ἀλλοίωσις, ὡς ὁ Χρύσιππος ἐν τῷ δυωδεκάτῳ περὶ ψυχῆς ὑφίσταται. οὐ γὰρ δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον σφραγιστῆρος (id quod Cleanthes censuerat, cf. Sext.), ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ περὶ τὸ αὐτὸ γενέσθαι. — 51. τῶν δὲ φαντασιῶν κατ' αὐτοὺς αἱ μέν εἰσιν αἰσθητικαί, αἱ δ' οὔ· αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δὲ αἱ διὰ τῆς διανοίας καθάπερ αἱ ἐπὶ τῶν ἀσωμάτων καὶ ἐπὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων. Cf. praeterea Cic. Acad. II 30 et **RP** 393.

b. Cic. Ac. II 37 *nunc de adsensione atque adprobatione, quam Graeci* συγκατάθεσιν *vocant, pauca dicemus. — nam cum vim quae esset in sensibus explicabamus, simul illud aperiebatur, comprendi multa et percipi sensibus, quod fieri sine adsensione non potest. deinde cum inter inanimum et animal hoc maxime intersit, quod animal agit aliquid (nihil enim agens ne cogitari quidem potest quale sit), aut ei sensus adimendus est aut ea quae est in nostra potestate sita reddenda adsensio. at vero animus quodam modo eripitur iis quos neque sentire neque adsentiri volunt. ut enim necesse est lancem in libram ponderibus impositis deprimi, sic animum perspicuis cedere. nam quo modo non potest animal ullum non adpetere id quod accommodatum ad naturam adpareat (Graeci id* οἰκεῖον *appellant), sic non potest obiectam rem perspicuam non adprobare.* Cf. Sext. Math. VIII 397 καταληπτικῆς φαντασίας συγκατάθεσις — διπλοῦν ἔοικεν εἶναι πρᾶγμα καὶ τὸ μέν τι ἔχειν ἀκούσιον, τὸ δὲ ἑκούσιον καὶ ἐπὶ τῇ ἡμετέρᾳ κρίσει κείμενον. τὸ μὲν γὰρ φαντασιωθῆναι ἀβούλητον ἦν καὶ οὐκ ἐπὶ τῷ πάσχοντι ἔκειτο, ἀλλ' ἐπὶ τῷ φαντασιοῦντι τὸ οὑτωσὶ διατεθῆναι, — τὸ δὲ συγκαταθέσθαι τούτῳ τῷ κινήματι ἔκειτο ἐπὶ τῷ παραδεχομένῳ τὴν φαντασίαν. V. **RP** 411.

c. Graece dicebant ἐνάργειαν, cf. Cic. Acad. II 17.

d. Comprehensio est κατάληψις, cf. Cic. ib. 47 **RP** 394.

e. Cf. **RP** 393.

f. Dialectica enim exercitatione eam menti virtutem conciliari statuebant, ut nulla ei probaretur nisi καταληπτικὴ φαντασία, h. e. talis quae a re vere exsistente proficisceretur, v. Diog. VII 46. Sapientis igitur esse nunquam opinari, v. Cic. Ac. II 77.

Viso comprendibili omnem veritatem aestimari censebant, v. Sext. Math. VII 227 sq., Diog. VII 54 κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν καταληπτικὴν φαντασίαν, τουτέστι τὴν ἀπὸ ὑπάρχοντος, καθά φησι Χρύσιππος ἐν τῇ δυωδεκάτῃ τῶν φυσικῶν καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος. ὁ μὲν γὰρ Βοηθος κριτήρια πλείονα ἀπολείπει, νοῦν καὶ αἴσθησιν καὶ ὄρεξιν καὶ ἐπιστήμην· ὁ δὲ Χρύσιππος διαφερόμενος πρὸς αὑτὸν[1] ἐν τῷ πρώτῳ περὶ λόγου κριτήριά φησιν εἶναι αἴσθησιν καὶ πρόληψιν· ἔστι δ' ἡ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου veritatis norma

1) αὑτὸν Heine, Hirzel: αὐτὸν libri.

(RP 393 c). ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωϊκῶν τὸν ὀρθὸν λόγον κριτήριον ἀπολείπουσιν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ περὶ κριτηρίου φησί. Opponebatur τῇ καταληπτικῇ φαντασίᾳ ἀκατάληπτος, v. Diog. VII 46 τῆς δὲ φαντασίας τὴν μὲν καταληπτικήν (φασιν εἶναι) τὴν δὲ ἀκατάληπτον· καταληπτικὴν μέν, ἣν κριτήριον εἶναι τῶν πραγμάτων φασί, τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγμένην· ἀκατάληπτον δὲ τὴν μὴ ἀπὸ ὑπάρχοντος, ἢ ἀπὸ ὑπάρχοντος μὲν μὴ κατ' αὐτὸ δὲ τὸ ὑπάρχον, τὴν μὴ τρανῆ μηδὲ ἔκτυπον. Quapropter Chrysippus distinguendum putabat inter φανταστὸν et φανταστικόν: Plac. IV 12, 3. Dox. 402 φανταστὸν δέ (ἐστι) τὸ ποιοῦν τὴν φαντασίαν; οἷον τὸ λευκὸν καὶ τὸ ψυχρὸν καὶ πᾶν ὅ τι ἂν δύνηται κινεῖν τὴν ψυχήν, τοῦτ' ἔστι φανταστόν. φανταστικὸν δέ ἐστι διάκενος ἑλκυσμός, πάθος ἐν τῇ ψυχῇ ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον καθάπερ ἐπὶ τοῦ σκιαμαχοῦντος καὶ κενοῖς ἐπιφέροντος τὰς χεῖρας· τῇ γὰρ φαντασίᾳ ὑπόκειταί τι φανταστόν, τῷ δὲ φανταστικῷ οὐδέν, cf. Sext. VII 241. Recentiores autem Stoici accuratius definiendum esse rati statuebant (Sext. Math. VII 253) κριτήριον εἶναι τῆς ἀληθείας τὴν καταληπτικὴν φαντασίαν μηδὲν ἔχουσαν ἔνστημα· ἔσθ' ὅτε γὰρ καταληπτικὴ μὲν προσπίπτει φαντασία, ἄπιστος δὲ διὰ τὴν ἔξωθεν περίστασιν. — ἐνθένδε οὐχ ἁπλῶς κριτήριον γίνεται τῆς ἀληθείας ἡ καταληπτικὴ φαντασία, ἀλλ' ὅταν μηδὲν ἔνστημα ἔχῃ. αὕτη γὰρ ἐναργὴς οὖσα καὶ πληκτικὴ μόνον οὐχὶ τῶν τριχῶν, φασί, λαμβάνεται, κατασπῶσα ἡμᾶς εἰς συγκατάθεσιν, καὶ ἄλλου μηδενὸς δεομένη εἰς τὸ τοιαύτη προσπίπτειν ἢ εἰς τὸ τὴν πρὸς τὰς ἄλλας διαφορὰν ὑποβάλλειν. Z. III 1[3] 84.

cognitionis gradus

Plac. IV 11, 1. Dox. 400. Οἱ Στωϊκοί φασιν· ὅταν 393 γεννηθῇ ὁ ἄνθρωπος, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς[a] ὥσπερ χάρτην εὔεργον εἰς ἀπογραφήν· εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται. πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων[b]. αἰσθανόμενοι γάρ τινος οἷον λευκοῦ ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν· ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φαμὲν ἔχειν ἐμπειρίαν· ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν φαντασιῶν πλῆθος. τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικῶς γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως, αἱ δὲ ἤδη δι' ἡμετέρας διδασκαλίας καὶ ἐπιμελείας· αὗται μὲν οὖν ἔννοιαι καλοῦνται μόνον, ἐκεῖναι δὲ καὶ προλήψεις[c]. ὁ δὲ λόγος, καθ' ὃν προσαγορευόμεθα λογικοὶ ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται κατὰ τὴν δευτέραν[1] ἑβδομάδα[d]. ἔστι

1) Vulgo πρώτην, sed cf. not. d.

δ' ἐννόημα φάντασμα διανοίας λογικοῦ ζῴου· τὸ γὰρ φάντασμα, ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, τότε ἐννόημα καλεῖται εἰληφὸς τοὔνομα παρὰ τοῦ νοῦ. διόπερ τοῖς ἄλλοις ζῴοις ὅσα προσπίπτει, φαντάσματα μόνον ἐστίν, ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς, ταῦτα καὶ φαντάσματα κατὰ γένος καὶ ἐννοήματα κατ' εἶδος [1].

a. Τὸ ἡγεμονικὸν (cf. Cic. Deor. N. II 29) idem fere est quod prioribus dicebatur νοῦς.

b. Inde efficiuntur visa s. φαντασίαι, cf. **RP** 392.

c. His explicatur quo modo notiones generales in animo exsistant, v. Diog. VII 54 ἔστι δ' ἡ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου. Ib. 52 ἡ δὲ κατάληψις (**RP** 392) γίνεται κατ' αὐτοὺς αἰσθήσει μὲν λευκῶν καὶ μελάνων καὶ τραχέων καὶ λείων, λόγῳ δὲ τῶν δι' ἀποδείξεως συναγομένων, ὥσπερ τὸ θεοὺς εἶναι καὶ προνοεῖν τούτους. τῶν γὰρ νοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ' ὁμοιότητα, τὰ δὲ κατ' ἀναλογίαν, τὰ δὲ κατὰ μετάθεσιν, τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ' ἐναντίωσιν. Cic. Fin. III 33 *cumque rerum notiones in animis fiant, si aut usu aliquid cognitum sit aut coniunctione aut similitudine aut collatione rationis, hoc quarto, quod extremum posui, boni notitia facta est. cum enim ab iis rebus, quae sunt secundum naturam, ascendit animus collatione rationis, tum ad notionem boni pervenit.* Nam etiam summae notiones, quales sunt boni et dei, eadem qua ceterae via efficiuntur: quo pertinet quod etiam bonum et omnes substantias (ὄντα) corpora et sensibilia esse statuebant, cf. **RP** 396. Plurimum tribuebant τῇ συνηθείᾳ, i. e. vulgari consuetudini cogitandi et res denominandi, de qua scripserat Chrysippus, ita quidem ut longe melius adversus illam quam pro ea disputasse videretur, v. Cic. Acad. II 87; Plutarch. Stoic. Rep. 10, 4 p. 1036. De discrimine inter naturalia visa et artificialia v. Diog. VII 51 καὶ αἱ μέν (τῶν φαντασιῶν) εἰσι τεχνικαί, αἱ δὲ ἄτεχνοι· ἄλλως γοῦν θεωρεῖται ὑπὸ τεχνίτου εἰκὼν καὶ ἄλλως ὑπὸ ἀτέχνου.

d. Diog. VII 55 ζῴου μέν ἐστι φωνὴ ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος, ἀνθρώπου δέ ἐστιν ἔναρθρος καὶ ἀπὸ διανοίας ἐκπεμπομένη, ὡς ὁ Διογένης φησίν, ἥτις ἀπὸ δεκατεσσάρων ἐτῶν τελειοῦται. Plac. V 23. Dox. 434 ἄρχεσθαι τοὺς ἀνθρώπους τῆς τελειότητος περὶ τὴν δευτέραν ἑβδομάδα· — περὶ δὲ τὴν δευτέραν ἑβδομάδα ἔννοια γίνεται καλοῦ τε καὶ κακοῦ. Stob. Ecl. I 792. — Λόγος et concludendi facultatem (Diog. VII 76) et boni perspicientiam comprehendit (Diog. VII 86; Cic. Fin. III 20 sq.).

394 Cic. Acad. II 145. At scire negatis quemquam rem ullam nisi sapientem. Et hoc quidem Zeno gestu conficie- **scientia sapientis**

1) Locum in libris deformatum restituit Diels.

bat. Nam cum extensis digitis adversam manum ostenderat, visum, inquiebat, huius modi est. Dein cum paulum digitos contraxerat, adsensus huius modi. Tum cum plane compresserat pugnumque fecerat, comprensionem illam esse dicebat; qua ex similitudine etiam nomen ei rei, quod ante non fuerat, *κατάληψιν* imposuit. Cum autem laevam manum admoverat et illum pugnum arte vehementerque compresserat, scientiam talem esse dicebat; cuius compotem nisi sapientem esse neminem[a].

a. Firmitas scientiae efficitur exercitatione vera et falsa dignoscendi pluraque visa artificialia in unum coniungendi: Stob. Ecl. II 128 *εἶναι δὲ τὴν ἐπιστήμην κατάληψιν ἀσφαλῆ καὶ ἀμετάπτωτον ὑπὸ λόγου· ἑτέραν*[1] *δὲ ἐπιστήμην σύστημα ἐξ ἐπιστημῶν τοιούτων, οἷον ἡ τῶν κατὰ μέρος, λογικὴ ἐν τῷ σπουδαίῳ ὑπάρχουσα· ἄλλην δὲ σύστημα ἐξ ἐπιστημῶν τεχνικῶν ἐξ αὑτοῦ ἔχον τὸ βέβαιον, ὡς ἔχουσιν αἱ ἀρεταί· ἄλλην δὲ ἕξιν φαντασιῶν δεκτικὴν ἀμετάπτωτον ὑπὸ λόγου, ἥντινά φασιν ἐν τόνῳ καὶ δυνάμει κεῖσθαι.* Cf. Diog. VII 47; Cic. Ac. I 41 sq.

verum et falsum

Sext. Math. VIII 10. *Οἱ δὲ ἀπὸ τῆς Στοᾶς λέγουσι μὲν* 395 *τῶν τε αἰσθητῶν τινα καὶ τῶν νοητῶν ἀληθῆ, οὐκ ἐξ εὐθείας δὲ τὰ αἰσθητά, ἀλλὰ κατ' ἀναφορὰν τὴν ὡς ἐπὶ τὰ παρακείμενα τούτοις νοητά. ἀληθὲς γάρ ἐστι κατ' αὐτοὺς τὸ ὑπάρχον καὶ ἀντικείμενόν τινι, καὶ ψεῦδος τὸ μὴ ὑπάρχον καὶ ἀντικείμενόν τινι· ὅπερ ἀσώματον ἀξίωμα καθεστὼς νοητὸν εἶναι.* 11. — *περὶ τῷ σημαινομένῳ τὸ ἀληθές τε καὶ ψεῦδος ὑπεστήσαντο — οἱ ἀπὸ τῆς Στοᾶς τρία φάμενοι συζυγεῖν ἀλλήλοις, τό τε σημαινόμενον καὶ τὸ σημαῖνον καὶ τὸ τυγχάνον· ὧν σημαῖνον μὲν εἶναι τὴν φωνήν, οἷον τὴν Δίων· σημαινόμενον δὲ αὐτὸ τὸ πρᾶγμα τὸ ὑπ' αὐτῆς δηλούμενον καὶ οὗ ἡμεῖς μὲν ἀντιλαμβανόμεθα τῇ ἡμετέρᾳ παρυφισταμένου διανοίᾳ, οἱ δὲ βάρβαροι οὐκ ἐπαΐουσι καίπερ τῆς φωνῆς ἀκούοντες· τυγχάνον δὲ τὸ ἐκτὸς ὑποκείμενον, ὥσπερ αὐτὸς ὁ Δίων. τούτων δὲ δύο μὲν εἶναι σώματα, καθάπερ τὴν φωνὴν καὶ τὸ τυγχάνον, ἓν δὲ ἀσώματον, ὥσπερ τὸ σημαινόμενον πρᾶγμα καὶ λεκτόν, ὅπερ ἀληθές τε γίνεται ἢ ψεῦδος*[a].

a. *Λεκτὰ* sunt *τὰ σημαινόμενα πράγματα* h. e. nomina rerum (**RP** 391 c), non res ipsae, quae extra subsistunt (*τὸ ἐκτὸς ὑποκείμενον*),

1) *ἑτέραν* libri: *ἑτέρως* Wachsmuth; idem infra pro *ἄλλην* bis *ἄλλως*.

neque *τὰ νοητά*, quae sunt tanquam imagines rerum a rebus ipsis in animo adumbratae (RP 392; 397). Est igitur *τὸ λεκτὸν* medium inter cogitatum et rem, v. Ammon. ad Arist. de Interpr. f. 15b. Schol. Ar. 100[a] 10: *μέσον τοῦ τε νοήματος καὶ τοῦ πράγματος, ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς ὑποτιθέμενοι λεκτὸν ἠξίουν ὀνομάζειν*: ideo incorporeum esse dicebant, cum *τὰ ὄντα* omnia essent corporea (RP 396). Eodem pertinet quod in hoc et verum et falsum inesse dicebant; Sext. Math. VIII 70 *ἠξίουν οἱ Στωϊκοὶ κοινῶς ἐν λεκτῷ τὸ ἀληθὲς εἶναι καὶ τὸ ψεῦδος. λεκτὸν δὲ ὑπάρχειν φασὶ τὸ κατὰ λογικὴν φαντασίαν ὑφιστάμενον, λογικὴν δὲ εἶναι φαντασίαν καθ' ἣν τὸ φαντασθὲν ἔστι λόγῳ παραστῆσαι, τῶν δὲ λεκτῶν τὰ μὲν ἐλλιπῆ καλοῦσι, τὰ δὲ αὐτοτελῆ* (RP 391c). — 73. *προσαγορεύουσι δέ τινα τῶν αὐτοτελῶν καὶ ἀξιώματα, ἅπερ λέγοντες ἤτοι ἀληθεύομεν ἢ ψευδόμεθα.* Diog. VII 65 *ἀξίωμα δέ ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ' ἑαυτῷ ἢ καταφαντόν, ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς διαλεκτικοῖς ὅροις.*

396 A Cic. Acad. I 39. Discrepabat etiam ab iisdem (superioribus Zeno), quod nullo modo arbitrabatur quidquam effici posse ab ea (natura), quae expers esset corporis —, nec vero aut quod efficeret aliquid aut quod efficeretur posse esse non corpus[a]. res corporeae

396 B Sext. Math. VII 38. *Τὴν δὲ ἀλήθειαν οἴονταί τινες, καὶ μάλιστα οἱ ἀπὸ τῆς Στοᾶς, διαφέρειν τἀληθοῦς κατὰ τρεῖς τρόπους —, οὐσίᾳ μὲν παρόσον ἡ μὲν ἀλήθεια σῶμά ἐστι, τὸ δὲ ἀληθὲς ἀσώματον ὑπῆρχεν. καὶ εἰκότως, φασίν· τουτὶ μὲν γὰρ ἀξίωμά ἐστι, τὸ δὲ ἀξίωμα λεκτόν, τὸ δὲ λεκτὸν ἀσώματον. ἀνάπαλιν δὲ ἡ ἀλήθεια σῶμά ἐστι παρόσον ἐπιστήμη πάντων ἀληθῶν ἀποφαντικὴ δοκεῖ τυγχάνειν, πᾶσα δὲ ἐπιστήμη πῶς ἔχον ἐστὶν ἡγεμονικόν· — τὸ δὲ ἡγεμονικὸν σῶμα κατὰ τούτους ὑπῆρχεν*[b]. veritas et verum

396 C Senec. Ep. 106, 3. Quaeris, bonum an corpus sit. Bonum facit, prodest enim; quod facit corpus est. Bonum agitat animum et quodam modo format et continet, quae propria sunt corporis. Quae corporis bona sunt, corpora sunt ergo: et quae animi sunt; nam et hic corpus est. — Non puto te dubitaturum an adfectus corpora sint, — tanquam ira, amor, tristitia. Si dubitas, vide an voltum nobis mutent, an frontem adstringant, an faciem diffundant, an ruborem evocent, an fugent sanguinem. Quid ergo, tam bona sunt corpora

manifestas notas corpori credis imprimi nisi a corpore? Si adfectus corpora sunt, et morbi animorum, et avaritia, crudelitas, indurata vitia et in statum inemendabilem adducta: ergo et malitia et species eius omnes, malignitas, invidia, superbia. Ergo et bona, primum quia contraria istis sunt, deinde quia eadem tibi indicia praestabunt[c].

a. Plutarch. Comm. Notit. 30, 2 p. 1073 *ὄντα γὰρ μόνα τὰ σώματα καλοῦσιν, ἐπειδὴ ὄντος τὸ ποιεῖν τε καὶ πάσχειν.* Plac. IV 20, 2. Dox. 410 *οἱ δὲ Στωϊκοὶ σῶμα τὴν φωνήν· πᾶν γὰρ τὸ δρῶν ἢ καὶ ποιοῦν σῶμα, ἡ δὲ φωνὴ ποιεῖ καὶ δρᾷ· ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης τῇ ἀκοῇ. — ἔτι πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστι· κινεῖ δὲ ἡμᾶς ἡ εὐμουσία, ἐνοχλεῖ δὲ ἡ ἀμουσία. ἔτι πᾶν τὸ κινούμενον σῶμά ἐστι· κινεῖται δὲ ἡ φωνὴ καὶ προσπίπτει εἰς τοὺς λείους τόπους καὶ ἀντανακλᾶται.* Sext. Math. IX 211. *Στωϊκοὶ μὲν πᾶν αἴτιον σῶμά φασι σώματι ἀσωμάτου τινὸς αἴτιον γίνεσθαι, οἷον σῶμα μὲν τὸ σμιλίον, σώματι δὲ τῇ σαρκί, ἀσωμάτου δὲ τοῦ τέμνεσθαι κατηγορήματος.* Stob. Ecl. I p. 336 *αἴτιον δ' ὁ Ζήνων φησὶν εἶναι δι' ὅ· οὗ δὲ αἴτιον συμβεβηκός· καὶ τὸ μὲν αἴτιον σῶμα, οὗ δὲ αἴτιον κατηγόρημα.*

b. Cf. Sext. Pyrrh. II 81; Senec. Ep. 117, 2 *sapere — incorporale est et accidens alteri i. e. sapientiae.* Veritas est id quod efficit *τὸ ἀληθές*: ergo etiam scientiae et intellectus (*τὸ ἡγεμονικόν*) debent esse corpora, sicut animus est corpus, v. RP 408. 409. Contra sicut *λεκτὸν* est incorporale, ita et inane et locus et tempus, cf. Sext. Math. VIII 11 (RP 395), X 218 (RP 399); Diog. VII 140 sq.; Stob. Ecl. I p. 392; Chrysippus ap. Plut. Comm. Notit. 45, 5 p. 1084 *οὐχ ἡ μὲν νὺξ σῶμά ἐστιν, ἡ δ' ἑσπέρα καὶ ὁ ὄρθρος καὶ τὸ μέσον τῆς νυκτὸς σώματα οὐκ ἔστιν· οὐδὲ ἡ μὲν ἡμέρα σῶμά ἐστιν, οὐχὶ δὲ καὶ ἡ νουμηνία σῶμα καὶ ἡ δεκάτη καὶ πεντεκαιδεκάτη καὶ ἡ τριακάς, καὶ ὁ μὴν σῶμά ἐστι καὶ τὸ θέρος καὶ τὸ φθινόπωρον καὶ ὁ ἐνιαυτός.*

c. Cf. Senec. Ep. 113. 117; Plutarch. l. l. 2 *ἄτοπον γὰρ εὖ μάλα τὰς ἀρετὰς καὶ τὰς κακίας, πρὸς δὲ ταύταις τὰς τέχνας καὶ τὰς μνήμας πάσας, ἔτι δὲ φαντασίας καὶ πάθη καὶ ὁρμὰς καὶ συγκαταθέσεις σώματα ποιουμένους ἐν μηδενὶ φάναι κεῖσθαι. — 4. οἱ δ' οὐ μόνον τὰς ἀρετὰς καὶ τὰς κακίας ζῷα εἶναι λέγουσιν, οὐδὲ τὰ πάθη μόνον, ὀργὰς καὶ φθόνους καὶ λύπας καὶ ἐπιχαιρεκακίας, οὐδὲ καταλήψεις καὶ φαντασίας καὶ ἀγνοίας, οὐδὲ τὰς τέχνας ζῷα, τὴν σκυτοτομικήν, τὴν χαλκοτυπικήν, ἀλλὰ πρὸς τούτοις ἔτι καὶ τὰς ἐνεργείας σώματα καὶ ζῷα ποιοῦσι, τὸν περίπατον ζῷον, τὴν ὄρχησιν, τὴν ὑπόθεσιν, τὴν προσαγόρευσιν, τὴν λοιδορίαν.* Eodem pertinet quod Chrysippus et perturbationes animi et virtutes sensibus percipi affirmat ap. Plutarch. Stoic. Rep. 19, 2 p. 1042 *ὅτι μὲν γὰρ αἰσθητά ἐστι τἀγαθὰ καὶ τὰ κακά, καὶ τούτοις ἐκποιεῖ λέγειν· οὐ γὰρ μόνον τὰ πάθη ἐστὶν αἰσθητὰ σὺν τοῖς*

εἴδεσιν, οἷον λύπη καὶ φόβος καὶ τὰ παραπλήσια, ἀλλὰ καὶ κλοπῆς καὶ μοιχείας καὶ τῶν ὁμοίων ἐστὶν αἰσθέσθαι, καὶ καθόλου ἀφροσύνης καὶ δειλίας καὶ ἄλλων οὐκ ὀλίγων κακιῶν· οὐδὲ μόνον χαρᾶς καὶ εὐεργεσιῶν καὶ ἄλλων πολλῶν κατορθώσεων, ἀλλὰ καὶ φρονήσεως καὶ ἀνδρείας καὶ τῶν λοιπῶν ἀρετῶν. Cf. Diog. VII 53 φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν, et RP 393c. Propterea suam doctrinam vitae agendae quam maxime convenire et μάλιστα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων dicebant eamque solam ὁμολογεῖν τῇ φύσει, v. Plutarch. Stoic. Rep. 17, 1 p. 1041; Comm. Notit. 3, 1 p. 1060.

397 A Diog. VII 60. *Γένος* δέ ἐστι πλειόνων καὶ ἀναφαιρέτων ἐννοημάτων σύλληψις, οἷον ζῷον· τοῦτο γὰρ περιείληφε τὰ κατὰ μέρος ζῷα. 61. *ἐννόημα* δέ ἐστι φάντασμα διανοίας οὔτε τι ὂν οὔτε ποιόν, ὡσανεὶ δέ τι ὂν καὶ ὡσανεὶ ποιόν, οἷον γίνεται ἀνατύπωμα ἵππου καὶ μὴ παρόντος[a]. *εἶδος* δέ ἐστι τὸ ὑπὸ τοῦ γένους περιεχόμενον, ὡς ὑπὸ τοῦ ζῴου ὁ ἄνθρωπος περιέχεται. *γενικώτατον* δέ ἐστιν ὃ γένος ὂν γένος οὐκ ἔχει, οἷον τὸ ὄν[b]. *εἰδικώτατον* δέ ἐστιν ὃ εἶδος ὂν εἶδος οὐκ ἔχει, ὥσπερ ὁ Σωκράτης. genera et species

397 B Simplic. in Categ. f. 16 *Δ* Bas. Schol. Ar. 48ª 13. Οἱ Στωϊκοὶ εἰς ἐλάττονα συστέλλειν ἀξιοῦσι τὸν τῶν πρώτων γενῶν ἀριθμὸν καί τινα ἐν τοῖς ἐλάττοσιν ὑπηλλαγμένα παραλαμβάνουσι[c]. ποιοῦνται γὰρ τὴν τομὴν εἰς τέσσαρα, εἰς ὑποκείμενα καὶ ποιὰ καὶ πὼς ἔχοντα καὶ πρός τί πως ἔχοντα. categoriae

a. Cf. Zeno ap. Stob. Ecl. I p. 332. Propterea et Platonis de ideis doctrinam et Aristotelis de forma impugnabant: Plac. I 10, 5. Dox. 309 οἱ ἀπὸ Ζήνωνος Στωϊκοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας ἔφασαν. Negabant enim generale quidquam exsistere praeter id quod in cogitationibus nostris inesset; Sext. Math. VII 246 οὔτε δὲ ἀληθεῖς οὔτε ψευδεῖς εἰσιν αἱ γενικαὶ (φαντασίαι)· ὧν γὰρ τὰ εἴδη τοῖα ἢ τοῖα, τούτων τὰ γένη οὔτε τοῖα οὔτε τοῖα. Simpl. in Categ. f. 26 *E* Bas. Schol. Ar. 54ª 11.

b. Posteriores ne ὄντα incorporalia esse concederent, generalissimum illud accuratius appellandum esse rati sunt τὸ τί, cf. Plotin. Enn. VI 1, 25 πρὸς δὲ τοὺς τέτταρας (κατηγορίας) τιθέντας καὶ τετραχῶς διαιροῦντας εἰς ὑποκείμενα καὶ ποιὰ καὶ πὼς ἔχοντα καὶ πρός τί πως ἔχοντα, καὶ κοινόν τι ἐπ' αὐτῶν τιθέντας καὶ ἑνὶ γένει περιλαμβάνοντας τὰ πάντα, ὅτι μὲν κοινὸν καὶ ἐπὶ πάντων ἓν γένος λαμβάνουσι, πολλὰ ἄν τις λέγοι. Alex. Aphrod. Top. f. 155. Schol. Ar. 278ᵇ 20 δεικνύοις ἂν ὅτι μὴ καλῶς τὸ τὶ οἱ ἀπὸ Στοᾶς γένος τοῦ ὄντος τίθενται· εἰ γάρ τι, δῆλον ὅτι καὶ ὄν. — ἀλλ' ἐκεῖνοι νομοθετήσαντες αὐτοῖς τὸ ὂν κατὰ σωμάτων μόνων λέγεσθαι διαφεύγοιεν ἂν τὸ ἠπορημένον· διὰ ταῦτα γὰρ τὸ τὶ γενικώτερον αὐτοῦ φασιν εἶναι κατηγορούμενον οὐ τὸ τὶ

κατὰ σωμάτων μόνον, ἀλλὰ καὶ ἀσωμάτων. Sext. Math. X 234 *πρὸς τοὺς ἀπὸ τῆς Στοᾶς — φάσκοντας τῶν τινῶν τὰ μὲν εἶναι σώματα, τὰ δὲ ἀσώματα.*

c. Aristotelis scilicet categorias ita sibi ad minorem numerum revocasse videbantur. Ab ipsis *τὰ γενικώτατα* appellantur, cf. M. Aurel. comm. VI 14. — De Stoicorum categoriis praeter Simplicium in Arist. Categ. cf. Plotin. Enn. VI 1, 25—30, et inter recentiores Chr. Petersen, Philosophiae Chrysippeae fundamenta, Hamb. 1827; Trendelenburg, *Gesch. d. Kategor. L.* p. 217 sq.; Prantl, *Gesch. d. Log.* I, 426 sq. Z. III 1[a] 91 sq. — *Τὸ ὑποκείμενον, ἡ οὐσία* quam dicebant Stoici, est materia, v. Stob. Ecl. I 324; Diog. VII 150 *οὐσίαν δέ φασι τῶν ὄντων ἁπάντων τὴν πρώτην ὕλην.* Eadem a Porphyrio ap. Simpl. f. 12 *Δ* Bas. Schol. Ar. 45[a] 9 dicitur *ἡ ἄποιος ὕλη*, ut quae sit nondum qualitate aliqua formata, cf. Plotin. l. l. *ὑποκείμενα μὲν γὰρ πρῶτα τάξαντες καὶ τὴν ὕλην ἐνταῦθα τῶν ἄλλων προτάξαντες.* — *Τὸ ποιὸν* est illud, quo finitur materia et ad certas qualitates formatur, v. Plutarch. Stoic. Rep. 43, 4 p. 1054 *τὰς δὲ ποιότητας* (*ἀποφαίνουσι*) *πνεύματα οὔσας καὶ τόνους ἀερώδεις, οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης, εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν.* Simplic. f. 57 *E* Bas. Schol. 69[a] 30 *οἱ δὲ Στωϊκοὶ τὸ κοινὸν τῆς ποιότητος τὸ ἐπὶ τῶν σωμάτων λέγουσι διαφορὰν εἶναι οὐσίας οὐκ ἀποδιαληπτὴν καθ' ἑαυτήν* i. e. quae non separari potest a substantia; nam ceteras qualitates referebant ad *πὼς ἔχον*, similiterque etiam inter *ἕξεις* et *σχέσεις* distinguebant; Simplic. f. 55 *A*. 61 *B* Bas. Schol. Ar. 67[a] 6. 71[a] 1 *τὰς μὲν γὰρ σχέσεις ταῖς ἐπικτήτοις καταστάσεσι χαρακτηρίζεσθαι, τὰς δὲ ἕξεις ταῖς ἐξ ἑαυτῶν ἐνεργείαις*, cf. RP 407 a. Porro distinguendum est inter *κοινῶς ποιὸν* et *ἰδίως ποιόν* h. e. qualitatem generis et qualitatem speciei, v. Stob. Ecl. I 436, et RP 398 c. Denique omnes qualitates, quoniam ipsa substantia (*τὸ ὑποκείμενον*) materia est, ad corpora atque affectiones corporales referebantur, v. Simpl. f. 69 *Γ ἡ τῶν Στωϊκῶν δόξα λεγόντων σώματα εἶναι τὰ σχήματα, ὥσπερ τὰ ἄλλα ποιά*, cf. RP 396. Ipsas qualitates ad quaedam aeris flumina revocabant, quibus materia illa infinita substantiae dirimeretur et in diversa corpora explicaretur, cf. RP 398 C, et Chrysippus ap. Plutarch. Stoic. Rep. 43; RP 406 a. — *Τὸ πὼς ἔχον*, i. e. aliquo modo se habens, omnia attributa amplectitur, quae ipsam substantiae naturam non attingunt, sed a loco aliquo vel tempore vel motu vel actione ac passione repetita Stoicis non *ἕξεις* appellabantur, sed *σχέσεις*, v. Simpl. f. 44 *E ὁ δὲ τὴν στάσιν καὶ τὴν κάθισιν μὴ προσποιούμενος* (*τοῖς οὖσιν*) *ἔοικε Στωϊκῇ τινι συνηθείᾳ συνέπεσθαι οὐδὲν ἄλλο ἢ τὸ ὑποκείμενον εἶναι νομίζων, τὰς δὲ περὶ αὐτὸ διαφορὰς ἀνυποστάτους ἡγούμενος καὶ πὼς ἔχοντα αὐτὰ ἀποκαλῶν, ὡς ἐν τοῖς ὑποκειμένοις ἔχοντα αὐτὸ τοῦτο τὸ πὼς ἔχειν*, cf. Plotin. VI 1, 30. — Denique *πρός τι πὼς ἔχοντα*, i. e. aliquo modo ad aliquid relata, sunt ea attributa, quibus aliqua res ad alias quae una exsistunt refertur, cf. Simpl. f. 42 *E—Z πρός τι μὲν λέγουσιν ὅσα κατ' οἰκεῖον χαρα-*

κτῆρα διακείμενά πως ἀπονεύει πρὸς ἕτερον· πρός τι δέ πως ἔχοντα ὅσα πέφυκε συμβαίνειν τινὶ καὶ μὴ συμβαίνειν ἄνευ τῆς περὶ αὐτὰ μεταβολῆς καὶ ἀλλοιώσεως μετὰ τοῦ πρὸς τὸ ἐκτὸς ἀποβλέπειν, ὥστε ὅταν μὲν κατὰ διαφοράν τι διακείμενον πρὸς ἕτερον νεύσῃ, πρός τι μόνον τοῦτο ἔσται, ὡς ἡ ἕξις καὶ ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις, ὅταν δὲ μὴ κατὰ τὴν ἐνοῦσαν διαφοράν, κατὰ ψιλὴν δὲ τὴν πρὸς ἕτερον σχέσιν θεωρῆται, πρός τί πως ἔχοντα ἔσται· ὁ γὰρ υἱὸς καὶ ὁ δεξιὸς ἔξωθέν τινων προσδέονται πρὸς τὴν ὑπόστασιν, διὸ καὶ μηδεμιᾶς γινομένης περὶ αὐτὰ μεταβολῆς γένοιτ' ἂν οὐκέτι πατὴρ τοῦ υἱοῦ ἀποθανόντος, ὁ δὲ δεξιὸς τοῦ παρακειμένου μεταστάντος· τὸ δὲ γλυκὺ καὶ πικρὸν οὐκ ἂν ἀλλοῖα γένοιτο, εἰ μὴ συμμεταβάλλοι καὶ ἡ περὶ αὐτὰ δύναμις.

Physica.

---

398 A Diog. VII 134. Δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον· τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην, τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν· τοῦτον γὰρ ἀίδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα[a]. — 135. ἕν τε εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία, πολλαῖς τ' ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. 136. κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ. καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον σπερματικὸν λόγον ὄντα τοῦ κόσμου τοιόνδε ὑπολιπέσθαι ἐν τῷ ὑγρῷ, εὐεργὸν αὑτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν, εἶτ' ἀπογεννᾶν πρῶτον τὰ τέσσαρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν[b]. — 137. λέγουσι δὲ κόσμον τριχῶς, αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς πάσης οὐσίας ἰδίως ποιόν[c], ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγένητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν. 138. καὶ αὐτὴν δὲ τὴν διακόσμησιν τῶν ἀστέρων κόσμον εἶναι λέγουσι καὶ τρίτον τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. — τὸν δὴ κόσμον διοικεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν — εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς. — 139. οὕτω δὴ καὶ τὸν ὅλον κόσμον ζῷον ὄντα καὶ ἔμψυχον καὶ λογικὸν ἔχειν

principia duo

elementa

mundus

ἡγεμονικὸν μὲν τὸν αἰθέρα, καθά φησιν Ἀντίπατρος —. Χρύσιππος δὲ — καὶ Ποσειδώνιος — τὸν οὐρανόν φασι τὸ ἡγεμονικὸν τοῦ κόσμου, Κλεάνθης δὲ τὸν ἥλιον. ὁ μέντοι Χρύσιππος διαφορώτερον πάλιν τὸ καθαρώτερον τοῦ αἰθέρος ἐν ταὐτῷ, ὃ καὶ πρῶτον θεὸν λέγουσιν αἰσθητικῶς ὥσπερ κεχωρηκέναι διὰ τῶν ἐν ἀέρι καὶ διὰ τῶν ζῴων ἁπάντων καὶ φυτῶν, διὰ δὲ τῆς γῆς αὐτῆς καθ' ἕξιν[d].

deus Plac. I 7, 33. Dox. 305. *Οἱ Στωϊκοὶ νοερὸν θεὸν ἀποφαίνονται, πῦρ τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γένεσιν κόσμου*[e], *ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίνεται· καὶ πνεῦμα μὲν διῆκον δι' ὅλου τοῦ κόσμου, τὰς δὲ προσηγορίας μεταλαμβάνον διὰ τὰς τῆς ὕλης δι' ἧς κεχώρηκε παραλλάξεις*[f]. *θεοὺς δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας καὶ τὴν γῆν, τὸν δ' ἀνωτάτω πάντων νοῦν ἐν αἰθέρι*[g]. 398 B

a. Haec de principiis et elementis placita a Diogene ad Zenonem referuntur, quocum consensisse dicit et Cleanthem et Chrysippum.

b. Cf. RP 402.

c. Hoc referendum ad categorias RP 397. Cf. Porphyr. ap. Simpl. in Cat. fol. 12 *Δ διττὸν — ἐστὶ τὸ ὑποκείμενον — κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς. — ἥ τε γὰρ ἄποιος ὕλη — — πρῶτόν ἐστι τοῦ ὑποκειμένου σημαινόμενον· καὶ δεύτερον ὃ κοινῶς ποιὸν ἢ ἰδίως ὑφίσταται· ὑποκείμενον γὰρ καὶ ὁ χαλκός ἐστι καὶ ὁ Σωκράτης.* (materia duplex)

d. Cf. RP 405—407.

natura **e.** Cf. Diog. VII 156 *δοκεῖ δ' αὐτοῖς τὴν μὲν φύσιν εἶναι πῦρ τεχνικὸν ὁδῷ βαδίζον εἰς γένεσιν, ὅπερ ἐστὶ πνεῦμα πυροειδὲς καὶ τεχνοειδές.* Cic. D. N. II 57 ***Zeno igitur naturam ita definit, ut eum dicat ignem esse artificiosum ad gignendum progredientem via. censet enim artis maxume proprium esse creare et gignere; quodque in operibus nostrarum artium manus efficiat, id multo artificiosius naturam efficere, i. e. ut dixi ignem artificiosum, magistrum artium reliquarum.*** Adde Stob. Ecl. I 316 ex Chrysippo: *τεταγμένως καὶ ὁδῷ.* Ibid. 374 ex Cleanthe: *ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου.* Subest via illa Heraclitea sursum et deorsum ferens (RP 29); namque Heraclitum in multis physice Stoicorum inde a Zenone sequebatur, v. Numenius ap. Euseb. Pr. Ev. XIV 5, p. 729 C. In placitis Heracliti interpretandis et ad sua aptandis plurimi fuerunt velut Cleanthes (Diog. VII 174; IX 15), Aristo (ib. IX 5), Sphaerus (ib. VII 178; IX 15), Chrysippus (Philodem. de Piet. c. 14, 16. Dox. 548.

f. Cf. RP 412.

g. Cf. Cic. D. N. II 39. 43. 91.

398 C De causa agente et materia patiente v. Seneca Ep. 65, 2 *dicunt, ut scis, Stoici nostri duo esse in rerum natura, ex quibus omnia fiant, causam et materiam. materia iacet iners, res ad omnia parata, cessatura si nemo moveat. causa autem, id est ratio, materiam format et quocunque vult versat, ex illa varia opera producit. esse ergo debet unde aliquid fiat, deinde a quo fiat. hoc causa est, illud materia.* materia Causam non separatam a materia, sed permeantem eam intus effingere causa statuebant, simul id agentes ut neque causam sine ratione neque motus illos naturae sine mente esse evincerent, argumentis usi pulchritudine mundi et varietate: Cic. Deor. N. II 15 sq. Sext. Math. IX 111 sq. Eodem facit quod dicebant omnia uno rigore teneri et aequabili causarum atque effectuum continuatione, qua maxima minimis apta sint atque conexa: quod multis similitudinibus illustrabant: Plut. Comm. Notit. 37 p. 1078 *Χρύσιππος — οὐδὲν ἀπέχειν φάμενος οἴνου σταλαγμὸν ἕνα κεράσαι τὴν θάλασσαν· καὶ ἵνα δὴ μὴ τοῦτο θαυμάζωμεν, εἰς ὅλον φησὶ τὸν κόσμον διατενεῖν τῇ κράσει τὸν σταλαγμόν.* Diog. VII 151; Galen. Hipp. et Plat. Plac. VII p. 619 K. Consentaneum erat ut unam in mundo inesse causam agentem et animantem docerent, qua contineretur *τὸ ἡγεμονικόν*. Cic. D. N. II 29 *natura est igitur, quae contineat mundum omnem eumque tueatur, et ea quidem non sine sensu atque ratione; omnem enim naturam necesse est, quae non solitaria sit neque simplex sed cum alio iuncta atque conexa, habere aliquem in se principatum, ut in homine mentem, in belua quiddam simile mentis, unde oriantur rerum adpetitus. in arborum autem et earum rerum, quae gignuntur e terra, radicibus inesse principatus putatur. principatum autem id dico quod Graeci ἡγεμονικὸν vocant, quo nihil in quoque genere nec potest nec debet esse praestantius. ita necesse est illud etiam, in quo sit totius naturae principatus, esse omnium optimum omniumque rerum potestate dominatuque dignissimum.* Sicut autem ignis naturam a deo regi atque animari docebant, ita materiam putabant substantiam dei esse, qui statis temporibus eam in se consumeret atque ex se rursus exsereret: Diog. l. l. 137. Nam mundum ex igne artificioso, animanti illo quidem et vitali, non consumenti, ortum statis temporibus in ignem resolvi: v. Stob. Ecl. I 538 *δύο γὰρ γένη πυρός, τὸ μὲν ἄτεχνον καὶ μεταβάλλον εἰς ἑαυτὸ τὴν τροφήν, τὸ δὲ τεχνικὸν αὐξητικόν τε καὶ τηρητικόν, οἷον ἐν τοῖς φυτοῖς ἐστι καὶ ζῴοις, ὃ δὴ φύσις ἐστὶ καὶ ψυχή.* Cic. D. N. II 41 *hic noster ignis, quem usus vitae requirit, confector est et consumptor omnium, idemque quocunque invasit cuncta disturbat ac dissipat. contra ille corporeus, vitalis et salutaris omnia conservat, alit, auget, sustinet sensuque adficit.* Praecipue hanc astra solis et astrorum substantiam esse et in caelo vel aethere cerni, quibus etiam intelligentiam illam divinam vel maxime tribuendam esse censebant, v. Cic. ib. *quare cum solis ignis similis eorum ignium sit, qui sunt in corporibus animantium, solem quoque animantem esse oportet et quidem reliqua astra, quae oriantur in ardore caelesti, qui aether*

vel caelum nominatur. — 42. sidera autem aetherium locum obtinent; qui quoniam tenuissimus est et semper agitatur et viget, necesse est, quod animal in eo gignatur, id et sensu acerrimo et mobilitate celerrima esse. quare cum in aethere astra gignantur, consentaneum est in iis sensum inesse et intellegentiam; ex quo efficitur in deorum numero astra esse ducenda. — sensum autem astrorum atque intellegentiam maxume declarat ordo eorum atque constantia, — in quo nihil est temerarium, nihil varium, nihil fortuitum: cf. Aristoteles **RP** 331. 332. Ignem vero sicuti primum in aëra transformari atque ex aëre rursus postremum eniti statuebant (Arius Didym. fr. 21 ap. Stob. Ecl. I 312. Dox. 458), ita utrumque maxime singulas res efficere et tanquam spiritum (*πνεῦμα*) per omnia commeare atque hinc illinc agitari docebant, cf. **RP** 406a et Chrysippus ap. Stob. Ecl. I 374 *εἶναι τὸ ὂν πνεῦμα κινοῦν ἑαυτὸ πρὸς ἑαυτὸ καὶ ἐξ αὐτοῦ, ἢ πνεῦμα ἑαυτὸ κινοῦν πρόσω καὶ ὀπίσω· πνεῦμα δὲ εἴληπται διὰ τὸ λέγεσθαι αὐτὸ ἀέρα εἶναι κινούμενον· ἀνάλογον δὲ γίνεσθαι κἀπὶ τοῦ αἰθέρος, ὥστε καὶ εἰς κοινὸν λόγον πεσεῖν αὐτόν.* Eodem facit quod omnia quae vere exsisterent corpora esse (**RP** 396) et corpora misceri et per se invicem penetrare contendebant, v. Chrysipp. ap. Stob. Ecl. I 376 *ὁμοίως δὲ κἀπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχει· δι' ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν· ἀρέσκει γὰρ αὐτοῖς (τοῖς Στωϊκοῖς) σῶμα διὰ σώματος ἀντιπαρήκειν.* Cf. Plut. de Comm. Notit. 37, 2 p. 1077.

spiritus

mundus

Diog. VII 140. Ἕνα τὸν κόσμον εἶναι καὶ τοῦτον πεπερασμένον, σχῆμα ἔχοντα σφαιροειδές. πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τὸ τοιοῦτον[a]. — ἔξωθεν δ' αὐτοῦ περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον, ὅπερ ἀσώματον εἶναι[b]. ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων οὐ κατεχόμενον. ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζειν τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια σύμπνοιαν καὶ συντονίαν. — 141. ἔτι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρους, τὸν δ' ἐνεστῶτα πεπερασμένον. 399

tempus

a. De mundi pulchritudine atque ornatu cf. Cic. D. N. II 58; Plac. I 6, 2. Dox. 293.

b. Infinitum est quicquid non corporeum est, h. e. quod non vere exsistit, sed cogitando tantummodo et attribuendo esse ponitur, v. **RP** 396 et Stob. Ecl. I 392 *καθάπερ δὲ τὸ σωματικὸν πεπερασμένον εἶναι, οὕτως τὸ ἀσώματον ἄπειρον· ὅ τε γὰρ χρόνος ἄπειρος καὶ τὸ κενόν. ὥσπερ γὰρ τὸ μηδὲν οὐδέν ἐστι πέρας, οὕτως καὶ τοῦ μηδενός, οἷόν ἐστι τὸ κενόν.* De generibus rerum incorporearum v. Sext. Math. X 218 *τῶν δὲ ἀσωμάτων τέσσαρα εἴδη καταριθμοῦνται, ὡς λεκτὸν καὶ κενὸν*

καὶ τόπον καὶ χρόνον. De loco dissentit Stob. Ecl. I. I.; *λεκτὸν* quid dicatur v. RP 395. Ab infiniti cogitatione tantum abhorrebant, ut Chrysippus, etsi dabat corpora in infinitum dividi posse, tamen eam divisionem unquam absolutum iri negaret: Diog. VII 150 *οὐ γάρ ἐστί τι ἄπειρον, εἰς ὃ γίνεται ἡ τομή*, cf. Plac. I 16, 4 (Stob. I 344). Dox. 315.

400 Diog. VII 141. *Ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γενητὸν τῷ λόγῳ τῶν δι' αἰσθήσεως νοουμένων· οὗ τε τὰ*[1] *μέρη φθαρτά, ἔστι*[2] *καὶ τὸ ὅλον· τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά, εἰς ἄλληλα γὰρ μεταβάλλει*[a]*· φθαρτὸς ἄρα ὁ κόσμος. καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος ἄρα· ἐξαυχμοῦται γὰρ καὶ ἐξυδατοῦται*[b]. fragilitas mundi

a. Sequebantur in his Heraclitum RP 30: Plut. Stoic. Rep. 34, 2 p. 1049 *τὸ ἀίδιον τῆς κινήσεως κυκεῶνι παρεικάσας (ὁ Χρύσιππος) ἄλλα ἄλλως στρέφοντι καὶ ταράσσοντι τῶν γινομένων*. Nisi quod distinguunt inter id quod duret in rebus et id quod mutetur h. e. inter materiam et qualitatem. Plut. Comm. Notit. 44, 3 p. 1083 *ἀλλὰ οὗτοι (οἱ Στωϊκοὶ) μόνοι εἶδον τὴν σύνθεσιν ταύτην καὶ διπλόην καὶ ἀμφιβολίαν, ὡς δύο ἡμῶν ἕκαστός ἐστιν ὑποκείμενα, τὸ μὲν οὐσία τὸ δὲ ⟨ποιότης⟩*[3]*· καὶ τὸ μὲν ἀεὶ ῥεῖ καὶ φέρεται μήτ' αὐξόμενον μήτε μειούμενον μήτε ὅλως οἷόν ἐστι διαμένον· τὸ δὲ διαμένει καὶ αὐξάνεται καὶ μειοῦται καὶ πάντα πάσχει τἀναντία θατέρῳ συμπεφυκὸς καὶ συνηρμοσμένον καὶ συγκεχυμένον καὶ τῆς διαφορᾶς τῇ αἰσθήσει μηδαμοῦ παρέχον ἅψασθαι*. Cf. Stob. Ecl. I 432 sq.

b. Mundum enim putabant in deterius mutari, ut in quo malum inesset, deum contra ab omni malo esse remotissimum: Diog. VII 147 RP 412.

401 A Plut. de Stoic. Rep. 41, 6 p. 1053. *Λέγει δ' (ὁ Χρύσιππος) ἐν τῷ πρώτῳ περὶ προνοίας· Διόλου μὲν γὰρ ὢν ὁ κόσμος πυρώδης εὐθὺς καὶ ψυχή ἐστιν ἑαυτοῦ καὶ ἡγεμονικόν· ὅτε δὲ μεταβαλὼν εἴς τε τὸ ὑγρὸν καὶ τὴν ἐναπολειφθεῖσαν ψυχὴν τρόπον τινὰ εἰς σῶμα καὶ ψυχὴν μετέβαλεν ὥστε συνεστάναι ἐκ τούτων, ἄλλον τινὰ ἔσχε λόγον.* duplex mundi status

401 B Plut. de Comm. Notit. 36, 5 p. 1077. *Λέγει γοῦν Χρύσιππος ἐοικέναι τῷ μὲν ἀνθρώπῳ τὸν Δία καὶ τὸν κόσμον, τῇ δὲ ψυχῇ τὴν πρόνοιαν· ὅταν οὖν ἐκπύρωσις γένηται, μό-* anima mundi providentia

---

1) *τε τὰ* vulgo: *τά τε* Cobet. — 2) *φθαρτά, ἔστι* RP: *φθαρτά ἐστι* Cobet et vulgo. — 3) *ποιότης* supplevit Prantl.

νον ἄφθαρτον ὄντα τὸν Δία τῶν θεῶν[a] ἀναχωρεῖν ἐπὶ τὴν πρόνοιαν, εἶτα ὁμοῦ γενομένους ἐπὶ μιᾶς τῆς τοῦ αἰθέρος οὐσίας διατελεῖν ἀμφοτέρους.

deorum natura

a. Chrysipp. ap. Plut. Stoic. Rep. 38, 5 p. 1052 ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ οἱ ἄλλοι θεοὶ παραπλήσιον ἔχοντες λόγον γενητοί εἰσιν, ὁ δὲ Ζεὺς ἀίδιός ἐστιν. Similiter idem ib. 39, 2 τροφῇ τε οἱ μὲν ἄλλοι θεοὶ (RP 412) χρῶνται, παραπλησίως συνεχόμενοι δι' αὐτήν· ὁ δὲ Ζεὺς καὶ ὁ κόσμος καθ' ἕτερον τρόπον ἀναλισκομένων καὶ ἐκ πυρὸς γινομένων. Quamquam alio loco scripserat τὸν Δία αὔξεσθαι μέχρις ἂν εἰς αὐτὸν ἅπαντα καταναλώσῃ. ἐπεὶ γὰρ ὁ θάνατος μέν ἐστι ψυχῆς χωρισμὸς ἀπὸ τοῦ σώματος, ἡ δὲ τοῦ κόσμου ψυχὴ οὐ χωρίζεται μὲν αὔξεται δὲ συνεχῶς, μέχρις ἂν εἰς αὐτὴν ἐξαναλώσῃ τὴν ὕλην, οὐ ῥητέον ἀποθνήσκειν τὸν κόσμον.

mundi mutationes

Stob. Ecl. I 372. Dox. 470. Κλεάνθης δὲ οὕτω πώς 402 φησιν· ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα τὰ ἐχόμενα ἀποσβέννυσθαι δι' ὅλου. τοῦ δὲ παντὸς ἐξυγρανθέντος τὸ ἔσχατον τοῦ πυρὸς ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου τρέπεσθαι πάλιν εἰς τοὐναντίον, εἶθ' οὕτω τρεπόμενον ἄνω φησὶν αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον· καὶ τοσαύτην περίοδον ἀεὶ καὶ διακόσμησιν ποιουμένου τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ τόνον μὴ παύεσθαι. ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύεται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται. καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρμα συνιόντες μίγνυνται καὶ αὖθις διακρίνονται γινομένων τῶν μερῶν, οὕτως ἐξ ἑνός τε πάντα γίνεσθαι καὶ ἐκ πάντων [εἰς] ἓν συγκρίνεσθαι, ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου[a].

ratio seminatrix

a. Λόγον σπερματικὸν et deo tribuebant et singulis animantibus. De deo s. igne artificioso cf. Diog. VII 135 sq. RP 398 et Stob. l. l. 414. Dox. 468 Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν οἷα πρότερον. De singulis rebus animatis dicebant deum s. ignem continere πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίνεται, v. Plac. I 7. Dox. 306 (RP 398 B); cf. Diog. VII 148 ἔστι δὲ φύσις ἕξις ἐξ αὑτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὑτῆς ἐν ὡρισμένοις χρόνοις. Eodem facit quod Chrysippus obscenos amores Iovis et Iunonis Sami pictos interpretabatur de materia τοὺς σπερματικοὺς λόγους τοῦ θεοῦ εἰς κατακόσμησιν τῶν ὅλων in se excipiente, v. Orig. c. Cels. IV 48 p. 540c; denique quod etiam animae humanae

tribuebant *σπερματικοὺς λόγους* h. e. *τὸ σπερματικὸν* v. Diog. VII 157 *μέρη δὲ ψυχῆς λέγουσιν ὀκτώ, τὰς πέντ' αἰσθήσεις καὶ τοὺς ἐν ἡμῖν σπερματικοὺς λόγους καὶ τὸ φωνητικὸν καὶ τὸ λογιστικόν.* Cf. RP 410.

403 A Cic. de Deor. Nat. II 37. Neque enim est quicquam aliud praeter mundum cui nihil absit quodque undique aptum atque perfectum expletumque sit omnibus suis numeris et partibus. Scite enim Chrysippus ut clipei causa involuerum, vaginam autem gladii, sic praeter mundum cetera omnia aliorum causa esse generata, ut eas fruges atque fructus quos terra gignat animantium causa, animantes autem hominum. — Ipse autem homo ortus est ad mundum contemplandum et imitandum, nullo modo perfectus, sed est quaedam particula perfecti[b]. mundi perfectio

403 B Senec. Ep. 113, 16. Inter cetera, propter quae mirabile divini artificis ingenium est, hoc quoque existimo, quod in tanta copia rerum numquam in idem incidit: etiam quae similia videntur cum contuleris diversa sunt. Tot fecit genera foliorum: nullum non sua proprietate signatum. Tot animalia: nullius imago tota cum altero convenit, utique aliquid interest. Exegit a se ut quae alia erant et dissimilia essent et inparia[c]. atque varietas

a. Chrysipp. ap. Plut. de Stoic. Rep. 44, 6 p. 1054 *τέλεον μὲν ὁ κόσμος σῶμά ἐστιν, οὐ τέλεα δὲ τὰ τοῦ κόσμου μέρη, τῷ πρὸς τὸ ὅλον πως ἔχειν καὶ μὴ καθ' αὑτὰ εἶναι.* — Malum in mundo fatali quadam necessitate inesse et una cum mundo exstitisse arbitrabantur, cf. Chrysippus, qui ap. Gell. N. A. VII (VI) 1 *nihil est prorsus istis*, inquit, *insubidius, qui opinantur bona esse potuisse, si non essent ibidem mala. nam cum bona malis contraria sint, utraque necessum est opposita inter sese et quasi mutuo adversoque fulta nisu consistere; nullum adeo contrarium est sine contrario altero.* Cf. idem ap. Plut. Comm. Notit. 13, 2 p. 1065 *ἡ δὲ κακία πρὸς τὰ λοιπὰ συμπτώματα ἔχει ὅρον· γίνεται γὰρ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον καί, ἵνα οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς τὰ ὅλα· οὐδὲ γὰρ ἂν τἀγαθὸν ἦν* (v. Stoic. Rep. 35, 3 p. 1050). Idem Stoic. Rep. 36, 1 p. 1051 *κακίαν δὲ καθόλου ἆραι οὔτε δυνατόν ἐστιν οὔτ' ἔχει καλῶς ἀρθῆναι.* Eandem opinionem etiam similitudinibus commendare studebant, v. Plut. ib. 37; Comm. Notit. 14, 1 p. 1065 *ὥσπερ γὰρ αἱ κωμῳδίαι ἐπιγράμματα γελοῖα φέρουσιν, ἃ καθ' αὑτὰ μέν ἐστι φαῦλα, τῷ δὲ ὅλῳ ποιήματι χάριν τινὰ προστίθησιν. οὕτω ψέξειας ἂν αὐτὴν ἐφ' ἑαυτῆς τὴν κακίαν· τοῖς δ' ἄλλοις οὐκ ἄχρηστός ἐστι.* Neque ab Iove sicut ortum malum

ita etiam interitum rerum repetere dubitabant, v. Chrysipp. ib. Stoic. Rep. 32, 2 p. 1049 *ὡς δὲ αἱ πόλεις πλεονάσασαι εἰς ἀποικίας ἀπαίρουσι τὰ πλήθη καὶ πολέμους ἐνίστανται πρός τινας, οὕτως ὁ θεὸς φθορᾶς ἀρχὰς δίδωσι.*

providentiae excusatio

b. Stob. Ecl. I 444. Dox. 465 *κόσμον δ' εἶναί φησιν ὁ Χρύσιππος — τὸ ἐκ θεῶν καὶ ἀνθρώπων σύστημα καὶ ἐκ τῶν ἕνεκα τούτων γεγονότων.* Cf. Cic. Fin. III 67. Etiam in hominibus bona non exsistunt nisi una cum malis, v. Plut. Comm. Notit. 16, 2 p. 1066 *τὴν μὲν φρόνησιν ἐπιστήμην ἀγαθῶν καὶ κακῶν οὖσαν ἀναιρεθέντων τῶν κακῶν ὅλως καὶ παντάπασιν ἀναιρεῖσθαι λέγουσιν,* cf. ib. 17. De morbis ceterisque malis naturalibus ut providentiam quasi excusarent, talia inter multa aptissima et utilissima ei tanquam excidisse dicebant *κατὰ παρακολούθησιν* h. e. *per sequellas quasdam necessarias* interprete Gellio l. l. Cf. Plut. Stoic. Rep. 37, 2 p. 1051 *φησὶ δὲ (Χρύσιππος) πολὺ καὶ τὸ ἀνάγκης μεμῖχθαι.* A dis omnem turpitudinem alienam esse asseverabant, v. Chrysipp. ap. Plut. ib. 33, 2 p. 1049 *τῶν αἰσχρῶν τὸ θεῖον παραίτιον γίνεσθαι οὐκ εὔλογόν ἐστιν· ὃν τρόπον γὰρ οὔτε νόμος τοῦ παρανομεῖν παραίτιος ἂν γένοιτο οὔτε οἱ θεοὶ τοῦ ἀσεβεῖν, οὕτως εὔλογον μηδ' αἰσχροῦ μηδενὸς εἶναι παραιτίους.* Cf. **RP** 412.

c. Cf. Cic. Ac. II 26 *Stoicum istuc quidem nec admodum credibile, nullum esse pilum omnibus rebus talem, qualis sit pilus alius, nullum granum.*

magnus mundi annus

Nemes. de Natura Hom. c. 38 p. 147 Antw. *Οἱ δὲ* 404
Στωϊκοί φασιν ἀποκαθισταμένους τοὺς πλάνητας εἰς τὸ αὐτὸ σημεῖον κατά τε μῆκος καὶ πλάτος, ἔνθα τὴν ἀρχὴν ἕκαστος ἦν, ὅτε τὸ πρῶτον ὁ κόσμος συνέστη[a]*, ἐν ῥηταῖς χρόνων περιόδοις ἐκπύρωσιν καὶ φθορὰν τῶν ὄντων ἀπεργάζεσθαι καὶ πάλιν ἐξ ὑπαρχῆς εἰς τὸ αὐτὸ τὸν κόσμον ἀποκαθίστασθαι, καὶ τῶν ἀστέρων ὁμοίως πάλιν φερομένων ἕκαστον ἐν τῇ προτέρᾳ περιόδῳ γενόμενον ἀπαραλλάκτως ἀποτελεῖσθαι. ἔσεσθαι γὰρ πάλιν Σωκράτην καὶ Πλάτωνα καὶ ἕκαστον τῶν ἀνθρώπων σὺν τοῖς αὐτοῖς καὶ φίλοις καὶ πολίταις καὶ τὰ αὐτὰ πείσεσθαι καὶ τοῖς αὐτοῖς συντεύξεσθαι καὶ τὰ αὐτὰ μεταχειριεῖσθαι, καὶ πᾶσαν πόλιν καὶ κώμην καὶ ἀγρὸν ὁμοίως ἀποκαθίστασθαι*[b]*· γίγνεσθαι δὲ τὴν ἀποκάστασιν τοῦ παντὸς οὐχ ἅπαξ ἀλλὰ πολλάκις, μᾶλλον δὲ εἰς ἄπειρον καὶ ἀτελευτήτως τὰ αὐτὰ ἀποκαθίστασθαι.*

a. Cum sidera ad idem et longitudinis et latitudinis signum, in quo primitus erant, reverterunt, magnus quem veteres dicebant annus efficitur; Stob. Ecl. I 264. Dox. 364, ubi de ambitu huius anni traditur ex Diogene Stoico. Cf. Usener, Mus. Rhen. XXVIII (1873) 395.

b. Cf. Chrysipp. ap. Lactant. Inst. VII 23; Arius Didym. ap. Euseb. Pr. Ev. XV 18. 19. Dox. 468 sq. Mundum eodem protinus circulo atque ambitu ferri atque revolvi propterea credibile iis videbatur, quod universum perfectum esse atque ex eodem semper principio perfecto emergere existimabant.

405 Diog. VII 136. *Ἔστι δὲ στοιχεῖον ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα καὶ εἰς ὃ ἔσχατον ἀναλύεται*[a]. 137. *τὰ δὴ τέτταρα στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην*[b]· *εἶναι δὲ τὸ μὲν πῦρ τὸ θερμόν, τὸ δ' ὕδωρ τὸ ὑγρόν, τόν τ' ἀέρα τὸ ψυχρὸν καὶ τὴν γῆν τὸ ξηρόν. — ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τὴν τῶν πλανωμένων· μεθ' ἣν τὸν ἀέρα, εἶτα τὸ ὕδωρ, ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν*[c]. — 142. *γίνεσθαι δὲ τὸν κόσμον, ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρόν, εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαραιωθῇ*[1] *καὶ τοῦτ' ἐπὶ πλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ· εἶτα κατὰ μῖξιν ἐκ τούτων φυτά τε καὶ ζῷα καὶ τὰ ἄλλα γένη.* (elementa)

a. Arius Didym. fr. 21 (Stob. Ecl. I 314). Dox. 458 *τριχῶς δὴ λεγομένου κατὰ Χρύσιππον τοῦ στοιχείου, καθ' ἕνα μὲν τρόπον τοῦ πυρός, διὰ τὸ ἐξ αὐτοῦ τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ λαμβάνειν τὴν ἀνάλυσιν· καθ' ἕτερον δέ, καθὸ λέγεται τὰ τέσσαρα στοιχεῖα πῦρ ἀὴρ ὕδωρ γῆ, ἐπεὶ διὰ τούτων τινὸς ἢ τινῶν ἢ καὶ πάντων τὰ λοιπὰ συνέστηκε, — κατὰ τρίτον λόγον λέγεται στοιχεῖον εἶναι ὃ πρῶτον συνέστηκεν οὕτως, ὥστε γένεσιν διδόναι ἀφ' αὐτοῦ ὁδῷ μέχρι τέλους, καὶ ἐξ ἐκείνου τὴν ἀνάλυσιν δέχεσθαι εἰς ἑαυτὸ τῇ ὁμοίᾳ ὁδῷ.* Inter principia et elementa quid intersit cernitur ex Diog. VII 134 *διαφέρειν δέ φασιν ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγενήτους καὶ ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι.*

b. Quattuor elementis continetur omnis quae erat ante mundum exsistentem materia omni qualitate carens.

c. Cf. Cleanth. ap. Stob. Ecl. I 372; Chrysipp. ap. Plut. Stoic. Rep. 41, 3 p. 1053 *ἡ δὲ πυρὸς μεταβολή ἐστι τοιαύτη· δι' ἀέρος εἰς ὕδωρ τρέπεται· κἀκ τούτου γῆς ὑφισταμένης ἀὴρ ἀναθυμιᾶται· λεπτυνομένου δὲ τοῦ ἀέρος ὁ αἰθὴρ περιχεῖται κύκλῳ, οἱ δ' ἀστέρες ἐκ θαλάσσης μετὰ τοῦ ἡλίου ἀνάπτονται*: quae ducta sunt ex doctrina Heracliti, RP 31 b.

406 Plut. de Comm. Notit. 49, 1 p. 1085. *Τά γε μὴν τέσσαρα σώματα, γῆν καὶ ὕδωρ, ἀέρα τε καὶ πῦρ, πρῶτα στοι-* (singulorum elementorum vis et virtus)

1) *ἐξαραιωθῇ* cod. B P[1] F: *ἐξαερωθῇ* P[2] Cobet.

χεῖα προσαγορεύοντες οὐκ οἶδα ὅπως τὰ μὲν ἁπλᾶ καὶ καθαρά, τὰ δὲ σύνθετα καὶ μεμιγμένα ποιοῦσι. γῆν μὲν γὰρ ἴσασι καὶ ὕδωρ οὔτε αὑτὰ συνέχειν οὔτε ἕτερα, πνευματικῆς δὲ μετοχῇ καὶ πυρώδους δυνάμεως τὴν ἑνότητα διαφυλάττειν· ἀέρα δὲ καὶ πῦρ αὑτῶν τ' εἶναι δι' εὐτονίαν ἐκτατικά, καὶ τοῖς δυσὶν ἐκείνοις ἐγκεκραμένα τόνον παρέχειν καὶ τὸ μόνιμον καὶ οὐσιῶδες[a].

a. Primum elementum est ignis (**RP** 405 a), proximum ab illo aër. Utrumque dum aquae et terrae miscetur, singula corpora ita oriuntur, ut ignis calore intrinsecus temperentur atque animentur, aëris vero fluxionibus quibusdam formentur atque cohibeantur, v. Cic. D. N. II 23—28, ubi Stoicae sectae patronus ignis calorem per omnem mundum, omnia elementa, omnia corpora diffusum esse, omnibus vitam atque animam impertire explicat, et de aëre Plut. Stoic. Rep. 43, 2 p. 1053 *οὐδὲν ἄλλο τὰς ἕξεις πλὴν ἀέρας εἶναί φησιν (ὁ Χρύσιππος)· ὑπὸ τούτων γὰρ συνέχεται τὰ σώματα· καὶ τοῦ ποιὸν ἕκαστον εἶναι τῶν ἕξει συνεχομένων αἴτιος ὁ συνέχων ἀήρ ἐστιν, ὃν σκληρότητα μὲν ἐν σιδήρῳ, πυκνότητα δ' ἐν λίθῳ, λευκότητα δ' ἐν ἀργύρῳ καλοῦσι. — 4. τὰς δὲ ποιότητας πνεύματα οὔσας καὶ τόνους ἀερώδεις οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν (ἀποφαίνουσι)*. Quare distinguendum inter elementa agentia et patientia, v. Nemes. de Nat. Hom. 5 p. 72 *λέγουσι δὲ οἱ Στωϊκοὶ τῶν στοιχείων τὰ μὲν εἶναι δραστικὰ τὰ δὲ παθητικά· δραστικὰ μὲν ἀέρα καὶ πῦρ, παθητικὰ δὲ γῆν καὶ ὕδωρ*. — Denique infinitam corporum varietatem et varias eiusdem rei qualitates ut sibi explicarent, corpora per se invicem penetrare et mixtionem esse, qua omnia cum omnibus miscerentur, docebant, v. **RP** 398 C, et Diog. VII 151 *καὶ τὰς κράσεις δὲ διόλου γίνεσθαι, καθά φησιν Χρύσιππος —, καὶ μὴ κατὰ περιγραφὴν καὶ παράθεσιν· καὶ γὰρ εἰς πέλαγος ὀλίγος οἶνος βληθεὶς ἐπὶ ποσὸν ἀντιπαρεκταθήσεται, εἶτα συμφθαρήσεται*. Cf. Arius Did. fr. 28 (Stob. Ecl. I 376). Dox. 463.

[corporum inter se mixtio]

[varia corporum vincula]

Sext. Math. IX 81. *Τῶν ἡνωμένων σωμάτων τὰ μὲν* 407 *ὑπὸ ψιλῆς ἕξεως συνέχεται, τὰ δὲ ὑπὸ φύσεως, τὰ δὲ ὑπὸ ψυχῆς· καὶ ἕξεως μὲν ὡς λίθοι καὶ ξύλα, φύσεως δὲ καθάπερ τὰ φυτά, ψυχῆς δὲ τὰ ζῷα*[a].

a. Cf. Galen. de Hipp. et Plat. VI 3 p. 521 K. *οἱ δὲ Στωϊκοὶ οὐδὲ ψυχὴν ὅλως ὀνομάζουσι τὴν τὰ φυτὰ διοικοῦσαν, ἀλλὰ φύσιν*. Marc. Anton. Comm. VI 14; Philo Alleg. Leg. II 7 p. 71, ubi Stoici non nominantur. — Achill. Isag. Arat. 14 p. 134: *ἔστι δὲ ἕξις πνεῦμα σώματος συνεκτικόν*. Philo Leg. Alleg. l. l. *ἔστι δὲ ἡ φύσις ἕξις ἤδη κινουμένη* (**RP** 402 a), *ψυχὴ δέ ἐστι φύσις προσειληφυῖα φαντασίαν καὶ ὁρμήν*. Plut. Stoic. Rep. 41, 2 p. 1052 *αὐτὸς δὲ (ὁ Χρύσιππος) πάλιν τὴν ψυχὴν ἀραιότερον πνεῦμα τῆς φύσεως καὶ λεπτομερέστερον*

[habitus natura anima]

ἡγεῖται. Diog. VII 138 ἀλλ' ἤδη δι' ὧν μὲν μᾶλλον, δι' ὧν δὲ ἧττον (τὴν ψυχὴν διήκειν). δι' ὧν μὲν γὰρ ὡς ἕξις κεχώρηκεν, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν νεύρων· δι' ὧν δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ.

408 Nemes. de Nat. Hom. 2 p. 33. Ἔτι φησὶν (ὁ Κλεάνθης)· Οὐδὲν ἀσώματον συμπάσχει σώματι οὐδὲ ἀσωμάτῳ σῶμα, ἀλλὰ σῶμα σώματι· συμπάσχει δὲ ἡ ψυχὴ τῷ σώματι νοσοῦντι καὶ τεμνομένῳ καὶ τὸ σῶμα τῇ ψυχῇ· αἰσχυνομένης γοῦν ἐρυθρὸν γίνεται καὶ φοβουμένης ὠχρόν. — (34) Χρύσιππος δέ φησιν ὅτι ὁ θάνατός ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος· οὐδὲν δὲ ἀσώματον ἀπὸ σώματος χωρίζεται· οὐδὲ γὰρ ἐφάπτεται σώματος ἀσώματον· ἡ δὲ ψυχὴ καὶ ἐφάπτεται καὶ χωρίζεται τοῦ σώματος· σῶμα ἄρα ἡ ψυχή[a]. anima corporea

De psychologia Stoicorum scripsit L. Stein, cf. RP 385 fin.

a. Animam corpoream esse inde quoque efficiebant, quod omnia quae efficerent aliquid aut quae efficerentur corpus habere docebant, v. RP 396.

409 Diog. VII 156. Ταύτην δὲ (τὴν ψυχὴν) εἶναι τὸ συμφυὲς ἡμῖν πνεῦμα[a]· διὸ καὶ σῶμα εἶναι καὶ μετὰ θάνατον ἐπιμένειν· φθαρτὴν δ' εἶναι, τὴν δὲ τῶν ὅλων ἄφθαρτον, ἧς μέρη εἶναι τὰς ἐν τοῖς ζῴοις. — 157. Κλεάνθης μὲν οὖν πάσας (ψυχὰς) ἐπιδιαμένειν μέχρι τῆς ἐκπυρώσεως, Χρύσιππος δὲ τὰς τῶν σοφῶν μόνον[b]. animi diuturnitas

a. Diog. VII 157 Ζήνων δὲ ὁ Κιτιεὺς — πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι. Chrys. ap. Galen. de Hipp. et Plat. III 1 p. 287 K. ἡ ψυχὴ πνεῦμά ἐστι σύμφυτον ἡμῖν συνεχὲς παντὶ τῷ σώματι διῆκον, ἔστ' ἂν ἡ τῆς ζωῆς συμμετρία παρῇ ἐν τῷ σώματι. Cic. Tusc. I 19 *Zenoni Stoico animus ignis videtur*. Arius Did. fr. 39 ap. Euseb. Pr. Ev. XV 20. Dox. 470 Κλεάνθης — φησὶν ὅτι Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν καθάπερ Ἡράκλειτος.

b. Arius Did. l. l. 471 διαμένειν γὰρ ἐκεῖ (ἐν τῷ ἀέρι) τὰς τῶν ἀποθανόντων ψυχάς. ἔνιοι δὲ τὴν μὲν τοῦ ὅλου ἀίδιον, τὰς δὲ λοιπὰς συμμίγνυσθαι ἐπὶ τελευτῇ εἰς ἐκείνην. Sapientium animas robustiores esse et usque ad conflagrationem mundi durare putabant, ceteras imbecilliores quam quae tot vicissitudines sustinerent: Plac. IV 7, 3. Dox. 393. — Alii ex sapientium animis heroas atque daemonas exsistere statuebant: Diog. VII 151 φασὶ δ' εἶναι καί τινας δαίμονας ἀνθρώπων συμπάθειαν ἔχοντας, ἐπόπτας τῶν ἀνθρωπείων πραγμάτων, καὶ ἥρωας, τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.

animi partes Plac. IV 4, 4. Dox. 390. *Οἱ Στωϊκοὶ ἐξ ὀκτὼ μερῶν* 410 A
φασι συνιστάνει (τὴν ψυχήν), πέντε μὲν τῶν αἰσθητικῶν ὁρατικοῦ ἀκουστικοῦ ὀσφρητικοῦ γευστικοῦ ἁπτικοῦ, ἕκτου δὲ φωνητικοῦ[a], *ἑβδόμου σπερματικοῦ, ὀγδόου αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέταται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις*[a].

principalis animi pars Sext. Math. IX 102. *Πάσης γὰρ φύσεως καὶ ψυχῆς ἡ* 410 B
καταρχὴ τῆς κινήσεως γίνεσθαι δοκεῖ ἀπὸ ἡγεμονικοῦ, καὶ πᾶσαι αἱ ἐπὶ τὰ μέρη τοῦ ὅλου ἐξαποστελλόμεναι δυνάμεις ὡς ἀπό τινος πηγῆς τοῦ ἡγεμονικοῦ ἐξαποστέλλονται, ὥστε πᾶσαν δύναμιν τὴν περὶ τὸ μέρος οὖσαν καὶ περὶ τὸ ὅλον εἶναι διὰ τὸ ἀπὸ τοῦ ἐν αὐτῷ ἡγεμονικοῦ διαδίδοσθαι[b].

animi sedes Diog. VII 159. *Ἡγεμονικὸν δ' εἶναι τὸ κυριώτατον τῆς* 410 C
ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ[c].

a. Cf. Plac. IV 21, 2. Dox. 410 *ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἑπτὰ μέρη ἐστὶ τῆς ψυχῆς ἐκπεφυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα καθάπερ αἱ ἀπὸ τοῦ πολύποδος πλεκτάναι.* — 3. *ἡ μὲν ὅρασίς ἐστι πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρις ὀφθαλμῶν, ἀκοὴ δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ὤτων.* — *τῶν δὲ λοιπῶν τὸ μὲν λέγεται σπέρμα, ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν παραστατῶν. τὸ δὲ φωνᾶεν ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν, ἔστι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης καὶ τῶν οἰκείων ὀργάνων. αὐτὸ δὲ τὸ ἡγεμονικὸν ὥσπερ ἐν κόσμῳ* <*ἥλιος*>[1] *κατοικεῖ ἐν τῇ ἡμετέρᾳ σφαιροειδεῖ κεφαλῇ.* Cf. RP 398 C.

b. Propterea negabant distinguendum esse inter rationalem et irrationalem partem animae; *ἡγεμονικὸν* enim rationalis animae esse *λόγον*,
animi affectus quem vocari et *διάνοιαν* et *τὸ λογιστικόν*. Diog. VII 157; Galen. de Hipp. et Plat. II 5 p. 244 K.; Diog. VII 111 *δοκεῖ δὲ αὐτοῖς τὰ πάθη κρίσεις εἶναι* (*λόγου ἡμαρτημένας*, cf. Themist. de Anim. p. 197 Spengel); Plut. de Virt. Moral. 7 p. 446 F *ἔνιοι δέ φασιν οὐχ ἕτερον εἶναι τοῦ λόγου τὸ πάθος οὐδὲ δυοῖν διαφορὰν καὶ στάσιν, ἀλλὰ ἑνὸς λόγου τροπὴν ἐπ' ἀμφότερα λανθάνουσαν ἡμᾶς ὀξύτητι καὶ τάχει μεταβολῆς.*

c. Haec sunt adversus Platonem (RP 268 a) disputata. Zeno ap. Galen. de Hippocr. et Plat. II 5 p. 241 K. ita concludit: *φωνὴ διὰ φάρυγγος χωρεῖ· εἰ δὲ ἦν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει. ὅθεν δὲ λόγος, καὶ φωνὴ ἐκεῖθεν χωρεῖ· λόγος δὲ ἀπὸ διανοίας χωρεῖ, ὥστ' οὐκ ἐν τῷ ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια.*

---

1) *ἥλιος* deest in libris: addebat Diels.

411 Cic. de Fato 41. Chrysippus autem cum et necessitatem improbaret et nihil vellet sine praepositis causis evenire, causarum genera distinguit, ut et necessitatem effugiat et retineat fatum. Causarum enim, inquit, aliae sunt perfectae et principales, aliae adiuvantes et proximae. Quam ob rem cum dicimus omnia fato fieri causis antecedentibus, non hoc intellegi volumus: causis perfectis et principalibus, sed causis adiuvantibus [antecedentibus] et proximis. — Quae si ipsae non sunt in nostra potestate, non sequitur ut ne adpetitus quidem sit in nostra potestate. — 42. Quod enim dicantur adsensiones fieri causis antepositis, id quale sit facile a se explicari putat. Nam quamquam adsensio non possit fieri nisi commota viso, tamen, cum id visum proximam causam habeat, non principalem[a], hanc habet rationem, ut Chrysippus vult, quam dudum diximus, non ut illa quidem fieri possit nulla vi extrinsecus excitata (necesse est enim adsensionem viso commoveri), sed revertitur ad cylindrum et ad turbinem suum, quae moveri incipere nisi pulsa non possunt. Id autem cum accidit, suapte natura, quod superest, et cylindrum volvi et versari turbinem putat[b]. necessitas et libertas

a. De adsensione (συγκατάθεσις) et viso (φαντασία) v. **RP** 392, cf. Plut. de Stoic. Rep. 47 p. 1055. Adsensio non sic visum sequitur, quasi naturali necessitate conexa sint, sed pendet illa ab unius cuiusque animo atque ingenio, quibus et voluntas et ipsae actiones terminantur.

b. Cf. Gellius N. A. VII (VI) 2, 11 *sicut, inquit* (Chrysippus), *lapidem cylindrum si per spatia terrae prona atque derupta iacias, causa quidem ei et initium praecipitantiae fueris, mox tamen ille praeceps volvitur, non quia tu id iam facis, sed quoniam ita sese modus eius et formae volubilitas habet: sic ordo et ratio et necessitas fati genera ipsa et principia causarum movet, impetus vero consiliorum mentiumque nostrarum actionesque ipsas voluntas cuiusque propria et animorum ingenia moderantur. Infert deinde verba haec, his quae dixi congruentia*: διὸ καὶ ὑπὸ τῶν Πυθαγορείων εἴρηται·

γνώσει δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας,

ὡς τῶν βλαβῶν ἑκάστοις παρ' αὐτοῖς γινομένων καὶ καθ' ὁρμὴν αὐτῶν ἁμαρτανόντων τε καὶ βλαπτομένων καὶ κατὰ τὴν αὐτῶν διάνοιαν καὶ θέσιν. Cf. Trendelenburg, *Hist. Beitr.* II p. 162 sq. O. Heine, Stoicor. de fato doctrina, Numburgi 1859. A. Gercke, Chrysippea. Z. III 1 [3] 157 sq.

412 Diog. VII 147. *Θεὸν δὲ εἶναι ζῷον ἀθάνατον, λογικόν, τέλειον ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον,* deus

προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον· εἶναι δὲ τὸν μὲν δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων κοινῶς τε καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεσθαι κατὰ τὰς δυνάμεις. Δία μὲν γάρ φασι δι' ὃν τὰ πάντα, Ζῆνα δὲ καλοῦσι παρ' ὅσον τοῦ ζῆν αἴτιός ἐστιν ἢ διὰ τοῦ ζῆν κεχώρηκεν, Ἀθηνᾶν δὲ κατὰ τὴν εἰς αἰθέρα διάτασιν τοῦ ἡγεμονικοῦ αὐτοῦ, Ἥραν δὲ κατὰ τὴν εἰς ἀέρα, καὶ Ἥφαιστον κατὰ τὴν εἰς τὸ τεχνικὸν πῦρ, καὶ Ποσειδῶνα κατὰ τὴν εἰς τὸ ὑγρόν, καὶ Δήμητρα κατὰ τὴν εἰς γῆν· ὁμοίως δὲ καὶ τὰς ἄλλας προσηγορίας ἐχόμενοί τινος οἰκει-
fatum ότητος ἀπέδοσαν[a]. — 149. Καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίνεσθαι Χρύσιππος ἐν τοῖς περὶ εἱμαρμένης — καὶ Ζήνων. — ἔστι δ' εἱμαρμένη αἰτία τῶν ὄντων εἰρομένη ἢ
divinatio λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται. καὶ μὴν καὶ μαντικὴν ὑφεστάναι πᾶσάν φασιν, εἰ καὶ πρόνοιαν εἶναι[b].

a. Cf. **RP** 398. 401. Exempla harum interpretationum, in quibus summe laboraverant Zeno et Cleanthes et prae ceteris Chrysippus, praeter ea quae apud Diogenem l. l. leguntur exstant apud Ciceronem D. N. I 40; II 62 sq., cf. Philodem. de Piet. col. 5 sq. 13 sq. Dox. 546 sq. Krische, *Forsch.* p. 463 sq.; Z. III 1[3] 325 sq.

b. Cic. Divin. I 6 *sed cum Stoici omnia fere illa defenderent, quod et Zeno in suis commentariis quasi semina quaedam sparsisset et ea Cleanthes paulo uberiora fecisset, accessit acerrumo vir ingenio Chrysippus, qui totam de divinatione duobus libris explicavit sententiam, uno praeterea de oraculis, uno de somniis: quem subsequens unum librum Babylonius Diogenes edidit eius auditor, duo Antipater, quinque noster Posidonius.* — Cf. C. Wachsmuth, *d. Ansichten d. Stoiker ü. Mantik u. Daemonen,* Berol. 1860.

Non spernebant Stoici populares de dis opiniones, sed proficiscebantur ab iis cum deos esse demonstrabant; magnum enim argumentum in eo cerni putabant, quod omnium gentium hominibus esse di viderentur, cf. Cic. D. N. II 12 *itaque inter omnes omnium gentium summa constat: omnibus enim innatum est et in animo quasi insculptum esse deos. quales sint varium est, esse nemo negat.* Maximum vero argumentum iis erat totius naturae et mundi ratio atque compositio: quare omnis eorum theologia erat physica atque adeo physicae tanquam apex et consummatio, v. Plut. de Stoic. Rep. 9, 2 p. 1035 (**RP** 390 a). Ita deum universum et summum, quem Iovem appellabant, nihil aliud esse volebant nisi vel ipsum mundum vel mundi substantiam vel mundi causam procreatricem et providentiam: **RP** 398. 401 a; Diog. VII 148 *οὐσίαν*

δὲ θεοῦ Ζήνων μέν φησι τὸν ὅλον κόσμον καὶ τὸν οὐρανόν, ὁμοίως δὲ καὶ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ θεῶν καὶ Ποσειδώνιος ἐν πρώτῳ περὶ θεῶν. Vel maxime autem divinam naturam et intelligentiam in caelo et sideribus conspici arbitrabantur, cf. Cic. D. N. I 36 de Zenone et Cleanthe; Krische p. 385 sq.; RP 398 C. In singulis deorum nominibus ac fabulis interpretandis ita maxime versabantur, ut *physicam rationem non inelegantem in eas inclusam esse* demonstrarent, cf. Cic. D. N. II 64 et ib. III 63 *magnam molestiam suscepit et minime necessariam primus Zeno, post Cleanthes, deinde Chrysippus commenticiarum fabularum reddere rationem, vocabulorum cur quique ita appellati sint causas explicare. quod cum facitis, illud profecto confitemini, longe aliter se rem habere atque hominum opinio sit; eos enim qui di appellantur rerum naturas esse, non figuras deorum.* Quamquam alii velut Persaeus Citiensis eos dicebant esse habitos deos, *a quibus magna utilitas ad vitae cultum esset inventa, ipsasque res utiles et salutares deorum esse vocabulis nuncupatas*, v. Cic. D. N. I 38; II 62. Similiter Chrysippus etiam homines sapientes in deos mutari docuerat: Philodem. de Piet. col. 13. Dox. 547 καὶ ἀνθρώπους εἰς θεούς φησι μεταβαλεῖν. Cf. RP 409 b.

Ethica.

413 Stob. Ecl. II 132. Τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε· τὸ ὁμολογουμένως ζῆν. τοῦτο δ' ἐστὶ καθ' ἕνα λόγον καὶ σύμφωνον ζῆν, ὡς τῶν μαχομένως ζώντων κακοδαιμονούντων[a]. οἱ δὲ μετὰ τοῦτον προσδιαρθροῦντες οὕτως ἐξέφερον· ὁμολογουμένως τῇ φύσει ζῆν, ὑπολαβόντες ἔλαττον εἶναι κατηγόρημα τὸ ὑπὸ τοῦ Ζήνωνος ῥηθέν. Κλεάνθης γὰρ πρῶτος διαδεξάμενος αὐτοῦ τὴν αἵρεσιν προσέθηκε τῇ φύσει καὶ οὕτως ἀπέδωκε· τέλος ἐστὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν. ὅπερ ὁ Χρύσιππος σαφέστερον βουλόμενος ποιῆσαι ἐξήνεγκε τὸν τρόπον τοῦτον· ζῆν κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων[b]. finis bonorum

a. Differt Diog. VII 87 διόπερ πρῶτος ὁ Ζήνων ἐν τῷ περὶ ἀνθρώπου φύσεως τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν. Cf. Cic. de Fin. IV 14. Post μαχομένως supple ἑαυτοῖς, v. Seneca Ep. 89, 15 *vita sibi concors.* Summo bono efficitur vita beata (εὐδαιμονία), de qua cf. Diog. VII 89 ἐν αὐτῇ τε (τῇ ψυχῇ) εἶναι τὴν εὐδαιμονίαν, ἅτ' οὔσῃ ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου. Stob. Ecl. vita beata

II 138 τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον· εὐδαιμονία δ' ἐστὶν εὔροια βίου.

b. Cf. Chrysipp. ap. Diog. VII 87 RP 390 et ib. 88 διόπερ τέλος γίνεται τὸ ἀκολούθως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατά τε τὴν αὑτοῦ καὶ κατὰ τὴν τῶν ὅλων, οὐδὲν ἐνεργοῦντας ὧν ἀπαγορεύειν εἴωθεν ὁ νόμος ὁ κοινός, ὅσπερ ἐστὶν ὁ ὀρθὸς λόγος διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διὶ καθηγεμόνι τούτῳ τῆς τῶν ὅλων διοικήσεως ὄντι. Cf. Chrysipp. ap. Plut. de Stoic. Rep. 9, 2 p. 1035 (RP 390 a). — Diog. VII 89 φύσιν δὲ Χρύσιππος μὲν ἐξακούει, ᾗ ἀκολούθως δεῖ ζῆν, τήν τε κοινὴν καὶ ἰδίως τὴν ἀνθρωπίνην· ὁ δὲ Κλεάνθης τὴν κοινὴν μόνην ἐκδέχεται φύσιν, ᾗ ἀκολουθεῖν δεῖ, οὐκέτι δὲ καὶ τὴν ἐπὶ μέρους. Cf. Z. III 1[3] 211[1]. — Ab universa illa naturae lege cum toti pendeamus, id maximo opere agendum est, ut quaeramus ad quod adipiscendum ipsa natura impellamur, propriae voluntati quam maxime renuntiantes: quo pertinent Cleanthis illa ap. Epictet. Man. 52 (fr. theol. 11 Wachsm.) ἄγου δέ μ' ὦ Ζεῦ καὶ σύ γ' ἡ Πεπρωμένη | ὅποι ποθ' ὑμῖν εἰμὶ διατεταγμένος. | ὡς ἕψομαί γ' ἄοκνος· ἢν δὲ μὴ θέλω, | κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι. Neque bonum et quod ab eo pendet officium in alio positum est nisi in voluntate nostra naturae legi necessariae constanter prudenterque obtemperandi: Cic. Tusc. IV 12; Senec. Benef. VI 11 *voluntas est quae apud nos ponit officium.*

appetitio naturalis

Gellius Noct. Att. XII 5, 7. Natura, inquit (Taurus), 414 omnium rerum, quae nos genuit, induit nobis inolevitque in ipsis statim principiis, quibus nati sumus, amorem nostri et caritatem, ita prorsus ut nihil quicquam esset carius pensiusque nobis quam nosmet ipsi[a], atque hoc esse fundamentum rata est conservandae hominum perpetuitatis, si unusquisque nostrum simul atque editus in lucem foret harum prius rerum sensum adfectionemque caperet, quae a veteribus philosophis τὰ πρῶτα κατὰ φύσιν appellata sunt[b]: ut omnibus scilicet corporis sui commodis gauderet, ab incommodis omnibus abhorreret. Postea per incrementa aetatis exorta e seminibus suis ratio est et utendi consilii reputatio et honestatis utilitatisque verae contemplatio subtiliorque et exploratior commodorumque dilectus[c]: atque ita prae ceteris omnibus enituit et praefulsit decori et honesti dignitas, ac si rei retinendae obtinendaeve incommodum extrinsecus aliquod obstaret, contemptum est; neque aliud esse vere et simpliciter bonum nisi honestum, aliud quicquam malum nisi quod turpe esset existimatum est. Reliqua omnia, quae in medio

forent ac neque honesta essent neque turpia, neque bona esse neque mala decretum est. Productiones tamen et relationes suis quaeque momentis distinctae divisaeque sunt, quae *προηγμένα καὶ ἀποπροηγμένα* ipsi vocant[d]. Propterea voluptas quoque et dolor, quod ad finem ipsum bene beateque vivendi pertinet, et in mediis relicta et neque in bonis neque in malis iudicata sunt[e]. 8. Sed enim quoniam his primis sensibus doloris voluptatisque ante consilii et rationis exortum recens natus homo imbutus est et voluptati quidem a natura conciliatus, a dolore autem quasi a gravi quodam inimico abiunctus alienatusque est: idcirco adfectiones istas primitus penitusque inditas ratio ipsi post addita convellere ab stirpe atque extinguere vix potest. Pugnat autem cum his semper et exultantis eas opprimit obteritque et parere sibi atque oboedire cogit.

a. Cf. Cic. de Fin. III 16; Diog. VII 85 *τὴν δὲ πρώτην ὁρμήν φασι (οἱ Στωϊκοὶ) τὸ ζῷον ἴσχειν ἐπὶ τὸ τηρεῖν ἑαυτό, οἰκειούσης αὐτῷ τῆς φύσεως ἀπ᾽ ἀρχῆς, καθά φησιν ὁ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν, πρῶτον οἰκεῖον εἶναι λέγων παντὶ ζῴῳ τὴν αὐτοῦ σύστασιν καὶ τὴν ταύτης συνείδησιν*[1]· *οὔτε γὰρ ἀλλοτριῶσαι εἰκὸς ἦν αὐτῷ τὸ ζῷον οὔτε ποιήσασαν αὐτὸ μήτε ἀλλοτριῶσαι μήτε οἰκειῶσαι. ἀπολείπεται τοίνυν λέγειν συστησαμένην αὐτὸ οἰκειῶσαι πρὸς ἑαυτό· οὕτω γὰρ τά τε βλάπτοντα διωθεῖται καὶ τὰ οἰκεῖα προσίεται.* Idem haud dubie spectans Chrysippus ap. Plut. de Stoic. Rep. 18, 1 p. 1042: *λυσιτελεῖ ζῆν ἄφρονα μᾶλλον ἢ μὴ βιοῦν, κἂν μηδέποτε μέλλῃ φρονήσειν.* Ideoque etiam animalia hominibus exempla esse possunt: ib. 22, 1 p. 1045 *καὶ πρὸς τὰ θηρία φησὶ (ὁ Χρύσιππος) δεῖν ἀποβλέπειν καὶ τοῖς ὑπ᾽ ἐκείνων γινομένοις τεκμαίρεσθαι τὸ μηδὲν ἄτοπον μηδὲ παρὰ φύσιν εἶναι τῶν τοιούτων.* Quae pertinent ad praecepta Stoicorum de moribus atque institutis quae vulgo obtineant repudiandis, quia quae his notentur ut delicta non sint delicta secundum naturam.

b. De *primis secundum naturam*, h. e. quae natura conciliante primum appetuntur, v. Madvig, Cic. de Fin., Exc. IV p. 828 ([3] 815) sq.

c. Cf. Diog. VII 86 *ἐκ περιττοῦ δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ἐπιγενομένης, ᾗ συγχρώμενα πορεύεται πρὸς τὰ οἰκεῖα, τούτοις μὲν τὸ κατὰ φύσιν τὸ κατὰ τὴν ὁρμὴν διοικεῖσθαι· τοῦ δὲ λόγου τοῖς λογικοῖς κατὰ τελειοτέραν προστασίαν δεδομένου τὸ κατὰ λόγον ζῆν ὀρθῶς γίνεσθαι αὐτοῖς κατὰ φύσιν· τεχνίτης γὰρ οὗτος ἐπιγίνεται τῆς ὁρμῆς.* Cic. de Fin. III 16 sq.; ibid. IV 28 *Chrysippus autem exponens differentias animantium ait alias earum corpore excellere, alias autem animo,*

1) *συνείδησιν* libri: *συντήρησιν* Heine: *σύνδεσιν* Madvig.

nonnullas valere utraque re: deinde disputat, quod cuiusque generis animantium statui deceat extremum. cum autem hominem in eo genere posuisset, ut ei tribueret animi excellentiam, summum bonum id constituit, non ut excellere animus, sed ut nihil esse praeter animum videretur.

d. Rigidius illud placitum, quo negabant ullum esse bonum nisi honestum, mollitur eo quod etiam externa bona, dummodo prudenter iis uteremur, aliqua existimatione digna esse dicebant; esse ea *ἀδιάφορα* quidem, sed *προηγμένα*. Cf. Cic. de Fin. III 20; Stob. Ecl. II 144 *ἔτι δὲ τῶν ἀδιαφόρων τὰ μὲν πλείω ἀξίαν ἔχειν, τὰ δ' ἐλάττω· — καὶ τὰ μὲν προηγμένα, τὰ δὲ ἀποπροηγμένα, τὰ δ' οὐδετέρως ἔχοντα.* — 156 *οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι προηγμένον διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. τὸ δὲ προηγμένον τὴν δευτέραν χώραν καὶ ἀξίαν ἔχον συνεγγίζειν πως τῇ τῶν ἀγαθῶν φύσει. — προηγμένα δὲ λέγεσθαι οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι συνεργεῖν τε πρὸς αὐτήν, ἀλλὰ τῷ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ ἀποπροηγμένα.* Cf. Diog. VII 105 sq. Tam varie autem ab ipsis principibus Stoicorum constituebantur fines regionis bonorum et mediorum, ut etiam Chrysippus *τὸ προηγμένον*, dummodo honesto subiectum esse putaretur, bonum appellari posse concederet: Plut. de Stoic. Rep. 30, 4 p. 1048.

voluptas **e.** Diog. VII 85 *ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίνεσθαι τὴν πρώτην ὁρμὴν τοῖς ζῴοις, ψεῦδος ἀποφαίνουσιν.* 86. *ἐπιγέννημα* (cf. *ἐπιγεννηματικὸν* Cic. de Fin. III 32) *γάρ φασιν, εἰ ἄρα ἔστιν, ἡδονὴν εἶναι, ὅταν αὐτὴν καθ' αὑτὴν ἡ φύσις ἐπιζητήσασα τὰ ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ* (cf. Suid. v. *ὁρμή*). Sext. Math. XI 13 *οἱ δὲ ἀπὸ τῆς Στοᾶς ἀδιάφορον καὶ οὐ προηγμένον* (*εἶναι τὴν ἡδονήν*). *ἀλλὰ Κλεάνθης μὲν μήτε κατὰ φύσιν αὐτὴν εἶναι μήτε ἀξίαν ἔχειν ἐν τῷ βίῳ, καθάπερ δὲ τὸ κάλλυντρον κατὰ φύσιν μὴ εἶναι· ὁ δὲ Ἀρχέδημος κατὰ φύσιν μὲν εἶναι ὡς τὰς ἐν μασχάλῃ τρίχας, οὐχὶ δὲ καὶ ἀξίαν ἔχειν.* Itaque gaudium (*χαρά*, Diog. VII 116) sapientis distinguebatur a stultorum voluptate (*ἡδονή*), quam numerabant inter affectus (*πάθη*), cf. Cic. de Fin. III 35; Diog. VII 110; Stob. Ecl. II 166; RP 419.

bona Diog. VII 101. *Δοκεῖ δὲ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι·* 415
καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον εἶναι αἱρετὸν καὶ μήτ' ἄνεσιν μήτ' ἐπίτασιν ἐπιδέχεσθαι. τῶν δ' ὄντων φασὶ τὰ μὲν ἀγαθὰ εἶναι, τὰ δὲ κακά, τὰ δ' οὐδέτερα. 102. *ἀγαθὰ μὲν οὖν τάς τ' ἀρετάς, φρόνησιν δικαιοσύνην ἀνδρείαν σωφροσύνην καὶ τὰ λοιπά·* mala *κακὰ δὲ τὰ ἐναντία, ἀφροσύνην ἀδικίαν καὶ τὰ λοιπά·* media *οὐδέτερα δὲ ὅσα μήτ' ὠφελεῖ μήτε βλάπτει, οἷον ζωὴ ὑγίεια ἡδονὴ κάλλος ἰσχὺς πλοῦτος εὐδοξία εὐγένεια καὶ τὰ τούτοις ἐναντία, θάνατος νόσος πόνος αἶσχος*

ἀσθένεια πενία ἀδοξία δυσγένεια καὶ τὰ τούτοις παραπλήσια. — μὴ γὰρ εἶναι ταῦτ' ἀγαθά, ἀλλ' ἀδιάφορα κατ' εἶδος προηγμένα. 103. ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερμαίνειν, οὐ τὸ ψύχειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν, οὐ τὸ βλάπτειν· οὐ μᾶλλον δ' ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος καὶ ἡ ὑγίεια· οὐκ ἄρ' ἀγαθὸν οὔτε πλοῦτος οὐθ' ὑγίεια. ἔτι τέ φασιν· ᾧ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, τοῦτ' οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγιείᾳ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρ' ἀγαθὸν πλοῦτος καὶ ὑγίεια[b].

a. Cic. de Fin. III 48 *crescere bonorum finem non putamus. ut enim qui demersi sunt in aqua nihilo magis respirare possunt, si non longe absunt a summo, ut iam iamque possint emergere, quam si etiam tum essent in profundo, nec catulus ille qui iam appropinquat ut videat, plus cernit quam is qui modo est natus: item qui processit aliquantum ad virtutis habitum nihilo minus in miseria est quam ille qui nihil processit.* Ib. IV 75 *peccata paria. quonam modo? quia nec honesto quicquam honestius nec turpi turpius.* ·· *ut — in fidibus pluribus, si nulla earum ita contenta nervis sit ut concentum servare possit, omnes aeque incontentae sint, sic peccata quia discrepant aeque discrepant; paria sunt igitur.* Cf. Cic. Parad. 20 sq.; Diog. VII 120.

b. Ita Stoici severiores, cf. etiam Stob. Ecl. II 202 τὸ ἀγαθὸν ἀρετή ἐστιν ἢ τὸ μετέχον ἀρετῆς. Diog. VII 101. Qui mitiorem disciplinam sequebantur alia praeter virtutem bona esse statuebant: Stob. Ecl. II 92 τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι ἀρετάς, τὰ δ' οὔ. φρόνησιν μὲν οὖν καὶ σωφροσύνην ⟨καὶ δικαιοσύνην⟩[1] καὶ ἀνδρείαν ἀρετάς, χαρὰν δὲ καὶ εὐφροσύνην καὶ θάρσος καὶ βούλησιν καὶ τὰ παραπλήσια οὐκ εἶναι ἀρετάς, cf. ib. 98 sq., 126 sq. Contraria ratio in eo cernitur quod προηγμένοις et ἀδιαφόροις etiam utiles artes adnumerantur et quae faciunt ad ingenium exercendum itemque ἡ προκοπή (**RP** 417), v. Stob. Ecl. II 146; Diog. VII 106.

416 Stob. Ecl. II 104. *Κοινότερον δὲ τὴν ἀρετὴν διάθεσιν*[a] *εἶναί φασι ψυχῆς σύμφωνον αὐτῇ περὶ ὅλον τὸν βίον. τῶν δ' ἀρετῶν τὰς μὲν εἶναι πρώτας, τὰς δὲ ταῖς πρώταις ὑποτεταγμένας*[b]. *πρώτας δὲ τέτταρας εἶναι, φρόνησιν σωφροσύνην ἀνδρείαν δικαιοσύνην*[c]. — 108. *ταύτας μὲν οὖν τὰς ῥηθείσας ἀρετὰς τελείας εἶναι λέγουσι περὶ τὸν βίον καὶ συνεστηκέναι ἐκ θεωρημάτων· ἄλλας δὲ ἐπιγίνεσθαι* virtus

1) καὶ δικαιοσύνην add. **Meineke.**

ταύταις οὐκ ἔτι τέχνας οὔσας, ἀλλὰ δυνάμεις τινὰς ἐπὶ τῆς ἀσκήσεως περιγιγνομένας, οἷον τὴν ὑγίειαν τῆς ψυχῆς καὶ τὴν ἀρτιότητα καὶ τὴν ἰσχὺν αὐτῆς καὶ τὸ κάλλος[d]. — *πάσας δὲ τὰς ἀρετάς, ὅσαι ἐπιστῆμαί εἰσι καὶ τέχναι, κοινά τε θεωρήματα ἔχειν καὶ τέλος — τὸ αὐτό, διὸ καὶ ἀχωρίστους εἶναι· τὸν γὰρ μίαν ἔχοντα πάσας ἔχειν καὶ τὸν κατὰ μίαν πράττοντα κατὰ πάσας πράττειν.* — *πάσας γὰρ τὰς ἀρετὰς τὰ πασῶν βλέπειν καὶ τὰ ὑποτεταγμένα ἀλλήλαις*[e].

a. Stoici virtutem non *ἕξιν* esse, quemadmodum docebat Aristoteles, sed *διάθεσιν* statuebant, v. Diog. VII 89. 98; Stob. Ecl. II 98. Quae qua significatione dicatur luculentissime cernitur ex Simpl. in Arist. Cat. fol. 61 *B* (Schol. Arist. p. 70b) *καὶ γὰρ τὰς μὲν ἕξεις ἐπιτείνεσθαί φασι δύνασθαι καὶ ἀνίεσθαι, τὰς δὲ διαθέσεις ἀνεπιτάτους εἶναι καὶ ἀνανέτους· διὸ καὶ τὴν εὐθύτητα τῆς ῥάβδου, κἂν εὐμετάβολος ᾖ, δυναμένη κάμπτεσθαι, διάθεσιν εἶναί φασι· μὴ γὰρ ἂν ἀνεθῆναι ἢ ἐπιταθῆναι τὴν εὐθύτητα, μηδὲ ἔχειν τὸ μᾶλλον ἢ ἧττον, διόπερ εἶναι διάθεσιν.* Cf. ib. fol. 72 *Δ* (Schol. Arist. p. 76a). Quo sensu virtus dicatur *διάθεσις* v. **RP** 417.

b. Inferiorum virtutum recensum habes ap. Stob. Ecl. II, p. 106 sq.; Diog. VII 92 sq., 126.

c. Cf. Diog. VII 92; Stob. Ecl. II 102 sq. *φρόνησιν δ' εἶναι ἐπιστήμην ὧν ποιητέον καὶ οὐ ποιητέον καὶ οὐδετέρων ἢ ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, — σωφροσύνην δ' εἶναι ἐπιστήμην αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων, δικαιοσύνην δὲ ἐπιστήμην ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ, ἀνδρείαν δὲ ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων. — καὶ τὴν μὲν φρόνησιν περὶ τὰ καθήκοντα γίνεσθαι, τὴν δὲ σωφροσύνην περὶ τὰς ὁρμὰς τοῦ ἀνθρώπου, τὴν δὲ ἀνδρείαν περὶ τὰς ὑπομονάς, τὴν δὲ δικαιοσύνην περὶ τὰς ἀπονεμήσεις.*

d. Diog. VII 90 *τῇ γὰρ σωφροσύνῃ τεθεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν ὑγίειαν, καθάπερ τῇ ψαλίδος οἰκοδομίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι.*

e. Cf. Plut. de Stoic. Rep. 7, 2 p. 1034, ubi Zeno dicitur omnes virtutes ad *φρόνησιν* revocasse; Diog. VII 125 sq. Ceterum Stoicis cum virtus scientia faciendorum esse videretur, conveniens erat ut virtutem doceri posse affirmarent: Diog. VII 91. Sed recte facere cum scientia coniunctissimum esse (**RP** 390) ideoque rationalem vitam contemplativae et activae consociationem esse dicebant: Diog. VII 130 *βίων δὲ τριῶν ὄντων, θεωρητικοῦ καὶ πρακτικοῦ καὶ λογικοῦ, τὸν τρίτον φασὶν αἱρετέον· γεγονέναι γὰρ ὑπὸ τῆς φύσεως ἐπίτηδες τὸ λογικὸν ζῷον πρὸς θεωρίαν καὶ πρᾶξιν.*

virtutis natura et qualitas

Diog. VII 127. *Ἀρέσκει δ' αὐτοῖς μηδὲν μεταξὺ εἶναι* 417 *ἀρετῆς καὶ κακίας, τῶν Περιπατητικῶν μεταξὺ ἀρετῆς καὶ*

κακίας εἶναι λεγόντων τὴν προκοπήν[a]· ὡς γὰρ δεῖν φασιν ἢ ὀρθὸν εἶναι ξύλον ἢ στρεβλόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, οὔτε δὲ δικαιότερον οὔτε ἀδικώτερον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ μὴν τὴν ἀρετὴν Χρύσιππος μὲν ἀποβλητήν, Κλεάνθης δὲ ἀναπόβλητον· ὁ μὲν ἀποβλητὴν διὰ μέθην καὶ μελαγχολίαν, ὁ δ᾽ ἀναπόβλητον διὰ βεβαίους καταλήψεις[b]· καὶ αὐτὴν δὲ αἱρετὴν εἶναι. αἰσχυνόμεθα γοῦν ἐφ᾽ οἷς κακῶς πράττομεν, ὡς ἂν μόνον τὸ καλὸν εἰδότες ἀγαθόν. αὐτάρκη τ᾽ εἶναι αὐτὴν πρὸς εὐδαιμονίαν, καθά φησι Ζήνων καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ ἀγαθῶν. 128. „Εἰ γάρ“, φησίν, „αὐτάρκης ἐστὶν ἡ μεγαλοψυχία πρὸς τὸ πάντων ὑπεράνω ποιεῖν, ἔστι δὲ μέρος τῆς ἀρετῆς, αὐτάρκης ἔσται καὶ ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, καταφρονοῦσα καὶ τῶν δοκούντων ὀχληρῶν“[c].

a. Profici posse in virtute non negabant, profectum (*προκοπὴν*) esse medium inter virtutem et vitium negabant. Cf. Cic. de Fin. III, **RP** 415a. Chrysipp. ap. Stob. Floril. 103, 22 *ὁ δ᾽ ἐπ᾽ ἄκρον, φησί, προκόπτων ἅπαντα πάντως ἀποδίδωσι τὰ καθήκοντα καὶ οὐδὲν παραλείπει. τὸν δὲ τούτου βίον οὐκ εἶναί πω φησὶν εὐδαίμονα, ἀλλ᾽ ἐπιγίγνεσθαι αὐτῷ τὴν εὐδαιμονίαν, ὅταν αἱ μέσαι πράξεις αὗται προσλάβωσι τὸ βέβαιον καὶ ἑκτικὸν καὶ ἰδίαν πῆξίν τινα λάβωσιν.* Diversos proficientium gradus prosequitur Seneca Ep. 75, 9 sq.

b. De Chrysippo v. Simpl. in Cat. fol. 102 *A* (Schol. Arist. p. 86b); Plut. de Stoic. Rep. 27, 2 p. 1046. Cum Cleanthe faciunt quae traduntur a Diog. VII 118 (cf. Cic. Tusc. III 10).

c. Stoicus sapiens sentit quidem dolorem et incommodum omne, sed vincit: Senec. Ep. 9. Possumus enim dolore et metu affici et nihilominus superiores esse impetu eorum non patientes nos regi in agendo: Plut. de Comm. Notit. 25, 5 p. 1070 In hoc cernitur impatientia (*ἀπάθεια*) quam vocabant sapientis, **RP** 420 b. — De *αὐταρκείᾳ* virtutis v. Cic. Parad. 16 sq.

418 A Diog. VII 107. Ἔτι δὲ καθῆκόν φασιν εἶναι ὃ πραχθὲν εὔλογόν τιν᾽ ἴσχει ἀπολογισμόν, οἷον τὸ ἀκόλουθον ἐν τῇ ζωῇ, ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. 108. κατωνομάσθαι δ᾽ οὕτως ὑπὸ πρώτου Ζήνωνος τὸ καθῆκον ἀπὸ τοῦ κατά τινας ἥκειν τῆς προσονομασίας εἰλημμένης· ἐνέργημα δ᾽ αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. τῶν γὰρ καθ᾽ ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον, τὰ δ᾽ οὔτε καθήκοντα οὔτε παρὰ τὸ καθῆκον. καθήκοντα officia media

μὲν οὖν εἶναι ὅσα λόγος αἱρεῖ ποιεῖν, ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφούς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον δὲ ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, ἀδελφῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδα ὑπερορᾶν καὶ τὰ παραπλήσια· 109. οὔτε δὲ καθήκοντα οὔτε παρὰ τὸ καθῆκον ὅσα οὔθ' αἱρεῖ λόγος πράττειν οὔτ' ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν ἢ στλεγγίδα καὶ τὰ ὅμοια τούτοις.

et perfecta

Stob. Ecl. II 158. Τῶν δὲ καθηκόντων τὰ μὲν εἶναί φασι τέλεια, ἃ δὴ καὶ κατορθώματα λέγεσθαι· κατορθώματα δ' εἶναι τὰ κατ' ἀρετὴν ἐνεργήματα οἷον τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν. οὐκ εἶναι δὲ κατορθώματα τὰ μὴ οὕτως ἔχοντα, ἃ δὴ οὐδὲ τέλεια καθήκοντα προσαγορεύουσιν, ἀλλὰ μέσα οἷον τὸ γαμεῖν, τὸ πρεσβεύειν, τὸ διαλέγεσθαι, τὰ τούτοις ὅμοια. — πᾶν δὲ τὸ παρὰ τὸ καθῆκον ἐν λογικῷ ⟨ζῴῳ⟩[1] γινόμενον ἁμάρτημα εἶναι· τὸ δὲ καθῆκον τελειωθὲν κατόρθωμα γίνεσθαι. 418 B

a. Cf. Cic. de Off. I 7; Stob. Ecl. II 184. 192. 220. Chrysippus (RP 417 a) omnia officia *μέσας πράξεις* et actiones *τῶν προκοπτόντων* esse docebat, *κατορθώματα* easdem agente sapiente: Clem. Paed. I 13, p. 159 P. *τὸ δὲ κατορθούμενον κατὰ τὴν τοῦ λόγου ὑπακοὴν προσῆκον καὶ καθῆκον Στωϊκῶν ὀνομάζουσι παῖδες.* Cic. de Off. III 14 *haec enim omnia officia, de quibus his libris disputamus, media Stoici appellant: ea communia sunt et late patent; quae et ingenii bonitate multi assequuntur et progressione discendi. illud autem officium, quod rectum idem appellant, perfectum atque absolutum est et, ut idem dicunt, omnes numeros habet nec praeter sapientem cadere in quemquam potest.*

affectuum genera

Cicero Tusc. IV 9. Quia Chrysippus et Stoici, cum de animi perturbationibus disputant[a], magnam partem in his partiendis et definiendis occupati sunt, — 11. utamur — Stoicorum definitionibus et partitionibus, qui mihi videntur in hac quaestione versari acutissime. Est igitur Zenonis haec definitio, ut perturbatio sit, quod *πάθος* ille dicit, aversa a recta ratione contra naturam animi commotio. Quidam brevius perturbationem esse appetitum vehementiorem, sed vehementiorem eum volunt esse, qui longius 419

1) ζῴῳ add. Wachsmuth.

discesserit a naturae constantia[b]. Partes autem perturbationum volunt ex duobus opinatis bonis nasci et ex duobus opinatis malis. Ita esse quattuor: ex bonis libidinem et laetitiam, ut sit laetitia praesentium bonorum, libido futurorum, ex malis metum et aegritudinem nasci censent, metum futuris, aegritudinem praesentibus[c]. — 14. Omnes perturbationes iudicio censent fieri et opinione[d]. Itaque eas definiunt pressius, ut intelligatur non modo quam vitiosae, sed etiam quam in nostra sint potestate. Est igitur aegritudo opinio recens mali praesentis, in quo demitti contrahique animo rectum esse videatur, laetitia opinio recens boni praesentis, in quo ecferri rectum esse videatur, metus opinio impendentis mali, quod intolerabile esse videatur, libido opinio venturi boni, quod sit ex usu iam praesens esse atque adesse. — 15. Sed quae iudicia quasque opiniones perturbationum esse dixi, non in eis perturbationes solum positas esse dicunt, verum illa etiam quae efficiuntur perturbationibus: ut aegritudo quasi morsum aliquem doloris efficiat, metus recessum quendam animi et fugam, laetitia profusam hilaritatem, libido effrenatam appetentiam. Opinationem autem, quam in omnis definitiones superiores inclusimus, volunt esse imbecillam adsensionem[e]. — 22. Om- et causa
nium autem perturbationum fontem esse dicunt intemperantiam, quae est a tota mente [a recta ratione] defectio, sic aversa a praescriptione rationis, ut nullo modo adpetitiones animi nec regi nec contineri queant. — 23. Ex et effectus
perturbationibus autem primum morbi conficiuntur, quae vocant illi *νοσήματα*, eaque quae sunt eis morbis contraria, quae habent ad res certas vitiosam offensionem atque fastidium, deinde aegrotationes, quae appellantur a Stoicis *ἀῤῥωστήματα*, hisque item oppositae contrariae offensiones. Hoc loco nimium operae consumitur a Stoicis, maxime a Chrysippo, dum morbis corporum comparatur morborum animi similitudo[f].

a. Hunc locum iam primi Stoici excoluerunt, scripserant enim *περὶ παθῶν* Zeno, Chrysippus, alii, v. Diog. VII 110 sq.; Stob. Ecl. II p. 166 sq., ubi multa inde excerpta reperiuntur.

b. Diog. VII 110 *ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις ἢ ὁρμὴ πλεονάζουσα.*

c. Stob. Ecl. II 166 *τοῦ δὲ πάθους τοιούτου ὄντος ὑποληπτέον τὰ μὲν πρῶτα εἶναι — τῷ γένει ταῦτα τὰ τέσσαρα, ἐπιθυμίαν φόβον λύπην ἡδονήν. ἐπιθυμίαν μὲν οὖν καὶ φόβον προηγεῖσθαι τὴν μὲν πρὸς τὸ φαινόμενον ἀγαθόν, τὸν δὲ πρὸς τὸ φαινόμενον κακόν. ἐπιγίγνεσθαι δὲ τούτοις ἡδονὴν καὶ λύπην, ἡδονὴν μὲν ὅταν τυγχάνωμεν ὧν ἐπεθυμοῦμεν ἢ ἐκφύγωμεν ἃ ἐφοβούμεθα, λύπην δὲ ὅταν ἀποτυγχάνωμεν ὧν ἐπεθυμοῦμεν ἢ περιπέσωμεν οἷς ἐφοβούμεθα.*

d. Cic. Acad. I 39 ***cumque eas perturbationes antiqui naturales esse dicerent et rationis expertes aliaque in parte animi cupiditatem, in alia rationem collocarent, ne his quidem adsentiebatur (Zeno). nam et perturbationes voluntarias esse putabat opinionisque iudicio suscipi et omnium perturbationum matrem esse arbitrabatur immoderatam quandam intemperantiam.*** Propterea Chrysippus *τὰ πάθη κρίσεις εἶναι* docebat, v. Diog. VII 111 *ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία ὁμοίως καὶ τἄλλα.*

e. Sequitur singularum perturbationum recensus et definitio. Graeca exstant ap. Diog. VII 111 sq.; Stob. Ecl. II 174.

f. Diog. VII 115 *ὡς δὲ λέγεταί τινα ἐπὶ τοῦ σώματος ἀρρωστήματα, οἷον ποδάγρα καὶ ἀρθρίτιδες, οὕτω κἀπὶ τῆς ψυχῆς φιλοδοξία καὶ φιληδονία καὶ τὰ παραπλήσια.* A morbis atquo aegrotationibus animi distinguebantur *vitia* et *vitiositas,* quam definiebant esse habitum aut affectionem in tota vita inconstantem et a se ipsa dissentientem (Cic. Tusc. IV 29). Denique ut in malis, sic etiam in bonis animi ac corporis similitudinem esse docebant, v. Cic. Tusc. IV 30 ***sunt enim in corpore praecipua valetudo vires pulchritudo firmitas velocitas, sunt item in animo. ut enim corporis temperatio, cum ea congruunt inter se e quibus constamus, sanitas, sic animi dicitur, cum eius iudicia opinionesque concordant.*** — 31. ***et ut corporis est quaedam apta figura membrorum cum coloris quadam suavitate eaque dicitur pulchritudo, sic in animo opinionum iudiciorumque aequabilitas et constantia cum firmitate quadam et stabilitate virtutem subsequens aut virtutis vim ipsam continens pulchritudo vocatur.*** — De Stoicor. de affectibus doctrina scripsit M. Heinze, Berol. 1860.

vitiositas

sapiens

Stob. Ecl. II 116. *Φασὶ δὲ καὶ πάντα ποιεῖν τὸν σοφὸν* ⟨*κατὰ*⟩[1] *πάσας τὰς ἀρετάς· πᾶσαν γὰρ πρᾶξιν τελείαν αὐτοῦ εἶναι, διὸ καὶ μηδεμιᾶς ἀπολελεῖφθαι ἀρετῆς*[a]. *ἀκολούθως γὰρ τούτοις δογματίζουσι καὶ ὅτι κατὰ νοῦν ἔχων*[2] *καὶ διαλεκτικῶς ποιεῖ καὶ συμποτικῶς καὶ ἐρωτικῶς*[b]. — (120) *τῷ γὰρ κατὰ λόγον ὀρθὸν ἐπιτελεῖν πάντα καὶ οἷον κατ᾽ ἀρετήν, περὶ ὅλον οὖσαν τὸν βίον τέχνην, ἀκόλουθον* 120

1) *κατὰ* add. Heeren. — 2) *κατὰ νοῦν ἔχων* libri: *καὶ νουνεχόντως* Usener.

φήθησαν τὸ περὶ τοῦ πάντ᾽ εὖ ποιεῖν τὸν σοφὸν δόγμα· κατὰ τὸ ἀνάλογον δὲ καὶ τὸν φαῦλον πάντα ὅσα ποιεῖ κακῶς ποιεῖν καὶ κατὰ πάσας τὰς κακίας. φιλομουσίαν δὲ καὶ φιλογραμματίαν καὶ φιλιππίαν καὶ φιλοκυνηγίαν καὶ καθόλου ἐγκυκλίους λεγομένας τέχνας ἐπιτηδεύματα μὲν καλοῦσιν, ἐπιστήμας δ᾽ οὔ, ἔν τε[1] ταῖς σπουδαίαις ἕξεσι ταῦτα καταλείπουσι[c], καὶ ἀκολούθως μόνον τὸν σοφὸν φιλόμουσον εἶναι λέγουσι καὶ φιλογράμματον, καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὸ ἀνάλογον. τό τε ἐπιτήδευμα τοῦτον ὑπογράφουσι τὸν τρόπον· ὁδὸν διὰ τέχνης ἡμέρου[2] ἄγουσαν ἐπὶ ⟨τὰ⟩[3] κατ᾽ ἀρετήν. μόνον δέ φασι τὸν σοφὸν καὶ μάντιν ἀγαθὸν εἶναι καὶ ποιητὴν καὶ ῥήτορα καὶ διαλεκτικὸν καὶ κριτικόν, οὐ πάντα δέ, διὰ τὸ προσδεῖσθαι ἔτι τινὰ τούτων καὶ θεωρημάτων τινῶν ἀναλήψεως. — Λέγουσι δὲ καὶ ἱερέα μόνον εἶναι τὸν σοφόν, φαῦλον δὲ μηδένα. τὸν γὰρ ἱερέα εἶναι δεῖν ἔμπειρον νόμων τῶν περὶ θυσίας καὶ εὐχὰς καὶ καθαρμοὺς καὶ ἱδρύσεις καὶ πάντα τὰ τοιαῦτα, πρὸς δὲ τούτοις καὶ ἁγιστείας τε καὶ[4] εὐσεβείας δεῖσθαι καὶ ἐμπειρίας τῆς τῶν θεῶν θεραπείας καὶ τοῦ ἐντὸς εἶναι τῆς φύσεως τῆς θείας[d]. μηδὲν δὲ τούτων ὑπάρχειν τῷ φαύλῳ, διὸ καὶ πάντας εἶναι τοὺς ἄφρονας ἀσεβεῖς. — 124. ἔτι δὲ λέγουσι πάντα φαῦλον μαίνεσθαι, ἄγνοιαν ἔχοντα αὑτοῦ καὶ τῶν καθ᾽ αὑτόν, ὅπερ ἐστὶ μανία[e].

stultus

a. Quidquid agit sapiens, *κατόρθωμα* est, **RP** 418 a. Ei soli *voluntas* tribuenda, quam Stoici dicebant *βούλησιν*, i. e. constans adpetitio recti, opposita caecae libidini, v. Cic. Tusc. IV 12.

b. Solus sapiens *ἀπαθής*, Diog. VII 117; Cic. Tusc. IV 37 *ergo hic, quisquis est, qui moderatione et constantia quietus animo est sibique ipse placatus, ut nec tabescat molestiis nec frangatur timore nec sitienter quid expetens ardeat desiderio nec alacritate futtili gestiens deliquescat, is est sapiens quem quaerimus, is est beatus.*

c. *Ἐπιτηδεύματα* enim pertinent ad *ἕξεις*, *ἐπιστῆμαι* et *ἀρεταὶ* ad *διαθέσεις*. Cf. **RP** 416 a; Stob. Ecl. II 128. Propterea *ἐγκύκλιοι τέχναι* etiam *μέσαι* ab iis nominabantur. Simpl. in Cat. fol. 72 Δ (Schol. Arist. p. 76 a).

d. Cic. D. N. II 71 *cultus autem deorum est optimus idemque*

---

1) τε add. Heeren. — 2) ἡμέρου libri: ἢ μέρους Usener: num ἢ μέσου? — 3) τὰ inseruit Wachsmuth. — 4) ἁγιστείας τε καὶ Usener: ἄλλους διά τε τὸ libri.

castissimus atque sanctissimus plenissimusque pietatis, ut eos semper pura integra incorrupta et mente et voce veneremur.

e. Cf. Cic. Tusc. III 10; Parad. 27 sq.; Diog. VII 124. — Vides duo quasi genera hominum opponi, bonorum et pravorum atque ita ut in illos omnes virtutes, omnes laudes, in hos omnia vitia, omnia opprobria cumulentur, v. Stob. Ecl. II 198 *ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωϊκοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων τὸ δὲ τῶν φαύλων, καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις.* De laudibus bonorum cf. Cic. Ac. II 136; Parad. 33 sq. 42 sq.; Diog. VII 119 *θείους τε εἶναι (τοὺς σοφούς)· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν.* Plut. de Stoic. Rep. 13, 2 p. 1038; de Comm. Notit. 33, 2 p. 1076 ex Chrysippo: *ἀρετῇ τε γὰρ οὐχ ὑπερέχειν τὸν Δία τοῦ Δίωνος, ὠφελεῖσθαί τε ὁμοίως ὑπ' ἀλλήλων τὸν Δία καὶ τὸν Δίωνα σοφοὺς ὄντας.* — Nimirum inter sapientes omnia communia: Stob. Ecl. II 204 *καὶ τὸν σπουδαῖον εἶναι μόνον πλούσιον καὶ ἐλεύθερον, τὸν δὲ φαῦλον τοὐναντίον — καὶ δοῦλον.*

absolutio sapientis

Paradoxon, quod in ista doctrina inest, eo efficitur quod fingebant sapientem omnibus virtutibus absolutum h. e. ad mores et officia absolute intelligentem esse, etiamsi homo natus sit nihilque humani ab se alienum habeat neque sapiat omnia quae possunt doceri, velut qui hoc loco encycliarum artium rudis esse dicitur. Cui argumento congruenter sapientem statuebant neque falli posse neque delinquere quicquam neque idcirco poenitentiam agere unquam: Stob. Ecl. II 232 sq. Omnia eum bene agere, quippe cui perfecta a lege potestas agendi data sit, Diog. VII 125, etiamsi turpiter et obscene facere videatur, v. Diog. VII 188.

mors voluntaria

— Etiam vitae suae vim afferre licet sapienti, si aut pietatis officium aliquod est praestandum aut ultima necessitas ingruit, v. Diog. VII 130 *εὐλόγως τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφὸν καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων, κἂν ἐν σκληροτέρᾳ γένηται ἀλγηδόνι ἢ πηρώσεσιν ἢ νόσοις ἀνιάτοις,* cf. Stob. Ecl. II 226; Cic. de Fin. III 60. Et constat Stoicos, praesertim inter Romanos, in eo quod vitae se subducere liceat morte voluntaria (*ἐξαγωγὴν* dicere solebant) vel libertatem sapientis cerni putasse, cf. Senec. Ep. 12, 10 *agamus deo gratias quod nemo in vita teneri potest.* — Ceterum sapientes num qui exstiterint si interrogabantur, Socratem, Antisthenem, Diogenem proximos fuisse affirmabant: Diog. VII 91. Consummate sapientes, si unquam exstiterint, beatioribus priscorum saeculorum aetatibus exstitisse.

societas humana

Stob. Ecl. II 184. *Τό τε δίκαιόν φασι φύσει εἶναι καὶ* 421 A *μὴ θέσει. ἑπόμενον δὲ τούτοις ὑπάρχειν καὶ τὸ πολιτεύεσθαι τὸν σοφὸν καὶ μάλιστ' ἐν ταῖς τοιαύταις πολιτείαις ταῖς ἐμφαινούσαις τινὰ προκοπὴν πρὸς τὰς τελείας πολιτείας· καὶ τὸ νομοθετεῖν δὲ καὶ τὸ παιδεύειν ἀνθρώπους, ἔτι δὲ συγγράφειν τὰ δυνάμενα ὠφελεῖν τοὺς ἐντυγχάνοντας τοῖς*

γράμμασιν οἰκεῖον εἶναι τοῖς σπουδαίοις καὶ τὸ συγκαταβαίνειν καὶ εἰς γάμον καὶ εἰς τεκνογονίαν καὶ αὐτοῦ χάριν καὶ τῆς πατρίδος καὶ ὑπομένειν περὶ ταύτης, ἐὰν ᾖ μετρία, καὶ πόνους καὶ θάνατον[a].

421 B Diog. VII 124. *Λέγουσι δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶναι, διὰ τὴν ὁμοιότητα· φασὶ δ' αὐτὴν κοινωνίαν τινὰ εἶναι τῶν κατὰ τὸν βίον, χρωμένων ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς*[b]. amicitia

421 C Stob. Ecl. II 188. *Οἰκονομικὸν δ' εἶναι μόνον λέγουσι τὸν σπουδαῖον καὶ ἀγαθὸν οἰκονόμον, ἔτι δὲ χρηματιστικόν*[c]. res familiaris

a. De re publica quamquam et Zeno et Cleanthes et Chrysippus commentati erant, tamen sicut ipsi vitam suam peregre et in otio egerant, ita nihil quod ad usum popularem atque civilem attinere ab iis expositum fuisse testatur Cic. de Leg. III 14, cf. Plut. de Stoic. Rep. 2, 3 p. 1033. Zenonis quidem res publica, ad Cynicorum placita illa composita et civitatem mundanam unice commendans, singulas civitates magis dissolvebat quam stabiliebat, v. Philodem. *π. τῶν φιλοσόφων* (V. H. VIII c. pr.) col. 7 sq.; Diog. VII 4; Plut. de Alex. Fort. I 6 p. 329 *καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τὴν Στωϊκῶν αἵρεσιν καταβαλομένου Ζήνωνος εἰς ἓν τοῦτο συντείνει κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης.* Simile eorum quae more et consuetudine hominum recepta erant fastidium prae se ferebat Chrysippi de re publica liber, cf. Baguet. p. 331 sq.

b. Stob. II 184 *τήν τε ὁμόνοιαν ἐπιστήμην εἶναι κοινῶν ἀγαθῶν, δι' ὃ καὶ τοὺς σπουδαίους πάντας ὁμονοεῖν ἀλλήλοις διὰ τὸ συμφωνεῖν ἐν τοῖς κατὰ τὸν βίον.* Cic. D. N. I 44 *Stoici — censent sapientes sapientibus etiam ignotis esse amicos. nihil est enim virtute amabilius, quam qui adeptus erit, ubicumque erit gentium, a nobis diligetur.* Eodem facit quod omnia inter sapientes communia esse praecipiebant, etiam mulieres, v. Diog. VII 32 sq. 124.

c. Oeconomica pertinet ad rem domesticam, oeconomia ad rem rusticam, chrematistica ad quaestum, v. Stob. II 190 *τὸ δὲ χρηματίζεσθαί τινες μὲν μέσον εἶναι εἶπον, τινὲς δὲ ἀστεῖον. — μόνον δὲ τὸν σπουδαῖον ἄνδρα χρηματιστικὸν εἶναι, γιγνώσκοντα ἀφ' ὧν χρηματιστέον καὶ πότε καὶ πῶς καὶ μέχρι πότε.* — In victu et moribus mirum quantum Cynicorum praeceptis obsecuti sunt, v. Sext. Pyrrh. III 198 sq., 245 sq. Diog. VII 3. 121. 187 sq.

Stoici posteriores.

Chrysippi successores

Philo de Incorr. Mund. 10 p. 497 Mang. *Βόηθος*[a] *γοῦν* 422 *ὁ Σιδώνιος*[1] *καὶ Παναίτιος*[b], *ἄνδρες ἐν τοῖς Στωϊκοῖς δόγμασιν ἰσχυκότες ἅτε θεόληπτοι τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας καταλιπόντες πρὸς θειότερον δόγμα τὸ τῆς ἀφθαρσίας τοῦ κόσμου παντὸς ηὐτομόλησαν. λέγεται δὲ καὶ Διογένης, ἡνίκα νέος ἦν, συνεπιγραψάμενος κατὰ τὸ παντελὲς τοῖς ἔνδοθεν*[c].

a. Boethus Sidonius, Diogenis Babylonii discipulus (cf. Stoicor. Index Herculanensis ed. Comparetti col. 51), quattuor argumentis (cf. Ps. Philo l. l. c. 16 p. 503 Mg.) mundum igne interire non posse demonstrabat et aliis quoque rebus, quibus a veterum Stoicorum doctrina deficiebat, ad Peripateticos propius accessit; cf. Diog. VII 54. 143. 148; Cic. Div. I 13. II 47. — Iam antea Zeno Tarsensis, Dioscoridis f., Chrysippi discipulus et successor, de mundi combustione dubitasse dicitur; cf. Arius Did. fr. 36 ap. Euseb. Pr. Ev. XV 18, 3. Dox. 469; Diog. VII 35.

b. Arius Did. fr. 36 ap. Stob. Ecl. I 414. Dox. 468 *Παναίτιος πιθανώτερον εἶναι νομίζει καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀιδιότητα τοῦ κόσμου ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν.* Diog. VII 142. — Praeterea cf. **RP** 423 sq.

c. Diogenes, Artemidori f., Babylonius, Seleucia apud Tigrim oriundus, Chrysippi auditor, unus ex legatis illis qui a. 155 ab Atheniensibus Romam missi sunt (**RP** 436 b; 444), ad quem disciplina a Zenone transisse videtur, cum iuvenis severiores Stoicos secutus esset, deinde ad Boethi placita delatus est: cf. Ind. Herc. c. 48; Krische, *Forsch.* 482 sq.; Hirzel, *Unters.* II; Z. III 1[3] 44. Contra Antipater Tarsensis, qui Diogeni successit, videtur denuo combustioni patrocinatus esse: Diog. VII 142.

Panaetius

Suidas. *Παναίτιος — Ῥόδιος, φιλόσοφος Στωϊκός, Διογένους γνώριμος*[a], *ὃς καθηγήσατο τοῦ Σκιπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ μετὰ Πολύβιον Μεγαλοπολίτην, ἐτελεύτησε δ' ἐν Ἀθήναις*[b]. — *φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα*[c]. 423

1) *ὁ Σιδώνιος* ex cod. Mediceo corr. Bernays: *καὶ Ποσειδώνιος* vulgo.

Scripserunt de Panaetio: F. G. van Lynden, disputatio hist. critic. de P., Lugd. Bat. 1802. E. Zeller, ***Beiträge zr. Kenntnis d. Stoikers P.*** in Comment. Mommsenio oblatis, Berol. 1877. Panaetii et Hecatonis libror. fragm. ed. H. N. Fowler, Bonn. 1885. Hirzel, I. II passim. Z. III 1[3] 557 sq. Stein, *Psych.* I 181 sq.

a. Praeter Diogenem fertur Antipatrum audivisse, Cic. de Div. I 6. Diogenes eum conciliavit Laelio, Laelius Scipioni, Cic. de Fin. II 24; de Offic. I 90.

b. Multorum praeter Scipionem Romanorum nobilium familiaritate floruit, v. Ciceronis testimonia ap. Lynden p. 38 sq. 50 sq. Aetatis spatium duobus temporibus continetur, quorum prius transegit apud Romanos, posterius apud Athenienses, ubi post obitum Antipatri Tarsensis fere usque ad a. 110 scholae Stoicae praefuit, cf. Ind. Herc. c. 53.

c. Ante reliqua nominandum est opus *περὶ τοῦ καθήκοντος*, quod non absolutum reliquerat, unde suum de Officiis opus elaboravit Cicero (qui in aliis quoque libris philosophis vestigia eius pressit, cf. **RP** 449 sq.), v. de Off. III 7; ad Att. XVI 11, 4. Etiam de legibus et de re publica accuratius inquisivit, v. Cic. Leg. III 14. In eloquendo popularem quandam elegantiam secutus est, v. Cic. de Fin. IV 79 *quam illorum* (Stoicorum) *tristitiam atque asperitatem fugiens Panaetius nec acerbitatem sententiarum nec disserendi spinas probavit fuitque in altero genere mitior, in altero illustrior, semperque habuit in ore Platonem Aristotelem Xenocratem Theophrastum Dicaearchum, ut ipsius scripta declarant.* De Off. II 35 *popularibus enim verbis est agendum et usitatis cum loquimur de opinione populari, idque eodem modo fecit Panaetius.* De ceteris scriptis v. Lynden p. 114 sq.

424 Cic. de Div. I 6 (fr. 18 Fowler). Sed a Stoicis vel princeps eius disciplinae, Posidonii doctor, discipulus Antipatri, degeneravit Panaetius, nec tamen ausus est negare vim esse divinandi, sed dubitare se dixit[a]. divinatio num sit

a. Cf. Cic. Ac. II 107 (fr. 19). Minus accurate Diog. VII 149 (fr. 20) *ὁ μὲν γὰρ Παναίτιος ἀνυπόστατον αὐτήν (τὴν μαντικήν) φησιν.* Panaetium etiam de combustione mundi haesitasse intellegitur ex **RP** 422; cf. Cic. D. N. 118 (fr. 29). Erat igitur hic ceteris Stoicis ad dubitandum proclivior et a superstitionibus remotior.

425 A Diog. VII 128 (fr. 40). *Ὁ μέντοι Παναίτιος καὶ Ποσειδώνιος οὐκ αὐτάρκη λέγουσι τὴν ἀρετήν, ἀλλὰ χρείαν εἶναί φασι καὶ ὑγιείας καὶ χορηγίας καὶ ἰσχύος*[a]. summum bonum

425 B Gell. Noct. Att. XII 5, 10 (fr. 14). *Ἀναλγησία* enim atque *ἀπάθεια* non meo tantum, inquit (Taurus), sed quo- sapiens

rundam etiam ex eadem porticu prudentiorum hominum, sicuti iudicio Panaetii, gravis atque docti viri, inprobata abiectaque est[b].

voluptas Sext. Math. XI 73. *Παναίτιος δὲ τινὰ μὲν (ἡδονήν φησι) κατὰ φύσιν ὑπάρχειν, τινὰ δὲ παρὰ φύσιν*[c]. 425 C

a. Huius memoriae fides in dubitationem vocatur, cf. Z. III 1³ 565²; Br. III 2, 236⁶.

b. Seneca Ep. 116, 4 *eleganter mihi videtur Panaetius respondisse adulescentulo cuidam quaerenti an sapiens amaturus esset: de sapiente, inquit, videbimus: mihi et tibi, qui adhuc a sapiente longe absumus, non est committendum ut incidamus in rem commotam, inpotentem, alteri emancipatam, vilem sibi.*

c. Animum hominis post mortem manere negabat, cf. Cic. Tusc. I 78 (Z. III 1³ 563¹), et partes eius aliter atque veteres Stoici distinguebat: Nemes. Nat. Hom. 15; Tertullian. de An. 14. Cf. Fowler p. 15.

Posidonius Suidas. *Ποσειδώνιος Ἀπαμεὺς ἐκ Συρίας ἢ Ῥόδιος, φιλόσοφος Στωϊκός, ὃς ἐπεκλήθη Ἀθλητής· σχολὴν δ' ἔσχεν ἐν Ῥόδῳ*[a]*, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου* (a. 51). *ἔγραψε πολλά*[b]. 426

Scripserunt de Posidonio: J. Bake, Pos. Rhodii reliquiae doctrinae, Lugd. Bat. 1810. P. Corssen, de P. Rh. Ciceronis in Tusc. I et in somnio Scipionis auctore, Bonn. 1878. Poppelreuter, P. π. παθῶν et Tusc. disp. Ciceronis, Bonn. 1883. P. Rusch, de P. Lucretii (l. VI) auctore, Gryphisw. 1882. O. Apelt, *d. stoisch. Definit. d. Affekte u. Pos.* (*Neue Jahrb.* vol. 131 [1885] p. 513 sq.). P. Wendland, *Pos. Werk π. θεῶν, Arch. f. Gesch. d. Philos.* I 200 sq. Schühlein, *Studien z. P. Rh.*, Frising. 1886. Hirzel, II. Z. p. 572—584. Stein, *Psych.* I 186 sq. II 353.

a. Rhodi eum audiverat et Cicero (a. 77) et Pompeius: Cic. Tusc. II 61; de D. N. I 6. 123.

b. De scriptis v. Bake p. 235 sq. Pertinent ea et ad philosophiam et ad historiam geographiamque, quam illustravit Historiarum opere magno ac diffuso, cf. Bake p. 249 sq.; Müller F H G III 252 sq. Strabo, qui eo utitur persaepe, nominat eum *τῶν καθ' ἡμᾶς φιλοσόφων πολυμαθέστατον*. Fecerat itinera longinqua historiamque naturalem et geometriam optime callebat. cf. Galen. de Hippocr. et Plat. VIII 1 p. 652: *Ποσειδώνιος ὁ ἐπιστημονικώτατος τῶν Στωϊκῶν διὰ τὸ γεγυμνάσθαι κατὰ γεωμετρίαν.* De loquendi genere Strab. III 2, 9 p. 147 dicit: *Ποσειδώνιος οὐκ ἀπέχεται τῆς συνήθους ῥητορείας, ἀλλὰ συνενθουσιᾷ ταῖς ὑπερβολαῖς*: atque eum ad exemplum magistri orationi aliquantum

tribuisse cernitur cum ex fragmentis tum ex aliis testimoniis, velut Cic. Tusc. II 61; Senec. Ep. 90; v. Bake p. 30 sq.

427 Diog. VII 129. *Δοκεῖ δ' αὐτοῖς (τοῖς Στωϊκοῖς) μήτε διὰ τὴν διαφωνίαν ἀφίστασθαι φιλοσοφίας, ἐπεὶ τῷ λόγῳ τούτῳ προλείψειν ὅλον τὸν βίον, ὡς καὶ Ποσειδώνιός φησιν ἐν τοῖς προτρεπτικοῖς*[a]. philosophiae dignitas

a. Itaque aptissima quaeque ex diversis scholis eligendo dissensiones philosophorum removere studebat; nam etsi in quibusdam antiquiores Stoicos magis quam Panaetius sequebatur — defendebat enim divinationem, v. Cic. de Div. I 6, et mundi combustionem, v. **RP** 428) —, tamen in aliis ab Aristotele atque Platone pendebat: Strab. II 3, 8 p. 104 *πολὺ γάρ ἐστι τὸ αἰτιολογικὸν παρ' αὐτῷ καὶ τὸ ἀριστοτελίζον, ὅπερ ἐκκλίνουσιν οἱ ἡμέτεροι διὰ τὴν ἐπίκρυψιν τῶν αἰτιῶν*, cf. **RP** 429. Platoni eum studuisse cernitur vel ex eo quod ediderat *ἐξήγησιν τοῦ Πλάτωνος Τιμαίου*, cf. Sext. Math. VII 93 (Bake p. 238 sq.); Galen. de Hippocr. et Plat. IV 7 p. 421. Etiam ad Pythagoram sua placita revocare conabatur (Galen. l. l. p. 425), ut erat omnino antiquorum philosophorum admirator: Diog. VII 91; Senec. Ep. 90. — Posidonii vestigia in multis pressit Peripateticus ille, a quo liber de Mundo, qui inter Aristotelicos fertur, compositus est; v. Zeller, Ph. d. Gr. III 1 [3] 631 sq.; eiusd. comm. Ac. Berol. 1885 p. 399 sq. liber de mundo

428 Plac. II 9. *Οἱ δὲ Στωϊκοὶ εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται (ὁ κόσμος) ἄπειρον (εἶναι τὸ κενόν). Ποσειδώνιος οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς τὴν διάλυσιν*[a]. vacuum

a. Cf. Diog. VII 142 et Zeller III 1 [3] 575 [3].

429 A Galen. de Hipp. et Plat. Plac. IV 7 p. 421 K. *Αὐτός τε (ὁ Ποσειδώνιος) δείκνυσιν ὡς ὑπὸ θυμοῦ καὶ ἐπιθυμίας γίνεται τὰ πάθη.* — p. 424. *Οὐδὲν γὰρ οὕτως ἐναργές ἐστιν ὡς τὸ δυνάμεις τινὰς ἐν ταῖς ἡμετέραις εἶναι ψυχαῖς ἐφιεμένας φύσει, τὴν μὲν ἡδονῆς, τὴν δὲ κράτους καὶ νίκης, ἃς ἐναργῶς ὁρᾶσθαί φησι κἀν τοῖς ἄλλοις ζῴοις ὁ Ποσειδώνιος.* affectuum origo

429 B Ib. V 6 p. 476. *Ὅσα μὲν οὖν τῶν ζῴων δυσκίνητ' ἐστὶ καὶ προσπεφυκότα δίκην φυτῶν πέτραις ἤ τισιν ἑτέροις τοιούτοις, ἐπιθυμίᾳ μόνῃ διοικεῖσθαι λέγει (ὁ Ποσειδώνιος) αὐτά, τὰ δ' ἄλλα τὰ ἄλογα σύμπαντα ταῖς δυνάμεσιν ἀμφοτέραις χρῆσθαι, τῇ τ' ἐπιθυμητικῇ καὶ τῇ θυμοειδεῖ, τὸν* animi facultates

ἄνθρωπον δὲ μόνον ταῖς τρισί, προσειληφέναι γὰρ καὶ τὴν λογιστικὴν ἀρχήν[a].

a. Haec disputabat adversus Chrysippum, Platonem (RP 268) potius et Aristotelem (RP 336) secutus, v. Galen. VI 2 p. 515 ὁ δ' Ἀριστοτέλης τε καὶ ὁ Ποσειδώνιος εἴδη μὲν ἢ μέρη ψυχῆς οὐκ ὀνομάζουσιν, δυνάμεις δ' εἶναί φασι μιᾶς οὐσίας ἐκ τῆς καρδίας ὁρμωμένης. Quantum haec pertineant ad doctrinam de moribus ipse animadvertit l. l. IV 5 p. 421; ib. V 6 p. 469. Alium locum, in quo ab antiquioribus Stoicis dissenserit, indicat Diog. VII 128, RP 425, sed cf. Zeller III 1[3] 582[4].

Academici novi.

430 Sext. Pyrrh. I 220. Ἀκαδημίαι δὲ γεγόνασιν, ὥς φασιν οἱ πλείους, δύο ἢ[1] τρεῖς· καὶ μία μὲν καὶ ἀρχαιοτάτη ἡ τῶν περὶ Πλάτωνα, δευτέρα δὲ καὶ μέση ἡ τῶν περὶ Ἀρκεσίλαον τὸν ἀκουστὴν Πολέμωνος, τρίτη δὲ καὶ νέα ἡ τῶν περὶ Καρνεάδην καὶ Κλειτόμαχον. ἔνιοι δὲ καὶ τετάρτην προστιθέασι τῶν περὶ Φίλωνα καὶ Χαρμίδαν. τινὲς δὲ καὶ πέμπτην καταλέγουσι τὴν τῶν περὶ τὸν Ἀντίοχον[a]. quot fuerint Academiae

a. Conspirat Numenius ap. Euseb. Pr. Ev. XIV 4, 13. 16. [Galen.] hist. phil. 3. Dox. 599, 11 sq. Diogenes contra (I 19; IV 59) Lacydem fundatorem novae Academiae appellat, eo nomine ut videtur, quod hic alio atque priores loco Academicos congregare solebat (ib. 60). Nonnulli duplicem dumtaxat Academiam fuisse voluerunt, veterem et novam: Cic. de Orat. III 67; Ac. I 46; de Fin. V 7; Varro ap. Augustin. de Civ. D. XIX 1, 3.

431 Diog. IV 28. Ἀρκεσίλαος Σεύθου, ὡς Ἀπολλόδωρος ἐν τρίτῳ Χρονικῶν, Πιτάνης τῆς Αἰολίδος. οὗτός ἐστιν ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας, πρῶτος ἐπισχὼν τὰς ἀποφάσεις διὰ τὰς ἐναντιότητας τῶν λόγων. πρῶτος δὲ καὶ εἰς ἑκάτερον ἐπεχείρησε καὶ πρῶτος τὸν λόγον ἐκίνησε τὸν ὑπὸ Πλάτωνος παραδεδομένον καὶ ἐποίησε δι᾽ ἐρωτήσεως καὶ ἀποκρίσεως ἐριστικώτερον[a]. — 29. Ἤκουσε δὲ κατ᾽ ἀρχὰς μὲν Αὐτολύκου τοῦ μαθηματικοῦ, πολίτου τυγχάνοντος, πρὶν ἀπαίρειν εἰς Ἀθήνας, — ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ[b]· μεθ᾽ ὃν Θεοφράστου διήκουσεν. ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίαν πρὸς Κράντορα[c]. — 30. ἵνα καὶ τὸν Θεόφραστον κνιζόμενόν φασιν εἰπεῖν ὡς εὐφυὴς καὶ εὐεπιχείρητος ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος. καὶ γὰρ ἐν τοῖς λόγοις Arcesilas

1) πλείους μὲν (μ̄ i. e. ū = δύο, cf. Cic. l. l. not. a, Diels) ἢ libri: οἱ πλείους μέν, BP: οὐ πλείους μὲν ἢ Fabricius.

ἐμβριθέστατος καὶ φιλογράμματος ἱκανῶς γενόμενος ἥπτετο καὶ ποιητικῆς. — 32. Κράτητος δὲ ἐκλιπόντος κατέσχε τὴν σχολήν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδου τινός. διὰ δὲ τὸ περὶ πάντων ἐπέχειν οὐδὲ βιβλίον, φασί τινες, συνέγραψεν[d]. — 45. ὁ δὲ προειρημένος φιλόσοφος, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ἤκμαζε περὶ τὴν εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα (a. 300—296)[e].

Scripserunt de Arcesilao: A. Geffers, progr. gymn. Gotting. 1841. Hirzel III 22 sq. Br. III 2, 181 sq. Z. III 1³ 491 sq.

a. Cic. de Orat. III 67 *quem* (Arcesilam) *ferunt eximio quodam usum lepore dicendi — primum instituisse* (*quamquam id fuit Socraticum maxime*) *non quid ipse sentiret ostendere, sed contra id quod quisque se sentire dixisset disputare.*

b. Athenis etiam Hipponicum geometram audivit: Diog. IV 32.

c. Disputandi et dubitandi studio imbutus esse dicitur imitatione Menedemi et Diodori et Pyrrhonis: Diog. IV 33; Numen. ap. Euseb. Pr. Ev. XIV 5. 6; Sext. Pyrrh. I 234. Sed ab iisdem etiam Platoni assidue studuisse narratur. De Crantore v. RP 296 c.

d. Idem perhibet Plut. de Fort. Alex. I 4 p. 328. Alii ad Arcesilam eorum operum aliquot referunt, quae vulgo Crantoris esse dicebantur: Diog. IV 24.

e. Sed cum ipse mortuus esse dicatur a Diog. IV 44 septuagesimo quinto aetatis anno, Lacydes autem, successor eius, scholam accepisse Ol. 134, 4 (a. 241) ib. 61, cumque iam Epicurum, qui obiit a. 270, aegre tulisse Arcesilai gloriam testetur Plut. adv. Colot. 26, 1 p. 1126, Apollodori memoriam depravatam esse apparet. Intercidit fortasse ἑκτὴν καὶ ante εἰκοστήν, nam a. 276—272 Arcesilaus videtur διαδοχὴν accepisse. Cf. Z. III 1³ 492.

nihil sciri potest

Cic. Ac. I 44. Cum Zenone —, ut accepimus, Arcesilas 432 sibi omne certamen instituit, non pertinacia aut studio vincendi, ut mihi quidem videtur, sed earum rerum obscuritate, quae ad confessionem ignorationis adduxerant Socratem. — 45. Itaque Arcesilas negabat esse quidquam quod sciri posset, ne illud quidem ipsum quod Socrates sibi reliquisset: sic omnia latere censebat in occulto, neque esse quidquam quod cerni aut intellegi posset. Quibus de causis nihil oportere neque profiteri neque adfirmare quemquam neque adsensione approbare cohibereque semper et ab omni lapsu continere temeritatem, quae tum esset insignis, cum aut falsa aut incognita res approbaretur; neque hoc quidquam

esse turpius quam cognitioni et perceptioni adsensionem approbationemque praecurrere[a].

a. Sext. Pyrrh. I 234 εἰ δὲ δεῖ καὶ τοῖς περὶ αὐτοῦ (τοῦ Ἀρκεσιλάου) λεγομένοις πιστεύειν, φασὶν ὅτι κατὰ μὲν τὸ πρόχειρον Πυρρώνειος ἐφαίνετο εἶναι, κατὰ δὲ τὴν ἀλήθειαν δογματικὸς ἦν· καὶ ἐπεὶ τῶν ἑταίρων ἀπόπειραν ἐλάμβανε διὰ τῆς ἀπορηματικῆς, εἰ εὐφυῶς ἔχουσι πρὸς τὴν ἀνάληψιν τῶν Πλατωνικῶν δογμάτων, δόξαι αὐτὸν ἀπορητικὸν εἶναι· τοῖς μέντοι γε εὐφυέσι τῶν ἑταίρων τὰ Πλάτωνος παρεγχειρεῖν. ἔνθεν καὶ τὸν Ἀρίστωνα (RP 386) εἰπεῖν περὶ αὐτοῦ·

πρόσθε Πλάτων, ὄπιθεν Πύρρων, μέσσος Διόδωρος,

διὰ τὸ προσχρῆσθαι τῇ διαλεκτικῇ τῇ κατὰ τὸν Διόδωρον, εἶναι δὲ ἀντικρὺς Πλατωνικόν. Cf. Diog. IV 33. Versus adsimulatus est Hom. Z 181. Hoc Sexti et aliorum velut Dioclis ap. Euseb. Pr. Ev. XIV 6, 5 de tecto Arcesilai dogmatismo testimonia fidem habent exiguam, v. Zeller p. 493[4].

433 Sext. Math. VII 150. Οἱ δὲ περὶ τὸν Ἀρκεσίλαον προηγουμένως μὲν οὐδὲν ὥρισαν κριτήριον. οἱ δὲ καὶ ὡρικέναι δοκοῦντες τοῦτο κατὰ ἀντιπαρεξαγωγὴν τὴν ὡς πρὸς τοὺς Στωϊκοὺς ἀπέδοσαν. 151. τρία γάρ εἶναί φασιν ἐκεῖνοι τὰ συζυγοῦντα ἀλλήλοις, ἐπιστήμην καὶ δόξαν καὶ τὴν ἐν μεθορίᾳ τούτων τεταγμένην κατάληψιν· ὧν ἐπιστήμην μὲν εἶναι τὴν ἀσφαλῆ καὶ βεβαίαν καὶ ἀμετάθετον ὑπὸ λόγου κατάληψιν, δόξαν δὲ τὴν ἀσθενῆ καὶ ψευδῆ συγκατάθεσιν, κατάληψιν δὲ τὴν μεταξὺ τούτων, ἥτις ἐστὶ καταληπτικῆς φαντασίας συγκατάθεσις[a]. — 153. ταῦτα δὴ λεγόντων τῶν ἀπὸ τῆς Στοᾶς ὁ Ἀρκεσίλαος ἀντικαθίστατο δεικνὺς ὅτι οὐδέν ἐστι μεταξὺ ἐπιστήμης καὶ δόξης κριτήριον ἡ κατάληψις. αὕτη γὰρ ἣν φασι κατάληψιν καὶ καταληπτικῇ φαντασίᾳ συγκατάθεσιν ἤτοι ἐν σοφῷ ἢ ἐν φαύλῳ γίνεται. ἀλλ' ἐάν τε ἐν σοφῷ γένηται ἐπιστήμη ἐστίν, ἐάν τε ἐν φαύλῳ δόξα, καὶ οὐδὲν ἄλλο παρὰ ταῦτα ἢ μόνον ὄνομα μετείληπται. 154. εἴπερ τε ἡ κατάληψις καταληπτικῆς φαντασίας συγκατάθεσίς ἐστιν, ἀνύπαρκτός ἐστι· πρῶτον μὲν ὅτι ἡ συγκατάθεσις οὐ πρὸς φαντασίαν γίνεται, ἀλλὰ πρὸς λόγον· τῶν γὰρ ἀξιωμάτων εἰσὶν αἱ συγκαταθέσεις[b]· δεύτερον ὅτι οὐδεμία τοιαύτη ἀληθὴς φαντασία εὑρίσκεται οἵα οὐκ ἂν γένοιτο ψευδής, ὡς διὰ πολλῶν καὶ ποικίλων παρίσταται[c]. 155. μὴ οὔσης δὲ καταληπτικῆς φαντασίας οὐδὲ κατάληψις veritatis norma est nulla

γενήσεται· ἣν γὰρ καταληπτικῇ φαντασίᾳ συγκατάθεσις· μὴ οὔσης δὲ καταλήψεως πάντα ἔσται ἀκατάληπτα.

a. Cf. RP 392 sq.

b. Promptum est τὴν συγκατάθεσιν πρὸς λόγον eo tantum consilio poni, ut ipsa impugnetur et convellatur. Cic. de Orat. III 67 *Arcesilas — ex variis Platonis libris sermonibusque Socraticis hoc maxime arripuit, nihil esse certi quod aut sensibus aut animo percipi possit.*

c. Cic. Ac. II 77 *incubuit autem* (Arcesilas) *in eas disputationes, ut doceret nullum tale esse visum a vero, ut non eiusdem modi etiam a falso posset esse.* Pluribus de hac re agit Sext. Math. VII 408 sq.

sapiens adsensionem cohibet

Cic. Ac. II 67. Si ulli rei sapiens adsentietur unquam, 434
aliquando etiam opinabitur: nunquam autem opinabitur: nulli igitur rei adsentietur. Hanc conclusionem Arcesilas probabat[a].

a. Cf. ib. 77; Sext. Math. VII 156 sq. Etiam haec disputantur adversus Stoicos, v. RP 392.

probabile

Sext. Math. VII 158. Ἀλλ' ἐπεὶ μετὰ τοῦτο ἔδει καὶ 435
περὶ τῆς τοῦ βίου διεξαγωγῆς ζητεῖν, ἥτις οὐ χωρὶς κριτηρίου πέφυκεν ἀποδίδοσθαι, ἀφ' οὗ καὶ ἡ εὐδαιμονία, τουτέστι τὸ τοῦ βίου τέλος, ἠρτημένην ἔχει τὴν πίστιν, φησὶν ὁ Ἀρκεσίλαος ὅτι ὁ[1] περὶ πάντων ἐπέχων κανονιεῖ τὰς αἱρέσεις καὶ φυγὰς καὶ κοινῶς τὰς πράξεις τῷ εὐλόγῳ, κατὰ τοῦτό τε προερχόμενος τὸ κριτήριον κατορθώσει· τὴν μὲν γὰρ εὐδαιμονίαν περιγίνεσθαι διὰ τῆς φρονήσεως, τὴν δὲ φρόνησιν κινεῖσθαι ἐν τοῖς κατορθώμασι, τὸ δὲ κατόρθωμα εἶναι ὅπερ πραχθὲν εὔλογον ἔχει τὴν ἀπολογίαν· ὁ προσέχων οὖν τῷ εὐλόγῳ κατορθώσει καὶ εὐδαιμονήσει[a].

a. Quod Numenius ap. Euseb. Pr. Ev. XIV 6 tradit Arcesilam sustulisse etiam τὸ πιθανόν si verum est, cum Sexti testimonio ita conciliari potest, ut Arcesilam sumamus distinxisse inter τὸ πιθανὸν et τὸ εὔλογον. Cf. Z. III 1³ 496³; Hirzel III 150³.

Carneades

Diog. IV 62. Καρνεάδης Ἐπικώμου ἢ Φιλοκώμου — 436
Κυρηναῖος. οὗτος τὰ τῶν Στωϊκῶν βιβλία ἀναγνοὺς ἐπιμελῶς καὶ μάλιστα τὰ Χρυσίππου ἐπιεικῶς αὐτοῖς ἀντέλεγε καὶ εὐημέρει τοσοῦτον, ὥστε ἐκεῖνο ἐπιλέγειν· Εἰ μὴ γὰρ ἦν Χρύ-

1) ὁ Hervetus: οὐ libri.

σιππος, οὐκ ἂν ἦν ἐγώ[a]. — 65. Φησὶ δὲ Ἀπολλόδωρος ἐν Χρονικοῖς ἀπελθεῖν αὐτὸν ἐξ ἀνθρώπων ἔτει τετάρτῳ τῆς δευτέρας καὶ ἑξηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος (a. 129) βιώσαντα ἔτη πέντε πρὸς τοῖς ὀγδοήκοντα[b]. φέρονται δ' αὐτοῦ ἐπιστολαὶ πρὸς Ἀριαράθην τὸν Καππαδοκίας βασιλέα (Ar. V regn. a. 162—130). τὰ δὲ λοιπὰ αὐτοῦ οἱ μαθηταὶ συνέγραψαν· αὐτὸς δὲ κατέλιπεν οὐδέν[c].

Scripserunt de Carneade et Clitomacho: Geffers, de Arcesilae successoribus, Gott. 1845. Hirzel, III 162 sq. Br. III 2, 184 sq. Z. III 1[3] 497 sq. Cf. etiam RP 449 sq. de Cicerone.

a. Dicitur etiam Diogenem Stoicum audisse: Cic. Ac. II 98. Successionem, qua secutus est reliquos Academicos, exhibet Cic. Ac. II 16 (Carneades) *est quartus ab Arcesila; audivit enim Hegesinum, qui Euandrum audierat Lacydi discipulum, cum Arcesilae Lacydes fuisset.*

b. Cic. ibid. *ipse Carneades diu tenuit, nam nonaginta vixit annos.* Anno 156 (RP 444) Romam peregrinatus est in legatis Atheniensium, ubi famosas istas disputationes habuit, quibus et laudabat et evertebat iustitiam, v. Lactant. Inst. V 14, 3—5 (Cic. de Rep. III 9). De eloquentia Carneadis cf. Cic. de Orat. I 45 *hominem omnium in dicendo, ut ferebant, acerrimum et copiosissimum;* Gell. VI (VII) 14, 10 *violenta et rapida Carneades dicebat.*

c. Hoc confirmat Diog. I 16; Plut. de Alex. Fort. I 4 p. 328; Galen. de Opt. Doctr. c. 2 p. 45 K. Inter discipulos (Cic. Ac. II 16; de Or. I 45), qui doctoris placita scriptis celebraverunt, Clitomachus Karthaginiensis facile princeps erat: Diog. IV 67; Cic. Ac. II 98. 102. Clitomachus
Carneades de qualibet re ita disputare solebat, ut eam poneret primum, deinde tolleret: unde Clitomachus (Cic. Ac. II 139) *adfirmabat nunquam se intellegere potuisse, quid Carneadi probaretur.* Cf. Cic. de Div. I 62 *Carneades concertationis studio modo hoc modo illud ait;* de Rep. III 9 (Non. p. 263, 14) *saepe optimas causas ingenii calumnia ludificari solet.* Acumen eius apud Romanos in proverbium abierat, v. Lucil. ap. Lactant. V 15. — Cf. praeterea Academicorum Index Herculan. c. 24—36.

437 Cic. de Deor. Nat. III 29 Illa autem, quae Carneades adferebat, quem ad modum dissolvitis? Si nullum corpus immortale sit, nullum esse corpus sempiternum; corpus autem immortale nullum esse, ne individuum quidem, nec quod dirimi distrahive non possit. Cumque omne animal patibilem naturam habeat, nullum est eorum quod effugiat accipiendi aliquid extrinsecus id est quasi ferendi et patiendi necessitatem, et si omne animal tale est, immortale nullum est[a]. non sunt dii

a. De ceteris quae disputabat adversus theologiam Stoicorum cf. Sext. Math. IX 13—193. Cic. D. N. I 57—124. — Fatum his argumentis subvertebat (Cic. de Fato 31): *si omnia antecedentibus causis fiunt, omnia naturali conligatione conserte contexteque fiunt; quod si ita est, omnia necessitas efficit; id si verum est, nihil est in nostra potestate; est autem aliquid in nostra potestate; at si omnia fato fiunt, omnia causis antecedentibus fiunt; non igitur fato fiunt quaecunque fiunt.* Neque tamen iis quibus Epicurus hanc quaestionem solvere conatus erat acquiescere voluit; v. ib. 23. — Ne mathematicam quidem evidentiam esse concessit: Galen. de Opt. Doctr. 2 p. 45 K. ὁ γοῦν Καρνεάδης οὐδὲ τοῦτο τὸ πάντων ἐναργέστατον συγχωρεῖ πιστεύειν, ὅτι τὰ τῷ αὐτῷ ἴσα μεγέθη καὶ ἀλλήλοις ἴσα γίνεται (Z. III 1[3] 502[5]).

fatum

mathematica

ius

Cic. de Rep. III 13. Ius enim, de quo quaerimus, civile est aliquod, naturale nullum; nam si esset, ut calida et frigida, ut amara et dulcia, sic essent iusta et iniusta eadem omnibus. — 23. Etenim iustitiae non natura nec voluntas, sed imbecillitas mater est. Nam cum de tribus unum est optandum, aut facere iniuriam nec accipere aut et facere et accipere aut neutrum, optimum est facere, impune si possis, secundum nec facere nec pati, miserrimum digladiari semper tum faciendis tum accipiendis iniuriis[a]. 438

a. Haec pro specimine sunto disputationis contra iustitiam habitae, RP 436 b. Morales quaestiones studiosius quam physicas persecutus esse dicitur: Diog. IV 62. In quibus id agebat ut quidquid praeceptum esset de moribus, nihil tam firmum esse evinceret quin posset subverti. De partitionibus quibus in talibus disceptationibus uti solebat v. Cic. de Fin. V 16 sq. et ed.[3] Madvig. Excurs. IV p. 822 sq. Ipse ad Calliphontis philosophi ceteroquin ignoti sententiam inclinasse fertur, qui summum bonum in conciliatione honestatis et voluptatis ponebat: Cic. Ac. II 139. 131; Tusc. V 87.

iudicii norma est nulla

Sext. Math. VII 159. Ὁ δὲ Καρνεάδης οὐ μόνον τοῖς Στωϊκοῖς, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸ αὐτοῦ ἀντιδιετάσσετο περὶ τοῦ κριτηρίου. καὶ δὴ πρῶτος μὲν αὐτῷ καὶ κοινὸς πρὸς πάντας ἐστὶ λόγος, καθ᾽ ὃν παρίσταται ὅτι οὐδέν ἐστιν ἁπλῶς ἀληθείας κριτήριον, οὐ λόγος, οὐκ αἴσθησις, οὐ φαντασία, οὐκ ἄλλο τι τῶν ὄντων. πάντα γὰρ ταῦτα συλλήβδην διαψεύδεται ἡμᾶς. 160. δεύτερον δέ, καθ᾽ ὃ δείκνυσιν ὅτι καὶ εἰ ἔστι τὸ κριτήριον τοῦτο, οὐ χωρὶς τοῦ ἀπὸ τῆς ἐναργείας πάθους ὑφίσταται. ἐπεὶ γὰρ αἰσθητικῇ δυνάμει διαφέρει τὸ ζῷον τῶν ἀψύχων, πάντως διὰ ταύτης ἑαυτοῦ τε 439

καὶ τῶν ἐκτὸς ἀντιληπτικὸν γενήσεται. ἡ δέ γε αἴσθησις ἀκίνητος μὲν οὖσα καὶ ἀπαθὴς καὶ ἄτρεπτος οὔτε αἴσθησίς ἐστιν οὔτε ἀντιληπτική τινος, 161. τραπεῖσα δὲ καί πως παθοῦσα κατὰ τὴν τῶν ἐναργῶν ὑπόπτωσιν, τότε ἐνδείκνυται τὰ πράγματα. ἐν ἄρα τῷ ἀπὸ τῆς ἐναργείας πάθει τῆς ψυχῆς ζητητέον ἐστὶ τὸ κριτήριον. τοῦτο δὲ τὸ πάθος αὑτοῦ ἐνδεικτικὸν ὀφείλει τυγχάνειν καὶ τοῦ ἐμποιήσαντος αὐτὸ φαινομένου, ὅπερ πάθος ἐστὶν οὐχ ἕτερον τῆς φαντασίας. 162. ὅθεν καὶ φαντασίαν ῥητέον εἶναι πάθος τι περὶ τὸ ζῷον ἑαυτοῦ τε καὶ τοῦ ἑτέρου παραστατικόν. οἷον προσβλέψαντές τινι, φησὶν ὁ Ἀντίοχος[a], διατιθέμεθά πως τὴν ὄψιν, καὶ οὐχ οὕτως αὐτὴν διακειμένην ἴσχομεν ὡς πρὶν τοῦ βλέψαι διακειμένην εἴχομεν· κατὰ μέντοι τὴν τοιαύτην ἀλλοίωσιν δυοῖν ἀντιλαμβανόμεθα, ἑνὸς μὲν αὐτῆς τῆς ἀλλοιώσεως, τουτέστι τῆς φαντασίας, δευτέρου δὲ τοῦ τὴν ἀλλοίωσιν ἐμποιήσαντος, τουτέστι τοῦ ὁρατοῦ. καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων τὸ παραπλήσιον. 163. ὥσπερ οὖν τὸ φῶς ἑαυτό τε δείκνυσι καὶ πάντα τὰ ἐν αὐτῷ, οὕτω καὶ ἡ φαντασία ἀρχηγὸς οὖσα τῆς περὶ τὸ ζῷον εἰδήσεως φωτὸς δίκην ἑαυτήν τε ἐμφανίζειν ὀφείλει καὶ τοῦ ποιήσαντος αὐτὴν ἐναργοῦς ἐνδεικτικὴ καθεστάναι. ἀλλ᾽ ἐπεὶ οὐ τὸ κατ᾽ ἀλήθειαν ἀεί ποτε ἐνδείκνυται, πολλάκις δὲ διαψεύδεται καὶ διαφωνεῖ τοῖς ἀναπέμψασιν αὐτὴν πράγμασιν, ὡς οἱ μοχθηροὶ τῶν ἀγγέλων, κατ᾽ ἀνάγκην ἠκολούθησε τὸ μὴ πᾶσαν φαντασίαν δύνασθαι κριτήριον ἀπολείπειν ἀληθείας, ἀλλὰ μόνην εἰ καὶ ἄρα τὴν ἀληθῆ. 164. πάλιν οὖν ἐπεὶ οὐδεμία ἐστὶν ἀληθὴς τοιαύτη οἵα οὐκ ἂν γένοιτο ψευδής, ἀλλὰ πάσῃ τῇ δοκούσῃ ἀληθεῖ καθεστάναι εὑρίσκεταί τις ἀπαράλλακτος ψευδής[b], γενήσεται τὸ κριτήριον ἐν κοινῇ φαντασίᾳ τοῦ τε ἀληθοῦς καὶ ψευδοῦς. ἡ δὲ κοινὴ τούτων φαντασία οὐκ ἔστι καταληπτική, μὴ οὖσα δὲ καταληπτικὴ οὐδὲ κριτήριον ἔσται. 165. μηδεμιᾶς δὲ οὔσης φαντασίας κριτικῆς οὐδὲ λόγος ἂν εἴη κριτήριον· ἀπὸ φαντασίας γὰρ οὗτος ἀνάγεται. καὶ εἰκότως· πρῶτον μὲν γὰρ δεῖ φανῆναι αὐτῷ τὸ κρινόμενον, φανῆναι δὲ οὐδὲν δύναται χωρὶς τῆς ἀλόγου αἰσθήσεως[c]. οὔτε οὖν ἡ ἄλογος αἴσθησις οὔτε ὁ λόγος ἦν κριτήριον.

a. Hinc existimaveris Sextum haec de Carneadis doctrina neque non ista de Arcesila hausisse ex Antiocho, de quo cf. **RP** 443.

b. Huic argumento plurimum tribuebat; cf. Numen. ap. Euseb. Pr. Ev. XIV 8, 8 *διὰ τὸ ὁμοίας φαντασίας ἀληθέσιν εἶναι τὰς ψευδεῖς, ὡς ἀπὸ ᾠοῦ κηρίνου πρὸς τὸ ἀληθινὸν ᾠόν.*

c. Argumenta, quibus ductus rationalem cognitionem esse negabat, parum explicita sunt, videtur autem iis favisse qui omnem cognitionem ex sensuum affectionibus repetebant; quo pertinent quae contra dogmaticorum de deo decreta disputabat: Sext Math. IX 139 *ὅθεν καὶ τὸ περικόπτειν ταύτην (τὴν γεῦσιν) ἤ τινα αἴσθησιν ἄλλην ἁπλῶς τοῦ θεοῦ παντελῶς ἐστιν ἀπίθανον· περιττοτέρας γὰρ αἰσθήσεις ἔχων ἀμείνων αὐτοῦ γενήσεται, δέον μᾶλλον, ὡς ἔλεγεν ὁ Καρνεάδης, σὺν ταῖς πᾶσιν ὑπαρχούσαις πέντε ταύταις αἰσθήσεσι καὶ ἄλλας αὐτῷ περισσοτέρας προσμαρτυρεῖν, ἵν' ἔχῃ πλειόνων ἀντιλαμβάνεσθαι πραγμάτων, ἀλλὰ μὴ τῶν πέντε ἀφαιρεῖν.*

nihil percipi potest

Cic. Ac. II 28. Antipatro — cum diceret ei, qui adfirmaret nihil posse percipi, unum tamen illud dicere percipi posse consentaneum esse, ut alia non possent, Carneades acutius resistebat. Nam tantum abesse dicebat ut id consentaneum esset, ut maxime etiam repugnaret. Qui enim negaret quicquam esse quod perciperetur, eum nihil excipere; ita necesse esse ne id ipsum quidem, quod exceptum non esset, comprendi et percipi ullo modo posse. 440

visorum genera

Sext. Math. VII 166. *Ταῦτα μὲν ἀντιπαρεξάγων τοῖς ἄλλοις φιλοσόφοις ὁ Καρνεάδης εἰς τὴν ἀνυπαρξίαν τοῦ κριτηρίου διεξήρχετο· ἀπαιτούμενος δὲ καὶ αὐτός τι κριτήριον πρός τε τὴν τοῦ βίου διεξαγωγὴν καὶ πρὸς τὴν τῆς εὐδαιμονίας περίκτησιν, δυνάμει ἐπαναγκάζεται καὶ καθ' αὑτὸν περὶ τούτου διατάττεσθαι, προσλαμβάνων τήν τε πιθανὴν φαντασίαν καὶ τὴν πιθανὴν ἅμα καὶ ἀπερίσπαστον καὶ διεξωδευμένην.* 167. *τίς δέ ἐστιν ἡ τούτων διαφορά, συντόμως ὑποδεικτέον. ἡ τοίνυν φαντασία τινὸς φαντασία ἐστίν, οἷον τοῦ τε ἀφ' οὗ γίνεται καὶ τοῦ ἐν ᾧ γίνεται· καὶ ἀφ' οὗ μὲν γίνεται ὡς τοῦ ἐκτὸς ὑποκειμένου αἰσθητοῦ, τοῦ ἐν ᾧ δὲ γίνεται καθάπερ ἀνθρώπου.* 168. *τοιαύτη δὲ οὖσα δύο ἂν ἔχοι σχέσεις, μίαν μὲν ὡς πρὸς τὸ φανταστόν, δευτέραν δὲ ὡς πρὸς τὸν φαντασιούμενον. κατὰ μὲν οὖν τὴν πρὸς τὸ φανταστὸν σχέσιν ἢ ἀληθὴς γίνεται ἢ ψευδής. καὶ ἀληθὴς μὲν ὅταν σύμφωνος ᾖ τῷ φανταστῷ, ψευδὴς δὲ ὅταν διάφωνος.* 169. *κατὰ δὲ τὴν πρὸς τὸν φαντασιούμενον σχέσιν* 441

ἡ μέν ἐστι φαινομένη ἀληθής, ἡ δὲ οὐ φαινομένη ἀληθής· ὧν ἡ μὲν φαινομένη ἀληθὴς ἔμφασις καλεῖται παρὰ τοῖς Ἀκαδημαϊκοῖς καὶ πιθανότης καὶ πιθανὴ φαντασία, ἡ δ᾽ οὐ φαινομένη ἀληθὴς ἀπέμφασίς τε προσαγορεύεται καὶ ἀπειθὴς καὶ ἀπίθανος φαντασία· οὔτε γὰρ τὸ αὐτόθεν φαινόμενον ψευδὲς οὔτε τὸ ἀληθὲς μέν, μὴ φαινόμενον δὲ ἡμῖν πείθειν ἡμᾶς πέφυκεν[a]. — 173. ἡ δὲ φαινομένη ἀληθὴς καὶ ἱκανῶς ἐμφαινομένη κριτήριόν ἐστι τῆς ἀληθείας κατὰ τοὺς περὶ τὸν Καρνεάδην. — 176. ἐπεὶ δὲ οὐδέποτε φαντασία μονοειδὴς ὑφίσταται, ἀλλ᾽ ἁλύσεως τρόπον ἄλλη ἐξ ἄλλης ἤρτηται, δεύτερον προσγενήσεται κριτήριον ἡ πιθανὴ ἅμα καὶ ἀπερίσπαστος φαντασία[b]. οἷον ὁ ἀνθρώπου σπῶν φαντασίαν ἐξ ἀνάγκης καὶ τῶν περὶ αὐτὸν λαμβάνει φαντασίαν καὶ τῶν ἐκτός, τῶν μὲν περὶ αὐτὸν ὡς χρόας, μεγέθους, σχήματος, κινήσεως, λαλιᾶς, ἐσθῆτος, ὑποδέσεως, τῶν δὲ ἐκτὸς ὡς ἀέρος, φωτός, ἡμέρας, οὐρανοῦ, γῆς, φίλων, τῶν ἄλλων ἁπάντων. ὅταν οὖν μηδεμία τούτων τῶν φαντασιῶν περιέλκῃ ἡμᾶς τῷ φαίνεσθαι ψευδής, ἀλλὰ πᾶσαι συμφώνως φαίνωνται ἀληθεῖς, μᾶλλον πιστεύομεν. — 181. τῆς δὲ ἀπερισπάστου φαντασίας πιστοτέρα μᾶλλόν ἐστι καὶ τελειοτάτην ποιοῦσα τὴν κρίσιν, ἣ σὺν τῷ ἀπερίσπαστος εἶναι ἔτι καὶ διεξωδευμένη καθέστηκε. — 182. τίς δέ ἐστι καὶ ὁ ταύτης χαρακτήρ, παρακειμένως ὑποδεικτέον. ἐπὶ μὲν γὰρ τῆς ἀπερισπάστου ψιλὸν ζητεῖται τὸ μηδεμίαν τῶν ἐν τῇ συνδρομῇ φαντασιῶν ὡς ψευδῆ ἡμᾶς περισπᾶν, πάσας δὲ εἶναι ἀληθεῖς τε καὶ φαινομένας καὶ μὴ ἀπιθάνους· ἐπὶ δὲ τῆς κατὰ τὴν περιωδευμένην συνδρομὴν ἑκάστην τῶν ἐν τῇ συνδρομῇ ἐπιστατικῶς δοκιμάζομεν· ὁποῖόν τι γίνεται καὶ ἐν ταῖς ἐκκλησίαις, ὅταν ὁ δῆμος ἕκαστον τῶν μελλόντων ἄρχειν ἢ δικάζειν ἐξετάζῃ εἰ ἄξιός ἐστι τοῦ πιστευθῆναι τὴν ἀρχὴν ἢ τὴν κρίσιν.

a. Cf. Cic. Ac. II 99. 104, ubi eadem distinctio inter visum veri simile et verum ex Carneade affertur.

b. *Probabilis visio et quae non impediatur,* Cic. Ac. II 33; *probabile neque ulla re impeditum,* ib. II 101.

c. Sext. Math. VII 184 ἐν μὲν τοῖς τυχοῦσιν πράγμασι τῇ πιθανῇ μόνον φαντασίᾳ κριτηρίῳ χρώμεθα, ἐν δὲ τοῖς διαφέρουσι τῇ ἀπερισπάστῳ, ἐν δὲ τοῖς πρὸς εὐδαιμονίαν συντείνουσι τῇ περιωδευμένῃ. visorum usus

nimia Academicorum subtilitas Polyb. Excerpt. lib. XII 26c p. 759 Bk. *Καὶ γὰρ ἐκείνων (τῶν ἐν Ἀκαδημίᾳ) τινὲς βουλόμενοι περί τε τῶν προφανῶς καταληπτῶν εἶναι δοκούντων καὶ περὶ τῶν ἀκαταλήπτων εἰς ἀπορίαν ἄγειν τοὺς προσδιαλεγομένους τοιαύταις χρῶνται παραδοξολογίαις καὶ τοιαύτας εὐποροῦσι πιθανότητας, ὥστε διαπορεῖν εἰ δυνατόν ἐστι τοὺς ἐν Ἀθήναις ὄντας ὀσφραίνεσθαι τῶν ἑψομένων ᾠῶν ἐν Ἐφέσῳ, καὶ διστάζειν μή πως καθ' ὃν καιρὸν ἐν Ἀκαδημίᾳ διαλέγονται περὶ τούτων, οὐχ ὑπὲρ ἄλλων ἄρ' ἐν οἴκῳ κατακείμενοι διττοὺς διατίθενται τοὺς λόγους. ἐξ ὧν διὰ τὴν ὑπερβολὴν τῆς παραδοξολογίας εἰς διαβολὴν ἤχασι τὴν ὅλην αἵρεσιν, ὥστε καὶ τὰ καλῶς ἀπορούμενα παρὰ τοῖς ἀνθρώποις εἰς ἀπιστίαν ἦχθαι. καὶ χωρὶς τῆς ἰδίας ἀστοχίας καὶ τοῖς νέοις τοιοῦτον ἐντετόκασι ζῆλον, ὥστε τῶν μὲν ἠθικῶν καὶ πραγματικῶν λόγων μηδὲ τὴν τυχοῦσαν ἐπίνοιαν ποιεῖσθαι, δι' ὧν ὄνησις τοῖς φιλοσοφοῦσι, περὶ δὲ τὰς ἀνωφελεῖς καὶ παραδόξους εὑρεσιλογίας κενοδοξοῦντες κατατρίβουσι τοὺς βίους*[a]. 442

a. Haec a Polybio (de cuius studiis philosophiae cf. Hirzel II, Excurs. VII), qui Carneadi fere suppar erat, de illius aetatis Academicis non videntur ea quae historicum decebat animi aequitate dicta esse, v. Z. III 1³ 526¹.

Philo Sext. Pyrrh. I 235. *Οἱ δὲ περὶ Φίλωνά*[a] *φασιν, ὅσον μὲν ἐπὶ τῷ Στωϊκῷ κριτηρίῳ, τουτέστι τῇ καταληπτικῇ φαντασίᾳ, ἀκατάληπτα εἶναι τὰ πράγματα, ὅσον δὲ ἐπὶ τῇ* 443

Antiochus *φύσει τῶν πραγμάτων αὐτῶν καταληπτά*[b]. *ἀλλὰ καὶ ὁ Ἀντίοχος τὴν Στοὰν μετήγαγεν εἰς τὴν Ἀκαδημίαν, ὡς καὶ εἰρῆσθαι ἐπ' αὐτῷ ὅτι ἐν Ἀκαδημίᾳ φιλοσοφεῖ τὰ Στωϊκά· ἐπεδείκνυε γὰρ ὅτι παρὰ Πλάτωνι κεῖται τὰ τῶν Στωϊκῶν δόγματα*[c].

a. Philo Larissaeus Clitomachi auditor et in Academia successor erat, v. Acad. Ind. Hercul. c. 33; Stob. Ecl. II 38; Euseb. Pr. Ev. XIV 8, 15 *διάδοχος δ' αὐτοῦ (Καρνεάδου) τῆς διατριβῆς καθίσταται Κλειτόμαχος, μεθ' ὃν Φίλων*. Bello Mithridatico a. 88 cum optimatibus Atheniensium domo fugit et Romam venit ibique vitam agens cum summo nobilium studio et rhetorum praecepta et philosophorum tradidit, v. Cic. Brut. 306; Tusc. II 9; V 107. Inter alios eum audiebat Cicero, qui totum se ei tradidit admirabili quodam ad philosophiam studio concitatus, ut ipse scribit Epist. XIII 1, 2; Acad. I 13; D. N. I 6; Plutarch. Cic. 3. 1.

b. Similia tradit Cic. Ac. II 18. De veritate quid statuerit haud liquet, nisi forte inde coniecturam feceris eum ad Platonis doctrinam revertisse, quod negabat duas Academias esse, Cic. Ac. I 13. Sed cf. Z. III 1 [3] 592 sq.; Hirzel III 212 sq. Opus eius duobus libris comprehensum laudatur ap. Cic. Ac. II 11; sed scripserat etiam de moribus, v. Stob. Ecl. II 38 sq; Philonem a Cicerone et in Academicis prioribus et in libro IV de Finibus expressum esse censuerunt Krische, *ü. Cicero's Akademika*, *Gött. Stud.* (1845) p. 126—200; Grysar, *d. Akademiker Philo u. Antiochus*, Colon. 1849; C. F. Hermann, de Philone Larissaeo, Gotting. 1851. 1855. In Tusculanis disputationibus Philonis λόγον κατὰ φιλοσοφίαν exscribi contendit Hirzel, *Unters.* III 342 sq.

c. Antiochus Ascalonita philosophiam Athenis apud Philonem didicerat, sed ita ut etiam cum Stoicis versaretur, Cic. Acad. II 69. Deinde ipse scholam Athenis aperuit, ubi cum aliis Cicero (a. 79) eum audiebat, cf. Brut. 315; Plut. Cic. 4, 1. Summus autem eius fautor exstitit Lucullus, qui eum et Romae atque Alexandriae et in Asia cum bello Mithridatico imperator esset (a. 74—67) secum habuit, v. Plut. Lucull. 42, 3; Cic. Acad. II 4. 10. 63. Scripserat de dialectica Academieorum, de dis, adversus Philonem librum qui inscribebatur Sosus, alia, v. Cic. Acad. II 12. 69; Sext. Math. VII 201; Plut. Lucull. 28, 7. Cicero eum in Academicis prioribus 17—60, in libro V de Finibus, in Topic. 6—78, aliis locis expressisse videtur, cf. Madvig, Cic. de Fin. Exc. V. Wallies, de fontib. Topic. Cic., Hal. 1878. Hirzel II 620 sq. 630 sq. 691 sq. III 493 sq. Z. III 1 [3] 650 sq. — Cf. praeterea C. Chappuis, de Ant. Asc. vita et doctr., Paris. 1854. R. Hoyer, de Ant. Asc., Bonn. 1883.

Philo et Antiochus eo maxime discrepasse videntur, quod hic eclecticam philosophandi rationem secutus et Stoicorum et Peripateticorum placita miscuerat cum Academicis, ille illibatam quam putabat Academiam illam veterem contra discipulum tuebatur, cf. Cic. Acad. II 17; Augustin. c. Acad. III 18, 41. Quod Cicero identidem pronuntiat Stoicos verbis tantum novos fuisse, rebus a Platone et Aristotele non differre, in hoc Antiochum auctorem habebat, cf. Cic. Fin. V 74; Deor. Nat. I 16. Eundem ad Stoicos proniorem fuisse prodit etiam Numenius ap. Euseb. Pr. Ev. XIV 9, 3 et disertissime Cicero Ac. II 132 (Antiochus) *appellabatur Academicus, erat quidem, si perpauca mutavisset, germanissimus Stoicus.* Sed erant illa perpauca haudquaquam levia: ib. 133 *placet Stoicis omnia peccata esse paria. at hoc Antiocho vehementissime displicet.* — 134. *Zeno in una virtute positam beatam vitam putat. quid Antiochus? etiam, inquit, beatam, sed non beatissimam.* Etiam de regula veritatis cum Stoicis faciebat: qua de re quae discipulis tradebat repetuntur a Lucullo ap. Cic. Ac. II 17—60.

Philosophia Romanorum.

S. C. de philosophis

Gell. Noct. Att. XV 11. C. Fannio Strabone M. Valerio Messala coss. (a. 161) senatus consultum de philosophis et de rhetoribus factum est: „M. Pomponius praetor senatum consuluit. Quod verba facta sunt de philosophis et de rhetoribus, de ea re ita censuerunt, ut M. Pomponius praetor animadverteret curaretque uti ei e republica fideque sua videretur, uti Romae ne essent[a].“ 444 A

philosophorum legatio

Ib. VI (VII) 14. Animadversa eadem tripertita varietas (dicendi) est in tribus philosophis, quos Athenienses Romam ad senatum legaverant (a. 156) inpetratum uti multam remitterent, quam fecerat is propter Oropi vastationem. — Erant isti philosophi Carneades ex Academia, Diogenes Stoicus, Critolaus Peripateticus. Et in senatum quidem introducti interprete usi sunt C. Acilio senatore; sed ante ipsi seorsum quisque ostentandi gratia magno conventu hominum dissertaverunt. Tum admirationi fuisse aiunt Rutilius et Polybius philosophorum trium sui cuiusque generis facundiam. Violenta, inquiunt, et rapida Carneades dicebat, scita et teretia Critolaus, modesta Diogenes et sobria[b]. 444 B

a. Cf. Sueton. de Rhetor. 1. Prima philosophiae semina sparsa videntur per exsules Achaeos, in quibus erat Polybius, quos senatus e patria accitos post bellum Persei (a. 168) in urbe et per Italiam septendecim annos detinuit.

b. Plin. N. H. VII 30, 112 *Cato Censorius in illa nobili trium sapientiae procerum ab Athenis legatione audito Carneade quam primum legatos eos censuit dimittendos, quoniam illo viro argumentante quid veri esset haud facile discerni posset.* Cf. Plut. Cat. mai. 22. Pausan. VII 11. Polyb. XXXIII fr. 2 p. 1287 Hultsch. — De P. Rutilio Rufo v. H. Peter in Veter. Historic. Rom. Relliqu. proleg. p. cclxi sq. —

Epicurei duo Roma eiecti esse narrantur L. Postumio consule (a. aut 173 aut 155): Athen. XII 68 p. 547 A; Aelian. V. H. IX 12. Cf. Z. III 1[3] 372[1].

445 Cic. de Orat. II 154. Et certe non tulit ullos haec civitas aut gloria clariores aut auctoritate graviores aut humanitate politiores P. Africano, C. Laelio, L. Furio, qui secum eruditissimos homines ex Graecia palam semper habuerunt. 155. Atque ego hoc istis saepe audivi cum dicerent pergratum Athenienses et sibi fecisse et multis principibus civitatis, quod cum ad senatum legatos de suis maximis rebus mitterent, tres illius aetatis nobilissimos philosophos misissent, Carneadem et Critolaum et Diogenem. Itaque eos dum Romae essent et a se (Q. Catulo) et ab aliis frequenter auditos[a]. primi philosophorum fautores

a. Cic. Tusc. IV 5 *sapientiae studium vetus id quidem in nostris, sed tamen ante Laelii aetatem et Scipionis non reperio quos appellare possim nominatim.*

446 A Quintil. Inst. Orat. X 1, 123. Qui de philosophia scripserint — paucissimos adhuc eloquentes litterae Romanae tulerunt. Idem igitur M. Tullius, qui ubique, etiam in hoc opere Platonis aemulus exstitit[a]. Egregius vero multoque quam in orationibus praestantior Brutus suffecit ponderi rerum; scias eum sentire quae dicit[b]. 124. Scripsit non parum multa Cornelius Celsus, Sextios secutus, non sine cultu ac nitore. Plautus in Stoicis rerum cognitione utilis. In Epicureis levis quidem, sed non iniucundus tamen auctor est Catius. — 129. (Seneca) in philosopia parum diligens, egregius tamen vitiorum insectator fuit[c]. scriptores philosophi

446 B Seneca Ep. 100, 1. Fabiani Papirii libros, qui inscribuntur (artium) civilium, legisse te cupidissime scribis, et non respondisse exspectationi tuae[d]. — 9. Adfer quem Fabiano possis praeponere. Dic Ciceronem, cuius libri ad philosophiam pertinentes paene totidem sunt quot Fabiani: cedam, sed non statim pusillum est si quid maximo minus est. Dic Asinium Pollionem: cedam et respondeamus: in re tanta eminere est et post duos esse. Nomina adhuc Livium. Scripsit enim et dialogos, quos non magis philosophiae adnumerare possis quam historiae, et ex pro-

fesso philosophiam continentis libros: huic quoque dabo locum: vide tamen quam multos antecedat qui a tribus vincitur et tribus eloquentissimis.

a. Quintilianus cum non de ipsa philosophia loquatur, sed de elocutione philosophorum, non nominavit M. Terentium Varronem, maximum illud litterarum Romanarum quae in cura et diligentia positae erant decus, qui Antiochum una cum Bruto audiverat Athenis et ipse de philosophia scripserat cum alios tum logistoricon libros, v. Cic. Ac. I 4. 12; ad Att. XIII 12, 3. 16, 1; Augustin. Civ. D. XIX 1—3; Ritschl, Mus. Rhen. VI (1848) p. 481 sq. (Opusc. III 419 sq.). In psychologia et theologia magis Stoicos secutus est quam Academiam, v. Z. III 1 ³ 672 sq. — De Lucretio Quintilianus dixerat in poetis: X 1, 87.

b. De Bruto cf. Cic. Fin. I 8; Tusc. V 1; Ac. I 12; ad Att. XIII 25, 3; Plut. Brut. 2. Scripserat de virtute et de officiis, cf. Senec. Ep. 95, 45 *Brutus in eo libro, quem περὶ καθήκοντος inscripsit, dat multa praecepta et parentibus et liberis et fratribus,* cf. RP 455.

c. De Sextiis v. RP 459 sq., de Cornelio Celso Quintil. II 15, 22. De Plauto cf. Quint. II 14, 2. III 6, 23. Epicureorum philosophia ante Catium, Ciceronis aequalem, et Lucretium Romanis innotuerat per Amafinium et Rabirium, v. RP 447. De Seneca v. RP 465.

d. De Fabiano Papirio, Senecae familiari, cf. Senec. Controv. II praef. Z. III 1 ³ 677. Höfig, de Papirii philosophi vita scriptisque, Vratisl. 1852. Praeter eum ex aequalibus a Seneca nominatur Metronax, qui philosophiam docuit Neapoli, v. Ep. 76, 1—4 et 93.

Epicurei Cic. Tusc. IV 6. Itaque illius verae elegantisque philosophiae, quae ducta a Socrate in Peripateticis adhuc permansit et idem alio modo dicentibus Stoicis, cum Academici eorum controversias disceptarent, nulla fere sunt aut pauca admodum Latina monumenta, sive propter magnitudinem rerum occupationemque hominum sive etiam quod imperitis ea probari posse non arbitrabantur; cum interim illis silentibus C. Amafinius exstitit dicens, cuius libris editis commota multitudo contulit se ad eam potissimum disciplinam, sive quod erat cognitu perfacilis sive quod invitabantur inlecebris blandis voluptatis, sive etiam, quia nihil erat prolatum melius, illud quod erat tenebant. 7. Post Amafinium autem multi eiusdem aemuli rationis multa cum scripsissent, Italiam totam occupaverunt; quodque maxumum argumentum est non dici illa subtiliter, quod et tam facile ediscantur et ab indoctis probentur, id illi firmamentum esse disciplinae putant[a]. 447

Amafinius

a. Cic. Ac. I 5 praeter Amafinium Rabirius nominatur ut alter Epicureorum interpres. Utrumque dicit ***nulla arte adhibita de rebus ante oculos positis vulgari sermone disputasse. Nihil definiunt, nihil partiuntur, nihil apta interrogatione concludunt, nullam denique artem esse nec dicendi nec disserendi putant,*** confessus tamen se libros illorum ipsum non inspexisse Tusc. II 7. Amafinius scripsit de rerum natura, eandemque materiam Rabirius tractasse videtur: omninoque notabile Romanorum quotquot Epicurum sequebantur physicam non sine studio coluisse ceteroquin a Romanorum ingeniis alienam: sicuti Catium (RP 446) cum de summo bono tum de rerum natura scripsisse accepimus, v. Comm. Cruqu. in Horat. Sat. II 4, 1. Videbatur nimirum Epicuri physica ad superstitiones ex hominum animis evellendas accommodatissima. — Inter Graecos, qui Romanorum in hac philosophia institutores erant, nominandi sunt Zeno et Phaedrus. Zeno Sidonius, quem Cicero a. 78 Athenis audivit (Cic. Fin. I 16), multa eleganter scripserat (Diog. VII 35; X 25) et Epicureorum tum princeps habebatur (Cic. D. N. I 59). In libro I de Deor. N. 18—24; 42—56 Ciceronis fons videtur, cf. Hirzel, *Unters.* I 9 sq. — Phaedrus, qui a. 90 Romae, postea Athenis philosophiam docebat, de dis scripsit (Cic. ad Att. XIII 39, 2), ex quo libro Cicero quae refert D. N. I 25—41 hausisse videtur (cf. Diels, Doxogr. 126). — Paulo aetate inferior Phaedro fuit Philodemus Syrus Gadarensis. Is Romae vixit multisque et philosophiae qua a Zeno institutus erat Epicureae professione et poematum lascivia eleganti commendatus erat, v. Cic. in Pison. 70, de Fin. II 119; Hor. Sat. I 2, 120. Exstant nunc ex voluminibus Herculanensibus eius libri de rhetorica (ed. Gros, Par. 1840; l. IV ed. Spengel, Ac. Mon. 1837), de musica (ed. Kemke 1884, recens. Gomperz 1885), de moribus, de pietate (ed. Petersen, Phaedri π. θεῶν eum librum esse opinatus, 1833; Sauppe 1864; Buecheler 1865; Gomperz 1866; partim Diels in Doxogr. 529 sq.), de vitiis (l. X ed. Sauppe 1853), de vitiis et virtutibus oppositis, de ira (ed. Gomperz 1864, Cobet 1878), π. σημείων (ed. Gomperz 1865, alii: laceri illi quidem sed ad illa litterarum tempora iudicanda perutiles, v. Scott, fragm. Herculanensia, Oxf. 1855. Cf. L. Preller, Philodemus (in Ersch. Gruber. Encyclop. III 23. Z. III 1 ³ 374 sq. — De expulsione Epicureorum v. RP 444 b.

448 Lucretius de Nat. Rer. I 62 **Lucretius**

Humana ante oculos foede cum vita iaceret
in terris oppressa gravi sub religione,
quae caput a caeli regionibus ostendebat
horribili super aspectu mortalibus instans:
primum Graius homo[a] mortalis tendere contra
est oculos ausus primusque obsistere contra;
quem neque fana deum nec fulmina nec minitanti
murmure compressit caelum, sed eo magis acrem

inritat animi virtutem, effringere ut arta
naturae primus portarum claustra cupiret.
Ergo vivida vis animi pervicit, et extra
processit longe flammantia moenia mundi
atque omne immensum peragravit mente animoque;
unde refert nobis victor quid possit oriri,
quid nequeat, finita potestas denique cuique
qua nam sit ratione atque alte terminus haerens.
Quare religio pedibus subiecta vicissim
opteritur, nos exaequat victoria caelo[b].

a. Epicurum dicit, cuius laudes celebrantur etiam III 1 sq., V 49 sq. Praeter eum Empedocles, cuius carmen sibi ipse ad imitandum proposuerat, laudatur I 716 sq. Cf. RP 129 i. — De aetate (circ. a. 96—55) Lucretii cf. F. Marx, Mus. Rhen. 43 (1888) 136. De philosophia: Woltjer, Lucretii philosophia c. fontib. comparata, Groning. 1877. Rusch, de Posidonio Lucr. auctore in l. VI, Gryphisw. 1882. J. Bruns, *Lucrez-Studien*, Friburg. 1884.

b. Cf. oratio Velleii ap. Cic. N. D. I 18 sq.

Cicero.

Ciceronis de philosophia libri

Cic. de Div. II 1. Quaerenti mihi multumque et diu 449
cogitanti quanam re possem prodesse quam plurimis, ne quando intermitterem consulere reipublicae, nulla maior occurrebat quam si optimarum artium vias traderem meis civibus, quod compluribus iam libris me arbitror consecutum. Nam et cohortati sumus, ut maxime potuimus, ad philosophiae studium eo libro, qui est inscriptus Hortensius, et quod genus philosophandi minime adrogans maximeque et constans[a] et elegans arbitraremur, quattuor Academicis libris ostendimus. 2. Cumque fundamentum esset philosophiae positum in finibus bonorum et malorum, perpurgatus est is locus[b] a nobis quinque libris, ut quid a quoque et quid contra quemque philosophum diceretur intellegi posset. Totidem subsecuti libri Tusculanarum disputationum res ad beate vivendum maxime necessarias aperuerunt. Primus enim est de con-

temnenda morte, secundus de tolerando dolore, de aegritudine lenienda tertius, quartus de reliquis animi perturbationibus, quintus eum locum complexus est, qui totam philosophiam maxime inlustrat[c]; docet enim ad beate vivendum virtutem se ipsa esse contentam. 3. Quibus rebus editis tres libri perfecti sunt de Natura Deorum, in quibus omnis eius loci quaestio continetur. Quae ut plane esset cumulateque perfecta, de Divinatione ingressi sumus his libris scribere; quibus, ut est in animo, de Fato si adiunxerimus, erit abunde satisfactum toti huic quaestioni. Atque his libris adnumerandi sunt sex de Re publica, quos tunc scripsimus, cum gubernacula rei publicae tenebamus. Magnus locus philosophiaeque proprius a Platone, Aristotele, Theophrasto totaque Peripateticorum familia tractatus uberrime[d]. Nam quid ego de Consolatione dicam? quae mihi quidem ipsi sane aliquantum medetur, ceteris item multum illam profuturam puto[e]. Interiectus est etiam nuper liber is, quem ad nostrum Atticum de Senectute misimus; in primisque, quoniam philosophia vir bonus efficitur et fortis, Cato noster in horum librorum numero ponendus est. 4. Cumque Aristoteles itemque Theophrastus, excellentes viri cum subtilitate tum copia, cum philosophia dicendi etiam praecepta coniunxerint, nostri quoque oratorii libri in eundem numerum referendi videntur. Ita tres erunt de Oratore, quartus Brutus, quintus Orator. Adhuc haec erant. Ad reliqua alacri tendebamus animo sic parati, ut nisi quae causa gravior obstitisset, nullum philosophiae locum esse pateremur, qui non Latinis litteris illustratus pateret. — 5. Magnificum illud etiam Romanisque hominibus gloriosum, ut Graecis de philosophia litteris non egeant; quod adsequar profecto, si instituta perfecero. Ac mihi quidem explicandae philosophiae causam adtulit casus gravis civitatis, cum in armis civilibus nec tueri meo more rem publicam nec nihil agere poteram, nec quid potius quod quidem me dignum esset agerem reperiebam[f].

De Cicerone philosopho scripserunt: J. F. Herbart, *ü. d. Philosophie des Cic.,* 1811 (Op. vol. XII 167 sq.). R. Kühner, Ciceronis in philosophiam merita, Hamb. 1825. A. B. Krische, *Forschungen,* Gott. 1840.

Ritter, Hist. philos. IV 106 sq. — De fontibus librorum eius: R. Hirzel, *Untersuchungen z. Cic. philos. Schriften*, Lips. 1877—1883. Th. Schiche, *Jahresb. d. philol. Vereins z. Berlin: Cic. philos. Schriften.* 1880. 1882. P. Schwenke, *Jahresb. f. Altert. Wiss.* 47 (1886), 267 sq.

a. Constantia, quam laudat, Academicorum ea est, ut nihil pro certo affirmarent, sed quidquid cum aliqua probabilitate dici posset, id copiose et eleganter dicerent. Cf. Tusc. V 32. 82; de Off. I 6.

b. Cicero cum Academia nova philosophiam esse tanquam collectionem locorum existimabat, de quibus in utramque partem posset apposite disputari: Tusc. V 18 *philosophi quamcunque rem habent in manibus, in eam quae conveniunt congerunt omnia, etsi alio loco disputata sunt.* — 19. *propriis enim et suis argumentis et admonitionibus tractanda quaeque res est.*

c. Hinc intellegitur plurimum a Cicerone morali philosophiae parti tributum esse: Tusc. IV 57 *sapientiam esse* (dici potest) *rerum divinarum et humanarum scientiam cognitionemque, quae cuiusque rei causa sit. ex quo efficitur ut divina imitetur, humana omnia inferiora virtute ducat.* V. RP 450. Physicam longe postponebat morali, tametsi etiam illam ad cognoscendum utilem esse persuasum habebat: Ac. II 127; de Fin. IV 11.

d. Peripateticos veteres maxime propter multiplicem eruditionem commendare solet, v. de Fin. V 7 *ad eos igitur converte te, quaeso. ex eorum enim scriptis et institutis cum omnis doctrina liberalis, omnis historia, omnis sermo elegans sumi potest, tum varietas est tanta artium, ut nemo sine eo instrumento ad ullam rem illustriorem satis ornatus possit accedere. ab his oratores, ab his imperatores ac rerum publicarum principes exstiterunt. ut ad minora veniam, mathematici poetae musici medici denique ex hac tamquam omnium artium officina profecti sunt.*

e. Ut solacium praeberet in rebus adversis, hoc maxime a philosophia exigebant Romani interque eos Cicero, qui tamen hoc genus solacii plus semel queritur haud semper sufficere; v. ad Att. XII 46; Epist. V 15.

f. Intellegitur ex hoc loco philosophiae studium apud Romanos quantopere pependerit a negotiis et officiis civilibus. Et ipse Cicero imprimis propter eloquentiam philosophiae studiis se tradiderat, cf. Brut. 306 sq. Praeceptoribus utebatur Phaedro (Epist. XIII 1) et Zenone Epicureis (D. N. I 59; Tusc. III 38) et praeter illos Philone (Brut. 306; de D. N. I 6) et Antiocho (D. N. I 6; Brut. 315), qui ei Academiam commendabant, denique Diodoto (de D. N. I 6; Ac. II 115; Brut. 309; Tusc. V 113) et Posidonio (D. N. I 6; Tusc. II 61) Stoicis. — Ea opera, quorum mentio fit nostro loco, publicaverat partim eo tempore quo propter primos triumviros, partim eo quo propter Caesarem a civitate remotus vivebat. In quibus componendis quantum pependerit a Graecis ipse diser-

praeceptores

interpretandi ratio

tissime pronuntiat ad Att. XII 523: *ἀπόγραφα sunt: minore labore fiunt: verba tantum affero, quibus abundo.* Contra de Fin. I 6 *quid, si nos,* inquit, *non interpretum fungimur munere, sed tuemur ea quae dicta sunt ab iis quos probamus, eisque nostrum iudicium et nostrum scribendi ordinem adiungimus? quid habent cur Graeca anteponant iis, quae et splendide dicta sint neque sint conversa de Graecis?* Cf. ib. 7; de Off. III 7; Tusc. II 5; Ac. I 9 sq.; de Off. I 1; Parad. 2 *nos ea philosophia plus utimur, quae peperit dicendi copiam et in qua dicuntur ea quae non multum discrepent ab opinione populari.*

450 De Off. I 153. Placet igitur aptiora esse naturae ea officia quae ex communitate, quam ea quae ex cognitione ducantur, idque hoc argumento confirmari potest quod, si contigerit ea vita sapienti, ut omnium rerum affluentibus copiis [quamvis] omnia quae cognitione digna sunt summo otio secum ipse consideret et contempletur, tamen, si solitudo tanta sit ut hominem videre non possit, excedat e vita. Princepsque omnium virtutum illa sapientia, quam σοφίαν Graeci vocant — prudentiam enim, quam Graeci φρόνησιν dicunt, aliam quandam intellegimus, quae est rerum expetendarum fugiendarumque scientia — illa autem sapientia, quam principem dixi, rerum est divinarum atque humanarum scientia, in qua continetur deorum et hominum communitas et societas inter ipsos; ea si maxima est, ut est certe, necesse est, quod a communitate ducatur officium, id esse maximum. Etenim cognitio contemplatioque naturae manca quodam modo atque inchoata sit, si nulla actio rerum consequatur. Ea autem actio in hominum commodis tuendis maxime cernitur; pertinet igitur ad societatem generis humani; ergo haec cognitioni anteponenda est. 154. Atque id optimus quisque re ipse ostendit et iudicat. Quis enim est tam cupidus in perspicienda cognoscendaque rerum natura, ut, si ei tractanti contemplantique res cognitione dignissimas subito sit allatum periculum discrimenque patriae, cui subvenire opitularique possit, non illa omnia relinquat atque abiciat, etiamsi dinumerare se stellas aut metiri mundi magnitudinem posse arbitretur? Atque hoc idem in parentis, in amici re aut periculo fecerit. 155. Quibus rebus intellegitur studiis officiisque scientiae praeponenda esse officia iustitiae,

summa philosophiae

quae pertinent ad hominum utilitatem, qua nihil homini esse debet antiquius[a].

a. Disputantur haec adversus Peripateticos, v. RP 339 a fin. Cf. de Rep. I 12 *neque enim est ulla res, in qua propius ad deorum numen virtus accedat humana, quam civitatis aut condere novas aut conservare iam conditas.* Civitatum autem longe perfectissima esse videtur Romana: ib. 70. Adde de Orat. I 195 *fremant omnes licet, dicam quod sentio: bibliothecas mehercule omnium philosophorum unus mihi videtur XII tabularum libellus, si quis legum fontes et capita viderit, et auctoritatis pondere et utilitatis ubertate superare.*

quaestiones naturales

Ac. II 122. Latent ista omnia, Luculle, crassis occultata et circumfusa tenebris, ut nulla acies humani ingenii tanta sit, quae penetrare in caelum, terram intrare possit; corpora nostra non novimus, qui sint situs partium, quam vim quaeque pars habeat ignoramus. Itaque medici ipsi, quorum intererat ea nosse, aperuerunt ut viderentur; nec eo tamen aiunt empirici notiora esse illa, quia possit fieri ut patefacta et detecta mutentur. Sed ecquid nos eodem modo rerum naturas persecare, aperire, dividere possumus, ut videamus terra penitusne defixa sit et quasi radicibus suis haereat an media pendeat? — 124. Sed redeo ad animum et corpus. Satisne tandem ea nota sunt nobis, quae nervorum natura sit, quae venarum? tenemusne quid animus sit? ubi sit? denique sitne an, ut Dicaearcho visum est, ne sit quidem ullus? Si est, tresne partes habeat, ut Platoni placuit, rationis, irae, cupiditatis, an simplex unusque sit? Si simplex, utrum sit ignis an anima an sanguis an, ut Xenocrates, numerus nullo corpore? (quod intellegi quale sit vix potest) et quidquid est mortale sit an aeternum? nam utramque in partem multa dicuntur. Horum aliquid vestro[a] sapienti certum videtur: nostro ne quid maxime quidem probabile sit occurrit; ita sunt in plerisque contrariarum rationum paria momenta. — 127. Nec tamen istas quaestiones physicorum exterminandas puto. Est enim animorum ingeniorumque naturale quoddam quasi pabulum consideratio contemplatioque naturae; erigimur, altiores fieri videmur, humana despicimus cogitantesque supera atque caelestia haec nostra ut exigua et minima contemnimus.

Indagatio ipsa rerum cum maximarum tum etiam occultissimarum habet oblectationem; si vero aliquid occurrit, quod veri simile videatur, humanissima completur animus voluptate. 128. Quaeret igitur haec et vester sapiens et hic noster, sed vester ut assentiatur, credat, affirmet, noster ut vereatur temere opinari praeclareque agi secum putet, si in eius modi rebus veri simile quod sit invenerit. — Non mihi videntur considerare, cum physica ista valde adfirmant, earum etiam rerum auctoritatem se, quae illustriores videantur, amittere. Non enim magis adsentiuntur nec adprobant lucere nunc quam, cum cornix cecinerit, tum aliquid eam aut iubere aut vetare, nec magis adfirmabunt signum illud, si erunt mensi, sex pedum esse quam solem, quem metiri non possunt, plus quam duodeviginti partibus maiorem esse quam terram. Ex quo illa conclusio nascitur: si sol quantus sit percipi non potest, qui ceteras res eodem modo quo magnitudinem solis adprobat, is eas res non percipit; magnitudo autem solis percipi non potest; qui igitur id adprobat quasi percipiat, nullam rem percipit. Responderint posse percipi quantus sol sit. Non repugnabo, dum modo eodem pacto cetera percipi comprehendique dicant. Nec enim possunt dicere aliud alio magis minusve comprehendi, quoniam omnium rerum una est definitio comprehendendi[b].

a. Vester sapiens est Antiochus, noster nova Academia.

b. Cf. D. N. I 60 *omnibus fere in rebus, sed maxime in physicis quid non sit citius quam quid sit dixerim.* Fin. IV 11 sq. — Ex singulis physicorum locis ea tantum studiose perquirit quae faciant ad dei notionem animaeque humanae substantiam.

452 Cic. Tusc. Disp. I 65. Non enim ambrosia deos aut nectare aut Iuventate pocula ministrante laetari arbitror, nec Homerum audio, qui Ganymeden ab dis raptum ait propter formam, ut Iovi bibere ministraret, non iusta causa cur Laomedonti tanta fieret iniuria. Fingebat haec Homerus et humana ad deos transferebat[a]; divina mallem ad nos. Quae autem divina? Vigere, sapere, invenire, meminisse. Ergo animus, ut ego dico, divinus est, ut Euripides dicere audet, deus[b], et quidem, si deus aut anima aut ignis est, idem est animus

animus hominis. Nam ut illa natura caelestis et terra vacat et umore, sic utriusque harum rerum humanus animus est expers. Sin autem est quinta quaedam natura, ab Aristotele inducta primum, haec et deorum est et animorum. Hanc nos sententiam secuti his ipsis verbis in Consolatione [hoc] expressimus: 66. „Animorum nulla in terris origo inveniri potest. Nihil enim est in animis mixtum atque concretum aut quod ex terra natum atque fictum esse videatur, nihil ne aut umidum quidem aut flabile aut igneum[c]. His enim in naturis nihil inest quod vim memoriae, mentis, cogitationis habeat, quod et praeterita teneat et futura provideat et complecti possit praesentia, quae sola divina sunt, nec invenietur unquam unde ad hominem venire possint nisi a deo. Singularis est igitur quaedam natura atque vis animi seiuncta ab his usitatis notisque naturis. Ita quidquid est illud quod sentit, quod sapit, quod vivit, quod viget, caeleste et divinum ob eamque rem aeternum sit necesse est[d]. Nec vero deus ipse, qui intellegitur a nobis, alio modo intellegi potest nisi mens soluta quaedam et libera, segregata ab omni concretione mortali, omnia sentiens et movens ipsaque praedita motu sempiterno“[e].

a. Vulgaribus de dis opinionibus cum minime faveat (Leg. II 26; D. N. III 38 sq.), tamen deos esse communi gentium persuasione popularique cultu probari putat (Tusc. I 30; Leg. I 24). Stoicorum quidem argumenta adeo carere pondere censet, ut rem non expediant, sed dubiam faciant (D. N. III 10); multa enim in natura esse, quorum quae ratio sit vix dici queat (Ac. II 119). Attamen veri similius videtur esse deos quam non esse (D. N. I 2; III 95). Cf. etiam de Div. II 149 *quam ob rem ut religio propaganda etiam est, quae est iuncta cum cognitione naturae, sic superstitionis stirpes omnes eligendae.*

b. Cf. Rep. VI 26; Off. III 44.

c. Cf. Fin. IV 28 *cuiuscunque enim modi animal constitueris, necesse est, etiam si id sine corpore sit, ut fingimus, tamen esse in animo quaedam similia eorum quae sunt in corpore.* Tusc. I 50.

d. De immortalitate animae quae a philosophis doceantur et optimi cuiusque probentur iudicio veri similia esse existimat, sed poetarum de inferis fabulas contemptui habet: Tusc. I 48. 51. 78; Cat. m. 77. 84.

e. Dei cogitatio quam sit implicata demonstrat Tusc. I 51; D. N. III 38, alibi. Summum aliquem deum esse efficit Leg. I 23; Tusc. I 70;

quem Peripateticorum fere modo describit Ac. I 29; Rep. VI 17. 26. — De malis vitae humanae cf. D. N. III 69. 79.

453 De Fato 24. Communi igitur consuetudine sermonis abutimur, cum ita dicimus, velle aliquid quempiam aut nolle sine causa; ita enim dicimus „sine causa“, ut dicamus sine externa et antecedente causa, non sine aliqua. Ut, cum vas inane dicimus, non ita loquimur, ut physici, quibus inane esse nihil placet, sed ita, ut verbi causa sine aqua, sine vino, sine oleo vas esse dicamus, sic, cum sine causa animum dicimus moveri, sine antecedente et externa causa moveri, non omnino sine causa dicimus. De ipsa atomo dici potest, cum per inane moveatur gravitate et pondere, sine causa moveri, quia nulla causa accedat extrinsecus. 25. Rursus autem, ne omnes physici inrideant nos, si dicamus quicquam fieri sine causa, distinguendum est et ita dicendum, ipsius individui hanc esse naturam, ut pondere et gravitate moveatur, eamque ipsam esse causam cur ita feratur. Similiter ad animorum motus voluntarios non est requirenda externa causa; motus enim voluntarius eam naturam in se ipse continet, ut sit in nostra potestate nobisque pareat, nec id sine causa[a]. causarum genera

a. Sequitur in his Carneadem, cf. RP 437 a. — Voluntatem liberam esse adeo persuasum habet, ut malit negare omnem enuntiationem esse veram aut falsam, quam fato omnia fieri comprobare: de Fato 21.

454 De Leg. I 38. Iis omnibus, sive in Academia vetere cum Speusippo, Xenocrate, Polemone manserunt, sive Aristotelem et Theophrastum cum illis congruentis re, genere docendi paulum differentis secuti sunt, sive, ut Zenoni visum est, rebus non commutatis immutaverunt vocabula, sive etiam Aristonis difficilem atque arduam, sed iam tamen fractam et convictam sectam secuti sunt, ut virtutibus exceptis atque vitiis cetera in summa aequalitate ponerent, — his omnibus haec, quae dixi, probantur[a]. 39. Sibi autem indulgentis et corpori deservientis atque omnia, quae sequantur in vita quaeque fugiant, voluptatibus et doloribus ponderantis, etiam si vera dicunt (nihil enim opus est hoc loco litibus), in hortulis suis iubeamus dicere atque etiam ab omni societate philosophorum consensus

reipublicae, cuius partem nec norunt ullam neque unquam nosse voluerunt, paulisper facessant rogemus[b]. Perturbatricem autem harum omnium rerum Academiam, hanc ab Arcesila et Carneade recentem, exoremus ut sileat; nam si invaserit in haec, quae satis scite nobis instructa et composita videntur, nimias edet ruinas; quam quidem ego placare cupio, summovere non audeo.

a. Sermo est de moribus et vita civili, de quibus Ciceroni consentire videntur Academia vetus et Peripatetici (de Or. III 67; Ac. I 17) itemque Stoici, nimirum recentiores (Fin. IV 15); nam Chrysippum ita loqui dicit, ac si statuat hominis naturam nihil nisi animam esse (Fin. IV 28). De Aristone v. RP 386.

b. De Cyrenaicorum et Aristippi doctrina cf. praeterea Off. I 5; Ac. II 139; Fin. II 74.

vita beata

Tusc. V 1. Placere tibi admodum sensi et ex eo libro, 455
quem ad me accuratissime scripsisti[a], et ex multis sermonibus tuis virtutem ad beate vivendum se ipsa esse contentam. Quod etsi difficile est probatu propter tam varia et tam multa tormenta fortunae, tale tamen est ut elaborandum sit quo facilius probetur; nihil est enim omnium, quae in philosophia tractantur, quod gravius magnificentiusque dicatur. — 3. Equidem eos casus, in quibus me fortuna vehementer exercuit, mecum ipse considerans huic incipio sententiae diffidere interdum et humani generis imbecillitatem fragilitatemque extimescere. Vereor enim ne natura, cum corpora nobis infirma dedisset iisque et morbos insanabilis et dolores intolerabilis adiunxisset, animos quoque dederit et corporum doloribus congruentis et separatim suis angoribus et molestiis implicatos. 4. Sed in hoc me ipse castigo, quod ex aliorum et ex nostra fortasse mollitia, non ex ipsa virtute de virtutis robore existumo. Illa enim, si modo est ulla virtus, quam dubitationem avunculus tuus[b], Brute, sustulit, omnia quae cadere in hominem possunt subter se habet eaque despiciens casus contemnit humanos culpaque omni carens praeter se ipsam nihil censet ad se pertinere. Nos autem omnia adversa cum venientia metu augentes tum maerore praesentia rerum naturam quam errorem nostrum damnare malumus[c].

a. M. Iun. Brutus, qui ediderat librum de virtute ad Ciceronem missum, maxime veterem Academiam sequebatur, in morali autem cum Stoicis faciebat sicuti Antiochus: Plut. Brut. 2; RP 446b.

b. Cato Uticensis et ab eiusdem et ab inferioris aetatis Romanis habebatur perfectissimi Stoici exemplar, cf. Cic. Brut. 118; Parad. 2; Senec. Provid. II 9.

c. Cicero etsi in morali doctrina ut Epicurum acerrime impugnabat ita Stoicis vel maxime favebat, tamen neque audebat illos toto animo sequi neque de vetere Academia et Peripateticis iudicans sibi ipse constabat, cf. Tusc. V 75; IV 38; Ac. II 135; Parad. 1 sq.; Fin. IV 21. 42. 52; Offic. III 14. 33; Lael. 18.

456 De Fin. II 45. Honestum igitur id intellegimus, quod tale est ut detracta omni utilitate sine ullis praemiis fructibusve per se ipsum possit iure laudari. Quod quale sit non tam definitione, qua sum usus, intellegi potest, quamquam aliquantum potest, quam communi omnium iudicio et optimi cuiusque studiis atque factis, qui permulta ob eam unam causam faciunt, quia decet, quia rectum, quia honestum est, etsi nullum consecuturum emolumentum vident[a]. honestum

a. Ib. V 61 *hoc autem loco tantum explicemus, haec honesta, quae dico, praeterquam quod nosmet ipsos diligamus, praeterea suapte natura per se esse expetenda. indicant pueri, in quibus ut in speculis natura cernitur.* — 62. *sed haec in pueris; expressa vero in iis aetatibus, quae iam confirmatae sunt. quis est tam dissimilis homini, qui non moveatur et offensione turpitudinis et comprobatione honestatis? quis est qui non oderit libidinosam, protervam adulescentiam? quis contra in illa aetate pudorem, constantiam, etiamsi sua nihil intersit, non tamen diligat?* — Gloriam dicit formam habere honestatis et similitudinem neque vero cum ipso honesto esse confundendam: Fin. V 69. 65. 60; II 49; Offic. I 14. gloria

457 De Off. I 93. Sequitur ut de una reliqua parte honestatis dicendum sit, in qua verecundia et quasi quidam ornatus vitae, temperantia et modestia omnisque sedatio perturbationum animi et rerum modus cernitur. Hoc loco continetur id quod dici Latine decorum potest; Graece enim πρέπον dicitur. Huius vis ea est ut ab honesto non queat separari; nam et quod decet honestum est et quod honestum est decet; qualis autem differentia sit honesti et decori facilius intellegi quam explanari potest. — 98. Ut enim pulchritudo corporis apta compositione membrorum movet oculos decorum

et delectat hoc ipso, quod inter se omnes partes cum quodam lepore consentiunt, sic hoc decorum, quod elucet in vita, movet adprobationem eorum, quibuscum vivitur, ordine et constantia et moderatione dictorum omnium atque factorum. 99. Adhibenda est igitur quaedam reverentia adversus homines et optimi cuiusque et reliquorum. Nam neglegere quid de se quisque sentiat non solum arrogantis est, sed etiam omnino dissoluti. Est autem quod differat in hominum ratione habenda inter iustitiam et verecundiam. Iustitiae partes sunt non violare homines, verecundiae non offendere; in quo maxume vis perspicitur decori.

sua cuique natura est sequenda

De Off. I 110. Admodum autem tenenda sunt sua cui- 458
que non vitiosa, sed tamen propria, quo facilius decorum illud quod quaerimus retineatur. Sic enim est faciendum, ut contra universam naturam nihil contendamus, ea tamen conservata propriam nostram sequamur, ut, etiamsi sint alia graviora atque meliora, tamen nos studia nostra nostrae naturae regula metiamur; neque enim attinet naturae repugnare nec quicquam sequi quod assequi non queas. Ex quo magis emergit quale sit decorum illud, ideo quia nihil decet invita Minerva, ut aiunt, id est adversante et repugnante natura. — 119. Nam cum in omnibus quae aguntur ex eo, quo modo quisque natus est, ut supra dictum est, quid deceat exquirimus, tum in tota vita constituenda multo est ei rei cura maior adhibenda, ut constare in perpetuitate vitae possimus nobismet ipsis nec in ullo officio claudicare. 120. Ad hanc autem rationem quoniam maximam vim natura habet, fortuna proximam, utriusque omnino habenda ratio est in deligendo genere vitae, sed naturae magis; multo enim et firmior est et constantior[a].

a. Cf. de Off. I 115 *ipsarum virtutum in alia alius mavult excellere.* In his deserit Stoicorum rigorem ad molliora Peripateticorum decreta inclinans.

Sextii.

459 Senec. Quaest. Nat. VII 32, 2. Sextiorum nova et Romani roboris secta inter initia sua, cum magno impetu coepisset, exstincta est[a]. schola

a. Princeps Sextiorum erat Q. Sextius, quem memorat Seneca non recepisse latum clavum dante divo Iulio, ep. 98, 13. Sequebantur eum Q. Sextius filius, Sotion Alexandrinus, Cornelius Celsus, Papirius Fabianus (**RP** 446), L. Crassicius, alii. Cf. Senec. Controv. II praef.; Quintil. Inst. X 1, 124 (**RP** 446); Sueton. de Gramm. 18, Mam. Claudian. de Stat. An. II 8. Scripsit Sextius *Graecis verbis, Romanis moribus* (Senec. Ep. 59, 7). Stoicum germanum fuisse Sextium affirmat Senec. Ep. 64, 2 (*magni, si quid mihi credis, viri et licet neget Stoici*). — De Sexti sententiarum collectione ad herum Sextiorum alterutrum a nonnullis viris doctis nuper relata cf. Sexti Sentent. ed. Gildemeister, Bonn. 1873; Z. III 1 [3] 677 [5]. — De A. Cornelio Celso (**RP** 446 a), qui scripserat magnum opus, varia doctrina refertum, cuius sex libri erant de philosophorum opinionibus, octo de medicina exstant, cf. C. Kissel, *A. Corn. Celsus*, Gissen. 1844; O. Jahn, Comm. Soc. litt. Saxon. a. 1850 p. 273 sq.; Diels, Dox. 183; L. Schwabe, *Hermes* XIX (1884) 385.

460 A Senec. Ep. 64, 3. Cum legeris Sextium dices: „vivit, viget, liber est, supra hominem est, dimittit me plenum ingentis fiduciae“. In qua positione mentis sim, cum hunc lego, fatebor tibi: libet omnes casus provocare, libet exclamare: „quid cessas fortuna? congredere; paratum vides“. libertas animi

460 B Senec. de Ira III 36, 1. Faciebat hoc Sextius, ut consummato die, cum se ad nocturnam quietem recepisset, interrogaret animum suum: quod hodie malum tuum sanasti? cui vitio obstitisti? qua parte melior es?[a] sui exploratio

a. Hoc non minus quam quod animalibus se abstinebat Pythagoreos redolet, quorum in numero Sextius est Eusebio, Chron. Ol. 195, 1. Item ad Pythagoreos referebatur iam P. Nigidius Figulus, Ciceronis familiaris, *vir cum ceteris artibus — ornatus omnibus, tum acer investigator et diligens earum rerum, quae a natura involutae videntur:* Cic. Tim. 1; Gell. XIX 14, 1 sq. Nigidius

Cynici.

Demetrius Sen. de Benef. VII 1, 3. Egregie enim hoc dicere Demetrius[a] Cynicus, vir meo iudicio magnus, etiam si maximis comparetur, solet: „Plus prodesse, si pauca praecepta sapientiae teneas, sed illa in promptu tibi et in usu sint, quam si multa quidem didiceris, sed illa non habeas ad manum. 4. Quemadmodum, inquit, magnus luctator est non qui omnes numeros nexusque perdidicit, quorum usus sub adversario rarus est, sed qui in uno se aut altero bene et diligenter exercuit et eorum occasiones intentus exspectat (nec enim refert quam multa sciat, si scit quantum victoriae satis est): sic in hoc studio multa delectant, pauca vincunt. 5. Licet nescias quae ratio Oceanum effundat ac revocet; quare septimus quisque annus aetati signum inprimat; quare latitudo porticus ex remoto spectantibus non servet proportionem suam, sed ultima in angustius coeant, et columnarum novissime intervalla iungantur; quid sit quod geminorum conceptum separet, partum iungat; utrum unus concubitus spargatur in duos an toties concepti sint; cur pariter natis fata diversa sint maximisque rerum spatiis distent quorum inter ortus minimum interest. 6. Non multum tibi nocebit transisse quae nec licet scire nec prodest. Involuta veritas in alto latet. Nec de malignitate naturae queri possumus, quia nullius rei difficilis inventio est nisi cuius hic unus inventae fructus est, invenisse: quidquid nos meliores beatosque facturum est aut in aperto aut in proximo posuit. 7. Si animus fortuita contempsit, si se supra metum sustulit nec avida spe infinita conplectitur, sed didicit a se petere divitias; si deorum hominumque formidinem eiecit et scit non multum esse ab homine timendum, a deo nihil; si contemptor omnium, quibus torquetur vita dum ornatur, eo perductus est ut illi liqueat mortem nullius mali materiam esse, multorum finem; si animum virtuti consecravit et quacunque vocat illa planum putat; si, sociale animal et in commune genitus, mundum ut unam omnium domum spectat et conscientiam suam dis aperuit semperque

tanquam in publico vivit se magis veritus quam alios: subductus ille tempestatibus in solido ac sereno stetit consummavitque scientiam utilem atque necessariam. Reliqua oblectamenta otii sunt. Licet enim iam in tutum retracto animo ad haec quoque excurrere, cultum non robur ingeniis afferentia."

a. Demetrius, Thraseae Pacti et Senecae familiaris, Romae vivebat, Cynicorum praecepta sub Nerone et Vespasiano publice tradens; Senec. Ep. 62, 3; de Prov. 3, 3; 5, 5; Tac. Ann. XVI 34; Hist. IV 40. Recte Lipsius Cynicos dicit huius aetatis a Stoicis *tunica tantum distare* (Iuv. XIII 122), i. e. nudius et inverecundius proferre quae velent et tegant leviter Stoici. Quo facit quod Seneca Ep. 62, 3 Demetrium appellat *seminudum*. Litteras vero apertius quam Stoici aspernabantur itemque popularem cultum deorum, quod prae ceteris videmus in Demonacte, Demonax qui Athenis (circ. a. 130) degebat eratque exemplum Cynicorum: [Lucian.] Demon. 11. Ab alio Cynico, qui erat regnante Hadriano, Oenomao Oenomaus Gadareno, oraculorum fides infestabatur: Euseb. Pr. Ev. V 18, 6. In impudentiam ac simulationem Cynicorum quantum saevierit Lucianus in vulgus notum est. Cf. J. Bernays, *Lucian u. d. Kyniker*, Berol. 1879; J. Vahlen in Ind. Lect. hib. Berol. 1882.

Stoici.

462 Gell. Noct. Att. XII 2, 1. De Annaeo Seneca partim Seneca existimant ut de sriptore minime utili, cuius libros adtingere nullum pretium operae sit, quod oratio eius vulgaria videatur et protrita, res atque sententiae aut inepto inanique impetu sint aut ut levi et causidicali argutia, eruditio autem vernacula et plebeia nihilque ex veterum scriptis habens neque gratiae neque dignitatis. Alii vero elegantiae quidem in verbis parum esse non infitias eunt, sed et rerum quas dicat scientiam doctrinamque ei non deesse dicunt et in vitiis morum obiurgandis severitatem gravitatemque non invenustam[a].

Senecae scripta ed. Fickert, Lips. 1841 sq.; Haase, Lips. 1852 sq.; dialog. l. XII rec. Gertz, 1886. — De philosophia eius cf. Holzherr, *d. Philos. Ann. Seneca*, Tubing. 1858 sq. F. Baur, *Seneca u. Paulus*

(*Drei Abhdlgn z. Gesch. d. alt. Philos.*, p. 377 sq.) Lips. 1875. Z. III 1 [3] 693—729.

a. L. Annaeus Seneca Cordubensis, Neronis praeceptor et postea consiliorum moderator, imperatoris iussu mortuus est a. 65. — De dicendi genere eius acerbius iudicat Fronto de Orat. IV 1, paulo humanius Quintilianus Inst. Orat. X 1, 125 sq. Plurimum valet monitorio genere et praeceptivo, de quo ipse loquitur Ep. 94, 45 *in duas partes virtus dividitur, in contemplationem veri et actionem: contemplationem institutio tradit, actionem admonitio,* in qua non tam praeceptis agendum putabat quam decretis: Ep. 95, 34 *in hac ergo morum perversitate desideratur solito vehementius aliquid, quod mala inveterata discutiat: decretis agendum est, ut revellatur penitus falsorum recepta persuasio. his si adiunxerimus praecepta, consolationes, adhortationes, poterunt valere; per se inefficaces sunt.* Cf. RP 446. Moralis philosophiae pars adeo ei cordi est, ut propter illam non solum artes (Ep. 90, 8) disciplinasque fere omnes (Ep. 88; 89) sed etiam logicam et physicam aspernari videatur (Ep. 65; 106; 113), quarum tamen rerum minime est rudis. Qua est animi mobilitate et propensa ad res verbis extollendas voluntate, modo Cynicorum abstinentiam laudat (RP 461), modo cum bonis externis tum potentiae aliquantum concedendum esse arbitratur (de Vit. Beat. 21 sq.; de Ira II 33); modo acerrimum se exhibet cupiditatum censorem (Ep. 85; 92), modo generis humani debilitatem et peccandi consuetudinem commiseratur (de Ira II 8—10). In physicis haud raro ad Posidonii placita prope accedit (cf. Z. III 1 [3] 702. 709; Diels, *Seneca u. Lucan*, Ac. Berol. 1886, p. 7 sq.; Dox. 225), in moralibus vel Epicuro aliquantum concedit, cf. O. Weissenfels, de Seneca Epicureo, Berol. 1886.

hominum nequitia

463 Senec. de Benef. I 10, 1. Hoc maiores nostri questi sunt, hoc nos querimur, hoc posteri nostri querentur, eversos mores, regnare nequitiam, in deterius res humanas et omne fas labi: at ista eodem stant loco stabuntque, paululum dumtaxat ultra aut citra mota, ut fluctus quos aestus accedens longius extulit, recedens interiore litorum vestigio tenuit. — 3. Idem semper de nobis pronuntiare debebimus, malos esse nos, malos fuisse, invitus adiciam et futuros esse[a].

a. Cf. de Clem. I 6, 3 *peccavimus omnes, alii gravia alii leviora, alii ex destinato alii forte impulsi aut aliena nequitia ablati, alii in bonis consiliis parum fortiter stetimus et innocentiam inviti ac renitentes perdidimus. nec deliquimus tantum, sed usque ad extremum aevi delinquemus. etiam si quis tam bene iam purgavit animum, ut nihil obturbare eum amplius possit ac fallere, ad innocentiam tamen peccando pervenit.* — Consentaneum erat ut haec vita ei nihil nisi custodia esse videretur, corpus animi pondus ac poena, mors libertas et ad meliora

transitus: Ep. 65, 16 sq.; 102, 23 sq. Etiam mors voluntaria commendatur: Ep. 12, 10, **RP** 420 b.

464 Tacit. Ann. XV 71. (Musonium) Rufum claritudo nominis expulit; nam — studia iuvenum — praeceptis sapientiae fovebat[a]. **Musonius**

C. Musonii Rufi reliquias ed. J. Venhuizen Peerlkamp, Harlem. 1822. P. Wendland, Quaest. Musonianae, Berol. 1886.

a. Cf. Histor. III 81 *Musonius Rufus equestris ordinis, studium philosophiae et placita Stoicorum aemulatus.* Patria erat Volsiniensis; a Nerone a. 65 Gyara in exsilium eiectus (Iulian. epist. ad Theodor. ed. Papadopulos, Mus. Rh. 42, p. 24, 19), postea sub Vespasiano iterum Romae versabatur amicitia cum Tito coniunctus, cf. Themist. Orat. XIII p. 173 c; Dio Cass. LXVI 13; Suid. s. v. *Μουσώνιος*. Ex scriptis, quae ei a Suida tribuuntur, epistulae ad Apollonium Tyanensem datae adulterinae sunt; ex variis eius de philosophia disputationibus Clemens Alexandrinus multa transcripsit; commentariorum a discipulo quodam editorum reliquiae (cf. Wendland) apud Stobaeum exstant.

465 Musonius ap. Stob. Flor. 56, 18 p. 338, 21 Mein. *Τί δέ; οὐ δεινόν, φαίη τις ἂν ἴσως, ἄνδρα παιδευτικὸν καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως; ναί· δεινὸν γὰρ ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλλον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι οὐκ ἐν πόλει τῷ διδασκάλῳ συνόντες οὐδ᾽ ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος, ἀλλ᾽ ἐργαζόμενον ἐπὶ τῆς ἀργοικίας δρῶντες καὶ ἔργῳ ἐνδεικνύμενον ἅπερ ὑφηγεῖται ὁ λόγος, ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλλον ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλῦόν ἐστι καὶ ἐργαζόμενον μετὰ τοῦ διδασκάλου τὸν μαθητὴν ἀκούειν τι ἅμα περὶ σωφροσύνης ἢ δικαιοσύνης ἢ καρτερίας λέγοντος; πολλῶν μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς, οὐδὲ τὸν ὄχλον τούτων τῶν θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ᾽ ᾧ φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν· ταῦτα γὰρ δὴ τῷ ὄντι ἱκανὰ κατατρῖψαι βίον ἀνθρώπου ἐστί· τὰ δ᾽ ἀναγκαιότατα καὶ χρησιμώτατα μαθεῖν οὐκ ἀδύνατον καὶ πρὸς ἐργασίᾳ γεωργικῇ ὄντας, ἄλλως τε καὶ οὐ διὰ παντὸς ἐργασομένους ἀλλ᾽ ἀναπαύλαις χρησομένους*[a]. **philosophi munus**

a. Est hic locus ex laudatione agriculturae sumptus, quod vitae genus Musonio maxime ad philosophandum accommodatum esse videbatur; omnem enim scientiam inutilem esse existimabat nisi quae moribus vitaeque inserviret: Stob. Flor. 67, 20 p. 7, 9 Mein. *οὐ γὰρ δὴ φιλοσοφεῖν ἕτερόν τι φαίνεται ὂν ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν ἔργῳ δὲ πράττειν.* Floril. Laurent. 13, 123 p. 216, 7 M. *φιλοσοφία καλοκἀγαθίας ἐστὶν ἐπιτήδευσις καὶ οὐδὲν ἕτερον.* Ib. 126 p. 223, 7 *ἀλλὰ καὶ ὅσους μεταχειρίζονται λόγους, τῶν ἔργων φημὶ δεῖν ἕνεκα μεταχειρίζεσθαι αὐτούς,* ubi et viros et feminas ut philosophentur adhortatur, quia sine philosophia virtutem non possint sequi. Stob. Flor. 79, 51 p. 94, 5 M. *ἵνα δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ Διός· τὸ δέ γε εἶναι ἀγαθὸν τῷ φιλόσοφον εἶναι ταὐτόν ἐστιν.* Nam recentiores Stoici sapientiam et virtutem se assequi posse minime diffidebant, cf. Stob. Flor. 117, 8 p. 88, 32 M. Confidentius etiam Seneca Ep. 41, 9 *quid est autem quod ab illo* (homine) *ratio haec exigat? rem facillimam, secundum naturam suam vivere; sed hanc difficilem facit communis insania.*

Epicteti vita

Suid. Ἐπίκτητος Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος, 466
δοῦλος Ἐπαφροδίτου, τῶν σωματοφυλάκων τοῦ βασιλέως Νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος[a] ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε[b]. καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίνου ἔγραψε πολλά[c].

Epicteteae philosophiae monumenta ed. J. Schweighäuser, Lips. 1799 sq. R. Asmus, Quaestiones Epicteteae, Friburg. 1888. H. Schenkl, *Die epikt. Fragm.*, Acad. Vindob. 1887, vol. 115 p. 443 sq.

a. Occasio, qua membra fregerit, ab aliis alia narratur; Simpl. in Epict. Ench. 13 (9) p. 102 b Heins.; Orig. c. Cels. VII 7.

b. Prius Romae docuerat libertate nescimus quo pacto recuperata. Expulsus est sub Domitiano: Gell. N. A. XV 11, 4 *etiam Domitiano imperante senatus consulto eiecti atque urbe et Italia interdicti sunt* (philosophi). 5. *qua tempestate Epictetus quoque philosophus propter id senatus consultum Nicopolim Roma decessit.* Sueton. Domit. 10. Romae audierat Musonium: Arrian. Diss. Epictet. I 7, 32; 9, 29. Nicopoli audiebatur ab Arriano: I praef.; II 6 20.

c. Quod narratur a Nerone usque ad M. Antoninum vixisse vix congruit cum temporum ratione. Ne Hadriani quidem tempora eum attigisse, quod indicare videtur Spartian. Hadr. 16, veri simile est; nam Arrianus, qui post Epicteti mortem dissertationes eius edidit, in hoc opere de solo Traiano commemorat. Neque vero ipse multa scripsit, sed sermones ex ore senis excepti scriptoque mandati sunt ab Arriano, discipulo eius studiosissimo, qui postea etiam gravissimis locis ex disputationibus delectis Manuale Epicteti composuit (Simplic. in Epict. Man. praef. p. 1 b Heins.).

467 Epict. Man. c. 52. Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ ὁ τῆς χρήσεως τῶν θεωρημάτων, οἷον ὁ τοῦ μὴ ψεύδεσθαι. ὁ δεύτερος ὁ τῶν ἀποδείξεων, οἷον πόθεν ὅτι οὐ δεῖ ψεύδεσθαι; τρίτος ὁ αὐτῶν τούτων βεβαιωτικὸς καὶ διαρθρωτικός, οἷον πόθεν ὅτι τοῦτο ἀπόδειξις; τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος; οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον, ὁ δὲ ἀναγκαιότατος καὶ ὅπου ἀναπαύεσθαι δεῖ ὁ πρῶτος[a]. ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή, τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν, πῶς δὲ ἀποδείκνυται ὅτι οὐ δεῖ ψεύδεσθαι πρόχειρον ἔχομεν[b]. philosophiae partium dignitas

a. Primum locum apparet ethicae dari, physicae secundum, tertium logicae, cf. RP 390. — Providentiam dei maximis laudibus extollit: Dissert. I 16, 17 *μέγας ὁ θεός, ὅτι ἡμῖν παρέσχεν ὄργανα τοιαῦτα, δι' ὧν τὴν γῆν ἐργασόμεθα· μέγας ὁ θεός, ὅτι χεῖρας δέδωκεν, ὅτι κατάποσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λεληθότως, ὅτι καθεύδοντας ἀναπνεῖν. ταῦτα ἐφ' ἑκάστου ἐφυμνεῖν ἔδει καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκε τὴν παρακολουθητικὴν τούτοις καὶ ὁδῷ χρηστικήν. τί οὖν; ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν καὶ ὑπὲρ πάντων ᾄδοντα τὸν ὕμνον τὸν εἰς τὸν θεόν; τί γὰρ ἄλλο δύναμαι γέρων χωλός, εἰ μὴ ὑμνεῖν τὸν θεόν; εἰ γοῦν ἀηδὼν ἤμην, ἐποίουν τὰ τῆς ἀηδόνος, εἰ κύκνος, τὰ τοῦ κύκνου· νῦν δὲ λογικός εἰμι, ὑμνεῖν με δεῖ τὸν θεόν.* Cf. ib. I 6. — providentiae laus Ethicam non tam in praeceptis ponebat quam in factis, quibus quemque oporteret ostendere se philosophiam penitus hausisse: ib. I 4; Man. 46, 2 *ἐπεὶ καὶ τὰ πρόβατα οὐ τὸν χόρτον ἐξεμέσαντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν, ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα ἔριον ἔξω φέρει καὶ γάλα. καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα.* ethices finis Quid cuique agendum sit, naturam censet satis bene docere: Diss. I 2, 30 *ἐπύθετό τις πόθεν οὖν αἰσθησόμεθα τοῦ κατὰ πρόσωπον ἕκαστος; πόθεν δ' ὁ ταῦρος, ἔφη, λέοντος ἐπελθόντος μόνος αἰσθάνεται τῆς αὑτοῦ παρασκευῆς καὶ προβέβληκεν ἑαυτὸν ὑπὲρ τῆς ἀγέλης πάσης; ἢ δῆλον ὅτι εὐθὺς ἅμα τῷ τὴν παρασκευὴν ἔχειν ἀπαντᾷ καὶ συναίσθησις αὐτῆς. καὶ ἡμῶν τοίνυν ὅστις ἂν ἔχῃ τοιαύτην παρασκευὴν οὐκ ἀγνοήσει αὐτήν· ἄφνω δὲ ταῦρος οὐ γίνεται οὐδὲ γενναῖος ἄνθρωπος· ἀλλὰ δεῖ χειμασκῆσαι, παρασκευάσασθαι καὶ μὴ εἰκῇ προσπηδᾶν ἐπὶ τὰ μηδὲν προσήκοντα.* natura magistra

b. Non semel queritur Stoicos sibi aequales sectari inanes disceptationes; v. Diss. II 12.

arbitrii humani fines

Man. 1, 1. *Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ᾽ ἡμῖν, τὰ δὲ οὐκ ἐφ᾽ ἡμῖν· ἐφ᾽ ἡμῖν μὲν ὑπόληψις ὁρμὴ ὄρεξις ἔκκλισις καὶ ἑνὶ λόγῳ ὅσα ἡμέτερα ἔργα*[a], *οὐκ ἐφ᾽ ἡμῖν δὲ τὸ σῶμα ἡ κτῆσις δόξαι ἀρχαὶ καὶ ἑνὶ λόγῳ ὅσα οὐχ ἡμέτερα ἔργα. καὶ τὰ μὲν ἐφ᾽ ἡμῖν ἐστι φύσει ἐλεύθερα ἀκώλυτα ἀπαρεμπόδιστα, τὰ δ᾽ οὐκ ἐφ᾽ ἡμῖν ἀσθενῆ δοῦλα κωλυτὰ ἀλλότρια. μέμνησο οὖν ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ πενθήσεις ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους. ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον ὥσπερ ἐστὶν ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινί, ἄκων πράξεις οὐδὲ ἕν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις, οὐδὲ γὰρ βλαβερόν τι πείσῃ*[b]. *τηλικούτων οὖν ἐφιέμενος μέμνησο ὅτι οὐ δεῖ οὐδὲ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ᾽ ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτ᾽ ἐθέλῃς καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ᾽ αὐτῶν τούτων τεύξῃ διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι᾽ ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία περιγίνεται*[c]. 468

a. In eodem numero habenda sunt *προαίρεσις καὶ πάντα τὰ προαιρετικὰ ἔργα* (Diss. I 22, 10), item *φαντασίαι* (I 8, 16), unde ratio dicitur *ἡ χρηστικὴ δύναμις ταῖς φαντασίαις*, (I 1, 12); cf. Man. 6. *τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν.* — Voluntatis humanae libertas quomodo congruat cum fati necessitate examinare omittit, sed hominem a bestiis differre docet facultate res ratione percipiendi (*δυνάμει παρακολουθητικῇ*): Diss. I 6, 12; I 17, 21; II 8, 4. Cf. ib. I 1, 7 *ὥσπερ οὖν ἦν ἄξιον, τὸ κράτιστον ἁπάντων καὶ κυριεῦον οἱ θεοὶ μόνον ἐφ᾽ ἡμῖν ἐποίησαν, τὴν χρῆσιν τὴν ὀρθὴν ταῖς φαντασίαις, τὰ δὲ ἄλλα οὐκ ἐφ᾽ ἡμῖν. ἆρά γε ὅτι οὐκ ἤθελον; ἐγὼ μὲν δοκῶ ὅτι, εἰ ἠδύναντο, κἀκεῖνα ἂν ἡμῖν ἐπέτρεψαν, ἀλλὰ πάντως οὐκ ἠδύναντο· ἐπὶ γῆς γὰρ ὄντας καὶ σώματι συνδεδεμένους τοιούτῳ καὶ κοινωνοῖς τοιούτοις, πῶς οἷόν τ᾽ ἦν εἰς ταῦτα ὑπὸ τῶν ἐκτὸς μὴ ἐμποδίζεσθαι;*

b. Etenim omne et bonum et malum in cogitationibus nostris, quae penderent a nobismet ipsis, positum esse statuebat: Diss. III 3, 18 *τί γάρ ἐστι τὸ κλαίειν καὶ οἰμώζειν; δόγμα. τί δυστυχία; δόγμα. τί στάσις; τί διχόνοια; τί μέμψις; τί κατηγορία; τί ἀσέβεια; τί φλυαρία; ταῦτα πάντα δόγματά ἐστι καὶ ἄλλο οὐδέν· καὶ δόγματα περὶ τῶν ἀπροαιρέτων ὡς ὄντων ἀγαθῶν καὶ κακῶν. ταῦτά τις ἐπὶ τὰ προαιρετικὰ μεταθέτω, κἀγὼ αὐτὸν ἐγγυῶμαι ὅτι εὐσταθήσει ὡς ἂν ἔχῃ τὰ περὶ αὐτόν.* Ib. II 8, 1 *ὁ θεὸς ὠφέλιμος. ἀλλὰ καὶ τἀγαθὸν ὠφέλιμον. εἰκὸς οὖν,*

ὅπου ἡ οὐσία τοῦ θεοῦ, ἐκεῖ εἶναι καὶ τὴν τοῦ ἀγαθοῦ. τίς οὖν οὐσία θεοῦ; σάρξ; μὴ γένοιτο. ἀγρός; μὴ γένοιτο. φήμη; μὴ γένοιτο. νοῦς, ἐπιστήμη, λόγος ὀρθός; ναί. ἐνταῦθα τοίνυν ἁπλῶς ζήτει τὴν οὐσίαν τοῦ ἀγαθοῦ. Ib. II 1, 4 ἡ οὐσία τοῦ ἀγαθοῦ ἐστιν ἐν χρήσει φαντασιῶν καὶ τοῦ κακοῦ ὡσαύτως, τὰ δ' ἀπροαίρετα οὔτε τὴν τοῦ κακοῦ δέχεται φύσιν οὔτε τὴν τοῦ ἀγαθοῦ.

c. Felicitatem enim et libertatem is sibi comparabit qui externa contemnere et omnia toleranter perferre didicerit: unde summam doctrinae Epicteteae venire in haec ait Gellius XVII 19, 6: ἀνέχου καὶ ἀπέχου. Man. 48, 1 φιλοσόφου στάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

469 Diss. IV 1, 1. Ἐλεύθερός ἐστιν ὁ ζῶν ὡς βούλεται· ὃν οὔτ' ἀναγκάσαι ἔστιν οὔτε κωλῦσαι οὔτε βιάσασθαι· οὗ αἱ ὁρμαὶ ἀνεμπόδιστοι, αἱ ὀρέξεις ἐπιτευκτικαί, αἱ ἐκκλίσεις ἀπερίπτωτοι. τίς οὖν θέλει ζῆν ἁμαρτάνων; οὐδείς. τίς θέλει ζῆν ἐξαπατώμενος προπίπτων ἄδικος ὤν, ἀκόλαστος μεμψίμοιρος ταπεινός; οὐδείς. οὐδεὶς ἄρα τῶν φαύλων ζῇ ὡς βούλεται· οὐ τοίνυν οὐδ' ἐλεύθερός ἐστι. τίς δὲ θέλει λυπούμενος ζῆν φοβούμενος, φθονῶν ἐλεῶν, ὀρεγόμενος καὶ ἀποτυγχάνων, ἐκκλίνων καὶ περιπίπτων; οὐδείς. ἔχομεν οὖν τινα τῶν φαύλων ἄλυπον ἄφοβον ἀπερίπτωτον ἀναπότευκτον; οὐδένα. οὐκ ἄρα οὐδὲ ἐλεύθερον[a]. vera libertas

a. Man. 14, 1 ἐὰν θέλῃς τὰ τέκνα σου καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπὶ σοὶ θέλεις ἐπὶ σοὶ εἶναι, καὶ τὰ ἀλλότρια σὰ εἶναι. οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν ἀλλ' ἄλλο τι. ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει ὃ δύνασαι. Aptius Man. 12, 1 κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι ἢ σὲ κακοδαίμονα. — Non modo parentes ac necessarios sed etiam patriam in indifferentibus ponere (Diss. I 22, 10 sq.; III 3, 5 sq.), neque misericordia abripi sapientis esse censebat: Man. 16 ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει ἢ ἀποδημοῦντος τέκνου ἢ ἀποθανόντος ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ καὶ λέγειν ἔστω πρόχειρον ὅτι τοῦτον θλίβει οὐ τὸ συμβεβηκός (ἄλλον γὰρ οὐ θλίβει), ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, καὶ συνεπιστενάξαι. πρόσεχε μέντοι μὴ καὶ ἔσωθεν στενάξῃς.

470 Man. 11. Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς ὅτι ἀπώλεσα αὐτό, ἀλλ' ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ variae in vita sustinendae personae

τοῦτο ἀπεδόθη. ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες. — 15. *Μέμνησο ὅτι ὡς ἐν συμποσίῳ δεῖ σε ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατά σε; ἐκτείνας τὴν χεῖρα κοσμίως μετάλαβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἥκει; μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε μέχρις ἂν γένηται κατὰ σέ. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς πλοῦτον, καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλὰ καὶ ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος καὶ οἱ ὅμοιοι ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο.* — 17. *Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχὺ βραχέος, ἂν μακρὸν μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ, ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ' ἔστι, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ ἄλλου.* — 22. *Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ ὀφρὺν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν. μέμνησό τε διότι, ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου τὸ πρότερον οὗτοί σε ὕστερον θαυμάσονται, ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα*[a].

a. Impatientia sapientis quatenus progredi debeat v. Diss. III 2, 4 *οὐ δεῖ γάρ με εἶναι ἀπαθῆ ὡς ἀνδριάντα, ἀλλὰ τὰς σχέσεις τηροῦντα τὰς φυσικὰς καὶ ἐπιθέτους ὡς εὐσεβῆ, ὡς υἱόν, ὡς ἀδελφόν, ὡς πατέρα, ὡς πολίτην.* Ib. II 7, 10; Man. 24. 32. Nam suae ipsius felicitatis gratia homo etiam aliorum felicitatem curare debet: Epictet. ap. Stob. Flor. I 57 *εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι πάντας ἀγαθοὺς ἔχειν.*

dignitas humana

Diss. II 10, 1. *Σκέψαι τίς εἶ. τὸ πρῶτον ἄνθρωπος.* 471 A *τοῦτο δ' ἔστιν οὐδὲν ἔχων κυριώτερον προαιρέσεως, ἀλλὰ ταύτῃ τὰ ἄλλα ὑποτεταγμένα, αὐτὴν δ' ἀδούλευτον*[1] *καὶ*

1) *ἀδούλευτον* libri: *ἀδούλωτον* Wolf., Salmas.

ἀνυπότακτον[a]. σκόπει οὖν τίνων κεχώρισαι κατὰ λόγον. κεχώρισαι θηρίων, κεχώρισαι προβάτων. ἐπὶ τούτοις πολίτης εἶ τοῦ κόσμου καὶ μέρος αὐτοῦ, οὐχ ἓν τῶν ὑπηρετικῶν, ἀλλὰ τῶν προηγουμένων· παρακολουθητικὸς γὰρ εἶ τῇ θείᾳ διοικήσει καὶ τῶν ἑξῆς ἐπιλογιστικός. τίς οὖν ἐπαγγελία πολίτου; μηδὲν ἔχειν ἰδίᾳ συμφέρον, περὶ μηδενὸς βουλεύεσθαι ὡς ἀπόλυτον, ἀλλ' ὥσπερ ἂν εἰ ἡ χεὶρ ἢ ὁ ποὺς λογισμὸν εἶχον καὶ παρηκολούθουν τῇ φυσικῇ κατασκευῇ, οὐδέποτ' ἂν ἄλλως ὥρμησαν ἢ ὠρέχθησαν ἢ ἐπανενεγκόντες ἐπὶ τὸ ὅλον. διὰ τοῦτο καλῶς λέγουσιν οἱ φιλόσοφοι ὅτι, εἰ προῄδει ὁ καλὸς καὶ ἀγαθὸς τὰ ἐσόμενα, συνήργει ἂν καὶ τῷ νοσεῖν καὶ τῷ ἀποθνήσκειν καὶ τῷ πηροῦσθαι, αἰσθανόμενός γε ὅτι ἀπὸ τῆς τῶν ὅλων διατάξεως τοῦτο ἀπονέμεται. κυριώτερον δὲ τὸ ὅλον τοῦ μέρους καὶ ἡ πόλις τοῦ πολίτου. νῦν δ' ὅτι οὐ προγινώσκομεν, καθήκει τῶν πρὸς ἐκλογὴν εὐφυεστέρων ἔχεσθαι, ὅτι καὶ πρὸς τοῦτο γεγόναμεν[b].

471 B Diss. I 3, 1. Εἴ τις τῷ δόγματι τούτῳ συμπαθῆσαι κατ' ἀξίαν δύναιτο, ὅτι γεγόναμεν ἀπὸ τοῦ θεοῦ πάντες προηγουμένως[c] καὶ ὁ θεὸς πατήρ ἐστι τῶν τ' ἀνθρώπων καὶ τῶν θεῶν, οἶμαι ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ ταπεινὸν ἐνθυμηθήσεται περὶ ἑαυτοῦ. ἀλλ' ἂν μὲν Καῖσαρ εἰσποιήσηταί σε, οὐδείς σου τὴν ὀφρὺν βαστάσει· ἂν δὲ γνῷς ὅτι τοῦ Διὸς υἱὸς εἶ, οὐκ ἐπαρθήσῃ; νῦν δ' οὐ ποιοῦμεν· ἀλλ' ἐπειδὴ δύο ταῦτα ἐν τῇ γενέσει ἡμῶν ἐγκαταμέμικται, τὸ σῶμα μὲν κοινὸν πρὸς τὰ ζῷα, ὁ λόγος δὲ καὶ ἡ γνώμη κοινὸν πρὸς τοὺς θεούς, πολλοὶ μὲν ἐπὶ ταύτην ἀποκλίνουσι τὴν συγγένειαν τὴν ἀτυχῆ καὶ νεκράν, ὀλίγοι δέ τινες ἐπὶ τὴν θείαν καὶ μακαρίαν[d]. ἐπειδὴ τοίνυν ἀνάγκη πάνθ' ὁντινοῦν οὕτως ἑκάστῳ χρῆσθαι ὡς ἂν περὶ αὐτοῦ ὑπολάβῃ, ἐκεῖνοι μὲν οἱ ὀλίγοι, ὅσοι πρὸς πίστιν οἴονται γεγονέναι καὶ πρὸς αἰδῶ καὶ πρὸς ἀσφάλειαν τῆς χρήσεως τῶν φαντασιῶν, οὐδὲν ταπεινὸν οὐδ' ἀγεννὲς ἐνθυμοῦνται περὶ αὐτῶν, οἱ δὲ πολλοὶ τἀναντία. Τί γάρ εἰμι; ταλαίπωρον ἀνθρωπάριον, καὶ τὰ δύστηνά μου σαρκίδια τῷ μὲν ὄντι δύστηνα, ἀλλ' ἔχεις τι καὶ κρεῖσσον τῶν σαρκιδίων. τί οὖν ἀφεὶς ἐκεῖνο προστέτηκας[e]; divina hominis natura

a. Cf. Diss. IV 1, 100 τί μοι δέδωκεν (ὁ θεὸς) ἐμὸν καὶ αὐτεξούσιον; τί αὐτῷ κατέλιπε; τὰ προαιρετικά μοι δέδωκεν, ἐπ' ἐμοὶ πε-

ποίηκεν ἀνεμπόδιστα, ἀκώλυτα. τὸ σῶμα τὸ πήλινον πῶς ἐδύνατο ἀκώλυτον ποιῆσαι; ὑπέταξεν οὖν τῇ τῶν ὅλων περιόδῳ τὴν κτῆσιν, τὰ σκεύη, τὴν οἰκίαν, τὰ τέκνα, τὴν γυναῖκα. Corpus et quae huius vitae sunt maximopere ab eo contemnuntur. Morte liberamur ab onere vitae, cf. Diss. I 9, 10 sq.; Marc. Antonin. IV 41 *ψυχάριον εἶ βαστάζον νεκρόν, ὡς Ἐπίκτητος ἔλεγεν.*

b. Ib. I 12, 26 *οὐκ οἶσθα ἡλίκον μέρος πρὸς τὰ ὅλα; τοῦτο δὲ κατὰ τὸ σῶμα· ὡς κατά γε τὸν λόγον οὐδὲ χείρων τῶν θεῶν οὐδὲ μικρότερος· λόγου γὰρ μέγεθος οὐ μήκει οὐδ᾽ ὕψει κρίνεται, ἀλλὰ δόγμασιν. οὐ θέλεις οὖν καθ᾽ ἃ ἴσος εἶ τοῖς θεοῖς, ἐκεῖ που τίθεσθαι τὸ ἀγαθόν;*

c. Cf. Diss. II 10, RP 471.

d. Omnis enim sapientia et intelligentia a deo repetenda est, etiam philosophia, cf. Diss. III 1, 36 *ἅπαξ ἀκούσας τῶν λόγων τούτων ἀπελθὼν σαυτῷ εἰπέ· Ταῦτά μοι Ἐπίκτητος οὐκ εἴρηκε (πόθεν γὰρ ἐκείνῳ;), ἀλλὰ θεός τίς ποτ᾽ εὐμενὴς δι᾽ ἐκείνου. — ἄγε οὖν τῷ θεῷ πεισθῶμεν, ἵνα μὴ θεοχόλωτοι ὦμεν.*

genius **e.** Diss. I 14, 12 *ἀλλ᾽ οὖν οὐδὲν ἧττον καὶ ἐπίτροπον ἑκάστῳ παρέστησε (ὁ Ζεὺς) τὸν ἑκάστου δαίμονα, καὶ παρέδωκε φυλάσσειν αὐτὸν αὐτῷ καὶ τοῦτον ἀκοίμητον καὶ ἀπαραλόγιστον. τίνι γὰρ ἄλλῳ κρείττονι καὶ ἐπιμελεστέρῳ φύλακι παραδέδωκεν* [1] *ἡμῶν ἕκαστον; ὥσθ᾽ ὅταν κλείσητε τὰς θύρας καὶ σκότος ἔνδον ποιήσητε, μέμνησθε μηδέποτε λέγειν ὅτι μόνοι ἐστέ· οὐ γάρ ἐστε. ἀλλ᾽ ὁ θεὸς ἔνδον ἐστί, καὶ ὁ ὑμέτερος δαίμων ἐστί. καὶ τίς τούτοις χρεία φωτὸς εἰς τὸ βλέπειν τί ποιεῖτε; τούτῳ τῷ θεῷ ἔδει καὶ ὑμᾶς ὀμνύειν ὅρκον, οἷον οἱ στρατιῶται τῷ Καίσαρι.*

A vulgaribus de dis opinionibus Epict. longius recedit quam antiquiores Stoici solebant, cf. Diss. III 13, 15; I 22, 15 sq. Divinationem admittit, sed de levioribus tantum rebus; verum enim vatem eum genium esse docet, qui in cuiusque mente repositus sit: Diss. II 7; Man. 32. Malorum geniorum eorumque deorum, a quibus externa bona repetantur, cultum irridet: Diss. I 19, 6; 22, 16. Reicit fabulas de inferis: omnia nimirum in ea elementa reversura esse, ex quibus quodque conflatum sit: Diss. III 13, 14 sq.

M. Antoninus de animi libertate

Marc. Antonin. Comm. X 33. *Ἀπόλαυσιν γὰρ δεῖ ὑπολαμβάνειν πᾶν, ὃ ἔξεστι κατὰ τὴν ἰδίαν φύσιν ἐνεργεῖν. πανταχοῦ δὲ ἔξεστι. τῷ μὲν οὖν κυλίνδρῳ οὐ πανταχοῦ δίδοται φέρεσθαι τὴν ἰδίαν κίνησιν οὐδὲ τῷ ὕδατι οὐδὲ πυρὶ οὐδὲ τοῖς ἄλλοις, ὅσα ἀπὸ φύσεως ἢ ψυχῆς ἀλόγου διοικεῖ-* 472

1) *ἂν* post *παραδέδωκεν* inserebat Upton, post *τίνι γὰρ* Schweighäuser.

ται· τὰ γὰρ διείργοντα καὶ ἐνιστάμενα πολλά. νοῦς δὲ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕτως πορεύεσθαι δύναται, ὡς πέφυκε καὶ ὡς θέλει.

De M. Aurelio Antonino (regn. a. 161—180) scripserunt: N. Bach, de M. Aur. Ant., Lips. 1826; Zeller, *Vortr. u. Abh.* I 89—116, Lips. 1875. Watson, M. Aur. Ant., Lond. 1884. — Commentarios eius, qui inscribi solent τὰ εἰς ἑαυτόν, ed. J. M. Schultz, Lips. 1821; J. Stich, Lips. 1882.

a. Ib. V 19 τὰ πράγματα αὐτὰ οὐδ' ὁπωστιοῦν ψυχῆς ἅπτεται οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχὴν οὐδὲ τρέψαι οὐδὲ κινῆσαι ψυχὴν δύναται, τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη· καὶ οἵων ἂν κριμάτων καταξιώσῃ ἑαυτήν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προϋφεστῶτα [1]. Cf. RP 468 a. — Inter praeceptores prae ceteris nominandus est Rusticus, qui ei Epicteti dissertationes ad legendum praebuit, cf. Comm. I 6 sq.

473 A Ib. II 13. Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου καὶ τὰ νέρθεν γᾶς, φησίν[a], ἐρευνῶντος καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δὲ ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι καὶ τοῦτον γνησίως θεραπεύειν[b]. cognitio sui

473 B Ib. XII 3. Τρία ἐστὶν ἐξ ὧν συνέστηκας· σωμάτιον, πνευμάτιον, νοῦς. τούτων τἆλλα μέχρι τοῦ ἐπιμελεῖσθαι δεῖν σά ἐστι· τὸ δὲ τρίτον μόνον κυρίως σόν. διὸ [2] ἐὰν χωρίσῃς ἀπὸ σεαυτοῦ, τοῦτ' ἔστιν ἀπὸ τῆς σῆς διανοίας, ὅσα ἄλλοι [3] ποιοῦσιν ἢ λέγουσιν, ἢ ὅσα αὐτὸς ἐποίησας ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσσει σε καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου ἢ τοῦ συμφύτου πνευματίου ἀπροαίρετα πρόσεστιν, καὶ ὅσα ἡ ἔξωθεν περιρρέουσα δίνη ἑλίσσει, ὥστε τῶν συνειμαρμένων ἐξῃρημένην <καὶ>[4] καθαρὰν τὴν νοερὰν δύναμιν ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δίκαια καὶ θέλουσαν τὰ συμβαίνοντα καὶ λέγουσαν τἀληθῆ· ἐὰν χωρίσῃς, φημί, τοῦ ἡγεμονικοῦ τούτου τὰ προσηρτημένα ἐκ προσπαθείας καὶ τοῦ χρόνου τὰ ἐπέκεινα ἢ τὰ παρῳχηκότα, ποιήσῃς τε σεαυτὸν οἷος ὁ Ἐμπεδόκλειος (RP 133 A) hominis partes

Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέϊ γαίων

μόνον τε ζῆν ἐκμελετήσῃς ὃ ζῇς, τοῦτ' ἔστι τὸ παρόν· δυνήσῃ

---

1) προϋφεστῶτα Schneider, Corais: προεφεστῶτα cod. A: προσυφεστῶτα vulgo. — 2) διὸ Gataker: ὃ cod. PA: καὶ Stich. — 3) ἄλλοι Gataker: ἄλλα vulgo. — 4) καὶ inseruit Coraes.

τό γε μέχρι τοῦ ἀποθανεῖν ὑπολειπόμενον ἀταράκτως καὶ εὐγενῶς [1] *καὶ ἵλεως τῷ σεαυτοῦ δαίμονι διαβιῶναι*[c].

a. Pindarus fr. 226 Böckh, cf. Plat. Theaet. 173.

b. Ib. VII 28 *εἰς αὑτὸν συνειλοῦ. φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικόν, ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι.* Ib. 59 *ἔνδον βλέπε. ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.* His iam prope accedit ad Neoplatonicorum sententiam sicut Comm. IV 26 etiam verbis *ἅπλωσον σεαυτόν*, cf. Plotinus RP 522. Cum iisdem facit quod non solum corpus ac vitam et res humanas, sed etiam totum mundum contemnit: III 3 *τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος.* IX 3 *ὡς νῦν περιμένεις πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, οὕτως ἐκδέχεσθαι τὴν ὥραν, ἐν ᾗ τὸ ψυχάριόν σου τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται.* X 31 *οὕτως γὰρ συνεχῶς θεάσῃ τὰ ἀνθρώπινα, καπνὸν καὶ τὸ μηδέν.* IV 3 fin. *ὁ κόσμος ἀλλοίωσις, ὁ βίος ὑπόληψις.* Nihilominus negotia publica subeunda esse statuit eoque se impelli profitetur consideratione officiorum divinitus ipsi impositorum tam hominis quam civis et imperatoris: III 4. 5.

c. Antonini sententiae in plurimis nihil sunt nisi imitationes Epictetearum; in nonnullis tamen ultra procedit velut hac de partibus hominis doctrina, quae similior est Platonicae quam veterum Stoicorum. Cf. Z. III 2[3] 236 sq.

---

1) *εὐγενῶς* vulgo: *εὐμενῶς* Gataker.

Sceptici recentiores.

474 Diog. IX 115. *Τούτου (Τίμωνος) διάδοχος, ὡς μὲν Μηνόδοτός φησι, γέγονεν οὐδείς, ἀλλὰ διέλιπεν ἡ ἀγωγὴ ἕως αὐτὴν Πτολεμαῖος ὁ Κυρηναῖος ἀνεκτήσατο. ὡς δὲ Ἱππόβοτός φησι καὶ Σωτίων, διήκουσαν αὐτοῦ Διοσκουρίδης Κύπριος καὶ Νικόλοχος Ῥόδιος καὶ Εὐφράνωρ Σελευκεὺς Πραΰλος τ' ἀπὸ Τρῳάδος*[a]. — 116. *Εὐφράνορος δὲ διήκουσεν Εὔβουλος Ἀλεξανδρεύς, οὗ Πτολεμαῖος, οὗ Σαρπηδὼν καὶ Ἡρακλείδης, Ἡρακλείδου δ' Αἰνησίδημος Κνώσιος, ὃς καὶ Πυρρωνείων λόγων ὀκτὼ συνέγραψε βιβλία*[b]. *οὗ Ζεύξιππος ὁ Πολίτης, οὗ Ζεῦξις ὁ Γωνιόπους, οὗ Ἀντίοχος Λαοδικεὺς ἀπὸ Λύκου· τούτου δὲ Μηνόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικός, καὶ Θειωδᾶς Λαοδικεύς· Μηνοδότου δὲ Ἡρόδοτος Ἀριέως Ταρσεύς. Ἡροδότου δὲ διήκουσε Σέξτος ὁ ἐμπειρικός, οὗ καὶ τὰ δέκα τῶν Σκεπτικῶν καὶ ἄλλα κάλλιστα· Σέξτου δὲ διήκουσε Σατορνῖνος ὁ Κυθηνᾶς, ἐμπειρικὸς καὶ αὐτός*[c]. **scholae principum successio**

Scripserunt de recentioribus Scepticis: E. Saisset, *le scepticisme*, Paris. 1867. L. Haas, de philos. Scepticor. successionibus, Wirciburg. 1875. R. Hirzel, *Unters.* III 39 sq. P. Natorp, *Forschungen* p. 63 sq. 256 sq. Z. III 2 ³ 1—69. E. Pappenheim, de Sexti Emp. libror. numero et ordine, Berol. 1874. Idem, *Lebensverhältnisse d. S. E.*, Berol. 1875. L. Haas, *Leben d. S. E., Burghausen* 1883. Idem, *ü. d. Schrift. d. S. E.*, Frising. 1883.

a. *Μηνόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικός*, plus semel nominatur a Galeno; in Scepticis una cum Aenesidemo numeratur Sext. Pyrrh. I 222, si librorum lectio *Περμόδοτον* in *Μηνόδοτον* (Fabric.), non in *Ἡρόδοτον* (Pappenh.) mutanda est. De Sotione cf. **RP** 4a. De huius loci interpretatione v. Zeller l. l. 2 ¹.

b. Aenesidemus Cnosius philosophiam tradidit Alexandriae, cf. Aristocl. ap. Euseb. Pr. Ev. XIV 18, 29. Is primus resuscitavit et ultra

persecutus est quae tradita erant a Scepticis antiquioribus (RP 356 sq.). Ex libro eius praecipuo (*Πυρρώνειοι λόγοι*), qui a Diogene (IX 106. 116) laudatur, paucissima excerpsit Photius (Bibl. cod. 212). Praeterea commemoratur eius *ὑποτύπωσις εἰς τὰ Πυρρώνεια* (Diog. IX 78; Aristocl. l. l. 18, 11) et alia (Diog. IX 106).

c. De vitis horum Scepticorum parum liquet, cf. Z. III 2[3] 7—12. Plurimi diserte traduntur medici empirici fuisse, ceteros credibile est eandem professionem secutos esse; cf. Zeller l. l. 14, qui etiam Sextum (Pyrrh. I 236; Math. VIII 327) Scepticorum disciplinam ad methodicam medicorum sectam referentem revincit. Paucorum libri mentionem habent velut Zeuxidis (Diog. IX 106) et Theodae (Galen. de libr. propr. 9.; subfigur. empiric. p. 68 al. ed. Bonnet; Suid. s. v. *Θεοδόσιος*, ubi nominatur *Θευδᾶς*). Neque de temporibus exploratum est. Sextum Empiricum probabile est paulo post Galenum scripsisse; v. Zeller l. l. 7. Hinc profectus si superiora tempora usque ad Timonis aetatem reputaveris, catalogum Laertianum vix integrum esse concedes. Aenesidemus, si quidem libros suos misit ad L. illum Tuberonem (Phot. l. l.) qui a. 58 Q. Ciceronis in Asia legatus erat (Cic. ad Q. fratr. 1, 10), Philonis et Antiochi (RP 443) aetati suppar habendus est, cf. Diels, Dox. 211; Natorp 66; Hirzel III 237[2]; Zeller 10 sq.

Aenesidemus Heracliti studiosus

Sext. Pyrrh. I 210. *Οἱ περὶ τὸν Αἰνησίδημον ἔλεγον* 475 *ὁδὸν εἶναι τὴν σκεπτικὴν ἀγωγὴν ἐπὶ τὴν Ἡρακλείτειον φιλοσοφίαν, διότι προηγεῖται τοῦ τἀναντία περὶ τὸ αὐτὸ ὑπάρχειν τὸ τἀναντία περὶ τὸ αὐτὸ φαίνεσθαι*[a].

a. Quod Sextus (Math. VII 349. VIII 8. IX 337. X 216) et Sorani ut videtur auctoritatem secutus Tertullianus (de An. 9. 14. 15. 25) Scepticorum fere acerrimum sua sceptica ratione Heracliteam praemuniisse produnt, nonnullis viris doctis adeo non probabile visum est, ut opinionum alienarum explanatorem eundem patronum falso habitum esse crederent (cf. Diels, Dox. 210; Zeller p. 29 sq.); quamquam non desunt, qui illam Aenesidemi inconstantiam intellegi posse censeant (Hirzel III 64 sq.; Natorp 75 sq.)

decem Aenesidemi dubitandi argumenta

Sext. Pyrrh. I 36. *Παραδίδονται τοίνυν συνήθως παρὰ* 476 *τοῖς ἀρχαιοτέροις Σκεπτικοῖς*[a] *τρόποι, δι᾽ ὧν ἡ ἐποχὴ συνάγεσθαι δοκεῖ, δέκα τὸν ἀριθμόν, οὓς καὶ λόγους καὶ τόπους συνωνύμως καλοῦσιν. εἰσὶ δὲ οὗτοι· πρῶτος ὁ παρὰ τὴν τῶν ζῴων ἐξαλλαγήν*[b]*· δεύτερος ὁ παρὰ τὴν τῶν ἀνθρώπων διαφοράν· τρίτος ὁ παρὰ τὰς διαφόρους τῶν αἰσθητηρίων κατασκευάς· τέταρτος ὁ παρὰ τὰς περιστάσεις*[c]*· πέμπτος ὁ παρὰ τὰς θέσεις καὶ τὰ διαστήματα καὶ τοὺς τόπους· ἕκτος ὁ παρὰ τὰς ἐπιμιξίας*[d]*·* 37. *ἕβδομος ὁ παρὰ τὰς ποσό-*

τητας καὶ σκευασίας τῶν ὑποκειμένων[e]· ὄγδοος ὁ ἀπὸ τοῦ πρός τι· ἔννατος ὁ παρὰ τὰς συνεχεῖς ἢ σπανίους ἐγκυρήσεις[f]· δέκατος ὁ παρὰ τὰς ἀγωγὰς καὶ τὰ ἔθη καὶ τοὺς νόμους καὶ τὰς μυθικὰς πίστεις καὶ τὰς δογματικὰς ὑπολήψεις[g].

a. Ad antiquiores Scepticos etiam Aenesidemum referre videtur: recentiores repetit ab Agrippa, Pyrrh. I 164; cf. Diog. IX 88. Decem illa dubitandi argumenta ex parte saltem iam ab antiquioribus Scepticis usurpabantur; ab Aenesidemo ea primum ad certam seriem et coniunctionem revocata fuisse dixeris; v. Sext. Math. VII 345; Aristocl. ap. Euseb. Pr. Ev. XIV 18, 11 sq. Eadem copiose expromuntur a Sexto Pyrrh. I 40 sq. et Diog. IX 79 sq. — Cf. E. Pappenheim, *d. Tropen d. griech. Skeptiker*, Berol. 1885.

b. Ἐξαλλαγή est i. q. διαφορά: Sext. Pyrrh. I 40; Diog. IX 79. Animalibus, prout ipsa differunt natura, etiam res videntur differre. Similiter explicatur locus secundus et tertius.

c. Περιστάσεις sunt i. q. διαθέσεις: Diog. IX 82; Sext. Pyrrh. I 100. Res differre nobis videntur pro diversis animi nostri affectionibus.

d. Apertius Diog. IX 84 ἕκτος ὁ παρὰ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς οὐδὲν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτί, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν.

e. Σκευασία a Sexto Pyrrh. I 129 per σύνθεσιν explicatur. Illustratur res his exemplis: τὰ ξέσματα τοῦ κέρατος τῆς αἰγὸς φαίνεται μὲν λευκὰ ἁπλῶς καὶ ἄνευ συνθέσεως θεωρούμενα, συντιθέμενα δὲ ἐν τῇ τοῦ κέρατος ὑπάρξει μέλανα θεωρεῖται. Ib. 131 καὶ ὁ οἶνος σύμμετρος μὲν πινόμενος ῥώννυσιν ἡμᾶς, πλείων δὲ λαμβανόμενος παραλύει τὸ σῶμα.

f. Diog. IX 87 οἱ γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται οὐ θαυμάζονται, οὐδ' ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται.

g. Hic locus plurimam Scepticis ad disputandum copiam suppeditabat, utpote qui dissensiones patefaceret et hominum et populorum et imprimis philosophorum dogmaticorum.

477 Sext. Pyrrh. I 164. Οἱ δὲ νεώτεροι Σκεπτικοὶ[a] παραδιδόασι τρόπους τῆς ἐποχῆς πέντε τούσδε· πρῶτον τὸν ἀπὸ τῆς διαφωνίας· δεύτερον τὸν εἰς ἄπειρον ἐκβάλλοντα· τρίτον τὸν ἀπὸ τοῦ πρός τι· τέταρτον τὸν ὑποθετικόν· πέμπτον τὸν διάλληλον. 165. καὶ ὁ μὲν ἀπὸ τῆς διαφωνίας ἐστὶ καθ' ὃν περὶ τοῦ προτεθέντος πράγματος ἀνεπίκριτον στάσιν παρά τε τῷ βίῳ καὶ παρὰ τοῖς φιλοσόφοις εὑρίσκομεν γεγενημένην δι' ἣν οὐ δυνάμενοι αἱρεῖσθαί τι ἢ ἀποδοκιμάζειν Agrippae quinque

καταλήγομεν εἰς ἐποχήν. 166. *ὁ δὲ ἀπὸ τῆς εἰς ἄπειρον ἐκπτώσεώς ἐστιν ἐν ᾧ τὸ φερόμενον εἰς πίστιν τοῦ προτεθέντος πράγματος πίστεως ἑτέρας χρῄζειν λέγομεν κἀκεῖνο ἄλλης καὶ μέχρις ἀπείρου, ὡς μὴ ἐχόντων ἡμῶν πόθεν ἀρξόμεθα τῆς κατασκευῆς τὴν ἐποχὴν ἀκολουθεῖν.* 167. *ὁ δὲ ἀπὸ τοῦ πρός τι, καθὼς προειρήκαμεν, ἐν ᾧ πρὸς μὲν τὸ κρῖνον καὶ τὰ συνθεωρούμενα τοῖον ἢ τοῖον φαίνεται τὸ ὑποκείμενον, ὁποῖον δὲ ἔστι πρὸς τὴν φύσιν ἐπέχομεν.* 168. *ὁ δὲ ἐξ ὑποθέσεώς ἐστιν ὅταν εἰς ἄπειρον ἐκβαλλόμενοι οἱ δογματικοὶ ἀπό τινος ἄρξωνται ὃ οὐ κατασκευάζουσιν, ἀλλ᾽ ἁπλῶς καὶ ἀναποδείκτως κατὰ συγχώρησιν λαμβάνειν ἀξιοῦσιν.* 169. *ὁ δὲ διάλληλος τρόπος συνίσταται ὅταν τὸ ὀφεῖλον τοῦ ζητουμένου πράγματος εἶναι βεβαιωτικὸν χρείαν ἔχῃ τῆς ἐκ τοῦ ζητουμένου πίστεως· ἔνθα μηδέτερον δυνάμενοι λαβεῖν πρὸς κατασκευὴν θατέρου περὶ ἀμφοτέρων ἐπέχομεν.*

a. Recentiores Scepticos quos dicat v. **RP** 476 a. Diog. IX 88 sq. has dubitationes tribuit Agrippae, de quo ceteroquin incertum est.

recentiorum duo

Sext. Pyrrh. I 178. *Παραδιδόασι δὲ (οἱ νεώτεροι Σκεπτικοὶ) καὶ δύο τρόπους ἐποχῆς ἑτέρους. ἐπεὶ γὰρ πᾶν τὸ καταλαμβανόμενον ἤτοι ἐξ ἑαυτοῦ καταλαμβάνεσθαι δοκεῖ ἢ ἐξ ἑτέρου καταλαμβάνεται, τὴν περὶ πάντων ἀπορίαν εἰσάγειν δοκοῦσιν. καὶ ὅτι μὲν οὐδὲν ἐξ ἑαυτοῦ καταλαμβάνεται, φασί, δῆλον ἐκ τῆς γεγενημένης παρὰ τοῖς φυσικοῖς περί τε τῶν αἰσθητῶν καὶ τῶν νοητῶν ἁπάντων, οἶμαι, διαφωνίας, ἣ δὴ ἀνεπίκριτός ἐστι μὴ δυναμένων ἡμῶν μήτε αἰσθητῷ μήτε νοητῷ κριτηρίῳ χρῆσθαι διὰ τὸ πᾶν, ὅσπερ ἂν λάβωμεν, ἄπιστον εἶναι διαπεφωνημένον ⟨ὄν⟩*[1]. 179. *διὰ δὲ τοῦτο οὐδ᾽ ἐξ ἑτέρου τι καταλαμβάνεσθαι συγχωροῦσιν. εἰ μὲν γὰρ τὸ ἐξ οὗ τι καταλαμβάνεται ἀεὶ ἐξ ἑτέρου καταλαμβάνεσθαι δεήσει, εἰς τὸν διάλληλον ἢ τὸν ἄπειρον ἐμβάλλουσι τρόπον*[a]. 478

a. Quis invenerit has dubitationum formulas ex secunda et quinta Agrippae repetitas ignoratur; fortasse Menodotus, de cuius placitis, licet memoretur inter Scepticos, **RP** 474 a, tamen accuratius non constat.

causae notio impugnatur

Sext. Math. IX 207. *Τὸ αἴτιον τοίνυν, φασίν (οἱ ἀπορητικοί), τῶν πρός τι ἐστίν· τινὸς γάρ ἐστιν αἴτιον καὶ* 479

1) *ὄν* add. Apelt.

τινί, οἷον τὸ σμιλίον τινὸς μέν ἐστιν αἴτιον καθάπερ τῆς τομῆς, τινὶ δὲ καθάπερ τῇ σαρκί· 208. τὰ δέ γε πρός τι ἐπινοεῖται μόνον, ἀλλ᾽ οὐχ ὑπάρχει, καθὼς ἐν τοῖς περὶ ἀποδείξεως παρεστήσαμεν· καὶ τὸ αἴτιον ἄρα ἐπινοηθήσεται μόνον, οὐχ ὑπάρξει δέ. — 232. πρὸς τούτοις, εἰ ἔστι τί τινος αἴτιον, ἤτοι τὸ ἅμα ὂν τοῦ ἅμα ὄντος ἐστὶν αἴτιον, ἢ τὸ πρότερον τοῦ ὕστερον, ἢ τὸ ὕστερον τοῦ πρότερον· οὔτε δὲ τὸ ἅμα ὂν τοῦ ἅμα ὄντος αἴτιόν ἐστιν οὔτε τὸ πρότερον τοῦ ὕστερον οὔτε τὸ ὕστερον τοῦ πρότερον, ὡς παραστήσομεν· οὐκ ἄρα ἔστι τι αἴτιον. 233. τὸ μὲν οὖν ἅμα ὂν τοῦ ἅμα ὄντος οὐ δύναται τυγχάνειν αἴτιον διὰ τὸ συνυπάρχειν ἀμφότερα καὶ μὴ μᾶλλον τόδε τοῦδε γεννητικὸν ὑπάρχειν ἢ τόδε τοῦδε, ἑκατέρου τὴν ἴσην ὕπαρξιν ἔχοντος[a]. 234. οὐδὲ τὸ πρότερον δὲ ἔσται τοῦ ὕστερον γενομένου ποιητικόν. εἰ γὰρ ὅτε ἔστι τὸ αἴτιον, οὔπω ἔστι τὸ οὗ ἐστιν αἴτιον, οὔτε ἐκεῖνο ἔτι αἴτιόν ἐστι, μὴ ἔχον τὸ οὗ αἴτιόν ἐστιν, οὔτε τοῦτο ἔτι ἀποτέλεσμα, μὴ συμπαρόντος αὐτῷ τοῦ οὗ ἀποτέλεσμά ἐστι· τῶν γὰρ πρός τι ἑκάτερόν ἐστι τούτων, καὶ τὰ πρός τι κατ᾽ ἀνάγκην δεῖ συνυπάρχειν ἀλλήλοις καὶ οὐ τὸ μὲν προηγεῖσθαι τὸ δὲ ὑστερεῖν. 235. λείπεται οὖν τὸ ὕστερον λέγειν τοῦ προτέρου αἴτιον γίνεσθαι· ὅπερ ἐστὶν ἀτοπώτατον καὶ ἀνδρῶν τὰ πράγματα ἀναστρεφόντων. — 237. καὶ μὴν εἰ ἔστι τι αἴτιον, ἤτοι αὐτοτελῶς καὶ ἰδίᾳ μόνον προσχρώμενον δυνάμει τινός ἐστιν αἴτιον, ἢ συνεργοῦ πρὸς τοῦτο δεῖται τῆς πασχούσης ὕλης, ὥστε τὸ ἀποτέλεσμα κατὰ κοινὴν ἀμφοτέρων νοεῖσθαι σύνοδον. 238. καὶ εἰ μὲν αὐτοτελῶς καὶ ἰδίᾳ προσχρώμενον δυνάμει ποιεῖν τι πέφυκεν, ὤφειλε διὰ παντὸς ἑαυτὸ ἔχον καὶ τὴν ἰδίαν δύναμιν πάντοτε ποιεῖν τὸ ἀποτέλεσμα καὶ μὴ ἐφ᾽ ὧν μὲν ποιεῖν ἐφ᾽ ὧν δὲ ἀπρακτεῖν[b]. 239. εἰ δέ, ὥς φασί τινες τῶν δογματικῶν, οὐ τῶν ἀπολελυμένων καὶ ἀφεστηκότων ἐστίν, ἀλλὰ τῶν πρός τι, διὰ τὸ καὶ αὐτὸ πρὸς τῷ πάσχοντι θεωρεῖσθαι καὶ τὸ πάσχον πρὸς αὐτῷ, χεῖρόν τι ἀνακύψει. 240. εἰ γὰρ τὸ ἕτερον πρὸς τῷ ἑτέρῳ νοεῖται, οὗ τὸ μὲν ποιοῦν τὸ δὲ πάσχον, ἔσται μία μὲν ἔννοια, δυοῖν δ᾽ ὀνομάτων τεύξεται, τοῦ τε ποιοῦντος καὶ τοῦ πάσχοντος· καὶ διὰ τοῦτο οὐ μᾶλλον ἐν αὐτῷ ἢ ἐν τῷ λεγομένῳ πάσχειν ἐγκείσεται ἡ δραστήριος δύναμις. ὡς γὰρ αὐτὸ οὐδὲν δύναται ποιεῖν χωρὶς τοῦ λεγο-

μένου πάσχειν, οὕτως οὐδὲ τὸ λεγόμενον πάσχειν δύναται χωρὶς τῆς ἐκείνου παρουσίας πάσχειν. 241. *ὥσθ' ἕπεται τὸ μὴ μᾶλλον ἐν αὐτῷ ἢ ἐν τῷ πάσχοντι ὑποκεῖσθαι τὴν δραστήριον τοῦ ἀποτελέσματος δύναμιν*[c].

a. Cf. Sext. Pyrrh. III 27 *πρότερον δεῖ τὸ αἴτιον γενέσθαι αἴτιον, εἶθ' οὕτως ποιεῖν τὸ ἀποτέλεσμα.*

b. Hoc eo firmatur quod eiusdem causae varias agendi rationes dependere dicit ex materia, in qua agat: Sext. Math. IX 246 sq.

c. Hoc persequitur ea argumentatio, quae demonstrat neque movens posse id quod moveatur movere neque quiescens retinere in statu id quod quiescat: Sext. Math. IX 228 *οἷον κινεῖται μὲν ὁ τροχός, κινεῖται δὲ καὶ ὁ τροχηλάτης· τί οὖν μᾶλλον διὰ τὸν τροχὸν ὁ τροχηλάτης κινεῖται ἢ ἀνάπαλιν διὰ τὸν τροχηλάτην ὁ τροχός; εἴ γέ τοι τὸ ἕτερον μὴ κινοῖτο, οὐδὲ τὸ λειπόμενον κινήσεται.*

signa Sext. Math. VIII 156. *Ἀλλὰ γὰρ δυοῖν ὄντων σημείων,* 480 *τοῦ τε ὑπομνηστικοῦ καὶ ἐπὶ τῶν πρὸς καιρὸν ἀδήλων τὰ πολλὰ χρησιμεύειν δοκοῦντος καὶ τοῦ ἐνδεικτικοῦ, ὅπερ ἐπὶ τῶν φύσει ἀδήλων ἐγκρίνεται, μελλήσομεν πᾶσαν ποιεῖσθαι ζήτησιν καὶ ἀπορίαν οὐ περὶ τοῦ ὑπομνηστικοῦ, τοῦτο γὰρ παρὰ πᾶσι κοινῶς τοῖς ἐκ τοῦ βίου πεπίστευται χρησιμεύειν, ἀλλὰ περὶ τοῦ ἐνδεικτικοῦ· τοῦτο γὰρ ὑπὸ τῶν δογματικῶν φιλοσόφων καὶ τῶν λογικῶν ἰατρῶν ὡς δυνάμενον τὴν ἀναγκαιοτάτην αὐτοῖς παρέχειν χρείαν πέπλασται.* — 157. *ὅθεν οὐδὲ μαχόμεθα ταῖς κοιναῖς τῶν ἀνθρώπων προλήψεσιν οὐδὲ συγχέομεν τὸν βίον λέγοντες μηθὲν εἶναι σημεῖον, καθάπερ τινὲς ἡμᾶς συκοφαντοῦσιν. εἰ μὲν γὰρ πᾶν ἀνῃροῦμεν σημεῖον, τάχ' ἴσως ἂν καὶ τῷ βίῳ καὶ πᾶσιν ἀνθρώποις ἐμαχόμεθα· νυνὶ δὲ οὕτω καὶ αὐτοὶ ἔγνωμεν ἐκ μὲν καπνοῦ πῦρ, ἐκ δὲ οὐλῆς προηγησάμενον ἕλκος, ἐκ δὲ προηγουμένης καρδίας τρώσεως θάνατον, ἐκ δὲ προκειμένης ταινίας ἄλειμμα*[a] *λαμβάνοντες.* 158. *νῦν οὖν ἐπεὶ τὸ μὲν ὑπομνηστικὸν σημεῖον τίθεμεν, ᾧ χρῆται ὁ βίος, τὸ δὲ ὑπὸ τῶν δογματικῶν ψευδῶς δοξασθὲν ἀναιροῦμεν, μήποτε πρὸς τῷ μὴ μάχεσθαι τῷ βίῳ ἔτι καὶ συναγορεύομεν αὐτῷ; ἐπείπερ τοὺς κατεξαναστάντας τῆς κοινῆς προλήψεως δογματικοὺς καὶ τὰ φύσει ἄδηλα γινώσκειν λέγοντας σημειωτικῶς ἐκ φυσιολογίας ἐλέγχομεν*[b].

a. „Pugiles athletae, quos ad certamen ungi mos, taenia redimiebantur.“ *Fabricius.*

b. Cf. Sext. Pyrrh. II 97 sq. Argumenta, quibus Sceptici τὸ σημεῖον ἐνδεικτικὸν tollebant (Sext. Math. VIII 159 sq.; Pyrrh. II 104 sq.; Diog. IX 96 sq.) eo redeunt quod, si esset eiusmodi signum, et ad τὸ πρός τι et ad demonstrandi modos id revocandum esse contendunt, quae non minus acriter dubitationibus suis impugnabant. — De memoriae signis cf. etiam Sext. Math. VIII 288 κἂν δῶμεν δὲ διαφέρειν τῶν ἄλλων ζῴων τὸν ἄνθρωπον λόγῳ τε καὶ μεταβατικῇ φαντασίᾳ καὶ ἐν τῇ ἀκολουθίᾳ, ἀλλ' οὔτοι γε καὶ ἐν τοῖς ἀδήλοις καὶ ἀνεπικρίτως διαπεφωνημένοις συγχωρήσομεν αὐτὸν εἶναι τοιοῦτον, ἐν δὲ τοῖς φαινομένοις τηρητικήν τινα ἔχειν ἀκολουθίαν, καθ' ἣν μνημονεύων τίνα μετὰ τίνων τεθεώρηται καὶ τίνα πρὸ τίνων καὶ τίνα μετὰ τίνα, ἐκ τῆς τῶν προτέρων ὑποπτώσεως ἀνανεοῦται τὰ λοιπά κτλ. — Nam ceteris quaestionibus ad unam omnibus reiectis Sceptici eas probant, ex quibus aliqua ad vitam utilitas redundet et quae positae sint in contemplatione τῶν φαινομένων (Diog. IX 108 ζητήσεις βιωτικαὶ καὶ τηρητικαί, h. e. quibus colligantur σημεῖα ὑπομνηστικά). In his autem usum atque exercitationem plurimum valere affirmant ad peritiam et calliditatem consequendam: Sext. Math. VIII 291.

Similem viam atque Sceptici recentiores tenuit Favorinus, qui Academiam, nimirum eam quam Carneades fundaverat, profitebatur et fuit sub Hadriano. Contra eum disputat Galen. de optim. doctr. 1 p. 40 sq. Cf. Marres, de F. Arelat. vita studiis scriptis, Traiect. ad Rhen. 1853. Z. III 2[3] 64 sq. Favorinus

481 Sext. Pyrrh. III 9. Ὁ λέγων εἶναι θεὸν ἤτοι προνοεῖν αὐτὸν τῶν ἐν κόσμῳ φησὶν ἢ οὐ προνοεῖν, καὶ εἰ μὲν προνοεῖν, ἤτοι πάντων ἢ τινῶν. ἀλλ' εἰ μὲν πάντων προὐνόει, οὐκ ἦν ἂν οὔτε κακόν τι οὔτε κακία ἐν τῷ κόσμῳ· κακίας δὲ πάντα μεστὰ εἶναι λέγουσιν· οὐκ ἄρα πάντων προνοεῖν λεχθήσεται ὁ θεός. 10. εἰ δὲ τινῶν προνοεῖ, διὰ τί τῶνδε μὲν προνοεῖ τῶνδε δὲ οὔ; ἤτοι γὰρ καὶ βούλεται καὶ δύναται πάντων προνοεῖν, ἢ βούλεται μὲν οὐ δύναται δέ, ἢ δύναται μὲν οὐ βούλεται δέ, ἢ οὔτε βούλεται οὔτε δύναται. ἀλλ' εἰ μὲν καὶ ἠβούλετο καὶ ἠδύνατο, πάντων ἂν προὐνόει· οὐ προνοεῖ δὲ πάντων διὰ τὰ προειρημένα· οὐκ ἄρα καὶ βούλεται καὶ δύναται πάντων προνοεῖν. εἰ δὲ βούλεται μὲν οὐ δύναται δέ, ἀσθενέστερός ἐστι τῆς αἰτίας, δι' ἣν οὐ δύναται προνοεῖν ὧν οὐ προνοεῖ· 11. ἔστι δὲ παρὰ τὴν θεοῦ ἐπίνοιαν τὸ ἀσθενέστερον εἶναί τινος αὐτόν. εἰ δὲ δύναται μὲν πάντων προνοεῖν οὐ βούλεται δέ, βάσκανος ἂν εἶναι νομισθείη. εἰ δὲ οὔτε βούλεται οὔτε δύναται, καὶ βάσκανός deus

ἐστι καὶ ἀσθενής, ὅπερ λέγειν περὶ θεοῦ ἀσεβούντων ἐστίν. οὐκ ἄρα προνοεῖ τῶν ἐν κόσμῳ ὁ θεός. — 12. ἐκ δὲ τούτων ἐπιλογιζόμεθα ὅτι ἴσως ἀσεβεῖν ἀναγκάζονται οἱ διαβεβαιωτικῶς λέγοντες εἶναι θεόν· πάντων μὲν γὰρ αὐτὸν προνοεῖν λέγοντες κακῶν αἴτιον τὸν θεὸν εἶναι φήσουσιν, τινῶν δὲ ἢ καὶ μηδενὸς προνοεῖν αὐτὸν λέγοντες ἤτοι βάσκανον τὸν θεὸν ἢ ἀσθενῆ λέγειν ἀναγκασθήσονται· ταῦτα δέ ἐστιν ἀσεβούντων προδήλως.

Philo Iudaeus.

482 Euseb. Hist. Eccles. II 4, 2. *Κατὰ δὴ τοῦτον (τὸν Γάϊον) Φίλων ἐγνωρίζετο*[a], *πλείστοις ἀνὴρ οὐ μόνον τῶν ἡμετέρων, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς ἔξωθεν ὁρμωμένων παιδείας ἐπισημότατος. τὸ μὲν οὖν γένος ἀνέκαθεν Ἑβραῖος ἦν, τῶν δ' ἐπ' Ἀλεξανδρείας ἐν τέλει διαφανῶν οὐδενὸς χείρων*[b]. *περὶ μὲν οὖν τὰ θεῖα καὶ πάτρια μαθήματα ὅσον τε καὶ πηλίκον εἰσενήνεκται πόνον ἔργῳ πᾶσι δῆλος· καὶ περὶ τὰ φιλόσοφα δὲ καὶ ἐλευθέρια τῆς ἔξωθεν παιδείας οἷός τις ἦν, οὐδὲν δεῖ λέγειν· ὅτε καὶ μάλιστα τὴν κατὰ Πλάτωνα καὶ Πυθαγόραν ἐζηλωκὼς ἀγωγὴν διενεγκεῖν ἅπαντας τοὺς καθ' ἑαυτὸν ἱστορεῖται*[c]. vita studia

Philonis scripta ed. Mangey, Lond. 1742; Pfeiffer, Erlang. 1785 sq.; Richter, Lips. 1828; ed. stereot. Lips. 1851 (1880) sq. Philonea ed. Tischendorf, Lips. 1868. [Philonis] de aeternitate mundi libellum ed. cum vers. germ. J. Bernays, Ac. Berol. 1877 (cf. eiusd. comm. Ac. Berol. 1883). Scripserunt de philosophia Philonis: Gfrörer, *Ph. u. d. alex. Theologie*, Stuttg. 1831 (1835). Dähne, *geschichtl. Darst. d. jüd.-alex. Religionsphilosophie*, Hal. 1834. Georgii in *Illgens Zs. f. hist. Theol.* 1839. Keferstein, *Ph.s Lehre v. d. göttl. Mittelwesen*, Lips. 1846. Heinze, *d. Lehre v. Logos* p. 204 sq. Siegfried, *Ph. als Ausleger d. A. T.*, Jen. 1875. Réville, *le logos d'après Philon*, Genev. 1877. R. Ausfeld, de libro *π. τοῦ πάντα σπουδαῖον ἐλεύθερον*, Gott. 1887.

a. Loquitur de legatione ad C. Caligulam, quam pro Iudaeis Alexandrinis Philo susceperat a. 40. Ipse tunc iam senex erat: Leg. ad Cai. 28 p. 572 Mang.

b. Cf. Hieron. Catal. Script. Eccles. 11. De Iudaeis Alexandrinis iam ante Philonem philosophiae Graecae studiosis, inprimis de Aristobulo Peripatetico (circ. a. 150), de libri qui inscribitur *σοφία Σαλωμών* scriptore deque Essenorum secta cf. Zeller III 2[3] 242—338.

c. Suidas: *Φίλων Ἰουδαῖος, τεχθεὶς ἐν Ἀλεξανδρείᾳ γένους ἱερέων. φιλοσοφήσας δὲ τὰ Ἑλλήνων εἰς μέγα προὔβη παιδείας, ὡς μετελθεῖν*

πᾶσαν Ἑλληνικὴν παίδευσιν — σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι· ἢ Πλάτων φιλωνίζει ἢ Φίλων πλατωνίζει. — Summum philosophiae amorem ipse profitetur De Special. Leg. III 1 p. 300 M. Praeter Platonem et Pythagoreos etiam Stoicorum vestigia in eius scriptis deprehendas. Summis vero laudibus Philo celebrat priscam sapientiam Orientis et quidquid ipsi ex ceterarum gentium philosophia ac litteris probatur, hoc ex Mosaica lege processisse putat ad eamque refert (cf. Quod omnis Probus liber 8 p. 454; de Iudice 2 p. 345; Quis Rer. Div. Heres 43 p. 503; de Vita Mosis II 4 p. 137), nimirum ita ut illius legis monumenta interpretatione allegorica ad novas abditasque sententias revocet atque inflectat.

philosophiae munus

483 De Confus. Ling. 20 p. 419. *Ἐμπρεπὲς γὰρ τοῖς ἑταιρίαν πρὸς ἐπιστήμην θεμένοις ἐφίεσθαι μὲν τοῦ τὸ ὂν ἰδεῖν· εἰ δὲ μὴ δύναιντο, τὴν γοῦν εἰκόνα αὐτοῦ, τὸν ἱερώτατον λόγον*[a], *μεθ' ὃν καὶ τὸ μὲν αἰσθητοῖς τελειότατον ἔργον, τόνδε τὸν κόσμον. τὸ γὰρ φιλοσοφεῖν οὐδὲν ἦν ἄλλο ἢ ταῦτα σπουδάζειν ἀκριβῶς ἰδεῖν*[b].

a. *Τὸ ὂν* est deus, cf. RP 487 a; de *λόγῳ* v. 492 b. Cf. de Post. Caini 30 p. 244 *ἐπειδὴ γὰρ πρῶτος καὶ μόνος τῶν ὅλων βασιλεὺς ὁ θεός ἐστι, καὶ ἡ πρὸς αὐτὸν ὁδὸς ἅτε βασιλέως οὖσα εἰκότως ὠνόμασται βασιλική. ταύτην δὲ ἡγοῦ φιλοσοφίαν, οὐχ ἣν μέτεισιν ὁ νῦν ἀνθρώπων σοφιστικὸς ὅμιλος· λόγων γὰρ οὗτοι τέχνας μελετήσαντες κατὰ τῆς ἀληθείας τὴν πανουργίαν σοφίαν ἐκάλεσαν, ἔργῳ μοχθηρῷ θεῖον ἐπιφημίσαντες ὄνομα· ἀλλ' ἣν ὁ ἀρχαῖος ἀσκητῶν θίασος διήθλει τὰς πιθανοὺς τῆς ἡδονῆς γοητείας ἀποστρεφόμενος, ἀστείῳ καὶ αὐστηρῷ χρώμενος τῇ τοῦ καλοῦ μελέτῃ. τὴν βασιλικὴν ταύτην ὁδόν, ἣν ἀληθῆ καὶ γνήσιον ἔφαμεν εἶναι φιλοσοφίαν, ὁ νόμος καλεῖ θεοῦ ῥῆμα καὶ λόγον.*

b. Cf. Quod Deus Immut. 30 p. 294 *ταύτην* (*τὴν τοῦ αἰωνίου καὶ ἀφθάρτου τελείαν ὁδὸν τὴν πρὸς θεὸν ἄγουσαν*) *ἴσθι σοφίαν· διὰ γὰρ ταύτης ὁ νοῦς ποδηγετούμενος εὐθείας καὶ λεωφόρου ὑπαρχούσης ἄχρι τῶν τερμάτων ἀφικνεῖται· τὰ δὲ τέρματα τῆς ὁδοῦ γνῶσίς ἐστι καὶ ἐπιστήμη θεοῦ.*

verus dei cultus

De Congr. Erud. Gr. 18 p. 533. *Ἐν ἡμῖν γὰρ αὐτοῖς* 484 *τρία μέτρα εἶναι δοκεῖ, αἴσθησις λόγος νοῦς· αἰσθητῶν μὲν αἴσθησις, ὀνομάτων δὲ καὶ ῥημάτων καὶ τῶν λεγομένων ὁ λόγος, νοητῶν δὲ νοῦς. ἀφ' ἑκάστου δὴ τῶν τριῶν μέτρων τούτων ἀπαρκτέον ὥσπερ τιν' ἱερὰν δεκάτην, ἵνα καὶ τὸ λέγειν καὶ τὸ αἰσθάνεσθαι καὶ τὸ καταλαμβάνειν ἀνυπαιτίως καὶ ὑγιεινῶς κατὰ θεὸν ἐξετάζηται. τὸ γὰρ ἀληθινὸν καὶ δί-*

καιον μέτρον τοῦτ᾽ ἔστι, τὰ δὲ καθ᾽ ἡμᾶς ψευδῆ τε καὶ ἄδικα.

485 A De Sacrif. Ab. et Caini 28 p. 181. Θεῷ δὲ οὐδὲν ἄδηλον οὐδὲ ἀμφισβητούμενον, ὅς καὶ τοῖς ἄλλοις τὰ γνωρίσματα τῆς ἀληθείας ἐναργῶς ἐπιδέδειχε. — ἄμεινον δὲ οὐδὲν ἐπινοῆσαι θέμις τοῦ αἰτίου, ὁπότε οὐδὲ ἴσον, ἀλλ᾽ οὐδὲ ὀλίγῳ καταδεέστερον, ἀλλ᾽ ὅλῳ γένει καταβεβηκὸς ἅπαν τὸ μετὰ θεὸν εὑρίσκεται. deus est absolutus

485 B De Cherub. 6 p. 142. Τὸ δὲ στῆναι καὶ ἄτρεπτον κτήσασθαι διάνοιαν ἐγγὺς ἐπιβαίνει θεοῦ δυνάμεως [1], ἐπειδὴ τὸ μὲν θεῖον ἄτρεπτον, τὸ δὲ γενόμενον φύσει μεταβλητόν. εἴ τις οὖν τὴν γενέσεως οἰκείαν φορὰν ἔρωτι ἐπιστήμης ἐγχαλινωσάμενος ἐβιάσατο στῆναι ποιῆσαι, μὴ λανθανέτω θείας εὐδαιμονίας ἐγγὺς ὤν. beatus

485 C De Mut. Nom. 5 p. 585. Τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως ἱκανὸς ἦν αὐτὸς (ὁ θεὸς) ἑαυτῷ καὶ μετὰ τὴν κόσμου γένεσιν ὁ αὐτὸς ἔμεινεν οὐ μεταβαλών[a]; sibi sufficiens

a. Leg. Alleg. I 14 p. 52 θεοῦ γὰρ οὐδὲ ὁ σύμπας κόσμος ἄξιον ἂν εἴη χωρίον καὶ ἐνδιαίτημα, ἐπεὶ αὐτὸς ἑαυτῷ τόπος καὶ αὐτὸς ἑαυτοῦ πλήρης καὶ ἱκανὸς αὐτὸς ἑαυτῷ ὁ θεός, τὰ μὲν ἄλλα ἐπιδεῆ καὶ ἔρημα καὶ κενὰ ὄντα πληρῶν καὶ περιέχων, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἄλλου περιεχόμενος, ἅτε εἷς καὶ τὸ πᾶν αὐτὸς ὤν.

486 Leg. Alleg. II 1 p. 66. Ὁ θεὸς μόνος ἐστὶ καὶ ἕν, οὐ σύγκριμα, φύσις ἁπλῆ· ἡμῶν δ᾽ ἕκαστος καὶ τῶν ἄλλων ὅσα γέγονε πολλά, οἷον ἐγὼ πολλά εἰμι, ψυχὴ σῶμα, καὶ ψυχῆς ἄλογον λογικόν, πάλιν σώματος θερμὸν ψυχρόν, βαρὺ κοῦφον, ξηρὸν ὑγρόν. ὁ δὲ θεὸς οὐ σύγκριμα οὐδὲ ἐκ πολλῶν συνεστώς, ἀλλ᾽ ἀμιγὴς ἄλλῳ. ὃ γὰρ ἂν προσκριθῇ θεῷ ἢ κρεῖσσόν ἐστιν αὐτοῦ ἢ ἔλασσον ἢ ἴσον αὐτῷ. οὔτε δὲ ἴσον οὔτε κρεῖσσόν ἐστι θεοῦ, ἔλασσόν γε μὴν οὐδὲν αὐτῷ προσκρίνεται· εἰ δὲ μή, καὶ αὐτὸς ἐλαττωθήσεται· εἰ δὲ τοῦτο, καὶ φθαρτὸς ἔσται, ὅπερ οὐδὲ θέμις νοῆσαι. τέτακται οὖν ὁ θεὸς κατὰ τὸ ἓν καὶ τὴν μονάδα· μᾶλλον δὲ καὶ ἡ μονὰς unus et simplex

1) δυνάμεως libri: εὐδαιμονίας proposuit Mangey.

κατὰ τὸν ἕνα θεόν· πᾶς γὰρ ἀριθμὸς νεώτερος κόσμου, ὡς καὶ χρόνος· ὁ δὲ θεὸς πρεσβύτερος κόσμου καὶ δημιουργός.

τὸ ὄν

Quod Deus Immut. 11 p. 281. *Τῶν γὰρ ἀνθρώπων οἱ* 487
μὲν ψυχῆς, οἱ δὲ σώματος γεγόνασι φίλοι. οἱ μὲν οὖν ψυχῆς ἑταῖροι νοηταῖς καὶ ἀσωμάτοις φύσεσιν ἐνομιλεῖν δυνάμενοι οὐδεμιᾷ τῶν γεγονότων ἰδέᾳ παραβάλλουσι τὸ ὄν[a], *ἀλλ᾽ ἐκβιβάσαντες αὐτὸ πάσης ποιότητος (ἓν γὰρ τῶν εἰς τὴν μακαριότητα αὐτοῦ καὶ τὴν ἄκραν εὐδαιμονίαν ἦν τὸ ψιλὴν ἄνευ χαρακτῆρος τὴν ὕπαρξιν καταλαμβάνεσθαι) τὴν κατὰ τὸ εἶναι μόνον φαντασίαν ἐνεδέξαντο, μὴ μορφώσαντες αὐτό*[b]. *οἱ δὲ συμβάσεις καὶ σπονδὰς πρὸς σῶμα θέμενοι, ἀδυνατοῦντες ἀπαμφιάσασθαι τὸ σαρκῶν περίβλημα καὶ μόνην καὶ καθ᾽ ἑαυτὴν ἀπροσδεᾶ καὶ ἁπλῆν φύσιν ἰδεῖν, ἀμιγῆ καὶ ἀσύγκριτον, ὁποῖα περὶ ἑαυτῶν, τοιαῦτα καὶ περὶ τοῦ πάντων αἰτίου διενοήθησαν.*

ὁ ὤν

a. Deus a Philone saepissime *τὸ ὄν* appellatur (**RP** 483. 487 b), aliis locis *ὁ ὤν*, v. Quod Det. Post. Insid. 44 p. 222 *τῶν γὰρ ἀρετῶν ἡ μὲν θεοῦ πρὸς ἀλήθειάν ἐστι κατὰ τὸ εἶναι συνεστῶσα· ἐπεὶ καὶ ὁ θεὸς μόνος ἐν τῷ εἶναι ἐφέστηκεν, οὗ χάριν ἀναγκαίως ἐρεῖ περὶ αὐτοῦ· Ἐγώ εἰμι ὁ ὤν* (Exod. 3, 14), *ὡς τῶν μετ᾽ αὐτὸν οὐκ ὄντων κατὰ τὸ εἶναι, δόξῃ δὲ μόνον ὑφεστάναι νομιζομένων.*

b. Cum deum idem esse poneret quod *τὸ ὄν*, consequens erat ut eum diceret esse *ἄποιον* h. e. sine omni proprietate ac forma: Leg. Alleg. I 13 p. 50; 15 p. 53 *δεῖ γὰρ ἡγεῖσθαι καὶ ἄποιον αὐτὸν εἶναι καὶ ἄφθαρτον καὶ ἄτρεπτον*, et summum omnium genus: Leg. Alleg. II 21 p. 82 *τὸ δὲ γενικώτατόν ἐστιν ὁ θεός.*

nomen dei

De Somn. I 39 p. 655. *Καὶ γὰρ ἐν ἑτέροις σκεψάμε-* 488
νος εἰ ἔστι τι τοῦ ὄντος ὄνομα, σαφῶς ἔγνω (ὁ ἱερὸς λόγος) ὅτι κύριον μὲν οὐδέν, ὃ δ᾽ ἂν εἴπῃ τις, καταχρώμενος ἐρεῖ· λέγεσθαι γὰρ οὐ πέφυκεν ἀλλὰ μόνον εἶναι τὸ ὄν[a].

a. Cf. de Vit. Mos. I 14 p. 92 extr. Nomen dei proprie non deo sed potestati dei attribuendum est: de Conf. Ling. 27 p. 425. At novit Philo aliud nomen idque sacrum, quo proprie possit appellari, quod est in arcanis et opertis, *ὃ μόνοις τοῖς ὦτα καὶ γλῶτταν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν ἁγίοις, ἄλλῳ δ᾽ οὐδενὶ τὸ παράπαν οὐδαμοῦ.* De Vit. Mos. III 11 p. 152. Cf. Quis Div. Rer. Her. 35 p. 497 in.; de Legat. ad Cai. 44 p. 597 extr.

deus non potest cognosci

De Mut. Nom. 2 p. 579. *Μὴ μέντοι νομίσῃς τὸ ὄν, ὃ* 489
ἔστι πρὸς ἀλήθειαν ὄν, ὑπ᾽ ἀνθρώπου τινὸς καταλαμβάνε-

σθαι[a], ὄργανον [1] γὰρ οὐδὲν ἐν ἑαυτοῖς ἔχομεν, ᾧ δυνησόμεθα ἐκεῖνο φαντασιασθῆναι, οὔτ' αἴσθησιν (αἰσθητὸν γὰρ οὐκ ἔστιν) οὔτε ἰσχύν. Μωυσῆς οὖν ὁ τῆς ἀειδοῦς φύσεως θεατὴς καὶ θεόπτης (εἰς γὰρ τὸν γνόφον φασὶν αὐτὸν οἱ χρησμοὶ (Exod. 20, 21) εἰσελθεῖν τὴν ἀόρατον οὐσίαν αἰνιττόμενοι) πάντα διὰ πάντων ἐρευνήσας ἐζήτει τὸν τριπόθητον καὶ μόνον τηλαυγῶς ἰδεῖν. ἐπεὶ δ' οὐδὲν εὕρισκεν, ἀλλ' οὐδὲ ἐμφερῆ τινα ἰδέαν τῷ ἐλπιζομένῳ, τὴν ἀπὸ τῶν ἄλλων διδασκαλίαν ἀπογνοὺς ἐπ' αὐτὸ καταφεύγει τὸ ζητούμενον καὶ δεῖται λέγων· „Ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε" (Exod. 33, 13), καὶ ὅμως ἀμοιρεῖ τῆς προθέσεως, αὐταρκεστάτης δωρεᾶς τῷ θνητῷ ἀρίστῳ γένει νομισθείσης τῆς μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμάτων ἐπιστήμης. λέγεται γάρ· „Ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι" (ib. v. 23)· ὡς τῶν ὅσα μετὰ τὸ ὄν, σωμάτων τε ὁμοῦ καὶ πραγμάτων, εἰς κατάληψιν ἐρχομένων, εἰ καὶ μὴ πάντα ἤδη καταλαμβάνεται, μόνου δ' ἐκείνου μὴ πεφυκότος ὁρᾶσθαι. καὶ τί θαυμαστὸν εἰ τὸ ὂν ἀνθρώποις ἀκατάληπτον, ὁπότε καὶ ὁ ἐν ἑκάστῳ νοῦς ἄγνωστος ἡμῖν ἐστι· τίς ψυχῆς οὐσίαν εἶδεν; ἧς ἡ ἀδηλότης μυρίας ἔριδας σοφισταῖς ἐγέννησεν ἐναντίας εἰσηγουμένοις γνώμας ἢ καὶ ὅλοις γένεσιν ἀντιστατούσας[b].

a. De Praem. et Poen. 6 p. 414 *ἐκεῖνο μὲν γάρ, ὃ καὶ ἀγαθοῦ κρεῖττον καὶ μονάδος πρεσβύτερον καὶ ἑνὸς εἰλικρινέστερον, ἀμήχανον ὑφ' ἑτέρου τινὸς θεωρεῖσθαι, διότι μόνον θέμις αὐτὸν ὑφ' αὐτοῦ καταλαμβάνεσθαι.* — Quod Deus Immut. 13 p. 282 *τούτοις οἰκειότατον πρόκειται κεφάλαιον ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς ὅτι „οὐχ ὡς ἄνθρωπος ὁ θεός", ἀλλ' οὐθ' ὡς οὐρανὸς οὐθ' ὡς κόσμος· ποιὰ γὰρ εἴδη ταῦτά γε[a] καὶ εἰς αἴσθησιν ἐρχόμενα. ὁ δ' ἄρα οὐδὲ τῷ νῷ καταληπτός, ὅτι μὴ κατὰ τὸ εἶναι μόνον· ὕπαρξις γάρ ἐστιν ὃ καταλαμβάνομεν αὐτοῦ, τὸ δὲ χωρὶς ὑπάρξεως οὐδέν.*

b. Cf. Leg. Alleg. I 29 p. 62; de Ebriet. 41 sq. p. 382 sq.; de Conf. Ling. 25 p. 424 *ἢ οὐχὶ καὶ ὁ νοῦς πολλάκις ἐπὶ μυρίων ὅσων ἠλέγχθη παρανοιῶν; καὶ αἱ αἰσθήσεις ἅπασαι ψευδομαρτυριῶν ἑάλωσαν, οὐ παρ' ἀλόγοις δικασταῖς, οὓς εἰκὸς ἀπατᾶσθαι, ἀλλ' ἐν τῷ τῆς φύσεως αὐτῆς δικαστηρίῳ, ἣν οὐ θέμις δεκάσασθαι. καὶ μὲν σφαλλομένων γε τῶν καθ' ἡμᾶς αὐτοὺς περί τε νοῦν καὶ αἴσθησιν κριτηρίων ἀνάγκη τὸ ἀκόλουθον ὁμολογεῖν, ὅτι ὁ θεὸς τῷ μὲν τὰς ἐννοίας,* **cognitionis humanae errores**

---

1) ὄργανον Mangey: ὁρᾶν vulgo.

τῇ δὲ τὰς ἀντιλήψεις ἐπομβρεῖ καὶ ἔστιν οὐ τῶν καθ' ἡμᾶς μερῶν χάρις τὰ γιγνόμενα, ἀλλὰ τοῦ δι' ὃν καὶ ἡμεῖς γεγόναμεν δωρεαὶ πᾶσαι.

c. Cum deus Philoni videretur supra omnem laudem excellentiamque et supra ipsum bonum longe eminens esse, consentaneum erat ut eum neque notionibus neque nominibus ullis attingi posse poneret. Enimvero cum philosophiam diceret esse studium cognitionis dei, facere non potuit quin interdum etiam affirmando de deo loqueretur, velut de Mundi Opif. 2 p. 2 (**RP** 490), ubi patet eum deflectere a doctrina Platonis. Neque in eo sibi constat quod deum sine ulla cautione modo *δημιουργὸν* nominat, **RP** 486, modo *κτίστην*, de Somn. I 13 extr. p. 632, modo *τὸν πατέρα τῶν γιγνομένων*, Alleg. Leg. I 7 p. 47. Quae nomina ponuntur, ut quae deo cum mundo intercedat ratio indicetur; sed hoc ipsum est quo sua decreta deserit, in ceteris dei nullam omnino ad quidquam rationem esse affirmare solitus, velut de Mutat. Nom. 4 p. 582 *τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν πρός τι.* Imprimis negat dei cognitionem patere nobis mundo rationaliter contemplando, de Leg. ad Cai. I p. 546 *οὐδὲ γὰρ ὁ σύμπας οὐρανὸς ἔναρθρος φωνὴ γενόμενος εὐθυβόλων καὶ εὐσκόπων εἰς τοῦτο ἂν εὐποροίη ῥημάτων (πρὸς δήλωσιν τοῦ ὄντος),* aut ulla cogitatione ullave argumentatione deum comprehendi posse, de Post. Caini 48 p. 258 *ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ μέχρι τοῦ καταμαθεῖν, ὅτι ἔστι τε*[1] *καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον, προελθεῖν· περαιτέρω δὲ καὶ σπουδάζειν τρέπεσθαι, ὡς περὶ οὐσίας ἢ ποιότητος ζητεῖν, διωλύγιός*[2] *τις ἠλιθιότης.* Hinc contemptus ille quem prae se fert intelligentiae ac philosophiae mundanae, quam negat ad aliud quicquam attinere nisi ad declinandos errores halucinationesque sophistarum: de Ebriet. 12 p. 364; Quod Deter. Pot. Ins. 10 sq., p. 197; de Migr. Abrah. 13 sq., p. 447. — Praeterea de theologia Philonis cf. Leg. Alleg. III 32 p. 107; de Decal. 10 p. 187; 21 extr. p. 198; Quod omn. Prob. lib. 2 p. 447; de Gigant. 5 in. p. 265; de Abrah. 17 extr. p. 13; de Mundi Opif. 23 p. 16; de Cherub. 9 in. p. 143; de Migr. Abrah. 7 p. 441; 34 p. 466; Quis Rer. Div. Her. 53. p. 511; de Migr. Abr. 24 p. 456.

causa efficiens — De Mundi Opif. 2 p. 2. *Τινὲς γὰρ τὸν κόσμον μᾶλλον ἢ τὸν κοσμοποιὸν θαυμάσαντες τὸν μὲν ἀγέννητόν τε καὶ ἀίδιον ἀπεφήναντο, τοῦ δὲ θεοῦ πολλὴν ἀπραξίαν οὐκ εὐαγῶς κατεψεύσαντο, δέον ἔμπαλιν τοῦ μὲν τὰς δυνάμεις ὡς ποιητοῦ καὶ πατρὸς καταπλαγῆναι, τὸν δὲ μὴ πλέον τοῦ μετρίου ἀποσεμνῦναι. Μωυσῆς δὲ καὶ φιλοσοφίας ἐπ' αὐτὴν φθάσας ἀκρότητα καὶ χρησμοῖς τὰ πολλὰ καὶ συνεκτικώτατα τῶν τῆς φύσεως ἀναδιδαχθεὶς ἔγνω δὴ ὅτι ἀναγκαιότατόν ἐστιν ἐν τοῖς οὖσι τὸ μὲν εἶναι δραστήριον αἴτιον, τὸ δὲ* 490

1) *τε* Mangey: *τι* vulgo. — 2) *διωλύγιος* Mangey: *ὡς δι' ὑγιός* libri: *ὠγύγιος* ed. Lips.

παθητικόν· καὶ ὅτι τὸ μὲν δραστήριον ὁ τῶν ὅλων νοῦς ἐστιν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος κρείττων τε ἢ ἀρετὴ καὶ κρείττων ἢ ἐπιστήμη καὶ κρείττων ἢ αὐτὸ τἀγαθὸν καὶ αὐτὸ τὸ καλόν· τὸ δὲ παθητικὸν ἄψυχον καὶ ἀκίνητον et patiens
ἐξ ἑαυτοῦ, κινηθὲν δὲ καὶ σχηματισθὲν καὶ ψυχωθὲν ὑπὸ τοῦ νοῦ μετέβαλεν εἰς τὸ τελειότατον ἔργον, τόνδε τὸν κόσμον[a].

a. Quidquid effectum est iudicatur et causa δι' οὗ et causa ἐξ οὗ: haec est τὸ παθητικὸν αἴτιον, materia s. quattuor elementa: de Cherub. 35 p. 161 fin. πρὸς γὰρ τήν τινος γένεσιν πολλὰ δεῖ συνελθεῖν, τὸ ὑφ' οὗ, τὸ ἐξ οὗ, τὸ δι' οὗ, τὸ δι' ὅ. καὶ ἔστι μὲν τὸ ὑφ' οὗ τὸ αἴτιον, ἐξ οὗ δὲ ἡ ὕλη, δι' οὗ δὲ τὸ ἐργαλεῖον, δι' ὃ δὲ ἡ αἰτία, ubi apparet subesse causas Aristotelicas, sed aliquantum immutatas. Materiam statuit partim Stoicos partim Platonem secutus esse οὐσίαν δυναμένην γενέσθαι πάντα, ἐξ ἑαυτῆς ἄτακτον appellatque etiam μὴ ὄν: Quod Deus Immutab. 25 p. 290. Atque res creatae quantopere sint imperfectae considerans non potest non concedere dei consilium ac potentiam non absolute videri sese exprimere posse: ib. 17 p. 284 sq. ὁ γὰρ θεὸς ταῖς δυνάμεσι πρὸς μὲν ἑαυτὸν ἀκράτοις χρῆται, κεκραμέναις δὲ πρὸς γένεσιν· τὰς γὰρ ἀμιγεῖς θνητὴν ἀμήχανον φύσιν χωρῆσαι. — εἰδὼς τοίνυν ὁ δημιουργὸς τὰς περὶ αὐτὸν ἐν ἅπασι τοῖς ἀρίστοις ὑπερβολάς, καὶ τὴν τῶν γεγονότων, εἰ καὶ σφόδρα μεγαλαυχοῖεν, φυσικὴν ἀσθένειαν, οὔτε εὐεργετεῖν οὔτε κολάζειν ὡς δύναται βούλεται, ἀλλ' ὡς ἔχοντας ὁρᾷ δυνάμεως τοὺς ἑκατέρου μεθέξοντας. Itaque materia ut quae sit causa, propter quam res exsistant parum ad dei consilium accommodatae, dicitur etiam ἡ χείρων οὐσία: de Constit. Princ. 7 p. 367. Deus solius boni causa est: de Agric. 29 p. 320; de Nom. Mutat. 4 p. 583. At malum procedit ex materia, cuius ea natura est, ut possit et bonum et malum in se admittere, l. l.

491 De Sacrificantibus 13 p. 261. Ἐξ ἐκείνης γὰρ (τῆς ideae
οὐσίας) πάντ' ἐγέννησεν ὁ θεός, οὐκ ἐφαπτόμενος αὐτός· οὐ γὰρ ἦν θέμις ἀπείρου καὶ πεφυρμένης ὕλης ψαύειν τὸν ἴδμονα καὶ μακάριον, ἀλλὰ ταῖς ἀσωμάτοις δυνάμεσιν, ὧν ἔτυμον ὄνομα αἱ ἰδέαι, κατεχρήσατο πρὸς τὸ γένος ἕκαστον τὴν ἁρμόττουσαν λαβεῖν μορφήν[a].

a. De Conf. Ling. 35 p. 432 θεῷ γὰρ τῷ πανηγεμόνι ἐμπρεπὲς οὐκ ἔδοξεν εἶναι τὴν ἐπὶ κακίαν ὁδὸν ἐν ψυχῇ λογικῇ δι' ἑαυτοῦ δημιουργῆσαι· οὗ χάριν τοῖς μετ' αὐτὸν ἐπέτρεψε τὴν τούτου τοῦ μέρους κατασκευήν. ἔδει γὰρ καὶ τὸ ἀντίπαλον τῷ ἀκουσίῳ τὸ ἑκούσιον εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν κατασκευασθὲν ἀναδειχθῆναι. Videntur hi loci aliquantum differre; altero enim deus praeter malum omnia, altero, quod quidem in hoc mundo sit, nihil ipse creasse affirmatur; est autem in hoc

potestates divinae

mundo nihil ad quod non pertineat malum. Propterea Philo docet deum in creando mundo ministris uti potestatibus quibusdam divinis, veluti deus Platonicus utitur dis minoribus, **RP** 266. Es his ipsis potestatibus consistere dicit idearum mundum intelligibilem: De Confus. Ling. 34 p. 431 *εἷς ὢν ὁ θεὸς ἀμυθήτους περὶ αὐτὸν ἔχει δ υ ν ά μ ε ι ς ἀρωγοὺς καὶ σωτηρίους τοῦ γενομένου πάσας. — δι᾽ αὖ τούτων τῶν δυνάμεων ὁ ἀσώματος καὶ ν ο η τ ὸ ς ἐπάγη κ ό σ μ ο ς, τὸ τοῦ φαινομένου τοῦδε ἀρχέτυπον, ἰδέαις ἀοράτοις συσταθεὶς ὥσπερ οὗτος σώμασιν ὁρατοῖς*: quamquam aliis locis eum mundum ab ipso summo deo repetit. Potestates autem illas atque satellites (*δορυφορούσας δυνάμεις*), modo *λόγους* appellat et *ψυχὰς* et *ἀγγέλους* tanquam nuntios atque ministros dei descendentes atque ascendentes (v. De Somn. I 12 p. 631; 21 p. 640 *εἰδέναι δὲ νῦν προσήκει ὅτι ὁ θεῖος τόπος καὶ ἡ ἱερὰ χώρα πλήρης ἀσωμάτων ἐστὶ λόγων· ψυχαὶ δέ εἰσιν ἀθάνατοι οἱ λόγοι οὗτοι.* Ib. 22 p. 641; 23 p. 643), modo *ἀρετὰς* (De Profug. 9 p. 553) et *χάριτας θεοῦ* (Leg. Alleg. 20 p. 81), ut quasi actiones atque potestates dei esse videantur, quem aliis locis dicit, etiamsi neque loco neque tempore exsistat, complere mundum et intercedentibus illis potestatibus pervadere, v. De Poster. Caini 5 p. 229; De Mutat. Nom. 4 p. 582 *τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν πρός τι· αὐτὸ γὰρ ἑαυτοῦ πλῆρες καὶ αὐτὸ ἑαυτῷ ἱκανὸν καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως καὶ μετὰ τὴν γένεσιν τοῦ παντὸς ἐν ὁμοίῳ. — τῶν δὲ δυνάμεων, ἃς ἔτεινεν εἰς γένεσιν ἐπ᾽ εὐεργεσίᾳ τοῦ συσταθέντος, ἐνίας συμβέβηκε λέγεσθαι ὡσανεὶ πρός τι.*

mundus intelligibilis

De Mundi Opif. 4 p. 4. *Προλαβὼν γὰρ ὁ θεὸς ἅτε θεός,* 492 A
ὅτι μίμημα καλὸν οὐκ ἄν ποτε γένοιτο καλοῦ δίχα παραδείγματος, οὐδέ τι τῶν αἰσθητῶν ἀνυπαίτιον ὃ μὴ πρὸς ἀρχέτυπον καὶ νοητὴν ἰδέαν ἀπεικονίσθη, βουληθεὶς τὸν ὁρατὸν τουτονὶ κόσμον δημιουργῆσαι προεξετύπου τὸν νοητόν, ἵνα χρώμενος ἀσωμάτῳ καὶ θεοειδεστάτῳ παραδείγματι τὸν σωματικὸν τοῦτον ἀπεργάσηται πρεσβυτέρου νεώτερον ἀπεικόνισμα, τοσαῦτα περιέξοντα αἰσθητὰ γένη ὅσαπερ ἐν ἐκείνῳ νοητά[a]. — 5. *καθάπερ οὖν ἡ ἐν τῷ ἀρχιτεκτονικῷ προδιατυπωθεῖσα πόλις τὴν χώραν ἐκτὸς οὐκ εἶχεν, ἀλλ᾽ ἐνεσφράγιστο τῇ τοῦ τεχνίτου ψυχῇ, τὸν αὐτὸν τρόπον οὐδὲ ὁ ἐκ τῶν ἰδεῶν κόσμος ἄλλον ἂν ἔχοι τόπον ἢ τὸν θεῖον λόγον τὸν ταῦτα διακοσμήσαντα· ἐπεὶ τίς ἂν εἴη τῶν δυνάμεων αὐτοῦ τόπος ἕτερος, ὃς γένοιτ᾽ ἂν ἱκανός, οὐ λέγω πάσας, ἀλλὰ μίαν ἄκρατον ἡντινοῦν δέξασθαί τε καὶ χωρῆσαι*[b];

summae virtutes divinae

De Cherubim 9 p. 143. *Ἤκουσα δέ ποτε καὶ σπου-* 492 B
δαιοτέρου λόγου παρὰ ψυχῆς ἐμῆς εἰωθυίας τὰ πολλὰ θεοληπτεῖσθαι καὶ περὶ ὧν οὐχ οἶδε μαντεύεσθαι· ὃν ἐὰν δύνωμαι

ἀπομνημονεύσας ἐρῶ. ἔλεγε δέ μοι κατὰ τὸν ἕνα ὄντως ὄντα θεὸν δύο τὰς ἀνωτάτω εἶναι καὶ πρώτας δυνάμεις, ἀγαθότητα καὶ ἐξουσίαν, καὶ ἀγαθότητι μὲν τὸ πᾶν γεγεννηκέναι[c], ἐξουσίᾳ δὲ τοῦ γεννηθέντος ἄρχειν· τρίτον δὲ συναγωγὸν ἀμφοῖν μέσον εἶναι λόγον· λόγῳ γὰρ καὶ ἄρχοντα καὶ ἀγαθὸν εἶναι τὸν θεόν[d].

492 C Quis Rer. Div. Her. 42 p. 501. Τῷ δὲ ἀρχαγγέλῳ καὶ πρεσβυτάτῳ λόγῳ δωρεὰν ἐξαίρετον ἔδωκεν ὁ τὰ ὅλα γεννήσας πατήρ, ἵνα μεθόριος στὰς τὸ γενόμενον διακρίνῃ τοῦ πεποιηκότος. ὁ δ' αὐτὸς ἱκέτης μέν ἐστι τοῦ θνητοῦ κηραίνοντος ἀεὶ πρὸς τὸ ἄφθαρτον, πρεσβευτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον, — οὔτε ἀγέννητος ὡς ὁ θεὸς ὢν οὔτε γεννητὸς ὡς ὑμεῖς, ἀλλὰ μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων[e]. verbum dei

a. In sequentibus mundum intelligibilem dicit minime loco contineri, sed esse tanquam adumbratam speciem atque imaginem urbis aedificandae in mente architecti insidentem. Aliis locis intellectum divinum h. e. mundum intelligibilem subesse mundo sensibili aperte significat, v. de Monarch. I 1 p. 214 *παγγέλοιον δὲ οἴεσθαι ὅτι νοῦς μὲν ὁ ἐν ἡμῖν, βραχύτατος ὢν καὶ ἀόρατος, ἡγεμὼν τῶν αἰσθητικῶν ὀργάνων ἐστίν, ὁ δὲ τοῦ παντὸς ὁ μέγιστος καὶ τελεώτατος οὐχὶ βασιλεὺς βασιλέων εἶναι πέφυκε, βλεπομένων οὐ βλεπόμενος.*

b. Cf. De Mund. Opif. 6 p. 5 *εἰ δέ τις ἐθελήσειε γυμνοτέροις χρήσασθαι τοῖς ὀνόμασιν, οὐδὲν ἂν ἕτερον εἴποι τὸν νοητὸν εἶναι κόσμον ἢ θεοῦ λόγον ἤδη κοσμοποιοῦντος. — καὶ ἡ ἀρχέτυπος σφραγίς, ὅν φαμεν εἶναι κόσμον νοητόν, αὐτὸς ἂν εἴη τὸ ἀρχέτυπον παράδειγμα, ἰδέα τῶν ἰδεῶν, ὁ θεοῦ λόγος.*

c. Cf. Plato **RP** 263 et quod eum locum Platonis respiciens scribit Philo Opif. Mund. 5 p. 5 *εἰ γάρ τις ἐθελήσειε τὴν αἰτίαν, ἧς ἕνεκα τόδε τὸ πᾶν ἐδημιουργεῖτο, διερευνᾶσθαι, δοκεῖ μοι μὴ διαμαρτεῖν τοῦ σκοποῦ φάμενος, ὅπερ καὶ τῶν ἀρχαίων εἶπέ τις, ἀγαθὸν εἶναι τὸν πατέρα καὶ ποιητήν κτλ.*

d. Bonitatem h. e. potestatem creatricem dei solet appellare *θεόν*, potentiam h. e. potestatem gubernatricem *κύριον*; utrique si adiungas *τὸν ὄντα* h. e. deum summum atque ineffabilem (**RP** 487), effici triadem, v. Qu. in Genes. I 57 p. 40 Auch.; IV 2 p. 242; De Abrah. 24 p. 19 *ἀλλ' ἔστιν, ὡς ἄν τις τῆς ἀληθείας ἐγγύτατα ἱστάμενος εἴποι, πατὴρ μὲν τῶν ὅλων ὁ μέσος, ὃς ἐν ταῖς ἱεραῖς γραφαῖς κυρίῳ ὀνόματι καλεῖται ὁ ὤν, αἱ δὲ παρ' ἑκάτερα πρεσβύταται καὶ ἐγγύταται τοῦ ὄντος δυνάμεις, ὧν ἡ μὲν ποιητική, ἡ δ' αὖ βασιλικὴ προσαγορεύεται. καὶ ἡ μὲν ποιητικὴ θεός, ταύτῃ γὰρ ἔθηκέ τε καὶ διεκόσμησε τὸ πᾶν, ἡ δὲ βασιλικὴ κύριος, θέμις γὰρ ἄρχειν καὶ κρατεῖν τὸ πεποιηκός τοῦ γε-*

νομένου. δορυφορούμενος οὖν ὁ μέσος ὑφ' ἑκατέρας τῶν δυνάμεων παρέχει τῇ ὁρατικῇ διανοίᾳ τοτὲ μὲν ἑνὸς τοτὲ δὲ τριῶν φαντασίαν. Adde Leg. Alleg. III 23 p. 101; Qu. Deus Immut. 24 p. 289; Mutat. Nom. 3 p. 581, al. Verbum Dei (*ὁ λόγος*) modo esse ponitur id quo utraque potestas dei et creandi et regendi mundum in unum consocietur, modo supra utramque potestatem eminere dicitur, ut sit medium inter summas potestates et summum deum, v. De Profug. 18 p. 560; Qu. in Exod. II 68 p. 514.

e. Cf. Leg. Alleg. III 61 p. 121 *ὁ λόγος δὲ τοῦ θεοῦ ὑπεράνω παντός ἐστι τοῦ κόσμου καὶ πρεσβύτατος καὶ γενικώτατος τῶν ὅσα γέγονε.* De Confus. Ling. 28 p. 427, ubi dicitur *λόγος πρωτόγονος, ἄγγελος πρεσβύτατος, ἀρχάγγελος πολυώνυμος.* Aliis locis dicitur primigenitus filius dei (De Agric. 12 p. 308), aliis deus secundus (fragm. 1 ap. Euseb. Pr. Ev. VII 13 p. 625 Mg.) aliis idem atque sapientia s. scientia dei, cum qua deus nonnunquam hunc mundum genuisse dicitur (Leg. Alleg. I 19 p. 56; De Ebriet. 8 p. 361), tametsi aliis huius atque dei patris filius appellatur: De Profug. 20 p. 562 *διότι γονέων ἀφθάρτων καὶ καθαρωτάτων ἔλαχε, πατρὸς μὲν θεοῦ, ὃς καὶ τῶν συμπάντων ἐστὶ πατήρ, μητρὸς δὲ σοφίας, δι' ἧς τὰ ὅλα ἦλθεν εἰς γένεσιν.* Nonnullis locis dicitur esse instrumentum dei in mundo creando: Leg. Alleg. III 31 p. 106 *σκιὰ θεοῦ δὲ ὁ λόγος αὐτοῦ ἐστιν, ᾧ καθάπερ ὀργάνῳ προσχρησάμενος ἐκοσμοποίει,* cf. de Cherub. 35 p. 162, aliis summus pontifex (*ἀρχιερεὺς*) atque advocatus (*παράκλητος*), qui inter deum et mundum tanquam intercessor constitutus sit, hominum preces ad deum perferens et dei gratiam hominibus concilians: De Gigant. 11 p. 269; Vita Mos. 14 p. 155; De Profug. 20 p. 562. Denique aliis hunc esse affirmat qui sapientium animos scientia imbuat: Leg. Alleg. III 61 p. 122 *τρέφεται δὲ τῶν μὲν τελειοτέρων ἡ ψυχὴ ὅλῳ τῷ λόγῳ, ἀγαπήσαιμεν δ' ἂν ἡμεῖς, εἰ καὶ μέρει τραφείημεν αὐτοῦ.* Ib. 73 p. 128 *εἰκότως γὰρ οὐδεὶς ὄμνυσι κατὰ θεοῦ, ὅτι γε οὐ περὶ φύσεως αὐτοῦ διαγνῶναι δύναται, ἀλλ' ἀγαπητόν, ἐὰν τοῦ ὀνόματος αὐτοῦ δυνηθῶμεν, ὅπερ ἦν τοῦ ἑρμηνέως λόγου· οὗτος γὰρ ἡμῶν τῶν ἀτελῶν ἂν εἴη θεός, τῶν δὲ σοφῶν καὶ τελείων ὁ πρῶτος.* Ipse enim deus nisi a perfectis cognosci non potest neque ab illis tam cognoscitur quam raro et raptim hauritur: cf. De Somm. I 11 p. 630; Quod Deus Immutab. 1 p. 273; De Confus. Ling. 20 p. 419.

deus procreator

Leg. Alleg. I 3 p. 44. *Παύεται γὰρ οὐδέποτε ποιῶν ὁ θεός, ἀλλ' ὥσπερ ἴδιον τὸ καίειν πυρὸς καὶ χιόνος τὸ ψύχειν, οὕτω καὶ θεοῦ τὸ ποιεῖν, καὶ πολύ γε μᾶλλον, ὅσῳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀρχὴ τοῦ δρᾶν ἐστιν*[a]. 493

a. De Cherub. 28 p. 156 *ὁ γὰρ τοῦ ὄντος ὀφθαλμὸς φωτὸς ἑτέρου πρὸς κατάληψιν οὐ δεῖται, αὐτὸς δ' ὢν ἀρχέτυπος αὐγὴ μυρίας ἀκτῖνας ἐκβάλλει, ὧν οὐδεμία ἐστὶν αἰσθητή, νοηταὶ δὲ αἱ ἅπασαι.* De Somn.

I 13 p. 632 *πρῶτον μὲν ὁ θεὸς φῶς ἐστι, — καὶ οὐ μόνον φῶς, ἀλλὰ καὶ παντὸς ἑτέρου φωτὸς ἀρχέτυπον, μᾶλλον δὲ ἀρχετύπου πρεσβύτερον καὶ ἀνώτερον.* Ib. 19 p. 638, ubi asceticam contemplationem dicit, si sursum feratur, *ταῖς ἀρχετύποις καὶ ἀσωμάτοις ἀκτῖσι τῆς λογικῆς πηγῆς τοῦ τελεσφόρου θεοῦ περιλάμπεσθαι*, si deorsum, *ταῖς ἐκείνων εἰκόσιν, ἀθανάτοις λόγοις, οὓς καλεῖν ἔθος ἀγγέλους*, cf. **RP** 491 a. Omnino quomodo potestates illae divinae atque verbum dei, denique quomodo mundus intelligibilis ac sensibilis ex deo summo exstiterit, hoc imaginibus multis atque diversis magis ludit quam certis rationibus explicat; neque emanationis doctrinam, si hanc ei tribuere velis, ita sequitur ut origines et diversos gradus rerum creatarum certa ratione inde deducat. Similiter etiam *τὸν λόγον* modo instrumentum dei in mundo creando adhibitum dicit (**RP** 492 e), modo ipsum inesse in mundo, quem tanquam vestem inductam teneat, tanquam vinculum contineat, tanquam lex dei fulciat, tanquam summa causa penetret, cf. De Profug. 20 p. 562; Quis Rer. Div. Her. 24 p. 489; 38 p. 499; De Plantat. Noe 2 p. 331; De Agric. 12 p. 308. Qua in re nonnunquam similitudinibus suis ita fungitur, ut duplicem *λόγον* cum in homine tum in omni rerum natura inesse dicat, alterum *ἐνδιάθετον* alterum *προφορικόν* (quae distinctio a Stoicis repetenda est, v. **RP** 391 a), v. Vit. Mos. III 13 p. 154 *διττὸς γὰρ ὁ λόγος ἔν τε τῷ παντὶ καὶ ἐν ἀνθρώπου φύσει· κατὰ μὲν τὸ πᾶν ὅ τε περὶ τῶν ἀσωμάτων καὶ παραδειγματικῶν ἰδεῶν, ἐξ ὧν ὁ νοητὸς ἐπάγη κόσμος, καὶ ὁ περὶ τῶν ὁρατῶν, ἃ δὴ μιμήματα καὶ ἀπεικονίσματα τῶν ἰδεῶν ἐκείνων ἐστίν, ἐξ ὧν ὁ αἰσθητὸς οὗτος ἀπετελεῖτο· ἐν ἀνθρώπῳ δὲ ὁ μέν ἐστιν ἐνδιάθετος ὁ δὲ προφορικός, καὶ ὁ μὲν οἷά τις πηγή, ὁ δὲ γεγωνὸς ἀπ' ἐκείνου ῥέων*, cf. De Migrat. Abrah. 13 p. 447. De ipso mundo creato et de providentia divina deque rebus naturalibus paucis immutatis repetit ea quae apud Graecos philosophos, Platonem maxime et Stoicos, legerat. Notabile vero quantum numeris indulgeat novos Pythagoreos in his secutus, cf. De Mundi Opif. 3 p. 3; 15 p. 10; 20 p. 14; 30—43 p. 21—30.

494 De Somn. I 22 p. 641. Ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας, ἣν ἐσχάτην μὲν τῶν κατ' οὐρανὸν κύκλων, πρώτην δὲ τῶν πρὸς ἡμᾶς ἀναγράφουσιν οἱ φροντισταὶ τῶν μετεώρων, ἄχρι γῆς ἐσχάτης ὁ ἀὴρ πάντη ταθεὶς ἔφθακεν. οὗτος δέ ἐστι ψυχῶν ἀσωμάτων οἶκος, ἐπειδὴ πάντα τῷ ποιητῇ τὰ τοῦ κόσμου μέρη καλὸν ἔδοξεν εἶναι ζῴων ἀναπλῆσαι. διὰ τοῦτο γῇ μὲν τὰ χερσαῖα ἐγκατεσκεύασε, θαλάττῃ δὲ καὶ ποταμοῖς τὰ ἔνυδρα, οὐρανῷ δὲ τοὺς ἀστέρας· καὶ γὰρ ἕκαστον τούτων οὐ μόνον ζῷον, ἀλλὰ καὶ νοῦς ὅλος δι' ὅλων ὁ καθαρώτατος εἶναι λέγεται[a]· ὥστε καὶ ἐν τῷ λοιπῷ τμήματι τοῦ παντός, ἀέρι, ζῷα γέγονεν. εἰ δὲ μὴ αἰσθήσει κατα- daemones s. angeli

ληπτά, τί τοῦτο; καὶ ψυχὴ γὰρ ἀόρατον. καὶ μὴν εἰκός γε ἀέρα γῆς μᾶλλον καὶ ὕδατος ζῳοτροφεῖν. διὰ τί; ὅτι καὶ τὰ ἐν ἐκείνοις οὗτος ἐψύχωσεν· ἐποίει γὰρ αὐτὸν ὁ τεχνίτης ἀκινήτων μὲν σωμάτων ἕξιν, κινουμένων δὲ ἀφαντάστως φύσιν, ἤδη δὲ ὁρμῇ καὶ φαντασίᾳ χρῆσθαι δυναμένων ψυχήν. οὐχ ἄτοπον οὖν, δι᾽ οὗ τὰ ἄλλα ἐψυχώθη, ψυχῶν ἀμοιρεῖν; διὸ μηδεὶς τὴν ἀρίστην φύσιν ζῴων τοῦ ἀρίστου τῶν περιγείων, ἀέρος, ἀφαιρείσθω· οὐ γὰρ μόνον ἐκ πάντων ἔρημος οὗτος, ἀλλ᾽ οἷα πόλις εὐανδρεῖ πολίτας ἀφθάρτους καὶ ἀθανάτους ἔχων ψυχὰς ἰσαρίθμους ἄστροις. τούτων τῶν ψυχῶν αἱ μὲν κατίασιν ἐνδεθησόμεναι σώμασι θνητοῖς ὅσαι προσγειότατοι καὶ φιλοσώματοι, αἱ δὲ ἀνέρχονται διακριθεῖσαι πάλιν κατὰ τοὺς ὑπὸ φύσεως ὁρισθέντας ὁρισμοὺς καὶ χρόνους. τούτων αἱ μὲν τὰ σύντροφα καὶ συνήθη τοῦ θνητοῦ βίου ποθοῦσαι παλινδρομοῦσιν αὖθις, αἱ δὲ πολλὴν φλυαρίαν αὐτοῦ καταγνοῦσαι δεσμωτήριον καὶ τύμβον ἐκάλεσαν τὸ σῶμα, φυγοῦσαι δὲ ὥσπερ ἐξ εἱρκτῆς ἢ μνήματος ἄνω κούφοις πτεροῖς πρὸς αἰθέρα ἐξαρθεῖσαι μετεωροπολοῦσι τὸν αἰῶνα. ἄλλαι δ᾽ εἰσὶ καθαρώταται καὶ ἄρισται, μειζόνων φρονημάτων καὶ θειοτέρων ἐπιλαχοῦσαι, μηδενὸς μὲν τῶν περιγείων ποτὲ ὀρεχθεῖσαι τὸ παράπαν, ὕπαρχοι δὲ τοῦ πανηγεμόνος, ὥσπερ μεγάλου βασιλέως ὀφθαλμοὶ καὶ ὦτα ἀφορῶσαι πάντα καὶ ἀκούουσαι. ταύτας δαίμονας μὲν οἱ ἄλλοι φιλόσοφοι, ὁ δὲ ἱερὸς λόγος ἀγγέλους εἴωθε καλεῖν[b].

a. Cf. De Mundi Opif. I 8 p. 7; 17 sq. p. 12 sq; 50 p. 34; De Plantat. 3 p. 331; De Gigant. 2 p. 263 *καὶ γὰρ οὗτοι (οἱ ἀστέρες) ψυχαὶ ὅλαι δι᾽ ὅλων ἀκήρατοί τε καὶ θεῖαι, παρ᾽ ὃ καὶ κύκλῳ κινοῦνται, τὴν συγγενεστάτην νῷ κίνησιν· νοῦς γὰρ ἑκάστοις αὐτῶν ἀκραιφνέστατος.*

b. Cf. **RP** 491 a. — Praeterea cf. De Gigant. 2 sq. p. 263 sq. (Plat. Tim. p. 43); De Plantat. 4 p. 331; De Confus. Ling. 34 p. 431. In anima humana ratio et intellectus particula est divini intellectus extrinsecus in illam intrantis, v. De Mundi Opif. 21 p. 15 sq. *ἐπὶ δὲ πᾶσι (ζῴοις ἐγέννησεν) τὸν ἄνθρωπον, ᾧ νοῦν ἐξαίρετον ἐδωρεῖτο, ψυχῆς τινα ψυχήν, καθάπερ κόρην ἐν ὀφθαλμῷ.* — 22 *ἡ δὲ (φύσις) οἷα τεχνίτης — ζῳοπλαστεῖ τὴν μὲν ὑγρὰν οὐσίαν εἰς τὰ τοῦ σώματος μέλη καὶ μέρη διανέμουσα, τὴν δὲ πνευματικὴν εἰς τὰς τῆς ψυχῆς δυνάμεις, τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν· τὴν γὰρ τοῦ λογισμοῦ τὰ νῦν ὑπερθετέον διὰ τοὺς φάσκοντας θύραθεν αὐτὸν ἐπεισιέναι θεῖον καὶ ἀΐδιον ὄντα* (Arist. **RP** 337 f). Suam sententiam magis prodit his locis: De

anima humana

Mundi Opif. 51 p. 35 *πᾶς ἄνθρωπος κατὰ μὲν τὴν διάνοιαν ᾠκείωται θείῳ λόγῳ, τῆς μακαρίας φύσεως ἐκμαγεῖον ἢ ἀπόσπασμα ἢ ἀπαύγασμα γεγονώς.* Qu. Det. Pot. Ins. 24 p. 209 *πῶς οὖν εἰκὸς βραχὺν οὕτως ὄντα τὸν ἀνθρώπινον νοῦν, μήνιγγι ἢ καρδίᾳ, βραχέσιν ὄγκοις, ἐγκατειλημμένον μέγεθος οὐρανοῦ καὶ κόσμου χωρῆσαι τοσοῦτον, εἰ μὴ τῆς θείας καὶ εὐδαίμονος ψυχῆς ἀπόσπασμα ἦν οὐ διαιρετόν; τέμνεται γὰρ οὐδὲν τοῦ θείου κατ' ἀπάρτησιν, ἀλλὰ μόνον ἐκτείνεται.* De corpore et vita in corpore semper cum ultimo contemptu loquitur: De Ebriet. 25 p. 372; Leg. Alleg. I 33 p. 65; III 13 sq. p. 95 sq.; De Gigant. 7 sq. p. 266 sq. Mors nihil est nisi reditus ad deum: De Abrah. 44 p. 37. mors

495 Quod Deus Immut. 10 p. 279. *Ἐξαίρετον οὗτος (ὁ ἄνθρωπος) γέρας ἔλαχε, διάνοιαν, ᾗ τὰς ἁπάντων φύσεις σωμάτων τε ὁμοῦ καὶ πραγμάτων εἴωθε καταλαμβάνειν. — τοῦτο τῆς ψυχῆς τὸ εἶδος οὐκ ἐκ τῶν αὐτῶν στοιχείων, ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη, καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς αἱ θεῖαι φύσεις ἐδημιουργοῦντο*[a]. *παρ' ὃ καὶ μόνον τῶν ἐν ἡμῖν εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσε καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμὰ ἄφετον εἴασε, δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου καὶ οἰκείου κτήματος αὐτῷ τοῦ ἑκουσίου μοῖραν, ἣν ἠδύνατο δέξασθαι. — τῶν μὲν γὰρ ἄλλων φυτῶν τε καὶ ζῴων οὔτε αἱ εὐφορίαι ἐπαινεταὶ οὔτε αἱ κακοπραγίαι ψεκταί· τὰς γὰρ ἐφ' ἑκάτερα κινήσεις καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον· μόνη δὲ ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ τὴν ἑκούσιον κίνησιν καὶ κατὰ τοῦτο ὁμοιωθεῖσα αὐτῷ, χαλεπῆς καὶ ἀργαλεωτάτης δεσποίνης, τῆς ἀνάγκης, ὡς οἷόν τε ἦν ἐλευθερωθεῖσα κατηγορίας ἂν δεόντως τυγχάνοι, ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει. τοιγάρτοι τὴν κατὰ ἀπελευθέρων ἀχαρίστων ἀπαραίτητον δίκην ὀρθότατα τίσει*[b]. — *εἰργάσατο γὰρ (ὁ θεὸς) αὐτὸν (τὸν ἄνθρωπον) ἄφετον καὶ ἐλεύθερον ἑκουσίοις καὶ προαιρετικαῖς χρησάμενον ταῖς ἐνεργείαις πρὸς τήνδε τὴν χρείαν, ἵνα ἐπιστάμενος ἀγαθά τε αὖ καὶ κακὰ καὶ καλῶν καὶ αἰσχρῶν λαμβάνων ἔννοιαν καὶ δικαίοις καὶ ἀδίκοις καὶ ὅλως τοῖς ἀπ' ἀρετῆς καὶ κακίας καθαρῶς ἐπιβάλλων αἱρέσει μὲν τῶν ἀμεινόνων, φυγῇ δὲ τῶν ἐναντίων χρῆται*[c].

intellectus humanus

divinus

immortalis

liber

a. Cf. **RP** 494.

b. Etiam Alleg. Leg. I 13 p. 50 hominem ita liberum esse ponit, ut sit iustitia puniens dei.

c. Neque tamen ita haec voluntatis libertas accipienda, ut tollatur persuasio de bonis omnibus a deo promanantibus; quin etiam ipsi homines mali a deo h. e. ab ira dei repetuntur: Quod Deus Immut. 15 p. 283 *οἱ μὲν φαῦλοι θυμῷ γεγόνασι θεοῦ, οἱ δ' ἀγαθοὶ χάριτι*, ubi tamen adicitur iram dei non posse dici nisi *τροπικώτερον*, ut significetur

peccatum necessitas imperfecti, quod remaneat in mundo per deum creato. Aliis locis cuique homini ut peccet innatum esse dicit neque quemquam exsistere inter eos qui hanc vitam vivant, qui non peccet: Vit. Mos. III 17 p. 157; De Animal. Sacrif. Idon. 14 p. 249 *τῷ δὲ περὶ ἁμαρτίας διὰ τὸ ἄνθρωπος εἶναι· καὶ ἂν γὰρ ὁ τέλειος ᾖ γεννητός, οὐκ ἐκφεύγει τὸ ἁμαρτάνειν.* Quod Deus Immut. 16 p. 284; Mutat. Nom. 6 p. 585; Qu. Rer. Div. Her. 59 p. 515.

tria studiorum genera

De Gigant. 13 p. 271. *Βούλεται δὲ (ὁ νομοθέτης) ἐκεῖνό* 496 A *σοι παραστῆσαι, ὅτι οἱ μὲν γῆς, οἱ δὲ οὐρανοῦ, οἱ δὲ θεοῦ γεγόνασιν ἄνθρωποι· γῆς μὲν οἱ θηρευταὶ τῶν σώματος ἡδονῶν ἀπόλαυσίν τε καὶ χρῆσιν ἐπιτηδεύοντες αὐτῶν καὶ πορισταὶ τῶν συντεινόντων εἰς ἑκάστην· οὐρανοῦ δὲ ὅσοι τεχνῖται καὶ ἐπιστήμονες καὶ φιλομαθεῖς· τὸ γὰρ οὐράνιον τῶν ἐν ἡμῖν ὁ νοῦς*[a]*, νοῦς δὲ καὶ τῶν κατ' οὐρανὸν ἑκάστων τὰ ἐγκύκλια καὶ τὰς ἄλλας ἁπαξαπάσας ἐπιτηδεύει τέχνας παραθήγων καὶ ἀκονῶν ἔτι τε γυμνάζων καὶ συγκροτῶν ἐν τοῖς νοητοῖς αὐτόν· θεοῦ δὲ ἄνθρωποι ἱερεῖς καὶ προφῆται, οἵτινες οὐκ ἠξίωσαν πολιτείας τῆς παρὰ τῷ κόσμῳ τυχεῖν καὶ κοσμοπολῖται γενέσθαι, τὸ δὲ αἰσθητὸν πᾶν ὑπερκύψαντες εἰς τὸν νοητὸν κόσμον μετανέστησαν καὶ ἐκεῖθι ᾤκησαν ἐγγραφέντες ἀφθάρτων* [1] *ἀσωμάτων ἰδεῶν πολιτείᾳ.*

sedatio sensuum

Leg. Alleg. III 14 p. 96. *Ὅταν μέντοι διὰ πάντων ἡ* 496 B *ψυχὴ καὶ λόγων καὶ ἔργων ἐξαπλωθῇ καὶ ἐκθειασθῇ, παύονται τῶν αἰσθήσεων αἱ φωναὶ καὶ πάντες οἱ ὀχληροὶ καὶ δυσώνυμοι ἦχοι. φωνεῖ γὰρ καὶ καλεῖ τὸ μὲν ὁρατὸν τὴν ὅρασιν ἐφ' ἑαυτό, ἡ δὲ φωνὴ τὴν ἀκοήν, ὁ δὲ ἀτμὸς τὴν ὄσφρησιν, καὶ συνόλως τὸ αἰσθητὸν τὴν αἴσθησιν ἐφ' ἑαυτὸ προσκαλεῖται. ταῦτα δὲ πάντα παύεται, ὅταν ἐξελθοῦσα τὴν ψυχῆς πόλιν* (Exod. 9, 29) *ἡ διάνοια θεῷ τὰς ἑαυτῆς πράξεις καὶ διανοήσεις ἀνάψῃ.*

---

1) *ἀφθάρτων* vulgo: *ἀφθάρτῳ* Mangey, sed exsistit hiatus.

496 c De Migr. Abr. 9 p. 443. Ἀλλὰ πρῶτον ἐκεῖνό σοι βούλεται παραστῆσαι[b], ὅτι ἕτερος νηπίων καὶ ἕτερος τελείων χῶρός ἐστιν, ὁ μὲν ὀνομαζόμενος ἄσκησις, ὁ δὲ καλούμενος σοφία[c]· ἔπειτα ὅτι τὰ κάλλιστα τῶν ἐν τῇ φύσει ὁρατὰ μᾶλλόν ἐστιν ἢ κτητά. κτήσασθαι μὲν γὰρ τῆς θειοτέρας μοίρας λαχόντα πῶς ἔνεστιν; ἰδεῖν δ' οὐκ ἀδύνατον ἀλλ' οὐχ' ἅπασιν, εἴη δ' ἂν μόνῳ τῷ καθαρωτάτῳ καὶ ὀξυωπεστάτῳ γένει, ᾧ τὰ ἴδια ἐπιδεικνύμενος ὁ τῶν ὅλων πατὴρ ἔργα μεγίστην πασῶν χαρίζεται δωρεάν. θεωρητικοῦ γὰρ τίς ἀμείνων βίος ἢ μᾶλλον οἰκειούμενος λογικῷ; virtutis tria genera

a. Cf. RP 494 b.

b. Dicit hunc locum: Deut. 34, 4 ἔδειξα τοῖς ὀφθαλμοῖς σου καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.

c. Virtus aut exercitatione comparatur, aut ex scientia procedit, aut divinitus datur eaque una consummata est: De Nom. Mutat. 14 p. 591 ἡ μὲν διδακτὴ ἀρετὴ καὶ ἀσκητικὴ δέχονται τὰ πρὸς βελτίωσιν· ἐφίεται γὰρ δὴ ὁ μὲν διδασκόμενος ἐπιστήμης ὧν ἀγνοεῖ, ὁ δ' ἀσκήσει χρώμενος στεφάνων καὶ τῶν προκειμένων ἄθλων φιλοπόνῳ καὶ φιλοθεάμονι ψυχῇ. τὸ δ' αὐτοδίδακτον καὶ αὐτομαθὲς γένος ἅτε φύσει μᾶλλον ἢ ἐπιτηδεύσει συνιστάμενον ἐξ ἀρχῆς ἴσον καὶ τέλειον καὶ ἄρτιον ἠνέχθη μηδενὸς ἐνδέοντος τῶν εἰς πλήρωσιν ἀριθμοῦ. Virtus ex scientia nata deterior est quam quae exercitatione fit, sed illa huius praeparatio necessaria: De Congr. Erud. Grat. 13 p. 528 ἀναγκαῖον γὰρ τοῖς παραγγέλμασιν ἀρετῆς τὸν μανθάνοντα πειθαρχεῖν. οὐ πάντες δὲ πειθαρχοῦσιν, ἀλλ' ὅσοις σφοδρὸς ἔρως ἐντέτηκεν ἐπιστήμης. — δυνατοὶ μὲν γὰρ εἰπεῖν, ἀδύνατοι δέ εἰσι πράττειν τὰ βέλτιστα. — De Somm. I 27 p. 646 τὸ γὰρ ἀσκήσει ἔκγονον τοῦ μαθήσει. Exercitatione id agitur, ut τὰ πάθη prorsus ex animo eradicentur: Leg. Alleg. III 45 p. 112 fin. Μωϋσῆς δὲ ὅλον τὸν θυμὸν ἐκτέμνειν καὶ ἀποκόπτειν οἴεται δεῖν τῆς ψυχῆς, οὐ μετριοπάθειαν, ἀλλὰ συνόλως ἀπάθειαν ἀγαπῶν. Vel ea ad quam natura ferimur voluptas exstirpanda est, quia etiam hac implicamur materiae: ib. 48 p. 115.

497 De Somn. I 23 p. 643. Σπούδασον οὖν, ὦ ψυχή, θεοῦ οἶκος γενέσθαι, ἱερὸν ἅγιον, καὶ ἰσχυρὰ μὲν ἐξ ἀσθενεστάτης, ἐκ δὲ ἀδυνάτου δυνατὴ καὶ συνετὴ ἐξ ἀφραινούσης, εὐλογιστοτάτη δὲ ἐκ παραπαιούσης[a]. Ἴσως δὲ καὶ τὸν ἑαυτοῦ βίον ὁ ἀσκητὴς φαντασιοῦται κλίμακι ἐοικότα· φύσει γὰρ ἀνώμαλον πρᾶγμα ἄσκησις, τοτὲ μὲν προϊοῦσα εἰς ὕψος τοτὲ δὲ ὑποστρέφουσα πρὸς τοὐναντίον, καὶ τοτὲ μὲν καθάπερ ναῦς εὐπλοίᾳ τοτὲ δὲ δυσπλοίᾳ χρωμένη. ἐστερήμερος γάρ, perfectae virtutis praemium

ὡς ἔφη τις (Hom. λ 303), τῶν ἀσκητῶν ὁ βίος, ἄλλοτε μὲν ζῶν καὶ ἐγρηγορὼς ἄλλοτε δὲ τεθνεὼς ἢ κοιμώμενος. καὶ τάχα οὐκ ἀπὸ σκοποῦ τοῦτο λέγεται· σοφοὶ μὲν γὰρ τὸν ὀλύμπιον καὶ οὐράνιον χῶρον ἔλαχον οἰκεῖν, ἄνω φοιτᾶν ἀεὶ μεμαθηκότες, κακοὶ δὲ τοὺς ἐν ᾅδου μυχοὺς ἐξ ἀρχῆς ἄχρι τέλους ἀποθνήσκειν ἐπιτετηδευκότες καὶ εἰς γῆρας ἐκ σπαργάνων φθορᾶς ἐθάδες ὄντες. οἱ δ' ἀσκηταί, μεθόριοι γὰρ τῶν ἄκρων εἰσίν, ἄνω καὶ κάτω πολλάκις ὡς ἐπὶ κλίμακος βαδίζουσιν, ἢ ὑπὸ τῆς κρείττονος μοίρας ἀνελκόμενοι ἢ ὑπὸ τῆς χείρονος ἀντισπώμενοι, μέχρις ἂν ὁ τῆς ἁμίλλης καὶ διαμάχης ταύτης βραβευτὴς θεὸς ἀναδῷ τὰ βραβεῖα τάξει τῇ βελτίονι, τὴν ἐναντίαν εἰς ἅπαν καθελών[c].

a. Animus primo perturbationibus obnoxius continuata demum exercitatione superior evadere potest: De Congr. Erud. Gr. 15 p. 531 *ἐν ἀρχῇ μὲν τῆς γενέσεως ἡμῶν ἡ ψυχὴ συντρόφοις τοῖς πάθεσι μόνοις χρῆται, λύπαις ἀλγηδόσι πτοίαις ἐπιθυμίαις ἡδοναῖς, ἃ διὰ τῶν αἰσθήσεων ἐπ' αὐτὴν ἔρχεται, μήπω τοῦ λογισμοῦ βλέπειν δυναμένου τά τε ἀγαθὰ καὶ κακὰ καὶ ᾗ διαφέρει ταῦτα ἀλλήλων ἀκριβοῦν, ἀλλ' ἔτι νυστάζοντος καὶ ὡς ἐν ὕπνῳ βαθεῖ καταμεμυκότος. χρόνου δὲ προϊόντος ὅταν ἐκβαίνοντες τῆς παιδικῆς ἡλικίας μειρακιοῦσθαι μέλλωμεν, τὸ δίδυμον στέλεχος εὐθὺς ἐκ μιᾶς, ἀρετὴ καὶ κακία, φύεται ῥίζης, καὶ ποιούμεθα μὲν τὴν κατάληψιν ἀμφοῖν, αἱρούμεθα δὲ πάντως τὴν ἑτέραν, οἱ μὲν εὐφυεῖς ἀρετήν, κακίαν δ' οἱ ἐναντίοι.* Cf. De Sacrif. Ab. 4 p. 166 et RP 495c.

animi tranquillitas

c. Felicitatem ponit in pace animi et *τῇ ἐν θεῷ ἀναπαύσει*: De Ebriet. 18 p. 368; De Profug. 31 p. 572; Fragm. p. 669 Mg. *μία ἀνάπαυσις ψυχῆς ἐστιν ἡ κρατίστη εἰς τὸν ἱερὸν τοῦ ὄντος πόθον, ἡγεμόνι χρῆσθαι θεῷ καὶ βουλευμάτων καὶ λόγων καὶ πράξεων. πέρας εὐδαιμονίας τὸ ἀκλινῶς καὶ ἀρρεπῶς ἐν μόνῳ θεῷ στῆναι.*

intellectus humani cum deo confusio

Leg. Alleg. III 9 p. 93. Ὁ γὰρ ἀποδιδράσκων θεὸν 498
καταφεύγει εἰς ἑαυτόν. δυοῖν γὰρ ὄντων, τοῦ τε τῶν ὅλων νοῦ, ὅς ἐστι θεός, καὶ τοῦ ἰδίου, ὁ μὲν φεύγων ἀπὸ τοῦ καθ' αὑτὸν καταφεύγει ἐπὶ τὸν συμπάντων. ὁ δὲ νοῦν τὸν ἴδιον ἀπολείπων ὁμολογεῖ μηδὲν εἶναι τὰ κατὰ τὸν ἀνθρώπινον νοῦν, ἅπαντα δὲ προσάπτει θεῷ· ὁ δὲ πάλιν ἀποδιδράσκων θεὸν τὸν μὲν οὐδενὸς αἴτιόν φησιν εἶναι, τῶν δὲ γινομένων ἁπάντων ἑαυτόν. λέγεται γοῦν παρὰ πολλοῖς ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα φέρεται χωρὶς ἡγεμόνος ἀπαυτοματίζοντα, τέχνας δὲ καὶ ἐπιτηδεύματα καὶ νόμους καὶ ἔθη καὶ πολιτικὰ καὶ ἴδια καὶ κοινὰ δίκαια πρός τε ἀνθρώπους καὶ πρὸς

τὰ ἄλογα ζῷα ἔθετο μόνος ὁ ἀνθρώπινος νοῦς. ἀλλ' ὁρᾷς, ὦ ψυχή, τῶν δοξῶν τὸ παράλογον. ἡ μὲν γὰρ τὸν ἐπὶ μέρους, τὸν γεννητὸν καὶ θνητὸν ἀπολιποῦσα τὸν τῶν ὅλων καὶ ἀγέννητον καὶ ἄφθαρτον ἐπιγράφεται ὄντως[1]*· ἡ δὲ πάλιν θεὸν ἀποδοκιμάζουσα τὸν μηδ' αὐτῷ βοηθῆσαι ἱκανὸν νοῦν σύμμαχον ἐπισπᾶται πλημμελῶς.* 10. — *θεοῦ γὰρ τὰ πάντα κτήματα, ὥστε ὁ ἑαυτῷ τι προσνέμων τὰ ἑτέρου νοσφίζεται καὶ πληγὴν ἔχει παγχάλεπον καὶ δυσίατον, οἴησιν, πρᾶγμα ἀμαθίας καὶ ἀπαιδευσίας συγγενές.*

1) „Melius *δεόντως*, opponitur enim *τῷ πλημμελῶς*." *Mangey.*

Platonici et Pythagorici recentiores.

Apollonius Tyanensis

Suidas. Ἀπολλώνιος Τυανεύς, φιλόσοφος. — ἤκμαζε μὲν 499 ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ᾽ οὗ καὶ μετήλλαξεν. ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη[a]. εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα[b]. συνέταξε δὲ τοσαῦτα· Τελετὰς ἢ περὶ Θυσιῶν, Διαθήκην, Χρησμούς, Ἐπιστολάς, Πυθαγόρου βίον[c].

Philostrati vitam Apoll. Tyan. ed. C. L. Kayser, Turic. 1853, Lips. 1870. Scripserunt de Apollonio: F. C. Baur, *Apollonius u. Christus* (in *Drei Abh. z. Gesch. d. alt. Philos.*, Lips. 1876). E. Müller, Liegnitz 1861. J. Jessen, Hamb. 1885.

a. Apollonii vitam miraculorum fabulis exornatam Philostratus composuit (a. circ. 220) eo consilio, ut specimen perfecti sapientis Pythagorei suae aetatis hominibus proponeret. Ne Damidis quidem, quem auctorem se sequi dicit (I 3), ulla est fides. Institutus esse Apollonius dicitur ab Euxeno Pythagoreo, sed magistrum abstinentia et ceteris Pythagoreorum virtutibus longe superasse: Philostr. V. Apoll. I 7. 8. 14. Pythagoreorum placita ac disciplinam tunc apud multos denuo invaluisse iam supra memoravimus **RP** 460a. Cruenta sacrificia aspernabatur praeeunte Pythagora, ib. I 31, sed tamen ultra praecepta Pythagorae progressus ne matrimonium quidem sequendum esse putabat, quippe officiens temperantiae. Numerorum doctrinam symbolicam, quae eadem aetate exemplo Pythagoreorum tradebatur a Moderato, postea a Theone Smyrnaeo et Nicomacho, Apollonius non tanti fecisse videtur; ib. III 30.

b. Miracula Apollonii Philostratus non a magicis artibus repetenda esse affirmat, sed a sapientia eius intimaque qua cum dis coniunctus fuerit caritate: ib. I 2; V 12. Apud posteriores tantum invaluit eius memoria ac sanctitas, ut passim divinis honoribus afficeretur, v. Dio Cass. LXXVII 18; Flav. Vopisc. v. Aureliani 24.

e. Epistolae sine dubio suppositae sunt. Vita Pythagorae passim exscripta est a Porphyrio (V. Pyth. 2) et Iamblicho (V. Pyth. 254). Libri περὶ θυσιῶν mentio inicitur etiam apud Philostr. V. Apoll. III 41; IV 19; fragmentum eius exstat apud Eusebium, v. RP 500.

500 Apollonius ap. Euseb. Pr. Ev. IV 13. *Οὕτως τοίνυν μάλιστα ἄν τις οἶμαι τὴν προσήκουσαν ἐπιμέλειαν ποιοῖτο τοῦ θείου τυγχάνοι τε αὐτόθεν ἵλεώ τε καὶ εὐμενοῦς αὐτοῦ παρ᾽ ὁντιναοῦν μόνος ἀνθρώπων, εἰ θεῷ μέν, ὃν δὴ πρῶτον ἔφαμεν, ἑνί τε ὄντι καὶ κεχωρισμένῳ πάντων, μεθ᾽ ὃν γνωρίζεσθαι τοὺς λοιποὺς ἀναγκαῖον, μὴ θύοι τι τὴν ἀρχὴν μήτε ἀνάπτοι πῦρ μήτε καθόλου τι τῶν αἰσθητῶν ἐπονομάζοι· δεῖται γὰρ οὐδενὸς οὐδὲ παρὰ τῶν κρειττόνων ἤπερ ἡμεῖς, οὐδ᾽ ἔστιν ὃ τὴν ἀρχὴν γῆ ἀνίησι φυτὸν ἢ τρέφει ζῷον ἢ ἀήρ, ᾧ μὴ πρόσεστί γέ τι μίασμα· μόνῳ δὲ χρῷτο πρὸς αὐτὸν ἀεὶ τῷ κρείττονι λόγῳ, λέγω δὲ τῷ μὴ διὰ στόματος ἰόντι, καὶ παρὰ τοῦ καλλίστου τῶν ὄντων διὰ τοῦ καλλίστου τῶν ἐν ἡμῖν αἰτοίη τἀγαθά. νοῦς δέ ἐστιν οὗτος ὀργάνου μὴ δεόμενος.* verus dei cultus

501 Suidas. *Πλούταρχος Χαιρωνεὺς τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων καὶ ἔτι πρόσθεν*[a]. *μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι*[b]. *ἔγραψε δὲ πολλά*[c]. Plutarchus

Plutarchi Moralia ed. D. Wyttenbach, Oxon. 1795 sq.; F. Dübner, Paris. 1841. 1847; R. Hercher, vol. I, Lips. 1872. — Scripserunt de Plutarcho: O. Gréard, *de la morale de Plutarque*, Paris. 1866 (1874). R. Volkmann, *Leben, Schriften u. Philosophie d. Pl.*, Berol. 1869 (1872). Z. III 2[3] 160—202.

a. Sub Nerone (a. 66) audiebat Ammonium: De *Ει* ap. Delph. 1 p. 385.

b. Georg. Sync. Chronogr. p. 349 B *Πλούταρχος Χαιρωνεὺς φιλόσοφος ἐπιτροπεύειν Ἑλλάδος ὑπὸ τοῦ αὐτοκράτορος (Ἀδριανοῦ) κατεστάθη γηραιός*, de quo potest dubitari. Ex ipso Plutarcho constat eum senem sacerdotio Apollinis Pythici ornatum fuisse: An Seni sit ger. Resp. 17, 3 p. 792. Natus esse videtur circ. a. 48, mortuus circ. a. 120—125: Z. p. 160[3].

c. Plurimum disserit de moribus et de virtute eoque omnem philosophiam revocandam esse existimat: De Prof. in Virt. 7 p. 78. Solet tamen et de dis et rebus divinis disputare ad exemplum magistri Am-

monii: De *Εἰ* ap. Delph. 1 sq. p. 384 sq. In ceteris Platonem et Aristotelem promiscue sequitur.

principia duo

De Is. et Os. 45 p. 369. *Οὔτε γὰρ ἐν ἀψύχοις σώμασι τὰς τοῦ παντὸς ἀρχὰς θετέον, ὡς Δημόκριτος καὶ Ἐπίκουρος, οὔτ᾽ ἀποίου δημιουργὸν ὕλης ἕνα λόγον καὶ μίαν πρόνοιαν, ὡς οἱ Στωϊκοί, περιγινομένην ἁπάντων καὶ κρατοῦσαν· ἀδύνατον γὰρ ἢ φλαῦρον ὁτιοῦν, ὅπου πάντων, ἢ χρηστόν, ὅπου μηδενὸς ὁ θεὸς αἴτιος, ἐγγενέσθαι. — διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα, τὴν ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυρὰν καὶ δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον οὐδὲ ἐν φήμαις, ἀλλ᾽ ἔν τε τελεταῖς ἔν τε θυσίαις καὶ βαρβάροις καὶ Ἕλλησι πολλαχοῦ περιφερομένην*[a], *ὡς οὔτ᾽ ἄνουν καὶ ἄλογον καὶ ἀκυβέρνητον αἰωρεῖται τῷ αὐτομάτῳ τὸ πᾶν, οὔτε εἷς ἐστιν ὁ κρατῶν καὶ κατευθύνων ὥσπερ οἴαξιν ἤ τισι πειθηνίοις χαλινοῖς λόγος, ἀλλὰ πολλὰ καὶ μεμιγμένα κακοῖς καὶ ἀγαθοῖς· μᾶλλον δὲ μηδὲν ὡς ἁπλῶς εἰπεῖν ἄκρατον ἐνταῦθα τῆς φύσεως φερούσης, οὐ δυοῖν πίθων εἷς ταμίας ὥσπερ νάματα τὰ πράγματα καπηλικῶς διανέμων ἀνακεράννυσιν ἡμῖν, ἀλλ᾽ ἀπὸ δυοῖν ἐναντίων ἀρχῶν καὶ δυοῖν ἀντιπάλων δυνάμεων, τῆς μὲν ἐπὶ τὰ δεξιὰ καὶ κατ᾽ εὐθεῖαν ὑφηγουμένης, τῆς δ᾽ ἔμπαλιν ἀναστρεφούσης καὶ ἀνακλώσης, ὅ τε βίος μικτὸς ὅ τε κόσμος, εἰ καὶ μὴ πᾶς ἀλλ᾽ ὁ περίγειος οὗτος καὶ μετὰ σελήνην*[b], *ἀνώμαλος καὶ ποικίλος γέγονε καὶ μεταβολὰς πάσας δεχόμενος. εἰ γὰρ οὐθὲν ἀναιτίως πέφυκε γενέσθαι, αἰτίαν δὲ κακοῦ τἀγαθὸν οὐκ ἂν παράσχοι, δεῖ γένεσιν ἰδίαν καὶ ἀρχὴν ὥσπερ ἀγαθοῦ καὶ κακοῦ τὴν φύσιν ἔχειν*[c]. 502

sacrorum cultus

a. Antiqui theologi Plutarcho sunt pro antiquissimis philosophis: De Anim. Procr. 33, 7 p. 1030 *οἵ τε πάλαι θεολόγοι πρεσβύτατοι φιλοσόφων ὄντες*. Etiam patrium deorum cultum antiquitus receptum retinendum esse censet: Amat. 13, 3 p. 756 *ἀρκεῖ γὰρ ἡ πάτριος καὶ παλαιὰ πίστις, ἧς οὐκ ἔστιν εἰπεῖν οὐδ᾽ ἀνευρεῖν τεκμήριον ἐναργέστερον. — ἐὰν ἐφ᾽ ἑνὸς ταράττηται καὶ σαλεύηται τὸ βέβαιον αὐτῆς καὶ νενομισμένον, ἐπισφαλὴς γίνεται πᾶσι καὶ ὕποπτος*. Simul tamen ad sacrorum commixtionem proclivis est illa aetate vulgatissimam: De Is. et Os. 67 p. 378 *θεοὺς ἐνομίσαμεν οὐχ ἑτέρους παρ᾽ ἑτέροις οὐδὲ βαρβάρους καὶ Ἕλληνας οὐδὲ νοτίους καὶ βορείους· ἀλλ᾽ ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δ᾽*

ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λόγου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντας τεταγμένων ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι. Neque vero non purganda esse haec sacra existimat maximeque instat superstitionibus, quae animos hominum impleant servili metu stupidaque obsequentia, ut ipse atheismus ei sit superstitione probatior: De Superst. 11 p. 170 *οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος· ὁ δὲ δεισιδαίμων οὐ βούλεται, πιστεύει δὲ ἄκων· ἀπιστεῖν γὰρ φοβεῖται.* Propterea philosophiam interpretem memoriae rituumque sacrorum esse dicit: De Is. et Os. 68 p. 378 *διὸ δεῖ μάλιστα πρὸς ταῦτα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον· ἵνα μὴ — ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν ἑτέρως ὑπολαμβάνοντες ἐξαμάρτωμεν.*

b. Alibi etiam caelestia mixta esse dicit: De Anim. Procr. 28 p. 1026 *τῆς δὲ διπλῆς κοινωνίας ταύτης (τοῦ παθητικοῦ καὶ τοῦ νοῦ) οὐδὲ ἡ περὶ τὸν οὐρανὸν ἀπήλλακται φύσις.*

c. Itaque Stoicorum de mundi principiis doctrinam (**RP** 398 A) impugnat: De Anim. Procr. 6, 7 p. 1015 *αἱ γὰρ Στωϊκαὶ καταλαμβάνουσιν ἡμᾶς ἀπορίαι τὸ κακὸν ἐκ τοῦ μὴ ὄντος ἀναιτίως καὶ ἀγενήτως ἐπεισάγοντες· ἐπεὶ τῶν γ' ὄντων οὔτε τὸ ἀγαθὸν οὔτε τὸ ἄποιον εἰκός ἐστιν οὐσίαν κακοῦ καὶ γένεσιν παρασχεῖν.* Cf. Comm. Notit. 34, 1 p. 1076. Ipse alterum illud, ex quo mundus a deo creatur, duplicem naturam habere censet, ut et nondum formatum sit, habeat tamen facultatem formae divinaeque potestatis in se admittendae, et substantia in eo insit animans, quae motione quadam inordinata renitatur bono: Quaest. Plat. 4, 2 p. 1003 *ἢ τὸ πολλάκις ὑφ' ἡμῶν λεγόμενον ἀληθές ἐστιν; ἡ μὲν γὰρ ἄνους ψυχὴ καὶ τὸ ἄμορφον σῶμα συνυπῆρχον ἀλλήλοις ἀεὶ καὶ οὐδέτερον αὐτῶν γένεσιν ἔσχεν οὐδ' ἀρχήν.* De An. Procr. 5, 4 p. 1014 *ἀκοσμία γὰρ ἦν τὰ πρὸ τῆς τοῦ κόσμου γενέσεως· ἀκοσμία δὲ οὐκ ἀσώματος οὐδ' ἀκίνητος οὐδ' ἄψυχος, ἀλλ' ἄμορφον μὲν καὶ ἀσύστατον τὸ σωματικόν, ἔμπληκτον δὲ καὶ ἄλογον τὸ κινητικὸν ἔχουσα· τοῦτο δ' ἦν ἀναρμοστία ψυχῆς οὐκ ἐχούσης λόγον· ὁ γὰρ θεὸς οὔτε σῶμα τὸ ἀσώματον οὔτε ψυχὴν τὸ ἄψυχον ἐποίησεν, ἀλλ' ὥσπερ ἁρμονικὸν ἄνδρα καὶ ῥυθμικὸν οὐ φωνὴν ποιεῖν οὐδὲ κίνησιν, ἐμμελῆ δὲ φωνὴν καὶ κίνησιν εὔρυθμον ἀξιοῦμεν, οὕτως ὁ θεὸς οὔτε τοῦ σώματος τὸ ἁπτὸν καὶ ἀντίτυπον οὔτε τῆς ψυχῆς τὸ φανταστικὸν καὶ κινητικὸν αὐτὸς ἐποίησεν· ἀμφοτέρας δὲ τὰς ἀρχὰς παραλαβών, τὴν μὲν ἀμυδρὰν καὶ σκοτεινὴν τὴν δὲ ταραχώδη καὶ ἀνόητον, ἀτελεῖς δὲ τοῦ προσήκοντος ἀμφοτέρας καὶ ἀορίστους, ἔταξε καὶ διεκόσμησε καὶ συνήρμοσε τὸ κάλλιστον ἀπεργασάμενος καὶ τελειότατον ἐξ αὐτῶν ζῷον.* De Is. et Os. 49 p. 371 *μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κόσμου γένεσις καὶ σύστασις ἐξ ἐναντίων οὐ μὴν ἰσοσθενῶν δυνάμεων, ἀλλὰ τῆς βελτίονος τὸ κράτος ἐστίν· ἀπολέσθαι δὲ τὴν φαύλην παντάπασιν ἀδύνατον, πολλὴν μὲν ἐμπεφυκυῖαν τῷ σώματι, πολλὴν δὲ τῇ ψυχῇ τοῦ παντὸς καὶ πρὸς τὴν βελτίονα ἀεὶ δυσμαχοῦσαν.* Cf. De Virtute Mor. 3 p. 441 quae dispu- causa mali

tantur adversus Stoicos. Causa illa secundaria revocatur ad malam animam, quam etiam Plato posuerit ante mundum esse: de Is. et Os. 48 p. 370; cf. de An. Procr. 6. 8. 9. — daemones Cohaeret cum his Plutarchi de malis daemonibus doctrina, in quibus, cum hominibus potentiores sint, divina tamen natura appareat inquinata et cum pravo commixta; de Is. et Os. 25 sq. p. 360 sq.; de Def. Orac. 14 p. 417.

animus divino instinctu concitatus

De Pyth. Orac. 21 p. 404. Σῶμα μὲν ὀργάνοις χρῆται 503
πολλοῖς, αὐτῷ δὲ σώματι ψυχὴ καὶ μέρεσι τοῖς σώματος· ψυχὴ δὲ ὄργανον θεοῦ γέγονεν· ὀργάνου δ᾽ ἀρετὴ μάλιστα μιμεῖσθαι τὸ χρώμενον ᾗ πέφυκε δυνάμει καὶ παρέχειν τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ [δυναμένῃ]. δεικνύναι δ᾽ οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν καὶ ἀπαθὲς καὶ ἀναμάρτητον, ἀλλὰ μεμιγμένον ⟨πολλῷ τῷ ἀλλοτρίῳ⟩[1]. καθ᾽ ἑαυτὸ γὰρ ἄδηλον ἡμῖν[a]· ἕτερον δὲ καὶ δι᾽ ἑτέρου φαινόμενον ἀναπίμπλαται τῆς ἐκείνου φύσεως. — καὶ γὰρ ἡλίῳ οὐδὲν οὔτε μᾶλλον ἰδέαν ἔοικεν οὔτε ὡς ὄργανον χρῆσθαι φύσει γέγονεν εὐπειθέστερον σελήνης· λαμβάνουσα δὲ παρ᾽ ἡλίου τὸ λαμπρὸν καὶ πυρωπὸν οὐχ ὅμοιον ἀποπέμπει πρὸς ἡμᾶς ἀλλὰ μιχθὲν αὐτῇ, καὶ χρόαν μετέβαλε καὶ δύναμιν ἔσχεν ἑτέραν· ἡ δὲ θερμότης καὶ παντάπασιν ἐξοίχεται καὶ προλέλοιπε τὸ φῶς ὑπ᾽ ἀσθενείας. — πρόσλαβε δὲ τούτοις εὖ λεγομένοις καὶ νόησον τὸν ἐνταῦθα θεὸν χρώμενον τῇ Πυθίᾳ πρὸς ἀκοήν, καθὼς ἥλιος χρῆται σελήνῃ πρὸς ὄψιν· δείκνυσι μὲν γὰρ καὶ ἀναφαίνει τὰς αὑτοῦ νοήσεις, μεμιγμένας δὲ δείκνυσι διὰ σώματος θνητοῦ καὶ ψυχῆς ἡσυχίαν ἄγειν μὴ δυναμένης μηδὲ τῷ κινοῦντι παρέχειν ἑαυτὴν ἀκίνητον ἐξ αὐτῆς καὶ καθεστῶσαν, ἀλλ᾽ ὥσπερ ἐν σάλῳ ψοφοῦσαν καὶ συμπλεκομένην τοῖς ἐν αὐτῇ κινήμασι καὶ πάθεσιν ἐπιταράττουσιν αὐτήν. ὡς γὰρ οἱ δῖνοι τῶν ἅμα κύκλῳ καταφερομένων σωμάτων οὐκ ἐπικρατοῦσι βεβαίως, ἀλλὰ κύκλῳ μὲν ὑπ᾽ ἀνάγκης φερομένων κάτω δὲ φύσει ῥεπόντων γίνεταί τις ἐξ ἀμφοῖν ταραχώδης καὶ παράφορος ἑλιγμός, οὕτως ὁ καλούμενος ἐνθουσιασμὸς ἔοικε μῖξις εἶναι κινήσεων δυοῖν, τὴν μὲν ὡς πέπονθε τῆς ψυχῆς ἅμα, τὴν δὲ ὡς πέφυκε κινουμένης[b].

a. Dei cogitationes in solo caelo cernuntur purae et intemeratae, in

---

1) πολλῷ τῷ ἀλλοτρίῳ add. Wyttenbach.

terra turbantur et miscentur: de Is. et Os. 59 p. 375 *οἱ μὲν γὰρ ἐν οὐρανῷ καὶ ἄστροις λόγοι καὶ εἴδη ἀπορροαὶ τοῦ θεοῦ μένουσι, τὰ δὲ τοῖς παθητικοῖς διεσπαρμένα, γῇ καὶ θαλάττῃ καὶ φυτοῖς καὶ ζῴοις διαλυόμενα καὶ φθειρόμενα καὶ θαπτόμενα πολλάκις αὖθις ἐκλάμπει καὶ ἀναφαίνεται ταῖς γενέσεσι.* Ib. 77 p. 382 *τὸ γὰρ νοητὸν ἀόρατον καὶ ἄψαυστον. — ἡ δὲ τοῦ νοητοῦ καὶ εἰλικρινοῦς καὶ ἁγίου νόησις ὥσπερ ἀστραπὴ διαλάμψασα τῇ ψυχῇ ἅπαξ ποτὲ θιγεῖν καὶ προσιδεῖν παρέσχε.* Ipse deus si materia tangitur videtur contaminari: ib. 78 *ὁ δ' ἐστὶ μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία τοῦ θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας.* Cf. De *Ei* ap. Delph. 20. Deus cernit omnia, ipse tamen non cernitur, De Is. et Os. 75, estque Unum et id quod vere est. De *Ei* ap. Delph. 20 p. 393 *ἀλλ' εἷς ὢν (ὁ θεὸς) ἑνὶ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε. — ἀλλ' ἓν εἶναι δεῖ τὸ ὂν ὥσπερ ὂν τὸ ἕν. ἡ δ' ἑτερότης, διαφορὰ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος. — τὸ δὲ ἓν εἰλικρινὲς καὶ καθαρόν· ἑτέρου γὰρ μίξει πρὸς ἕτερον ὁ μιασμός.*

b. Similis est amantium furor: de An. Procr. 27, 7 p. 1026 *οἵ τε τῶν ἐρώντων ἐνθουσιασμοὶ καὶ πτοήσεις καὶ διαμάχαι τοῦ φιλοκάλου πρὸς τὸ ἀκόλαστον ἐνδείκνυνται τὸ μικτὸν ἔκ τε τῆς θείας καὶ ἀπαθοῦς ἔκ τε τῆς θνητῆς καὶ περὶ τὰ σώματα παθητῆς μερίδος.* Propterea Amorem, quamvis de vero deorum cultu dissentiant, poetae, legum conditores, philosophi venerantur omnes: Amator. 18, 14 p. 763. Animus si divino completur nihil est nisi materia patiens (de Def. Orac. 48 p. 436) vel instrumentum spiritus divini. Ut autem divinum quam maxime fieri potest pure atque illibate in se recipiat, abstinentia et temperantia purgandus est: de Is. et Os. 2 p. 351; de Genio Socr. 20 p. 589 *οὕτως οἱ τῶν δαιμόνων λόγοι διὰ πάντων φερόμενοι μόνοις ἐνηχοῦσι τοῖς ἀθόρυβον ἦθος καὶ νήνεμον ἔχουσι τὴν ψυχήν.* Ad talium daemonum efficientiam, non ad ipsum supremum deum ab omnibus rebus terrestribus remotum, referenda est illa hilaritas, qua fertur animus in sacris faciendis, quod tunc solemus confidere deum prope adesse pieque oblata comiter admissurum: contr. Epicur. Beatit. 21, 5 sq. p. 1101 sq.

504 Suid. *Νουμήνιος Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν· καὶ διὰ τοῦτό φησι* (fr. 13 Thed.)· *Τί γάρ ἐστι Πλάτων ἢ Μωυσῆς ἀττικίζων*[a]; Numenius

Scripsit de Numenio et fragmenta librorum eius collegit F. Thedinga, de N. philosopho Platonico, Bonn. 1875.

a. Cf. Clem. Strom. I 150 p. 411 P. (cf. RP 7 b); Euseb. Pr. Ev. XI 10, 14. Numenius Platoni minime criminari ista voluit, sed sapien-

tiam eius ex prisca Aegyptiorum, Magorum, Iudaeorum, Indorum sapientia repetere, quam per Pythagoram in Graeciam translatam esse censebat: Euseb. Pr. Ev. IX 7. Mosem supra ceteros Orientis sapientes vatesque eminuisse non putabat: ib. 8. — Aetas Numenii incerta est. Nominatur primum a Clemente Alexandrino l. l., deinde ab Origene c. Cels. IV 51 p. 198 *ἐγὼ δ' οἶδα καὶ Νουμήνιον — πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ ἐκτιθέμενον τὰ Μωυσέως καὶ τῶν προφητῶν καὶ οὐκ ἀπιθάνως αὐτὰ τροπολογοῦντα. — ἐν δὲ τῷ τρίτῳ Περὶ τἀγαθοῦ* (fr. 24 Thed.) *ἐκτίθεται καὶ περὶ τοῦ Ἰησοῦ ἱστορίαν τινὰ τὸ ὄνομα αὐτοῦ λέγων καὶ τροπολογεῖ αὐτήν.* A Proculo in Tim. II p. 93 cum Numenio duo Platonici nominantur, Atticus et Harpocratio, quorum ille, qui scripsit adversus Aristotelem, sub Marco Aurelio floruit, v. Euseb. Pr. Ev. XV 4 sq. A Porphyrio de Antr. Nymph. 21 Numenius cum Cronio nominatur, qui Homeri carmina allegorice interpretatus est. Scripta Numenii plurimi apud Neoplatonicos aestimabantur, v. Porphyr. Vit. Plot. 3 p. 104 Westerm., ubi Amelius, Plotini discipulus, omnia fere Numenii praecepta edidicisse perhibetur. Quid quod exstiterunt qui Plotinum Numenii inventa sibi arrogasse criminarentur, adversus quos idem Amelius ediderat librum *περὶ τῆς κατὰ τὰ δόγματα τοῦ Πλωτίνου πρὸς τὸν Νουμήνιον διαφορᾶς* inscriptum, v. ib. 17 sq. p. 111 W. Ex libro *περὶ τῆς τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως* satis magna fragmenta supersunt ap. Euseb. Pr. Ev. XIV 5—9 (fr. 1—8 Th.); nonnulla quoquo ex libro *περὶ τἀγαθοῦ* (fr. 9—40 Th.) ib. XI 10. 22; XV 17, qui videtur fuisse dialogus (cf. Thed. p. 7), itemque ex libro *τὰ παρὰ Πλάτωνι ἀπόρρητα* XIII 5 (fr. 41).

contemplatio unius dei

Numenius ap. Euseb. Pr. Ev. XI 22, 1 (fr. 10 Th.). *Τὰ* 505
μὲν οὖν σώματα λαβεῖν ἡμῖν ἔξεστι σημαινομένοις ἔκ τε ὁμοίων ἀπό τε τῶν ἐν τοῖς παρακειμένοις γνωρισμάτων ἐνόντων· τἀγαθὸν δὲ οὐδενὸς ἐκ παρακειμένου οὐδ' αὖ ἀπὸ ὁμοίου αἰσθητοῦ ἐστι λαβεῖν μηχανή τις οὐδεμία[a], *ἀλλὰ δεήσει, οἷον εἴ τις ἐπὶ σκοπῇ καθήμενος ναῦν ἁλιάδα βραχεῖάν τινα τούτων τῶν ἐπακτρίδων τῶν μόνων, μίαν, μόνην, ἔρημον, μετακυμίοις ἐχομένην ὀξὺ δεδορκὼς μιᾷ βολῇ κατεῖδε τὴν ναῦν, οὕτω δή τινα ἀπελθόντα πόρρω ἀπὸ τῶν αἰσθητῶν ὁμιλῆσαι τῷ ἀγαθῷ μόνῳ μόνον, ἔνθα μήτε τις ἄνθρωπος μήτε τι ζῷον ἕτερον, μηδὲ σῶμα μέγα μηδὲ σμικρόν, ἀλλά τις ἄφατος καὶ ἀδιήγητος ἀτεχνῶς ἐρημία θεσπέσιος· ἔνθα τοῦ ἀγαθοῦ ἤθη διατριβαί τε καὶ ἀγλαΐαι, αὐτὸ δὲ ἐν εἰρήνῃ, ἐν εὐμενείᾳ τὸ ἤρεμον, τὸ ἡγεμονικόν, ἵλεων ἐποχούμενον ἐπὶ τῇ οὐσίᾳ*[b]. 2. *εἰ δέ τις πρὸς τοῖς αἰσθητοῖς λιπαρῶν τὸ ἀγαθὸν ἐφιπτάμενον φαντάζεται κἄπειτα τρυφῶν*

οἴοιτο τῷ ἀγαθῷ ἐντετυχηκέναι, τοῦ παντὸς ἁμαρτάνει. τῷ γὰρ ὄντι οὐ ῥᾳδίας, θείας δὲ πρὸς αὐτὸ δεῖ μεθόδου· καὶ ἔστι κράτιστον τῶν αἰσθητῶν ἀμελήσαντι, νεανιευσαμένῳ πρὸς τὰ μαθήματα, τοὺς ἀριθμοὺς θεασαμένῳ οὕτως ἐκμελετῆσαι μάθημα, τί ἐστι τὸ ὄν [1] c.

a. Cf. Numenius ap. Euseb. Pr. Ev. XV 17 et Nemes. de Nat. Hom. 2 p. 29 (fr. 44 Th.), ubi explicatur quibus argumentis Numenius contra Stoicos disputaverit animam corpoream esse statuentes: *τὰ σώματα τῇ οἰκείᾳ φύσει τρεπτὰ ὄντα καὶ σκεδαστὰ καὶ διόλου εἰς ἄπειρον τμητὰ μηδενὸς ἐν αὐτοῖς ἀμεταβλήτου ὑπολειπομένου δεῖται τοῦ συντιθέντος καὶ συνάγοντος καὶ ὥσπερ συσφίγγοντος καὶ συγκρατοῦντος αὐτά, ὅπερ ψυχὴν λέγομεν.* Bonum igitur incorporale est et rebus corporalibus oppositum; quapropter dicitur etiam *τὸ ἡγεμονικὸν* et *νοῦς*, v. Euseb. Pr. Ev. XI 22, 3 (fr. 25 Th.): *εἰ δ' ἐστὶ μὲν νοητὸν ἡ οὐσία καὶ ἡ ἰδέα, ταύτης δ' ὡμολογήθη πρεσβύτερον καὶ αἴτιον εἶναι ὁ νοῦς, αὐτὸς οὗτος μόνος εὕρηται ὢν τὸ ἀγαθόν.*

b. Ostendit hoc simile Numenium dicere eam contemplationem dei, quam fieri volebant nullo medio interposito, cuius compotes fiunt ii qui animum ab omni corporis ac sensuum coniunctione abstrahant: qua contemplatione constat consummata cum deo confusio: Iambl. ap. Stob. Ecl. I p. 1066 (fr. 51 Th.) *ἕνωσιν μὲν οὖν καὶ ταυτότητα ἀδιάκριτον τῆς ψυχῆς πρὸς τὰς ἑαυτῆς ἀρχὰς πρεσβεύειν φαίνεται Νουμήνιος.* Eodem pertinet quod dicit primum deum ab hominibus prorsus non cognosci, sed cognosci secundum (cf. n. 506), hunc autem pro vera ratione ab iis haberi: Numenius ap. Euseb. Pr. Ev. XI 18, 22 (fr. 31 Th.) *ἐπειδὴ ᾔδει ὁ Πλάτων παρὰ τοῖς ἀνθρώποις τὸν μὲν δημιουργὸν γινωσκόμενον μόνον, τὸν μέντοι πρῶτον νοῦν, ὅστις καλεῖται, αὐτὸ ὂν παντάπασιν ἀγνοούμενον παρ' αὐτοῖς, διὰ τοῦτο οὕτως εἶπεν, ὥσπερ ἂν τις οὕτω λέγοι·* 23. *ὦ ἄνθρωποι, ὃν τοπάζετε ὑμεῖς νοῦν, οὐκ ἔστι πρῶτος, ἀλλ' ἕτερος πρὸ τούτου νοῦς πρεσβύτερος καὶ θειότερος:* ubi videtur distinguere inter cognitionem et contemplationem. — Extrema vocabula *ἐποχούμενον ἐπὶ τῇ οὐσίᾳ* videntur referenda ad Plat. de Rep. VI 509 B *οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος.* Secus tamen Numenius ap. Euseb. Pr. Ev. XI 10, 7 (fr. 20 Th.) *ἀλλὰ μὴ γελασάτω τις, ἐὰν φῶ τοῦ ἀσωμάτου εἶναι ὄνομα οὐσίαν καὶ ὄν*, quamquam ibi loquitur de *νοητῷ* in genere. Quam ambiguitatem positam esse dixeris in eo quod utrumque, et *τὸ ἀγαθὸν* et *τὸ νοητόν*, subiciebat *τῷ ἀσωμάτῳ* altero ab altero non semper diligenter distincto.

c. Cf. Plat. de Rep. VII 525 A sq.

506 A Numenius ap. Euseb. Pr. Ev. XI 18, 3 (fr. 26 Th.). Ὁ θεὸς ὁ μὲν πρῶτος ἐν ἑαυτῷ ὢν ἐστιν ἁπλοῦς διὰ τὸ ἑαυτῷ deus primus

1) ὄν codd. meliores, Gaisf., Dind.: ἕν codd. deteriores, **RP**, Thedinga.

συγγινόμενος διόλου μή ποτε εἶναι διαιρετός· ὁ θεὸς μέντοι ὁ δεύτερος καὶ τρίτος ἐστὶν εἷς· συμφερόμενος δὲ τῇ ὕλῃ δυάδι οὔσῃ ἑνοῖ μὲν αὐτήν, σχίζεται δὲ ὑπ' αὐτῆς ἐπιθυμητικὸν ἦθος ἐχούσης καὶ ῥεούσης. 4. *τῷ οὖν μὴ εἶναι πρὸς τῷ νοητῷ (ἦν γὰρ ἂν πρὸς ἑαυτῷ) διὰ τὸ τὴν ὕλην βλέπειν ταύτης ἐπιμελούμενος ἀπερίοπτος ἑαυτοῦ γίνεται* 5. *καὶ ἅπτεται τοῦ αἰσθητοῦ καὶ περιέπει ἀνάγει τε ἔτι εἰς τὸ ἴδιον ἦθος ἐπορεξάμενος τῆς ὕλης*[a]. — (fr. 27) 6. *καὶ γὰρ οὔτε δημιουργεῖν ἐστι χρεὼν τὸν πρῶτον, καὶ τοῦ δημιουργοῦντος θεοῦ χρὴ εἶναι νομίζεσθαι πατέρα τὸν πρῶτον θεόν.* — 8. *πρὸ μέντοι τοῦ λόγου τῆς ἁλώσεως διομολογησώμεθα ἡμῖν αὐτοῖς ὁμολογίαν οὐκ ἀμφισβητήσιμον ἀκοῦσαι, τὸν μὲν πρῶτον θεὸν ἀργὸν εἶναι ἔργων ξυμπάντων*[b] *καὶ βασιλέα, τὸν δημιουργικὸν δὲ θεὸν ἡγεμονεῖν δι' οὐρανοῦ ἰόντα.* 9. *διὰ δὲ τούτου καὶ ὁ στόλος ἡμῖν ἐστι, κάτω τοῦ νοῦ πεμπομένου ἐν διεξόδῳ πᾶσι τοῖς κοινωνῆσαι συντεταγμένοις*[c]. 10. *βλέποντος μὲν οὖν καὶ ἐπεστραμμένου πρὸς ἡμῶν ἕκαστον τοῦ θεοῦ συμβαίνει ζῆν τε καὶ βιώσκεσθαι τότε τὰ σώματα, κηδεύοντος τοῦ θεοῦ τοῖς ἀκροβολισμοῖς· μεταστρέφοντος δὲ εἰς τὴν ἑαυτοῦ περιωπὴν τοῦ θεοῦ ταῦτα μὲν ἀποσβέννυσθαι, τὸν δὲ νοῦν ζῆν βίου ἀπαυρόμενον εὐδαίμονος.* — Ib. 15. *Καὶ ἑξῆς δὲ πάλιν περὶ τοῦ πῶς ἀπὸ τοῦ πρώτου αἰτίου τὸ δεύτερον ὑπέστη τοιάδε φησίν* (*ὁ Νουμήνιος*, fr. 29 Th.)· *Ὁπόσα δὲ δοθέντα μέτεισι πρὸς τὸν λαμβάνοντα, ἀπελθόντα ἐκ τοῦ δεδωκότος, ἐστὶ θεραπεία, χρήματα, νόμισμα κοῖλον, ἐπίσημον. ταυτὶ μὲν οὖν ἐστι θνητὰ καὶ ἀνθρώπινα· τὰ δὲ θεῖά ἐστιν οἷα μεταδοθέντα, ἐνθένδ' ἐκεῖθι γεγενημένα, ἐνθένδε τε οὐκ ἀπελήλυθε, κἀκεῖθι γενόμενα τὸν μὲν ὤνησε τὸν δ' οὐκ ἔβλαψε, καὶ προσώνησε τῇ περὶ ὧν ἠπίστατο ἀναμνήσει.* 16. *ἔστι δὲ τοῦτο τὸ καλὸν χρῆμα ἐπιστήμη ἡ καλή, ἧς ὤνατο μὲν ὁ λαβών, οὐκ ἀπολείπεται δ' αὐτῆς ὁ δεδωκώς. οἷον ἂν ἴδοις ἐξαφθέντα ἀφ' ἑτέρου λύχνου φῶς ἔχοντα, ὃ μὴ τὸν πρότερον ἀφείλετο, ἀλλὰ τῆς ἐν αὐτῷ ὕλης πρὸς τὸ ἐκείνου πῦρ ἐξαφθείσης·* 17. *τοιοῦτον τὸ χρῆμά ἐστι τὸ τῆς ἐπιστήμης, ἣ δοθεῖσα καὶ ληφθεῖσα παραμένει μὲν τῷ δεδωκότι, σύνεστι δὲ τῷ λαβόντι ἡ αὐτή.* 18. *τούτου δὲ τὸ αἴτιον, ὦ ξένε, οὐδέν ἐστιν ἀνθρώπινον, ἀλλ' ὅτι ἕξις τε καὶ οὐσία ἡ ἔχουσα τὴν*

deus secundus

ἐπιστήμην ἡ αὐτή ἐστι παρὰ τῷ δεδωκότι θεῷ καὶ παρὰ τῷ εἰληφότι ἐμοὶ καὶ σοί. — (fr. 30 Th.) 20. *εἰσὶ δ᾽ οὗτοι βίοι ὁ μὲν πρώτου, ὁ δὲ δευτέρου θεοῦ. δηλονότι ὁ μὲν πρῶτος θεὸς ἔσται ἑστώς, ὁ δὲ δεύτερος ἔμπαλίν ἐστι κινούμενος. ὁ μὲν οὖν πρῶτος περὶ τὰ νοητά, ὁ δὲ δεύτερος περὶ τὰ νοητὰ καὶ αἰσθητά.* 21. *μὴ θαυμάσῃς δ᾽ εἰ τοῦτ᾽ ἔφην, πολὺ γὰρ ἔτι θαυμαστότερον ἀκούσῃ. ἀντὶ γὰρ τῆς προσούσης τῷ δευτέρῳ κινήσεως τὴν προσοῦσαν τῷ πρώτῳ στάσιν φημὶ εἶναι κίνησιν σύμφυτον, ἀφ᾽ ἧς ἥ τε τάξις τοῦ κόσμου καὶ ἡ μονὴ ἡ ἀίδιος καὶ ἡ σωτηρία ἀναχεῖται εἰς τὰ ὅλα*[d].

a. Cf. ib. 22, 4 (fr. 25 Th.) *ὁ γὰρ δεύτερος (θεὸς) διττὸς ὢν αὐτοποιεῖ τήν τε ἰδέαν ἑαυτοῦ καὶ τὸν κόσμον δημιουργὸς ὤν· ἔπειτα θεωρητικὸς ὅλως.* Eodem pertinent haec: ib. 18, 24 (fr. 32 Th.) *λαμβάνει δὲ (ὁ δημιουργὸς) τὸ μὲν κριτικὸν ἀπὸ τῆς θεωρίας, τὸ δὲ ὁρμητικὸν ἀπὸ τῆς ἐφέσεως.* — Tertium deum appellavit mundum: Procl. in Tim. p. 93 (218 Schn., fr. 36 Th.) *Νουμήνιος μὲν γὰρ τρεῖς ἀνυμνήσας θεοὺς πατέρα μὲν καλεῖ τὸν πρῶτον, ποιητὴν δὲ τὸν δεύτερον, ποίημα δὲ τὸν τρίτον· ὁ γὰρ κόσμος κατ᾽ αὐτὸν ὁ τρίτος ἐστὶ θεός· ὥστε ὁ κατ᾽ αὐτὸν δημιουργὸς διττός, ὅ τε πρῶτος καὶ ὁ δεύτερος, τὸ δὲ δημιουργούμενον ὁ τρίτος. ἄμεινον γὰρ τοῦτο λέγειν ἤ, ὡς ἐκεῖνός φησιν τραγῳδῶν, πάππον, ἔγγονον, ἀπόγονον.* Cf. Z. III 2³ 220. **deus tertius**

b. Similia de primo deo, ne materiae tactu contaminaretur, docuerant Philo, Apollonius, Plutarchus, **RP** 490; 500; 503.

c. Cf. Plat. Phaedr. 246 E sq.

d. Sempiterna quies dei primi minime ab motu abhorret, nam eadem est causa motus, quo agitatur mundus. Demiurgus enim, dum condit mundum, intuetur in deum primum eiusque in suo opere sequitur voluntatem ac nutum: Numenius ap. Euseb. Pr. Ev. XI 18, 24 (fr. 32 Th.) *τὴν ἁρμονίαν δὲ ἰθύνει ταῖς ἰδέαις οἰακίζων· βλέπει τε — εἰς τὸν ἄνω θεόν.*

507 Porphyr. ap. Stob. Ecl. I 836 (fr. 53 Th.). *Ἄλλοι δέ, ὧν καὶ Νουμήνιος, οὐ τρία μέρη ψυχῆς μιᾶς ἢ δύο γε, τὸ λογικὸν καὶ ἄλογον, ἀλλὰ δύο ψυχὰς ἔχειν ἡμᾶς οἴονται —, τὴν μὲν λογικήν, τὴν δὲ ἄλογον· ὧν πάλιν οἱ μὲν ἄμφω ἀθανάτους, οἱ δὲ τὴν λογικὴν ἀθάνατον*[a]. **anima humana duplex**

a. Quod animam in duas animas dispescit, id respondet partitioni dei secundi in deum secundum et tertium: *ψυχὴ ἄλογος* est anima ad materiam vergens, *ψυχὴ λογική* quae intuetur deum. Ex materia proserpit omne quod pravum in anima est, ideoque ipsum corpus, quo anima induta est, malum esse ponitur: Iamb. ap. Stob. Ecl. I 896 (fr. 49); 910 (fr. 50). Binas istas animae partes sibi invicem reniti ac veluti con-

flictari statuebat: ib. 894 (fr. 49). Non solum rationalem sed etiam animalem partem animi humani a Numenio immortalem habitam esse tradit Olympiodorus in commentario ad Plat. Phaedon. p. 89, 10 Finckh *οἱ μὲν ἀπὸ τῆς λογικῆς ψυχῆς ἄχρι τῆς ἐμψύχου*[1] *ἕξεως ἀπαθανατίζουσιν, ὡς Νουμήνιος.* De quo loco cf. Cousin, *fragments philosophiques,* Paris. 1865, p. 491; Thedinga p. 25; Z. III 2³ 222³. Cf. etiam Porphyrius ap. Cyrill. contr. Iulian. VIII p. 271 A Spanh. *ἄχρι γὰρ τριῶν ὑποστάσεων ἔφη Πλάτων τὴν τοῦ θεοῦ προελθεῖν οὐσίαν· εἶναι δὲ τὸν μὲν ἀνώτατον θεὸν τἀγαθόν, μετ' αὐτὸν δὲ τὸν δεύτερον τὸν δημιουργόν, τρίτην δὲ τὴν τοῦ κόσμου ψυχήν· ἄχρι γὰρ ψυχῆς τὴν θεότητα προελθεῖν.*

---

1) *ἀψύχου* coll. Sext. Math. IX 51 coni. J. Bernays.

Neoplatonici.

Plotinus.

508 Porphyr. V. Plotini cap. 2. Ἃ μέντοι ἡμῖν αὐτὸς (ὁ Πλωτῖνος) ἀφ᾽ ἑαυτοῦ ἐν ταῖς ὁμιλίαις πολλάκις διηγεῖτο ἦν τοιαῦτα· — 3. εἰκοστὸν καὶ ὄγδοον ἔτος αὐτὸν ἄγοντα[a] ὁρμῆσαι ἐπὶ φιλοσοφίαν καὶ τοῖς τότε κατὰ τὴν Ἀλεξάνδρειαν εὐδοκιμοῦσι συσταθέντα κατιέναι ἐκ τῆς ἀκροάσεως αὐτῶν κατηφῆ καὶ λύπης πλήρη, ὡς καί τινι τῶν φίλων διηγεῖσθαι ἃ πάσχει. τὸν δὲ συνέντα αὐτοῦ τῆς ψυχῆς τὸ βούλημα ἀπενέγκαι πρὸς Ἀμμώνιον[b], οὗ μηδέπω πεπείρατο· τὸν δὲ εἰσελθόντα καὶ ἀκούσαντα φάναι πρὸς τὸν ἑταῖρον· Τοῦτον ἐζήτουν. καὶ ἀπ᾽ ἐκείνης τῆς ἡμέρας συνεχῶς τῷ Ἀμμωνίῳ παραμένοντα τοσαύτην ἕξιν ἐν φιλοσοφίᾳ κτήσασθαι ὡς καὶ τῆς παρὰ τοῖς Πέρσαις ἐπιτηδευομένης πεῖραν λαβεῖν σπεῦσαι καὶ τῆς παρ᾽ Ἰνδοῖς κατορθουμένης. Γορδιανοῦ δὲ τοῦ βασιλέως ἐπὶ τοὺς Πέρσας παριέναι μέλλοντος δοὺς ἑαυτὸν τῷ στρατοπέδῳ συνεισῄει ἔτος ἤδη τριακοστὸν ἄγων καὶ ἔνατον, ἕνδεκα γὰρ ὅλων ἐτῶν παραμένων τῷ Ἀμμωνίῳ συνεσχόλασε. τοῦ δὲ Γορδιανοῦ περὶ τὴν Μεσοποταμίαν ἀναιρεθέντος μόλις φεύγων εἰς τὴν Ἀντιόχειαν διεσώθη. καὶ Φιλίππου τὴν βασιλείαν κρατήσαντος (a. 244) τεσσαράκοντα γεγονὼς ἔτη εἰς τὴν Ῥώμην ἄνεισιν. Ἐρεννίῳ δὲ καὶ Ὠριγένει[c] καὶ Πλωτίνῳ συνθηκῶν γεγονυιῶν μηδὲν ἐκκαλύπτειν τῶν Ἀμμωνίου δογμάτων, ἃ δὴ ἐν ταῖς ἀκροάσεσιν αὐτοῖς ἀνεκεκάθαρτο, ἐνέμενε καὶ ὁ Πλωτῖνος συνὼν μέν τισι τῶν προσιόντων, τηρῶν δὲ ἀνέκπυστα τὰ παρὰ τοῦ Ἀμμωνίου δόγματα. Ἐρεννίου δὲ πρώτου τὰς συνθήκας παραβάντος vita

Ὠριγένης μὲν ἠκολούθει τῷ φθάσαντι Ἐρεννίῳ, ἔγραψε δὲ οὐδὲν πλὴν τὸ Περὶ τῶν δαιμόνων σύγγραμμα καὶ ἐπὶ Γαλιήνου Ὅτι μόνος ποιητὴς ὁ βασιλεύς. Πλωτῖνος δὲ ἄχρι μὲν πολλοῦ γράφων οὐδὲν διετέλεσεν, ἐκ δὲ τῆς Ἀμμωνίου συνουσίας ποιούμενος τὰς διατριβάς, καὶ οὕτως ὅλων ἐτῶν δέκα διετέλεσε συνὼν μέν τισι, γράφων δὲ οὐδέν[d]. — 7. *Ἔσχε δὲ καὶ ἐμὲ Πορφύριον, Τύριον ὄντα, ἐν τοῖς μάλιστα ἑταῖρον, ὃν καὶ διορθοῦν αὐτοῦ τὰ συγγράμματα ἠξίου.* 8. *γράψας γὰρ ἐκεῖνος δὶς τὸ γραφὲν μεταβαλεῖν οὐδέποτ' ἂν ἠνέσχετο, ἀλλ' οὐδὲ ἅπαξ γοῦν ἀναγνῶναι καὶ διελθεῖν διὰ τὸ τὴν ὅρασιν μὴ ὑπηρετεῖσθαι αὐτῷ πρὸς τὴν ἀνάγνωσιν. ἔγραφε δὲ οὔτε εἰς κάλλος ἀποτυπούμενος τὰ γράμματα οὔτε εὐσήμως τὰς συλλαβὰς διαιρῶν οὔτε τῆς ὀρθογραφίας φροντίζων, ἀλλὰ μόνον τοῦ νοῦ ἐχόμενος*[e]. — 10. *Ἦν δὲ καὶ κατὰ γένεσιν πλέον τι ἔχων παρὰ τοὺς ἄλλους ὁ Πλωτῖνος. Αἰγύπτιος γάρ τις ἱερεὺς ἀνελθὼν εἰς τὴν Ῥώμην καὶ διά τινος φίλου αὐτῷ γνωρισθείς, θέλων τε τῆς ἑαυτοῦ σοφίας ἀπόδειξιν δοῦναι ἠξίωσε τὸν Πλωτῖνον ἐπὶ θέαν ἀναφικέσθαι τοῦ συνόντος αὐτῷ οἰκείου δαίμονος καλουμένου. τοῦ δὲ ἑτοίμως ὑπακούσαντος γίνεται μὲν ἐν τῷ Ἰσείῳ ἡ κλῆσις· μόνον γὰρ ἐκεῖνον τὸν τόπον καθαρόν φησιν*[1] *εὑρεῖν ἐν τῇ Ῥώμῃ τὸν Αἰγύπτιον. κληθέντα δὲ εἰς αὐτοψίαν τὸν δαίμονα θεὸν ἐλθεῖν καὶ μὴ τοῦ δαιμόνων εἶναι γένους· ὅθεν τὸν Αἰγύπτιον εἰπεῖν· Μακάριος εἶ θεὸν ἔχων τὸν δαίμονα καὶ οὐ τοῦ ὑφειμένου γένους τὸν συνόντα.* — 12. *Ἐτίμησαν δὲ τὸν Πλωτῖνον μάλιστα καὶ ἐσέφθησαν Γαλιῆνός τε ὁ αὐτοκράτωρ καὶ ἡ τούτου γυνὴ Σαλωνίνα. ὁ δὲ τῇ φιλίᾳ τῇ τούτων καταχρώμενος φιλοσόφων τινὰ πόλιν*[f] *κατὰ τὴν Καμπανίαν γεγενῆσθαι λεγομένην, ἄλλως δὲ κατηριπωμένην ἠξίου ἀνεγείρειν καὶ τὴν πέριξ χώραν χαρίσασθαι οἰκισθείσῃ τῇ πόλει, νόμοις δὲ χρῆσθαι τοὺς κατοικεῖν μέλλοντας τοῖς Πλάτωνος καὶ τὴν προσηγορίαν αὐτῇ Πλατωνόπολιν θέσθαι. ἐκεῖ τε αὐτὸς μετὰ τῶν ἑταίρων ἀναχωρήσειν ὑπισχνεῖτο. καὶ ἐγένετ' ἂν τὸ βούλημα ἐκ τοῦ ῥάστου τῷ φιλοσόφῳ, εἰ μή τινες τῶν συνόντων τῷ βασιλεῖ φθονοῦντες ἢ νεμεσῶντες ἢ δι' ἄλλην τινὰ αἰτίαν μοχθηρὰν ἐνεπόδισαν*[g]. — 23. *Οὕτως δὲ μάλιστα*

---

1) *φησιν* A B: *φῆσαι* C: *φασιν* Kirchner, Müller: *φάναι* Creuzer.

τούτῳ τῷ δαιμονίῳ φωτὶ πολλάκις ἀνάγοντι ἑαυτὸν εἰς τὸν πρῶτον καὶ ἐπέκεινα θεὸν ταῖς ἐννοίαις — ἐφάνη ἐκεῖνος ὁ θεὸς ὁ μήτε μορφὴν μήτε τινὰ ἰδέαν ἔχων, ὑπὲρ δὲ νοῦν καὶ πᾶν τὸ νοητὸν ἱδρυμένος. — τέλος γὰρ αὐτῷ καὶ σκοπὸς ἦν τὸ ἑνωθῆναι καὶ πελάσαι τῷ ἐπὶ πᾶσι θεῷ. ἔτυχε δὲ τετράκις που, ὅτε συνήμην αὐτῷ, τοῦ σκοποῦ τούτου ἐνεργείᾳ ἀρρήτῳ καὶ οὐ δυνάμει. — 2. Μέλλων δὲ τελευτᾶν — φήσας πειρᾶσθαι τὸ ἐν ἡμῖν θεῖον ἀνάγειν πρὸς τὸ ἐν τῷ παντὶ θεῖον — ἀφῆκε τὸ πνεῦμα ἔτη γεγονὼς — ἕξ τε καὶ ἑξήκοντα, τοῦ δευτέρου ἔτους τῆς Κλαυδίου βασιλείας πληρουμένου (a. 270).

De Neoplatonicorum philosophia scripserunt: E. Vacherot, *histoire critique de l'école d'Alexandrie*, Paris. 1846 sq. Steinhart in Paulyi Encycl. Antiqu. V 1705 sq. A. Gercke, *e. platon. Quelle d. Neuplatonism.*, Mus. Rh. 41 (1886), 266 sq. — Plotini Enneades ed. Creuzer, Oxon. 1835; ed. Kirchhoff, Berol. 1847; ed. H. F. Müller, Berol. 1878, 1880; ed. R. Volkmann, Lips. 1883 sq. — De Plotini doctrina cf. Steinhart in Paulyi Encycl. V 1753 sq. Kirchner, *d. Philosophie des Pl.,* Halis 1854. A. Richter, *Neuplat. Studien,* Hal. 1864 sq. H. de Kleist, *plot. Studien,* Heidelb. 1883. Br. III 2, 302 sq. Z. III 2 ³ 419 sq.

a. De patria ipse noluit pronuntiare, nam *ἐῴκει αἰσχυνομένῳ ὅτι ἐν σώματι εἴη*, ut ait Porphyr. ib. 1. Sed Eunapius (V. Soph. p. 6 Boisson.) et Suidas (v. *Πλωτῖνος*) et David (Schol. Arist. 18ᵃ 43) eum Lycopoli in Aegypto natum esse perhibent.

b. Ammonius Saccas (i. e. *σακκοφόρος*), Alexandrinus (v. Suid. v. *Ἀμμώνιος* et *Πλωτῖνος* et **RP** 7), Christianis parentibus natus, postquam ad ethnicorum sacra graeca rediit (Porphyr. ap. Euseb. H. E. VI 19, 7), scholam in urbe patria aperuit et recentioris philosophiae Platonicae fundamenta iecit. Ipse nihil scripti reliquit, ut ambiguam fidem habeant quae de eius doctrina traduntur apud Nemesium de Nat. Hom. c. 2 p. 29; 3 p. 56. Cf. H. de Arnim in Mus. Rh. 42 (1887), 276 sq.

c. De Herennio non constat; pauca exstant de Origene (**RP** 7) eiusque doctrina, cf. Z. III 2 ³ 460 sq. Praeter hos etiam Longinus, rhetor et criticus nobilissimus, inter discipulos Ammonii recensetur, cf. Z. III 2 ³ 463 sq. De Longini vita et scriptis cf. Ruhnkeni Dissertatio, quae legitur in editionibus libelli *Περὶ ὕψους* (qui falso habebatur Longini) et Weiskii, Lips. 1809, et Eggeri, Par. 1837.

d. Postea Porphyrio adhortante placita sua perscribere incipiebat, Porphyrio, qui anno decimo Gallieni (a. 263) ad eius disciplinam accesserat, singulos libros excipiente atque emendante, v. V. Plotini 4 sq.; 18. Oratio haud pure graeca erat (ib. 13), sed animus intentissimus atque elatior: ib. 14 *ἐν δὲ τῷ γράφειν σύντονος γέγονε καὶ πολύνους βραχύς τε καὶ νοήμασι πλεονάζων ἢ λέξεσι, τὰ πολλὰ ἐνθουσιῶν καὶ ἐκπαθῶς*

φράζων καὶ μετὰ συμπαθείας ἢ παραδόσεως, ἐμμέμικται δ' ἐν τοῖς συγγράμμασι καὶ τὰ Στωϊκὰ λανθάνοντα δόγματα καὶ τὰ Περιπατητικά, καταπεπύκνωται δὲ καὶ ἡ μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους πραγματεία: ubi recte dicit Stoicos eum et Aristotelem in plurimis secutum esse, quamquam ipse Plotinus hos fere aspernatur, nihil nisi Platonem professus, divinum illum et sanctum quem appellare solet.

e. Porphyrius libros emendatos digessit et composuit sex enneadibus secundum argumenta; secundum Plotinum restituere ordinem ausus est Kirchhoff in editione sua.

f. Cogitandum videtur de Pythagoreorum societate olim exstincta, RP 47; 49.

g. Ceteroquin discipulos ad contemptum vitae civilis impellebat, Porphyr. l. l. c. 7, ubi simul enumerantur praecipui discipuli Plotini.

animarum a deo alienatio

Enn. V 1, 1. *Τί ποτε ἄρά ἐστι τὸ πεποιηκὸς τὰς ψυχὰς πατρὸς θεοῦ ἐπιλαθέσθαι καὶ μοίρας ἐκεῖθεν οὔσας καὶ ὅλως ἐκείνου ἀγνοῆσαι καὶ ἑαυτὰς καὶ ἐκεῖνον; ἀρχὴ μὲν οὖν αὐταῖς τοῦ κακοῦ ἡ τόλμα*[a] *καὶ ἡ γένεσις καὶ ἡ πρώτη ἑτερότης*[b] *καὶ τὸ βουληθῆναι δὲ ἑαυτῶν εἶναι. τῷ δὴ αὐτεξουσίῳ*[c] *ἐπειδήπερ ἐφάνησαν ἡσθεῖσαι πολλῷ τῷ κινεῖσθαι παρ' αὐτῶν κεχρημέναι, τὴν ἐναντίαν δραμοῦσαι καὶ πλείστην ἀπόστασιν*[d] *πεποιημέναι ἠγνόησαν καὶ ἑαυτὰς ἐκεῖθεν εἶναι. — οὔτ' οὖν ἔτι ἐκεῖνον οὔτε ἑαυτὰς ὁρῶσαι, ἀτιμάσασαι ἑαυτὰς ἀγνοίᾳ τοῦ γένους, τιμήσασαί τε ἄλλα καὶ πάντα μᾶλλον ἢ ἑαυτὰς θαυμάσασαι καὶ πρὸς αὐτὰ ἐκπλαγεῖσαι καὶ ἀγασθεῖσαι καὶ ἐξηρτημέναι τούτων ἀπέρρηξαν ὡς οἷόν τε ἑαυτὰς ὧν ἀπεστράφησαν ἀτιμάσασαι. — διὸ δεῖ διττὸν γίνεσθαι τὸν λόγον πρὸς τοὺς οὕτω διακειμένους, εἴπερ τις ἐπιστρέψοι αὐτοὺς εἰς τὰ ἐναντία καὶ τὰ πρῶτα καὶ ἀνάγοι μέχρι τοῦ ἀκροτάτου καὶ ἑνὸς καὶ πρώτου. τίς οὖν ἑκάτερος; ὁ μὲν δεικνὺς τὴν ἀτιμίαν τῶν νῦν ψυχῇ τιμωμένων, ὃν ἐν ἄλλοις δίιμεν ἐπιπλέον, ὁ δὲ διδάσκων καὶ ἀναμιμνήσκων τὴν ψυχὴν οἷον τοῦ γένους καὶ τῆς ἀξίας, ὃς πρότερός ἐστιν ἐκείνου καὶ σαφηνισθεὶς κἀκεῖνον δηλώσει· περὶ οὗ νῦν λεκτέον.* 509

a. Consimili sensu ἡ τόλμα dicitur Enn. II 9, 11, ut quae animam primitus seduxerit atque ut principium suum desereret impulerit. Eodem sensu Platonis locus Alcib. I 104 E ab interpretibus Neoplatonicis accipitur, ubi tamen haec vocis τόλμα significatio ad Pythagoreos revocatur, Procl. Plat. Alcib. p. 134; Olympiodor. Plat. Alcib. p. 48 Creuz. Cf.

Theol. Arithm. 2 p. 10 *πρώτη γὰρ ἡ δυὰς διεχώρισεν αὐτὴν ἐκ τῆς μονάδος, ὅθεν καὶ τόλμα καλεῖται.* Plotinus etiam in plantis inesse dicit *τὸ τολμηρότατον καὶ ἀφρονέστατον μέρος τῆς ψυχῆς* (Enn. V 2, 2).

b. *Ἑτερότης* pertinet ad *νοῦν* (**RP** 512), qui dicitur Enn. VI 9, 5 *ἀποστῆναί πως τοῦ ἑνὸς τολμήσας.*

c. Liberum arbitrium esse utique contendit, sed negat veram voluntatis libertatem positam esse in eo, ut possimus opposita patrare: Enn. VI 8, 21 *καὶ γὰρ τὸ τὰ ἀντικείμενα δύνασθαι ἀδυναμίας ἐστί.* Ait eam tantum in bene factis cerni, non in iis quae faciamus sensuum impulsionibus obnoxii: Enn. III 1, 9 *ὅταν μὲν οὖν ἀλλοιωθεῖσα παρὰ τῶν ἔξω ψυχὴ πράττῃ τι καὶ ὁρμᾷ οἷον τυφλῇ τῇ φορᾷ χρωμένη, οὐχὶ ἑκούσιον τὴν πρᾶξιν οὐδὲ τὴν διάθεσιν λεκτέον· καὶ ὅταν αὐτὴ παρ' αὑτῆς χείρων οὖσα περιττὸν οὐκ ὀρθαῖς πανταχοῦ οὐδὲ ἡγεμονούσαις ταῖς ὁρμαῖς ᾖ χρωμένη. λόγον δὲ ὅταν ἡγεμόνα καθαρὸν καὶ ἀπαθῆ τὸν οἰκεῖον ἔχουσα ὁρμᾷ, ταύτην μόνην τὴν ὁρμὴν φατέον εἶναι ἐφ' ἡμῖν καὶ ἑκούσιον.* — Enn. III 2, 10 *ἀλλ' εἰ ἄνθρωποι ἄκοντές εἰσι κακοὶ καὶ τοιοῦτοι οὐχ ἑκόντες, οὔτ' ἄν τις τοὺς ἀδικοῦντας αἰτιάσαιτο οὔτε τοὺς πάσχοντας ὡς δι' αὐτοὺς ταῦτα πάσχοντας.* Fluctuat autem Plotinus inter duas arbitrii humani interpretationes, non semel affirmans eam libertatem, qua pravum sequamur, non differre a necessitate: Enn. IV 8, 5 *πᾶν μὲν γὰρ ἰὸν ἐπὶ τὸ χεῖρον ἀκούσιον· φορᾷ γε μὴν οἰκείᾳ ἰὸν πάσχον τὰ χείρω ἔχειν λέγεται τὴν ἐφ' οἷς ἔπραξε δίκην. ὅταν δὲ ταῦτα πάσχειν καὶ ποιεῖν ᾖ ἀναγκαῖον ἀιδίῳ φύσεως νόμῳ, τὸ δὲ συμβαῖνον εἰς ἄλλου του χρείαν τῇ προόδῳ ἀπαντᾷ καταβαῖνον ἀπὸ τοῦ ὑπὲρ αὐτό, θεὸν εἴ τις λέγοι καταπέμψαι, οὐκ ἂν ἀσύμφωνος οὔτε τῇ ἀληθείᾳ οὔτε ἑαυτῷ ἂν εἴη.* liberum arbitrium

d. Defectionem dicit a principio suo sive deo; eodem referendum in sequentibus *ἐκεῖθεν* et *ἐκεῖνον.* — Cf. Enn. III 6, 5. Remotiore tamen sensu negat nos a deo vere alienatos esse, **RP** 518 d.

510 Enn. V. 1, 2. *Ἐνθυμείσθω τοίνυν πρῶτον ἐκεῖνο πᾶσα ψυχή, ὡς αὐτὴ μὲν ζῷα ἐποίησε πάντα ἐμπνεύσασα αὐτοῖς ζωήν, ἅ τε γῆ τρέφει ἅ τε θάλασσα ἅ τε ἐν ἀέρι ἅ τε ἐν οὐρανῷ ἄστρα θεῖα, αὐτὴ δὲ ἥλιον, αὐτὴ δὲ τὸν μέγαν τοῦτον οὐρανὸν καὶ αὐτὴ ἐκόσμησεν, αὐτὴ δὲ ἐν τάξει περιάγει φύσις οὖσα ἑτέρα ὧν κοσμεῖ καὶ ὧν κινεῖ καὶ ἃ ζῆν ποιεῖ· καὶ τούτων ἀνάγκη εἶναι τιμιωτέραν, γιγνομένων τούτων καὶ φθειρομένων ὅταν αὐτὰ ψυχὴ ἀπολείπῃ ἢ χορηγῇ τὸ ζῆν, αὐτὴ δὲ οὖσα ἀεὶ τῷ μὴ ἀπολείπειν ἑαυτήν. — οἷον σκοτεινὸν νέφος ἡλίου βολαὶ φωτίσασαι λάμπειν ποιοῦσι χρυσοειδῆ ὄψιν ποιοῦσαι, οὕτω τοι καὶ ψυχὴ ἐλθοῦσα εἰς σῶμα οὐρανοῦ ἔδωκε μὲν ζωήν, ἔδωκε δὲ ἀθανασίαν, ἤγειρε δὲ κείμενον·* anima mundi

ὁ δὲ κινηθεὶς κίνησιν ἀίδιον ὑπὸ ψυχῆς ἐμφρόνως ἀγούσης ζῷον εὔδαιμον ἐγένετο, ἔσχε τε ἀξίαν οὐρανὸς ψυχῆς εἰσοικισθείσης, ὢν πρὸ ψυχῆς σῶμα νεκρόν, γῆ καὶ ὕδωρ, μᾶλλον δὲ σκότος ὕλης καὶ μὴ ὂν καὶ „ὃ στυγέουσιν οἱ θεοί“ φησί τις. γένοιτο δ' ἂν φανερωτέρα αὐτῆς καὶ ἐναργεστέρα ἡ δύναμις καὶ ἡ φύσις, εἴ τις ἐνταῦθα διανοηθείη ὅπως περιέχει καὶ ἄγει ταῖς αὐτῆς βουλήσεσι τὸν οὐρανόν. παντὶ μὲν γὰρ τῷ μεγέθει τούτῳ ὅσος ἐστὶν ἔδωκεν ἑαυτήν, καὶ πᾶν διάστημα καὶ μέγα καὶ μικρὸν ἐψύχωται,· ἄλλου μὲν ἄλλῃ κειμένου τοῦ σώματος, καὶ τοῦ μὲν ὡδὶ τοῦ δὲ ὡδὶ ὄντος, καὶ τῶν μὲν ἐξ ἐναντίας τῶν δὲ ἄλλων ἀπάρτησιν ἀπ' ἀλλήλων ἐχόντων. ἀλλ' οὐχ ἡ ψυχὴ οὕτως οὐδὲ μέρει αὐτῆς ἑκάστῳ κατακερματισθεῖσα μορίῳ ψυχῆς ζῆν ποιεῖ, ἀλλὰ τὰ πάντα ζῇ τῇ ὅλῃ, καὶ πάρεστι πᾶσα πανταχοῦ τῷ γεννήσαντι πατρὶ ὁμοιουμένη καὶ κατὰ τὸ ἓν καὶ κατὰ τὸ πάντῃ. καὶ πολὺς ὢν ὁ οὐρανὸς καὶ ἄλλος ἄλλῃ ἕν ἐστι τῇ ταύτης δυνάμει· καὶ θεός ἐστι διὰ ταύτην ὁ κόσμος ὅδε. ἔστι δὲ καὶ ἥλιος θεός, ὅτι ἔμψυχος, καὶ τὰ ἄλλα ἄστρα, καὶ ἡμεῖς, εἴπερ τι, διὰ τοῦτο· „νέκυες γὰρ κοπρίων ἐκβλητότεροι“[a]. — εἰ δ' ὅ τι ἔμψυχον διωκτὸν ἔσται, τί παρείς τις ἑαυτὸν ἄλλον διώκει; τὴν δὲ ἐν ἄλλῳ ψυχὴν ἀγάμενος σεαυτὸν ἄγασαι[b].

a. Heracliti Fragm. 85 Byw. ap. Plut. Quaest. conv. IV 4, 3, 6; Empedocli adscribitur ab Eustathio et scholiis in Hom. Ω 54.

animae unitas et multitudo

b. Per totum librum Ennead. IV 9 hoc persequitur, *ὅτι πᾶσαι αἱ ψυχαὶ μία.* Praecipuum argumentum est quod sola corpora separantur mole (*ὄγκος*) et loco et terminis. Enn. IV 9, 1 *διὰ τί γὰρ ἡ ἐν ἐμοὶ μία, ἡ δ' ἐν τῷ παντὶ οὐ μία; οὐ γὰρ ὄγκος οὐδὲ ἐκεῖ οὐδὲ σῶμα.* Ib. VI 4, 4 *διέστησαν γὰρ (αἱ ψυχαὶ) οὐ διεστῶσαι καὶ πάρεισιν ἀλλήλαις οὐκ ἀλλοτριωθεῖσαι· οὐ γὰρ πέρασίν εἰσι διωρισμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ, καὶ ἔστιν ἡ μία τοιαύτη ὥστε ἔχειν ἐν ἑαυτῇ πάσας. οὕτως ἐστὶν ἄπειρος ἡ τοιαύτη φύσις.* Patet etiam sic multitudinem animarum non omnino tolli, cf. Enn. IV 9, 2 *οὐδὲ γὰρ οὕτω μίαν λέγομεν (τὴν ψυχὴν) ὡς πάντῃ πλήθους ἄμοιρον· τοῦτο γὰρ τῇ κρείττονι φύσει δοτέον· ἀλλὰ μίαν καὶ πλῆθος λέγομεν καὶ μετέχειν τῆς φύσεως τῆς περὶ τὰ σώματα μεριστῆς γινομένης καὶ τῆς ἀμερίστου αὖ· ὥστε πάλιν εἶναι μίαν.* Unitatis argumenta sunt etiam consensus et magia et incantationes: Enn. IV 9, 3 *καὶ μὴν ἐκ τοῦ ἐναντίου φησὶν ὁ λόγος συμπαθεῖν ἀλλήλοις ἡμᾶς καὶ συναλγοῦντας ἐκ τοῦ ὁρᾶν καὶ διαχεομένους καὶ εἰς τὸ φιλεῖν ἑλκομένους κατὰ φύσιν. — εἰ δὲ καὶ ἐπῳδαὶ καὶ ὅλως μαγεῖαι συνάγουσι καὶ συμπαθεῖς πόρρωθεν ποιοῦσι,*

πάντως τοι διὰ ψυχῆς μιᾶς. Unitatis ac multitudinis in anima consociatio quo pacto accipienda sit, cognoscitur ex hisce l. l. *ὅτι τὸ μὲν ἀμέριστον αὐτῆς κατὰ τὸ λογικὸν τακτέον οὐ μεριζόμενον ἐν τοῖς σώμασι, τὸ δὲ μεριζόμενον περὶ σώματα ἓν μὲν ὂν καὶ αὐτό, περὶ δὲ τὰ σώματα μεριζόμενον, παρεχόμενον τὴν αἴσθησιν πανταχοῦ, ἄλλην δύναμιν αὐτῆς θετέον τό τε πλαστικὸν αὐτῆς καὶ ποιητικὸν σωμάτων δύναμιν ἄλλην. οὐχ ὅτι δὲ πλείους αἱ δυνάμεις, οὐ μία· καὶ γὰρ ἐν τῷ σπέρματι πλείους αἱ δυνάμεις καὶ ἕν, καὶ ἐξ ἑνὸς τούτου πολλὰ ἕν.* Una illa anima mundi manet una etiam si in multas animas dispertitur; exemplo est sapientiae unitas: ib. 5 *αἱ δὲ πολλαὶ εἰς ταύτην ὡς μίαν δοῦσαν ἑαυτὴν εἰς πλῆθος καὶ οὐ δοῦσαν· ἱκανὴ γὰρ πᾶσι παρασχεῖν ἑαυτὴν καὶ μένειν μία· δύεται*[1] *γὰρ εἰς πάντα ἅμα καὶ ἑκάστου οὐκ ἀποτέτμηται πάντῃ. τὸ αὐτὸ οὖν ἐν πολλοῖς. μὴ δή τις ἀπιστείτω· καὶ γὰρ ἡ ἐπιστήμη ὅλη καὶ τὰ μέρη αὐτῆς, ὡς μένειν τὴν ὅλην καὶ ἀπ᾽ αὐτῆς τὰ μέρη.* Cf. Enn. VI 5, 10.

511 Enn. V 1, 3. *Οὕτω δὴ τιμίου καὶ θείου ὄντος χρήματος τῆς ψυχῆς, πιστεύσας ἤδη τῷ τοιούτῳ θεὸν μετιέναι μετὰ τοιαύτης αἰτίας ἀνάβαινε πρὸς ἐκεῖνον. πάντως που οὐ πόρρω βαλεῖς, οὐδὲ πολλὰ τὰ μεταξύ. λάμβανε τοίνυν τοῦ θείου τούτου θειότερον τὸ ψυχῆς πρὸς τὸ ἄνω γειτόνημα, μεθ᾽ ὃ καὶ ἀφ᾽ οὗ ἡ ψυχή. καίπερ γὰρ οὖσα χρῆμα οἷον ἔδειξεν ὁ λόγος, εἰκών τίς ἐστι νοῦ, οἷον λόγος ὁ ἐν προφορᾷ λόγου τοῦ ἐν ψυχῇ*[a], *οὕτω τοι καὶ αὐτὴ λόγος νοῦ· καὶ ἡ πᾶσα ἐνέργεια, καὶ ἣν προΐεται ζωὴν εἰς ἄλλου ὑπόστασιν, οἷον πυρὸς τὸ μὲν ἡ συνοῦσα θερμότης, ἡ δὲ ἣν παρέχει. δεῖ δὲ λαβεῖν ἐκεῖ οὐκ ἐκρέουσαν, ἀλλὰ μένουσαν μὲν τὴν ἐν αὐτῷ, τὴν δὲ ἄλλην ὑφισταμένην*[b]. *οὖσα οὖν ἀπὸ νοῦ νοερά ἐστι, καὶ ἐν λογισμοῖς ὁ νοῦς αὐτῆς, καὶ ἡ τελείωσις ἀπ᾽ αὐτοῦ πάλιν οἷον πατρὸς ἐκθρέψαντος, ὃν οὐ τέλειον ὡς πρὸς αὐτὸν ἐγέννησεν. ἥ τε οὖν ὑπόστασις αὐτῇ ἀπὸ νοῦ, ὅ τε ἐνεργείᾳ λόγος νοῦ αὐτῇ δρωμένου. ὅταν γὰρ ἐνίδῃ εἰς νοῦν, ἔνδοθεν ἔχει καὶ οἰκεῖα ἃ νοεῖ καὶ ἐνεργεῖ. καὶ ταύτας μόνας δεῖ λέγειν ἐνεργείας ψυχῆς, ὅσα νοερῶς καὶ ὅσα οἴκοθεν, τὰ δὲ χείρω ἄλλοθεν καὶ πάθη ψυχῆς τῆς τοιαύτης. νοῦς οὖν ἐπὶ μᾶλλον θειοτέραν ποιεῖ καὶ τῷ πατὴρ εἶναι καὶ τῷ παρεῖναι· οὐδὲν γὰρ μεταξὺ ἢ τὸ ἑτέροις εἶναι, ὡς ἐφεξῆς μέντοι καὶ ὡς τὸ δεχόμενον, τὸ δὲ ὡς εἶδος· καλὴ δὲ καὶ ἡ νοῦ ὕλη, νοοειδὴς οὖσα καὶ ἁπλῆ*[c]. superior pars animae

1) *δύεται* Vitringa: *δύναται* libri.

a. De hoc discrimine v. RP 493[a].

principii abundantia

b. Variis similitudinibus quo modo res ex principiis exstiterint illustrare conatur, cum dicit effundi eas tanquam lumen a sole, scaturire tanquam aquam ex fonte, pullulare tanquam arborem ex stirpe. At id ipsum, unde res emanant, semper integrum restat atque illibatum: I 6, 7 *ἐκεῖνο ὃ χορηγεῖ μὲν ἅπασιν, ἐφ' ἑαυτοῦ δὲ μένον δίδωσι καὶ οὐ δέχεταί τι εἰς αὐτό.* III 8, 10 *νόησον γὰρ πηγὴν ἀρχὴν οὐκ ἔχουσαν, δοῦσαν δὲ ποταμοῖς πᾶσιν αὐτήν, οὐκ ἀναλωθεῖσαν τοῖς ποταμοῖς, ἀλλὰ μένουσαν αὐτὴν ἡσύχως.* Tanta enim primi principii abundantia est, ut sponte superfluxerit: V 2, 1 *πρώτη οἷον γέννησις αὕτη. ὂν γὰρ τέλειον — οἷον ὑπερρύη, καὶ τὸ ὑπερπλῆρες αὐτοῦ πεποίηκεν ἄλλο.* Neque temporis neque ullius motionis atque mutationis notio in talibus adhibenda est: V 1, 6 *ἐκποδὼν δὲ ἡμῖν ἔστω γένεσις ἡ ἐν χρόνῳ τὸν λόγον περὶ τῶν ἀεὶ ὄντων ποιουμένοις. — τὸ οὖν γινόμενον ἐκεῖθεν οὐ κινηθέντος φατέον γίνεσθαι· εἰ γὰρ κινηθέντος αὐτοῦ τι γίνοιτο, τρίτον ἀπ' ἐκείνου γινόμενον μετὰ τὴν κίνησιν ἂν γίνοιτο καὶ οὐ δεύτερον. δεῖ οὖν ἀκινήτου ὄντος, εἴ τι δεύτερον μετ' αὐτό, οὐ προσνεύσαντος οὐδὲ βουληθέντος οὐδὲ ὅλως κινηθέντος ὑποστῆναι αὐτό. — καὶ πάντα τὰ ὄντα ἕως μένει, ἐκ τῆς αὐτῶν οὐσίας ἀναγκαίαν τὴν περὶ αὐτὰ πρὸς τὸ ἔξω αὐτῶν ἐκ τῆς παρούσης δυνάμεως δίδωσιν αὐτῶν ἐξηρτημένην ὑπόστασιν, εἰκόνα οὖσαν οἷον ἀρχετύπων ὧν ἐξέφυ· πῦρ μὲν τὴν παρ' αὐτοῦ θερμότητα, καὶ χιὼν οὐκ εἴσω μόνον τὸ ψυχρὸν κατέχει. μάλιστα δὲ ὅσα εὐώδη μαρτυρεῖ τοῦτο. ἕως γάρ ἐστι, πρόεισί τι ἐξ αὐτῶν περὶ αὐτά, ὧν ἀπολαύει ὑποστάντων ὅ τι πλησίον. καὶ πάντα δὲ ὅσα ἤδη τέλεια γεννᾷ καὶ ἔλαττον δὲ ἑαυτοῦ γεννᾷ.*

materia intelligibilis

c. De materia intelligibili, quam ponit in intelligentia, v. Enn. II 4, 4 *εἰ οὖν πολλὰ τὰ εἴδη, κοινὸν μέν τι ἐν αὐτοῖς ἀνάγκη εἶναι· καὶ δὴ καὶ ἴδιον, ᾧ διαφέρει ἄλλο ἄλλου. τοῦτο δὴ τὸ ἴδιον καὶ ἡ διαφορὰ ἡ χωρίζουσα ἡ οἰκεία ἐστὶ μορφή. εἰ δὲ μορφή, ἔστι καὶ τὸ μορφούμενον, περὶ ὃ ἡ διαφορά. ἔστιν ἄρα καὶ ὕλη ἡ τὴν μορφὴν δεχομένη καὶ ἀεὶ τὸ ὑποκείμενον. ἔτι εἰ κόσμος νοητός ἐστιν ἐκεῖ, μίμημα δὲ οὗτος ἐκείνου, οὗτος δὲ σύνθετος καὶ ἐξ ὕλης, κἀκεῖ δεῖ ὕλην εἶναι.*

intellectus

Enn. V 1, 4. *Κόσμον αἰσθητὸν τόνδε εἴ τις θαυμάζει* 512
εἴς τε τὸ μέγεθος καὶ τὸ κάλλος καὶ τὴν τάξιν τῆς φορᾶς τῆς ἀιδίου ἀποβλέπων καὶ θεοὺς τοὺς ἐν αὐτῷ, τοὺς μὲν δρωμένους τοὺς δὲ καὶ ἀφανεῖς ὄντας, καὶ δαίμονας καὶ ζῷα φυτά τε πάντα, ἐπὶ τὸ ἀρχέτυπον αὐτοῦ καὶ τὸ ἀληθινώτερον ἀναβὰς κἀκεῖ πάντα ἰδέτω νοητὰ καὶ παρ' αὐτῶν ἀίδια ἐν οἰκείᾳ συνέσει καὶ ζωῇ, καὶ τούτων τὸν ἀκήρατον νοῦν προστάτην καὶ σοφίαν ἀμήχανον καὶ τὸν ὡς ἀληθῶς ἐπὶ Κρόνου βίον θεοῦ κόρου καὶ νοῦ ὄντος[a]*· πάντα γὰρ ἐν αὐτῷ τὰ ἀθάνατα περιέχει, νοῦν πάντα, θεὸν πάντα, ψυχὴν*

πᾶσαν, ἑστῶτα ἀεί. τί γὰρ ζητεῖ μεταβάλλειν εὖ ἔχων; ποῦ δὲ μετελθεῖν πάντα παρ' αὐτῷ ἔχων; ἀλλ' οὐδὲ αὔξην ζητεῖ τελειότατος ὤν. διὸ καὶ τὰ παρ' αὐτῷ πάντα τέλεια, ἵνα πάντῃ ᾖ τέλειος οὐδὲν ἔχων ὅ τι μὴ τοιοῦτον, οὐδὲν ἔχων ἐν αὐτῷ ὃ μὴ νοεῖ· νοεῖ δὲ οὐ ζητῶν, ἀλλ' ἔχων[b]. καὶ τὸ μακάριον αὐτῷ οὐκ ἐπίκτητον, ἀλλ' ἐν αἰῶνι πάντα, καὶ ὁ ὄντως αἰών, ὃν μιμεῖται χρόνος περιθέων ψυχὴν τὰ μὲν παριεὶς τοῖς δὲ ἐπιβάλλων. καὶ γὰρ ἄλλα καὶ ἄλλα αὖ περὶ ψυχήν· ποτὲ γὰρ Σωκράτης ποτὲ δὲ ἵππος, ἕν τι ἀεὶ τῶν ὄντων· ὁ δὲ νοῦς πάντα. ἔχει οὖν ἐν αὐτῷ πάντα ἑστῶτα ἐν τῷ αὐτῷ καὶ ἔστι μόνον καὶ τὸ ἔστιν ἀεὶ καὶ οὐδαμοῦ τὸ μέλλον (ἔστι γὰρ καὶ τότε) οὐδὲ τὸ παρεληλυθός· οὐ γάρ τι ἐκεῖ παρελήλυθεν, ἀλλ' ἐνέστηκεν ἀεὶ ἅτε τὰ αὐτὰ ὄντα οἷον ἀγαπῶντα ἑαυτὰ οὕτως ἔχοντα. ἕκαστον δὲ αὐτῶν νοῦς καὶ ὄν ἐστι, καὶ τὸ σύμπαν πᾶς νοῦς καὶ πᾶν ὄν, ὁ μὲν νοῦς κατὰ τὸ νοεῖν ὑφιστὰς τὸ ὄν, τὸ δὲ ὂν τῷ νοεῖσθαι τῷ νῷ διδὸν τὸ νοεῖν καὶ τὸ εἶναι· τοῦ δὲ νοεῖν αἴτιον ἄλλο, ὃ καὶ τῷ ὄντι. ἀμφοτέρων οὖν ἅμα αἴτιον ἄλλο· ἅμα μὲν γὰρ ἐκεῖνα καὶ συνυπάρχει καὶ οὐκ ἀπολείπει ἄλληλα, ἀλλὰ δύο ὄντα τοῦτο τὸ ἓν ὁμοῦ νοῦς καὶ ὂν καὶ νοοῦν καὶ νοούμενον, ὁ μὲν νοῦς κατὰ τὸ νοεῖν, τὸ δὲ ὂν κατὰ νοούμενον. οὐ γὰρ ἂν γένοιτο τὸ νοεῖν ἑτερότητος μὴ οὔσης καὶ ταυτότητος δέ· γίνεται οὖν τὰ πρῶτα νοῦς, ὄν, ἑτερότης, ταυτότης· δεῖ δὲ principia καὶ κίνησιν λαβεῖν καὶ στάσιν[d]. καὶ κίνησιν μέν, εἰ νοεῖ, στάσιν δέ, ἵνα τὸ αὐτό, τὴν δὲ ἑτερότητα, ἵν' ᾖ νοοῦν καὶ νοούμενον. ἢ ἐὰν ἀφέλῃς τὴν ἑτερότητα, ἓν γενόμενον σιωπήσεται. δεῖ δὲ καὶ τοῖς νοηθεῖσιν ἑτέροις [1] πρὸς ἄλληλα εἶναι· ταὐτὸν δέ, ἐπεὶ ἓν ἑαυτῷ, καὶ κοινὸν δέ τι ἐν πᾶσι· καὶ ἡ διαφορὰ ἑτερότης. ταῦτα δὲ πλείω γενόμενα ἀριθμὸν καὶ τὸ ποσὸν ποιεῖ· καὶ τὸ ποιὸν δὲ ἡ ἑκάστου τούτων ἰδιότης, ἐξ ὧν ὡς ἀρχῶν τἆλλα[e].

a. Cf. Plat. Cratyl. 396 B.

b. Inquirere (ζητεῖν) imperfectae mentis est, non igitur intellectui cogitatio hoc attribuendum. Anima intellectum non habet nisi cogitantem vel considerantem (νοῦν λογιζόμενον): Enn. V 1, 10 νοῦς δὲ ὁ μὲν λογιζόμενος, ὁ δὲ λογίζεσθαι παρέχων· τὸ δὴ λογιζόμενον τοῦτο τῆς ψυχῆς. Ib. 11 καὶ εἰ ὁτὲ μὲν λογίζεται περὶ τούτων ψυχή, ὁτὲ δὲ μή, δεῖ μὴ

1) ἑτέροις libri: ἑτερότητα mavult Vitringa.

τὸν λογιζόμενον, ἀλλ' ἀεὶ ἔχοντα τὸ δίκαιον νοῦν ἐν ἡμῖν εἶναι. Omnis autem *λογισμὸς* inferioris gradus est: Enn. IV 3, 18 *ἐλάττωσις γὰρ νοῦ εἰς αὐτάρκειαν τὸ λογισμοῦ δεῖσθαι, ὥσπερ καὶ ἐν ταῖς τέχναις ὁ λογισμὸς ἀπορούσι τοῖς τεχνίταις.* Neque in mundo intelligibili *τὸ λογίζεσθαι* reperitur, neque homo vere intelligibilis *λογικὸς* est: Enn. VI 7, 9. Inde contemptus ille quem prae se fert mentis atque cogitationis, eius maxime, quae proficiscitur a sensuum affectionibus. Nam verum intellectum dicit neque perceptionis neque collectionis ope ad cognoscendum pervenire: Enn. V 5, 1 *δεῖ ἄρα αὐτὸν (τὸν ἀληθῆ νοῦν) ἀεὶ εἰδέναι, — τὴν δὲ εἴδησιν αὐτῷ μήτε εἰκάζοντι εἶναι μήτε ἀμφίβολον μηδ' αὖ παρ' ἄλλου οἷον ἀκούσαντι· οὐ τοίνυν οὐδὲ δι' ἀποδείξεως.* A sensibus remotus nihil contemplatur praeter se ipsum: Enn. V 3, 4; 9, 7.

c. *Ὂν* et *νοῦς* ita solent a Plotino coniungi, ut una esse atque una exstitisse ponantur, propterea quod verum *ὂν* nihil esse possit nisi *τὸ νοητόν.* Enn. V 4, 2 *ἔστι μὲν οὖν καὶ αὐτὸς (ὁ νοῦς) νοητόν, ἀλλὰ καὶ νοῶν. — νοῦς δὴ καὶ ὂν ταὐτόν· οὐ γὰρ τῶν πραγμάτων ὁ νοῦς, ὥσπερ ἡ αἴσθησις τῶν αἰσθητῶν προόντων, ἀλλ' αὐτὸς νοῦς τὰ πράγματα.* Ib. 1, 10 *ἔστι δὲ ἐφεξῆς (τῷ ἑνὶ) τὸ ὂν καὶ νοῦς. — Τὸ ὂν* appellatur etiam *οὐσία*: Enn. I 7, 1; 8, 1.

d. Hoc referendum ad quattuor categorias quae a recentioribus vocantur Platonis RP 254a. Praeter eas utitur etiam categoriis Aristotelicis, sed immutatis et cum Platonicis consociatis, v. Trendelenburg, *Gesch. d. Kateg. L.* p. 232 sq.; Kirchner p. 86 sq. — Dialecticam fere eodem sensu appellat quo Plato, logicam quo Peripatetici inferiores, v. Enn. I 3, 4—6, ubi inter alia haec dicit 4 in.: *αὕτη (ἡ διαλεκτικὴ) καὶ περὶ ἀγαθοῦ διαλέγεται καὶ περὶ μὴ ἀγαθοῦ καὶ ὅσα ὑπὸ τὸ ἀγαθὸν καὶ ὅσα ὑπὸ τὸ ἐναντίον καὶ τί τὸ ἀίδιον καὶ τὸ μὴ τοιοῦτον, ἐπιστήμῃ δηλονότι*[1] *περὶ πάντων, οὐ δόξῃ· παύσασα δὲ τῆς περὶ τὸ αἰσθητὸν πλάνης ἐνιδρύει τῷ νοητῷ κἀκεῖ τὴν πραγματείαν ἔχει τὸ ψεῦδος ἀφεῖσα, — τῇ διαιρέσει τῇ Πλάτωνος χρωμένη μὲν καὶ εἰς διάκρισιν τῶν εἰδῶν, χρωμένη δὲ καὶ εἰς τὸ τί ἐστι, χρωμένη δὲ καὶ ἐπὶ τὰ πρῶτα γένη, καὶ τὰ ἐκ τούτων νοερῶς πλέκουσα, ἕως ἂν διέλθῃ πᾶν τὸ νοητόν, καὶ ἀνάπαλιν ἀναλύουσα, εἰς ὃ ἂν ἐπ' ἀρχὴν ἔλθῃ. τότε δὲ ἡσυχίαν ἄγουσα — εἰς ἓν γενομένη βλέπει τὴν λεγομένην λογικὴν πραγματείαν περὶ προτάσεων καὶ συλλογισμῶν· ὥσπερ ἂν τὸ εἰδέναι γράφειν ἄλλῃ τέχνῃ δοῦσα, ὧν τινα ἀναγκαῖα καὶ πρὸ τέχνης ἡγουμένη.*

dialectica

intellectus et animae natura

e. *Νοῦς* cum in se coniungat *νοήσεως* naturam et *ὄντος*, sequitur ut et motus et quies ei attribuenda sit. Nam *νόησις ἡ πρώτη ζωή*: Enn. III 8, 8; *ζωὴ* vero idem est atque *ἐνέργεια*: I 8, 2; III 6, 6. Cf. VI 2, 8 *ἐν μὲν οὖν τῷ νοεῖν ἡ ἐνέργεια καὶ ἡ κίνησις, ἐν δὲ τῷ ἑαυτὸν ἡ οὐσία καὶ τὸ ὄν· ὢν γὰρ νοεῖ καὶ ὄντα ἑαυτόν, — ὂν δὲ τὸ πάντων*

1) *δηλονότι*, quod est in libris post *ἀίδιον*, transposuit Müller.

ἑδραιότατον καὶ περὶ ὃ τὰ ἄλλα τὴν στάσιν ὑπεστήσατο. Plerumque tamen animae tribuitur motus, intellectui quies: Enn. II 9, 1 *ἔστι γὰρ ὥς ἐστι νοῦς ἀεὶ ὡσαύτως ἐνεργείᾳ κείμενος ἑστώσῃ· κίνησις δὲ πρὸς αὐτὸν καὶ περὶ αὐτὸν ψυχῆς ἤδη ἔργον.* Enn. IV 4, 16 *εἰ τἀγαθόν τις κατὰ κέντρον τάξειε, τὸν νοῦν κατὰ κύκλον ἀκίνητον, ψυχὴν δὲ κατὰ κύκλον κινούμενον ἂν τάξειε, κινούμενον δὲ τῇ ἐφέσει· νοῦς γὰρ εὐθὺς καὶ ἔχει καὶ περιείληφεν, ἡ δὲ ψυχὴ τοῦ ἐπέκεινα ὄντος ἐφίεται.* Intellectus enim semper in se ipso requiescens neque aliud quidquam contemplatur neque aliorsum convertitur moveturve, neque propterea est *πρακτικός*: Enn. V 3, 6 *οὐ γὰρ δὴ πρακτικός γε οὗτος (νοῦς)· ὡς πρὸς τὸ ἔξω βλέποντι τῷ πρακτικῷ καὶ μὴ ἐν αὐτῷ μένοντι εἴη ἂν τῶν μὲν ἔξω τις γνῶσις, ἀνάγκη δὲ οὐκ ἔνεστιν, εἴπερ τὸ πᾶν πρακτικὸς εἴη, γινώσκειν ἑαυτόν.* Anima vero per se sine intellectu est, nisi ad illum se convertit: Enn. V 6, 4 *ψυχὴ μὲν γὰρ ἐπακτὸν νοῦν ἔχει, — νοῦς δ' ἐν αὑτῷ οἰκεῖον ἔχει.* Etiam externum quid operatur, dum condit mundum: Enn. IV 8, 3 *ψυχῆς δὲ ἔργον τῆς λογικωτέρας νοεῖν μέν, οὐ τὸ νοεῖν δὲ μόνον· τί γὰρ ἂν καὶ νοῦ διαφέροι; προσλαβοῦσα γὰρ τῷ νοερὰ εἶναι καὶ ἄλλο, καθὸ τὴν οἰκείαν ἔσχεν ὑπόστασιν, νοῦς οὐκ ἔμεινεν ἔχει τε ἔργον καὶ αὐτή, εἴπερ καὶ πᾶν ὃ ἂν ᾖ τῶν νοητῶν. βλέπουσα δὲ πρὸς μὲν τὸ πρὸ ἑαυτῆς νοεῖ, εἰς δὲ ἑαυτὴν σῴζει ἑαυτήν, εἰς δὲ τὸ μετ' αὐτὴν κοσμεῖ τε καὶ διοικεῖ καὶ ἄρχει αὐτοῦ.* Quamquam si altius in rem inquisiveris, omnem actionem inservire cognitioni et contemplationi reperies: Enn. III 8, 6 *ἡ ἄρα πρᾶξις ἕνεκα θεωρίας καὶ θεωρήματος· ὥστε καὶ τοῖς πράττουσιν ἡ θεωρία τέλος, καὶ οἷον ἐξ εὐθείας ὃ μὴ ἠδυνήθησαν λαβεῖν τοῦτο περιπλανώμενοι ἑλεῖν ζητοῦσι. καὶ γὰρ αὖ ὅταν τύχωσιν οὗ βούλονται, ὃ γενέσθαι ἠθέλησαν, οὐχ ἵνα μὴ γνῶσιν, ἀλλ' ἵνα γνῶσι καὶ παρὸν ἴδωσιν ἐν ψυχῇ, δῆλον ὅτι κείμενον θεατόν. ἐπεὶ καὶ ἀγαθοῦ χάριν πράττουσι· τοῦτο δὲ οὐχ ἵνα ἔξω αὐτῶν οὐδ' ἵνα μὴ ἔχωσιν, ἀλλ' ἵνα ἔχωσι τὸ ἐκ τῆς πράξεως ἀγαθόν. τοῦτο δὲ ποῦ; ἐν ψυχῇ. ἀνέκαμψεν οὖν πάλιν ἡ πρᾶξις εἰς θεωρίαν· ὃ γὰρ ἐν ψυχῇ λαμβάνει λόγῳ οὔσῃ, τί ἂν ἄλλο ἢ λόγος σιωπῶν εἴη;* Ipsa conformatio mundi, quae fit per animam, quasi est contemplatio quaedam: ib. 5 *ἀλλὰ περὶ μὲν φύσεως εἰπόντες, ὃν τρόπον θεωρία ἡ γένεσις (αὐτῆς ἐστι), ἐπὶ τὴν ψυχὴν τὴν πρὸ ταύτης ἐλθόντες λέγομεν, ὡς ἡ ταύτης θεωρία καὶ τὸ φιλομαθὲς καὶ τὸ ζητητικὸν καὶ ἡ ἐξ ὧν ἐγνώκει ὠδὶς καὶ τὸ πλῆρες πεποίηκεν αὐτὴν θεώρημα πᾶν γενομένην ἄλλο θεώρημα ποιῆσαι* (sed *θεώρημα ἀσθενέστερον*, quod explicatur in subsequentibus).

513 Enn. V 1, 5. *Πολὺς οὖν οὗτος ὁ θεὸς (ὁ νοῦς) ἐπὶ τῇ* unum
ψυχῇ τῇδε ὑπάρχει. — τίς οὖν ὁ τοῦτον γεννήσας; ὁ ἁπλοῦς καὶ ὁ πρὸ τοιούτου πλήθους, ὁ αἴτιος τοῦ καὶ εἶναι καὶ πολὺν εἶναι τοῦτον, ὁ τὸν ἀριθμὸν ποιῶν· ὁ γὰρ ἀριθμὸς οὐ πρῶτος, καὶ γὰρ πρὸ δυάδος τὸ ἕν[a], *δεύτερον δὲ δυάς· καὶ*

παρὰ τοῦ ἑνὸς γεγενημένη ἐκεῖνο ὁριστὴν ἔχει, αὐτὴ δὲ ἀόριστον παρ᾽ αὐτῆς. ὅταν δὲ ὁρισθῇ, ἀριθμὸς ἤδη.

a. Cf. Enn. III 8, 9 *οὗτος (ὁ νοῦς) μὲν οὖν τοιοῦτος· διὸ οὐ πρῶτος, ἀλλὰ δεῖ εἶναι τὸ ἐπέκεινα αὐτοῦ —, ὅτι πλῆθος ἑνὸς ὕστερον· καὶ ἀριθμὸς δὲ οὗτος, ἀριθμοῦ δὲ ἀρχὴ καὶ τοῦ τοιούτου τὸ οὕτως ἕν· καὶ οὗτος νοῦς καὶ νοητὸν ἅμα, ὥστε δύο ἅμα· εἰ δὲ δύο, δεῖ τὰ πρὸ τοῦ δύο λαβεῖν.* Sequitur ut Uni nihil quod ab ipso diversum esse videatur attribuendum sit: Enn. V 4, 1 *δεῖ μὲν γάρ τι πρὸ πάντων εἶναι ἁπλοῦν τοῦτο καὶ πάντων ἕτερον τῶν μετ᾽ αὐτό, ἐφ᾽ ἑαυτοῦ ὄν, οὐ μεμιγμένον τοῖς ἀπ᾽ αὐτοῦ —, ὂν ὄντως ἕν, οὐχ ἕτερον ὄν, εἶτα ἕν, καθ᾽ οὗ ψεῦδος καὶ τὸ ἓν εἶναι, οὗ μὴ λόγος μηδὲ ἐπιστήμη. — αὐταρκέστατόν τε τῷ ἁπλοῦν εἶναι καὶ πρῶτον ἁπάντων· τὸ γὰρ μὴ πρῶτον ἐνδεὲς τοῦ πρὸ αὐτοῦ, τό τε μὴ ἁπλοῦν τῶν ἐν αὐτῷ ἁπλῶν δεόμενον, ἵν᾽ ᾖ ἐξ ἐκείνων.* VI 9, 6 *ὅταν γὰρ ἂν αὐτὸ* (primum principium) *νοήσῃς οἷον νοῦν ἢ θεόν, πλέον ἐστί. — πᾶν δὲ πολὺ καὶ μὴ ἓν ἐνδεὲς ἐκ πολλῶν γενόμενον.* Omnia tamen necesse est esse per unum, si quidem omnino non essent, si Unum non esset: Enn. VI 9, 1 *πάντα τὰ ὄντα τῷ ἑνί ἐστιν ὄντα, ὅσα τε πρώτως ἐστὶν ὄντα καὶ ὅσα ὁπωσοῦν λέγεται ἐν τοῖς οὖσιν εἶναι. τί γὰρ ἂν καὶ εἴη, εἰ μὴ ἓν εἴη; ἐπείπερ ἀφαιρεθέντα τοῦ ἓν ὃ λέγεται οὐκ ἔστιν ἐκεῖνα.* Quamquam ipsi Uni quodam modo multitudo attribuenda est, quod habet *δύναμιν ἄπειρον*: Enn. III 7, 5 *εἰ δ᾽ ἐκ πολλῶν λέγομεν αὐτὸν (τὸν θεόν), οὐ δεῖ θαυμάζειν· πολλὰ γὰρ ἕκαστον τῶν ἐκεῖ* (in rebus intelligibilibus) *διὰ δύναμιν ἄπειρον.* VI 9, 6 *ληπτέον δὲ καὶ ἄπειρον αὐτὸ* (primum principium) *οὐ τῷ ἀδιεξιτήτῳ ἢ τοῦ μεγέθους ἢ τοῦ ἀριθμοῦ, ἀλλὰ τῷ ἀπεριλήπτῳ τῆς δυνάμεως.* Cf. **RP** 515c.

infinitum Enn. VI 9, 3. *Γεννητικὴ γὰρ ἡ τοῦ ἑνὸς φύσις οὖσα τῶν* 514 *πάντων οὐδέν ἐστιν αὐτῶν. οὔτε οὖν τὶ, οὔτε ποιόν, οὔτε ποσόν, οὔτε νοῦς, οὔτε ψυχή· οὐδὲ κινούμενον οὐδ᾽ αὖ ἑστώς, οὐκ ἐν τόπῳ, οὐκ ἐν χρόνῳ, ἀλλὰ τὸ καθ᾽ αὑτὸ μονοειδές, μᾶλλον δὲ ἀνείδεον πρὸ εἴδους ὂν παντός, πρὸ κινήσεως, πρὸ στάσεως· ταῦτα γὰρ περὶ τὸ ὄν, ἃ πολλὰ αὐτὸ ποιεῖ*[a].

a. Unum convenit non posse nisi negationibus terminari: Enn. VI 8, 11 *πῶς φθεγξόμεθα τοῦτο, ὅτι καὶ τὰ ἄλλα ἐν ἀφαιρέσει πάντα τὰ περὶ τούτου λεγόμενα;* Non possumus alia via ad illud penetrare quam conivendo (*μύοντας*) h. e. mystica contemplatione, sensibus occlusis: I 6, 8 *ἀλλὰ ταῦτα πάντα* (sensuum apprehensiones) *ἀφεῖναι δεῖ καὶ μὴ βλέπειν, ἀλλ᾽ οἷον μύσαντα ὄψιν ἄλλην ἀλλάξασθαι καὶ ἀνεγεῖραι, ἣν ἔχει μὲν πᾶς, χρῶνται δὲ ὀλίγοι.* Unum est sine cogitatione, verum etiam sine ignoratione cuiusquam: VI 9, 6 *οὐ τοίνυν ὅτι μὴ γινώσκει οὐδὲ νοεῖ ἑαυτόν, ἄγνοια περὶ αὐτὸν ἔσται· ἡ γὰρ ἄγνοια ἑτέρου ὄντος γίνεται, ὅταν θάτερον ἀγνοῇ θάτερον· τὸ δὲ μόνον οὔτε τι γινώσκει*

οὔτε τι ἔχει ὃ ἀγνοεῖ, ἓν δὲ ὂν συνὸν αὑτῷ οὐ δεῖται νοήσεως ἑαυτοῦ. ἐπεὶ οὐδὲ τὸ συνεῖναι δεῖ προσάπτειν, ἵνα τηρῇς τὸ ἕν, ἀλλὰ καὶ τὸ νοεῖν καὶ τὸ συνεῖναι [1] *ἀφαιρεῖν καὶ ἑαυτοῦ νόησιν καὶ τῶν ἄλλων.* Neque igitur per se *νοητὸν* est, sed quatenus refertur ad *νοῦν*: V 6, 2 *πρὸς μὲν τὸν νοῦν νοητὸν ἔσται, καθ᾽ ἑαυτὸ δὲ οὔτε νοοῦν οὔτε νοητὸν κυρίως ἔσται.* Neque voluntatem habet; quare quod solet a Plotino ad modum Platonis Bonum appellari, *τροπικώτερον* accipiendum: VI 9, 6 *ὥστε τῷ ἑνὶ οὐδὲν ἀγαθόν ἐστιν. οὐδὲ βούλησις τοίνυν οὐδενός, ἀλλ᾽ ἔστιν ὑπεράγαθον καὶ αὐτὸ οὐχ ἑαυτῷ, τοῖς δ᾽ ἄλλοις ἀγαθόν, εἴ τι αὐτοῦ δύναται μεταλαμβάνειν.* VI 7, 38 *λέγομεν δὲ τἀγαθὸν περὶ αὐτοῦ λέγοντες οὐκ αὐτό.* Neque *ἀρχὴ* et *αἴτιον* appellatur proprie: VI 8, 8 *πάντα γὰρ ἐκείνου καὶ τὰ καλὰ καὶ τὰ σεμνὰ ὕστερα· τούτων γὰρ αὐτὸς ἀρχή, καίτοι ἄλλον τρόπον οὐκ ἀρχή.* Ib. 9, 3 *ἐπεὶ καὶ τὸ αἴτιον λέγειν οὐ κατηγορεῖν ἐστι συμβεβηκός τι αὐτῷ, ἀλλ᾽ ἡμῖν, ὅτι ἔχομέν τι παρ᾽ αὐτοῦ ἐκείνου ὄντος ἐν αὑτῷ.* Ipsum Unius nomen parum accommodatum esse dicit neque omnino ullam eius scientiam esse ib. 9, 5 *τὸ ἕν, ᾧ ὄνομα μὲν κατ᾽ ἀλήθειαν οὐδὲν προσῆκον· εἴπερ δὲ δεῖ ὀνομάσαι, κοινῶς ἂν λεχθείη προσηκόντως ἕν, οὐχ ὡς ἄλλο, εἶτα ἕν.* Cf. Enn. V 3, 13 *διὸ καὶ ἄρρητον τῇ ἀληθείᾳ· ὅ τι γὰρ ἂν εἴπῃς, τὶ ἐρεῖς. ἀλλὰ τὸ ἐπέκεινα πάντων καὶ ἐπέκεινα τοῦ σεμνοτάτου νοῦ, ἐν τοῖς πᾶσι μόνον ἀληθὲς οὐκ ὄνομα ὂν αὐτοῦ ἄλλο τι* [2]*, οὔτε τὶ τῶν πάντων οὔτε ὄνομα αὐτοῦ, ὅτι μηδὲν κατ᾽ αὐτοῦ· ἀλλ᾽, ὡς ἐνδέχεται, ἡμῖν αὐτοῖς σημαίνειν ἐπιχειροῦμεν περὶ αὐτοῦ.* VI 8, 8 *οὐδὲν ἂν εὕροιμεν εἰπεῖν οὐχ ὅτι κατ᾽ αὐτοῦ, ἀλλ᾽ οὐδὲ περὶ αὐτοῦ κυρίως.*

515 Enn. II 9, 1. *Εἰ οὖν (τὸ ἓν) μηδὲ παρ᾽ ἄλλου μηδὲ ἐν ἄλλῳ μηδὲ σύνθεσις μηδεμία, ἀνάγκη μηδὲν ὑπὲρ αὐτὸ εἶναι. οὐ τοίνυν δεῖ ἐφ᾽ ἑτέρας ἀρχὰς ἰέναι, ἀλλὰ τοῦτο προστησαμένους, εἶτα νοῦν μετ᾽ αὐτὸ καὶ τὸ νοοῦν πρώτως, εἶτα ψυχὴν μετὰ νοῦν· αὕτη γὰρ τάξις κατὰ φύσιν. μήτε πλείω τούτων τίθεσθαι ἐν τῷ νοητῷ μήτε ἐλάττω· εἴτε γὰρ ἐλάττω, ἢ ψυχὴν καὶ νοῦν ταὐτὸ φήσουσιν, ἢ νοῦν καὶ τὸ πρῶτον· ἀλλ᾽ ὅτι ἕτερα ἀλλήλων ἐδείχθη πολλαχῇ. λοιπὸν δὲ ἐπισκέψασθαι ἐν τῷ παρόντι, εἰ πλείω τῶν τριῶν τούτων. τίνες ἂν οὖν εἶεν φύσεις παρ᾽ αὐτάς; τῆς τε γὰρ λεχθείσης οὕτως ἔχειν ἀρχῆς τῆς πάντων οὐδεὶς ἂν εὕροι ἁπλουστέραν οὐδὲ ἐπαναβεβηκυῖαν ἡντιναοῦν. — οὐδ᾽ ἐπινοεῖν τὸν μέν τινα νοῦν ἐν ἡσυχίᾳ τινί, τὸν δὲ οἷον κινούμενον. — οὐ μὴν οὐδὲ διὰ τοῦτο πλείους νοῦς ποιεῖν, εἰ ὁ μὲν νοεῖ ὁ δὲ νοεῖ ὅτι νοεῖ. καὶ γὰρ εἰ ἄλλο τὸ ἐν τούτοις νοεῖν, ἄλλο δὲ τὸ* principia rerum quot sint

---

1) *συνεῖναι* RP: *συνιέναι* libri. — 2) *ἐν τοῖς πᾶσι — ἄλλο τι* eiecit Müller.

νοεῖν ὅτι νοεῖ, ἀλλ' οὖν μία προσβολὴ οὐκ ἀναίσθητος τῶν ἐνεργημάτων ἑαυτῆς· γελοῖον γὰρ ἐπὶ τοῦ ἀληθινοῦ νοῦ τοῦτο ὑπολαμβάνειν, ἀλλὰ πάντως γε ὁ αὐτὸς ἔσται ⟨τῷ⟩[1] *ὅσπερ ἐνόει*[2] *ὁ νοῶν ὅτι νοεῖ. — τὸν δὲ λόγον ὅντιν' ἄν τις ἀπὸ τοῦ νοῦ ποιῇ, εἶτα ἀπὸ τούτου γίνεσθαι ἐν ψυχῇ ἄλλον ἀπ' αὐτοῦ τοῦ λόγου, ἵνα μεταξὺ ψυχῆς καὶ νοῦ ᾖ οὗτος, ἀποστερήσει τὴν ψυχὴν τοῦ νοεῖν*[a]. — 2. *οὐ τοίνυν οὔτε πλείω τούτων οὔτε ἐπινοίας περιττὰς ἐν ἐκείνοις ἃς οὐ δέχονται θετέον, ἀλλ' ἕνα νοῦν τὸν αὐτὸν ὡσαύτως ἔχοντα, ἀκλινῆ πανταχῇ, μιμούμενον τὸν πατέρα καθ' ὅσον οἷόν τε αὐτῷ*[b].

a. Hoc eo pertinet quod animam esse statuit *λόγον* s. ideam *νοῦ*, Enn. III 2, 2 *τὸ γὰρ ἀπορρέον ἐκ νοῦ λόγος.* Ib. 6, 18 *ἡ μέν γε ψυχὴ τὰ τῶν ὄντων εἴδη ἔχουσα εἶδος οὖσα καὶ αὐτὴ ὁμοῦ πάντα ἔχει.* Quibus si anima ponitur esse una inter multas ideas intellectus, difficile est dispicere causam, cur unam tantummodo mundi animam esse statuerit. Sed vides eum non tam iis adversari qui substantias multiplicabant quam iis qui multiplicabant gradus in mundo intelligibili h. e. Gnosticis, adversus quos disputat toto libro nono Enneadis secundae.

b. Unus ille intellectus cum sit tam id quod intellegit quam id quod intellegitur (**RP** 512c), sequitur ut omnia intelligibilia ea contineantur h. e. ideae, quas cum Platone dicit; sed ad Philonis magis modum tanquam potestates intellectuales esse ponit: Enn. V 9, 8 *οὐχ ἑτέρα τοῦ νοῦ ἑκάστη ἰδέα, ἀλλ' ἑκάστη νοῦς. καὶ ὅλος μὲν ὁ νοῦς τὰ πάντα εἴδη, ἕκαστον δὲ εἶδος νοῦς ἕκαστος, ὡς ἡ ὅλη ἐπιστήμη τὰ πάντα θεωρήματα.* IV 8, 3 *ὄντος τοίνυν παντὸς νοῦ ἐν τῷ τῆς νοήσεως τόπῳ —, ὄντων δὲ καὶ τῶν ἐν τούτῳ περιεχομένων νοερῶν δυνάμεων καὶ νόων τῶν καθ' ἕκαστα· οὐ γὰρ εἷς νοῦς μόνος, ἀλλ' εἷς καὶ πολλοί· πολλὰς ἔδει καὶ ψυχὰς καὶ μίαν εἶναι.* Inde efficitur ut sit mundus intelligibilis, omnes ideas eorum quae in mundo sensibili exsistunt ita complexus, ut sint consummate pulchra atque perfecta et re vera unum: V 9, 9 *κόσμου δὴ τοῦδε ὄντος ζῴου περιεκτικοῦ ζῴων ἁπάντων καὶ παρ' ἄλλου ἔχοντος τὸ εἶναι καὶ τοιῷδε εἶναι, παρ' οὗ δέ ἐστιν εἰς νοῦν ἀναγομένου, ἀναγκαῖον καὶ ἐν νῷ τὸ ἀρχέτυπον πᾶν εἶναι καὶ κόσμον νοητὸν τοῦτον τὸν νοῦν εἶναι.* Cf. Enn. V 8, 4. 9 sq.; V 9, 10 sq.; VI 7, 9 sq.

[Margin: ideae; mundus intelligibilis]

c. Intelligibilia artissime conexa esse et ita comparata statuebat ut, cum anima ex intellectu penderet, his duobus principiis intercedentibus omnia a primo suspensa essent. Intellectus autem eo intellectus est, quod intuetur Unum: Enn. V 1, 7 *εἰκόνα δὲ ἐκείνου (τοῦ ἑνὸς) λέγομεν εἶναι τὸν νοῦν. — ἀλλ' οὐ νοῦς ἐκεῖνο. πῶς οὖν νοῦν γεννᾷ; ἢ ὅτι τῇ ἐπιστροφῇ πρὸς αὐτὸ ἑώρα, ἡ δὲ ὅρασις αὕτη νοῦς.* Anima est duplex,

[Margin: principiorum conexus]

1) *τῷ* add. Heigl. — 2) *ἐνόει* libri: *νοεῖ* Müller.

cum ita sit inter intellectum et naturam posita, ut et sursum et deorsum pertineat, cf. Enn. IV 8, 3 (**RP** 512 e); ib. 8 *πᾶσα γὰρ ψυχὴ ἔχει τι καὶ τοῦ κάτω πρὸς τὸ σῶμα καὶ τοῦ ἄνω πρὸς νοῦν.* Denique omnia conciliantibus illis referuntur ad primum principium: I 7, 2 *τὰ δ' ἄλλα πάντα πρὸς αὐτὸ (τὸ ἓν) πῶς; ἢ τὰ μὲν ἄψυχα πρὸς ψυχήν, ψυχὴ δὲ πρὸς αὐτὸ διὰ νοῦ.* IV 3, 12 *νοῦς δὲ πᾶς ἀεὶ ἄνω, — πέμπει εἰς τὰ τῇδε διὰ ψυχῆς. ψυχὴ δὴ — δίδωσι τοῖς ὑπ' αὐτήν.* Cf. V 5, 9 *πέφυκεν οὖν τὰ μὲν ὕστατα ἐν τοῖς πρὸ αὐτῶν ὑστάτοις, τὰ δ' ἐν πρώτοις ἐν τοῖς προτέροις, καὶ ἄλλο ἐν ἄλλῳ, ἕως εἰς πρῶτον ἀρχῆς. ἀρχὴ δέ, ἅτε μηδὲν ἔχουσα πρὸ αὐτῆς, οὐκ ἔχει ἐν ὅτῳ ἄλλῳ· μὴ ἔχουσα δ' ἐν ὅτῳ αὕτη τῶν ἄλλων ὄντων ἐν τοῖς πρὸ αὐτῶν τὰ ἄλλα περιείληφε πάντα αὐτή.* Ita omnia unum tenorem habent et, si primum principium respicias, ab uno pendent, quod propter id ipsum solet appellari bonum (sed cf. **RP** 514 a): Enn. I 7, 1 *τοῦτο δεῖ τἀγαθὸν τίθεσθαι, εἰς ὃ πάντα ἀνήρτηται, αὐτὸ δὲ εἰς μηδέν.* Ib. 8, 2. *ἔστι δὲ τοῦτο, εἰς ὃ πάντα ἀνήρτηται καὶ οὗ πάντα τὰ ὄντα ἐφίεται ἀρχὴν ἔχοντα αὐτὸ κἀκείνου δεόμενα. τὸ δ' ἐστὶν ἀνενδεές, ἱκανὸν ἑαυτῷ, μηδενὸς δεόμενον, μέτρον πάντων καὶ πέρας, δοὺς ἐξ αὐτοῦ νοῦν καὶ οὐσίαν καὶ ψυχὴν καὶ ζωὴν καὶ περὶ νοῦν ἐνέργειαν.* Quod quo pacto praesto sit omnibus et omnia ex eo exstiterint in eoque consistant, id multis ut assolet similitudinibus atque imaginibus persequitur, cf. Enn. III 8, 9; VI 4, 3. 7; 5, 12 *πάρεστιν οὖν πῶς; ὡς ζωὴ μία· οὐ γὰρ μέχρι τινὸς ἐν ζῴῳ ἡ ζωή, εἶτ' οὐ δύναται εἰς ἅπαν φθάσαι, ἀλλὰ πανταχοῦ. εἰ δέ τις ζητεῖ πάλιν πῶς, ἀναμνησθήτω τῆς δυνάμεως ὅτι μὴ ποσή, ἀλλ' εἰς ἄπειρον διαιρῶν τῇ διανοίᾳ ἀεὶ ἔχει δύναμιν τὴν αὐτὴν βυσσόθεν ἄπειρον.* Cf. **RP** 513 a extr.

516 A Enn. IV 4, 13. *Ἀλλὰ τί διοίσει τῆς λεγομένης φύσεως ἡ τοιαύτη φρόνησις; ἢ ὅτι ἡ μὲν φρόνησις πρῶτον, ἡ δὲ φύσις ἔσχατον· ἴνδαλμα γὰρ φρονήσεως ἡ φύσις καὶ ψυχῆς ἔσχατον ὂν ἔσχατον καὶ τὸν ἐν αὐτῇ ἐλλαμπόμενον λόγον ἔχει*[a]. — *ὅθεν οὐδὲ οἶδε, μόνον δὲ ποιεῖ*[b]· *ὃ γὰρ ἔχει τῷ ἐφεξῆς διδοῦσα ἀπροαιρέτως τὴν δόσιν τῷ σωματικῷ καὶ ὑλικῷ ποίησιν ἔχει.* **natura**

516 B Enn. III 2, 2. *Ὑφίσταται γοῦν ἐκ τοῦ κόσμου τοῦ ἀληθινοῦ ἐκείνου καὶ ἑνὸς κόσμος οὗτος, οὐχ εἷς ἀληθῶς· πολὺς γοῦν καὶ εἰς πλῆθος μεμερισμένος, καὶ ἄλλο ἀπ' ἄλλου ἀφεστηκὸς καὶ ἀλλότριον γεγενημένον. καὶ οὐκέτι φιλία μόνον, ἀλλὰ καὶ ἔχθρα τῇ διαστάσει, καὶ ἐν τῇ ἐλλείψει ἐξ ἀνάγκης πολέμιον ἄλλο ἄλλῳ. οὐ γὰρ ἀρκεῖ αὐτῷ τὸ μέρος, ἀλλὰ σῳζόμενον τῷ ἄλλῳ πολέμιόν ἐστι, ὑφ' οὗ σῴζεται. γέγονε δὲ οὐ λογισμῷ τοῦ δεῖν γενέσθαι, ἀλλὰ φύσεως δευ-* **rerum universum**

τέρας ἀνάγκῃ· οὐ γὰρ ἦν τοιοῦτον ἐκεῖνο οἷον ἔσχατον εἶναι τῶν ὄντων. πρῶτον γὰρ ἦν καὶ πολλὴν δύναμιν ἔχον καὶ πᾶσαν, καὶ ταύτην τοίνυν τὴν τοῦ ποιεῖν ἄλλο ἄνευ τοῦ ζητεῖν ποιῆσαι. ἤδη γὰρ ἂν αὐτόθεν οὐκ εἶχεν, εἰ ἐζήτει, οὐδ' ἂν ἦν ἐκ τῆς αὐτοῦ οὐσίας, ἀλλ' ἦν οἷον τεχνίτης ἀφ' αὐτοῦ τὸ ποιεῖν οὐκ ἔχων ἀλλ' ἐπακτόν, ἐκ τοῦ μαθεῖν λαβὼν τοῦτο. νοῦς τοίνυν δούς τι ἑαυτοῦ εἰς ὕλην[c] *ἀτρεμὴς καὶ ἥσυχος τὰ πάντα εἰργάζετο· οὗτος δὲ ὁ λόγος ἐκ νοῦ ῥυείς.*

a. *Ἡ φρόνησις* est anima ad intellectum vergens (**RP** 511; 515 c) sive prior quam dicit, opposita illi quae pertinet ad naturam et corpora: Enn. III 8, 4 *ἡ λεγομένη φύσις ψυχὴ οὖσα γέννημα ψυχῆς προτέρας δυνατώτερον ζώσης κτλ.*: quapropter alteram cum caelesti Venere comparat, alteram cum vulgari: III 5, 2. Ab anima posteriore natura efficitur eadem ratione, qua contemplatio transit in actionem: III 8, 4. Aliis locis sensum in animalibus et naturam in plantis ab anima in motum progressa effectam esse dicit: V 2, 1 *προελθοῦσα δὲ εἰς κίνησιν ἄλλην καὶ ἐναντίαν γεννᾷ εἴδωλον αὐτῆς αἴσθησιν καὶ φύσιν τὴν ἐν τοῖς φυτοῖς.* Multas animas ex una anima mundi procedere dicit IV 9, 4; cf. IV 8, 4.

b. In his Aristotelem sequitur, v. **RP** 326.

c. Similiter Enn. VI 4, 16 de anima: *ὥστε τὸ μὲν κατελθεῖν τὸ ἐν σώματι γενέσθαι, ὥς φαμεν ψυχὴν ἐν σώματι γενέσθαι τὸ τούτῳ δοῦναί τι παρ' αὐτῆς.* Nam in multitudinem rerum sensibilium ingressa dilabitur ac ita veluti separatur, ut pars eius deterior in mundum ingrediatur et deorsum ad materiam detrahatur: II 9, 2 *τὸ χεῖρον αὐτῆς καθελκυσθέν· — τὸ γὰρ πᾶν αὐτῆς οὐκ ἦν θέμις καθελκύσαι.* Cum corpore coniuncta detrahitur libertas, quoniam quicquid in agendo versatur, quamvis ratio superet, mixtum est: VI 8, 2 *ἐπεὶ καὶ τὸ ἐν πράξει πᾶν, κἂν κρατῇ ὁ λόγος, μικτὸν καὶ οὐ καθαρὸν δύναται τὸ ἐφ' ἡμῖν ἔχειν.*

malum Enn. I 8, 7. *Ἀλλὰ πῶς οὖν ἐξ ἀνάγκης, εἰ τὸ ἀγαθόν, καὶ τὸ κακόν; ἆρ' οὖν οὕτως, ὅτι ἐν τῷ παντὶ τὴν ὕλην εἶναι δεῖ; ἐξ ἐναντίων γὰρ ἐξ ἀνάγκης τόδε τὸ πᾶν· ἢ οὐδ' ἂν εἴη μὴ ὕλης οὔσης*[a]. *μεμιγμένη γὰρ οὖν δὴ ἡ τοῦδε τοῦ κόσμου φύσις ἔκ τε νοῦ καὶ ἀνάγκης. — εἰ δὴ οὕτως, ὀρθῶς ἂν λέγοιτο μὴ ἂν ἀπολέσθαι τὰ κακά*[b]. — *ἔστι δὲ τοῦ κακοῦ λαβεῖν καὶ οὕτω τὴν ἀνάγκην. ἐπεὶ γὰρ οὐ μόνον τὸ ἀγαθόν, ἀνάγκη τῇ ἐκβάσει τῇ παρ' αὐτὸ ἤ, εἰ οὕτω τις ἐθέλει λέγειν, τῇ ἀεὶ ὑποβάσει καὶ ἀποστάσει τὸ ἔσχατον καὶ μεθ' ὃ οὐκ ἦν ἔτι γενέσθαι ὁτιοῦν· τοῦτο εἶναι τὸ κακόν. ἐξ* 517

ἀνάγκης δὲ εἶναι τὸ μετὰ τὸ πρῶτον, ὥστε καὶ τὸ ἔσχατον· τοῦτο δὲ ἡ ὕλη μηδὲν ἔτι ἔχουσα αὐτοῦ. καὶ αὕτη ἡ ἀνάγκη τοῦ κακοῦ.

a. Materiam nihili esse longe vehementius quam Plato contendit. Nam Plotino est illa non solum τὸ ἕτερον τοῦ ὄντος, sed etiam id quod nihil veri ac boni habet: Enn. I 8, 3 μὴ ὂν δὲ οὔ τι τὸ παντελῶς μὴ ὄν, ἀλλ' ἕτερον μόνον τοῦ ὄντος, οὐχ οὕτω δὲ μὴ ὄν, ὡς κίνησις καὶ στάσις ἡ περὶ τὸ ὄν, ἀλλ' ὡς εἰκὼν τοῦ ὄντος ἢ καὶ ἔτι μᾶλλον μὴ ὄν. Ib. 5 τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ οὐ κακόν· δύναται γὰρ καὶ τέλειον εἶναι ὡς πρὸς φύσιν τὴν αὐτοῦ. ἀλλ' ὅταν παντελῶς ἐλλείπῃ, ὅπερ ἐστὶν ἡ ὕλη, τοῦτο τὸ ὄντως κακὸν μηδεμίαν ἔχον ἀγαθοῦ μοῖραν. οὐδὲ γὰρ τὸ εἶναι ἔχει ἡ ὕλη, ἵνα ἀγαθοῦ ταύτῃ μετεῖχεν, ἀλλ' ὁμώνυμον αὐτῇ τὸ εἶναι, ὡς ἀληθὲς εἶναι λέγειν αὐτὸ μὴ εἶναι. III 6, 7 οὔτε δύναμις (ἡ ὕλη ἐστίν). — μὴ ὂν δ' ἂν εἰκότως λέγοιτο καὶ οὐχ ὥσπερ κίνησις μὴ ὂν ἢ στάσις μὴ ὄν, ἀλλὰ ἀληθινῶς μὴ ὄν. Sequeretur enim ex principiis Plotini ut, in quacunque re esset aliquid sive non ens sive deficiens, ei etiam materiae aliquid admixtum esset: id quod etiam in animam atque in intellectum cadere videtur. Quod cum nolit concedere, Plotinus malum negat in defectu ponendum esse; posse etiam quod perfectum sit defectum aliquem habere. materia

b. Cf. Plat. Theaet. 176 A, RP 271.

518 Enn. IV 3, 9. Ἐπεὶ οὐκ ἦν ὅτε οὐκ ἐψύχωτο τόδε τὸ πᾶν, οὐδὲ ἦν ὅτε σῶμα ὑφειστήκει ψυχῆς ἀπούσης, οὐδὲ ὕλη ποτὲ ὅτ' ἀκόσμητος ἦν[a]· ἀλλ' ἐπινοῆσαι ταῦτα χωρίζοντας αὐτὰ ἀπ' ἀλλήλων τῷ λόγῳ οἷόν τε. ἔξεστι γὰρ ἀναλύειν τῷ λόγῳ καὶ τῇ διανοίᾳ πᾶσαν σύνθεσιν. ἐπεὶ τό γε ἀληθὲς ὧδε ἔχει· σώματος μὲν μὴ ὄντος οὐδ' ἂν προέλθοι ψυχή, ἐπεὶ οὐδὲ τόπος ἄλλος ἔστιν ὅπου πέφυκεν εἶναι. προϊέναι δὲ εἰ μέλλοι, γεννήσει ἑαυτῇ τόπον, ὥστε καὶ σῶμα. τῆς δὴ στάσεως αὐτῆς ἐν αὐτῇ τῇ στάσει οἱονεὶ ῥωννυμένης οἷον πολὺ φῶς ἐκλάμψαν ἐπ' ἄκροις τοῖς ἐσχάτοις τοῦ πυρὸς σκότος[b] ἐγίγνετο· ὅπερ ἰδοῦσα ἡ ψυχή, ἐπείπερ ὑπέστη, ἐμόρφωσεν αὐτό. οὐ γὰρ ἦν θεμιτὸν γειτονοῦντι αὐτῇ λόγου ἄμοιρον εἶναι, οἷον ἐδέχετο τὸ λεγόμενον ἀμυδρὸν ἐν ἀμυδρῷ, τῷ γενομένῳ[c], γενόμενος δὴ οἷον οἶκός τις καλὸς καὶ ποικίλος οὐκ ἀπετμήθη τοῦ πεποιηκότος οὐδ' αὖ ἐκοίνωσεν αὐτὸν αὐτῷ, ἀλλὰ πανταχοῦ πᾶς ἄξιος ἐπιμελείας νομισθείς, ὠφελίμου μὲν ἑαυτῷ τῷ εἶναι καὶ τῷ καλῷ, ὅσον δὴ τοῦ εἶναι δυνατὸν ἦν αὐτῷ μεταλαμβάνειν, ἀβλαβοῦς δὲ τῷ ἐφεστηκότι· ἄνω γὰρ μένων ἐπιστατεῖ[d]· ἔμψυχος τῷ τοιούτῳ animae cum corpore coniunctio

τρόπῳ, ἔχων ψυχὴν οὐχ αὑτοῦ ἀλλ' αὐτῷ, κρατούμενος οὐ κρατῶν, καὶ ἐχόμενος ἀλλ' οὐκ ἔχων. κεῖται γὰρ ἐν τῇ ψυχῇ ἀνεχούσῃ αὐτόν, καὶ οὐδὲν ἄμοιρόν ἐστιν αὐτῆς[e], *ὡς ἂν ἐν ὕδασι δίκτυον τεγγόμενον ζῴη, οὐ δυνάμενον δὲ αὑτοῦ ποιεῖσθαι ἐν ᾧ ἐστιν. ἀλλὰ τὸ μὲν δίκτυον ἐκτεινομένης ἤδη τῆς θαλάσσης συνεκτέταται ὅσον αὐτὸ δύναται· οὐ γὰρ δύναται ἀλλαχόθι ἕκαστον τῶν μορίων ἢ ὅπου κεῖται εἶναι. ἡ δὲ τοσαύτη ἐστὶ τὴν φύσιν, ὅτι μὴ τοσήδε, ὥστε πᾶν τὸ σῶμα καταλαμβάνειν τῷ αὐτῷ, καὶ ὅπου ἂν ἐκταθῇ ἐκεῖνο, ἐκεῖ ἐστι*[f].

a. Censet mundum sempiternum esse neque unquam interire, propterea quod res nunquam non procedant ex principiis istis quae statuebat aeternis: Enn. II 1, 1 sq.; III 2, 1; IV 8, 6.

b. **Materia** etiam alibi cum caligine comparatur velut Enn. I 8, 4 (*ἡ ψυχὴ*) *σκότον ὁρᾷ καὶ ἔχει ἤδη ὕλην.* Ib. 5 *ἔλλειψις τοῦ ἀγαθοῦ αἰτία τοῦ ὁρᾶν καὶ συνεῖναι τῷ σκότει.*

c. Verba implicatiora. Videtur haec dicere: nefas erat corpus animae vicinum rationis expers esse: quod si esset tale, esset, quod in proverbium abiit, obscurum in obscuro i. e. caeca anima in corpore caeco.

d. Significatur anima illa prior, quae ad intellectum vergit, RP 515 c; 516 a. Quamquam aliis locis animam creatricem lapsam esse omnino negat velut Enn. II 9, 4 *ἡμεῖς δὲ οὐ νεῦσίν φαμεν* (*τῆς ψυχῆς*) *τὴν ποιοῦσαν* (*τὸν κόσμον*), *ἀλλὰ μᾶλλον μὴ νεῦσιν. εἰ δὲ ἔνευσε, τῷ ἐπιλελῆσθαι δηλονότι τῶν ἐκεῖ· εἰ δὲ ἐπελάθετο, πῶς δημιουργεῖ; πόθεν γὰρ ποιεῖ ἢ ἐξ ὧν εἶδεν ἐκεῖ; εἰ δὲ ἐκείνων μεμνημένη ποιεῖ, οὐδὲ ὅλως ἔνευσεν.* Cf. 511 e fin.

mundi pulchritudo

e. Nam quaecunque sunt in hoc mundo, animam habent et vim vitalem et sunt velut imagines eorum, quae vigent aeterna in mundo illo intelligibili: Enn. VI 7, 11. Sed etiam hic mundus pulcherrimus est neque vituperari potest nisi a stultis: II 9, 4 *οὐδὲ τὸ κακῶς γεγονέναι τόνδε τὸν κόσμον δοτέον τῷ πολλὰ εἶναι ἐν αὐτῷ δυσχερῆ· τοῦτο γὰρ ἀξίωμα μεῖζόν ἐστι περιτιθέντων αὐτῷ, εἰ ἀξιοῦσι τὸν αὐτὸν εἶναι τῷ νοητῷ, ἀλλὰ μὴ εἰκόνα ἐκείνου.* Ipsum malum, quod in mundo est, bono inservit: Enn. III 2, 5 *ἡ δὲ κακία εἰργάσατό τι χρήσιμον εἰς τὸ ὅλον παράδειγμα δίκης γενομένη καὶ πολλὰ ἐξ αὑτῆς χρήσιμα παρασχομένη. — τοῦτο δὲ δυνάμεως μεγίστης καλῶς καὶ τοῖς κακοῖς χρῆσθαι δύνασθαι.*

mundus animal

f. Nam mundus tanquam animal est, quod totum vivit et omnibus membris in unum vitae finem ac sensum conspirat, cf. Enn. IV 4, 32 *πρῶτον τοίνυν θετέον ζῷον ἓν πάντα τὰ ζῷα τὰ ἐντὸς αὑτοῦ περιέχον τόδε τὸ πᾶν εἶναι, ψυχὴν μίαν ἔχον εἰς πάντα αὐτοῦ μέρη. — συμ-*

παθὲς δὴ πᾶν τοῦτο ἓν καὶ ὡς ζῷον ἕν, καὶ τὸ πόρρω δὴ ἐγγύς. Ib. 36 *ποικιλώτατον γὰρ τὸ πᾶν καὶ λόγοι πάντες ἐν αὐτῷ καὶ δυνάμεις ἄπειροι καὶ ποικίλαι.* Ib. 45 *ὡς ἕκαστον τῶν ἐν τῷ παντὶ ἔχει φύσεως καὶ διαθέσεως, οὕτω τοι συντελεῖ εἰς τὸ πᾶν καὶ πάσχει καὶ ποιεῖ.* Ad hunc mundi partium consensum atque concordiam referendum est, quod tantum patrocinatur cultui statuarum et artibus magicis, v. Enn. IV 3, 11; 4, 26 sq.

519 Enn. IV 3, 15. *Ἴασι δὲ (ψυχαὶ) ἐκκύψασαι τοῦ νοητοῦ εἰς οὐρανὸν μὲν πρῶτον, καὶ σῶμα ἐκεῖ προσλαβοῦσαι δι᾽ αὐτοῦ ἤδη χωροῦσι καὶ ἐπὶ τὰ γεωδέστερα σώματα, εἰς ὅσον ἂν εἰς μῆκος ἐκταθῶσι, καὶ αἱ μὲν ἀπ᾽ οὐρανοῦ εἰς σώματα τὰ κατωτέρω, αἱ δὲ ἀπ᾽ ἄλλων εἰς ἄλλα εἰσκρινόμεναι, αἷς ἡ δύναμις οὐκ ἤρκεσεν ἆραι ἐντεῦθεν διὰ βάρυνσιν καὶ λήθην πολὺ ἐφελκομέναις ὃ αὐταῖς ἐβαρύνθη*[a]. Ib. 17. *Ὅτι δὲ ἐκ τοῦ νοητοῦ εἰς τὴν οὐρανοῦ ἴασιν αἱ ψυχαὶ τὸ πρῶτον χώραν, λογίσαιτο ἄν τις ἐκ τῶν τοιούτων. εἰ γὰρ οὐρανὸς ἐν τῷ αἰσθητῷ τόπῳ ἀμείνων, εἴη ἂν προσεχὴς τῶν νοητῶν τοῖς ἐσχάτοις· ἐκεῖθεν τοίνυν ψυχοῦται ταῦτα πρῶτα καὶ μεταλαμβάνει ὡς ἐπιτηδειότερα μεταλαμβάνειν· τὸ δὲ γεηρὸν ὕστατόν τε καὶ ψυχῆς ἧττον πεφυκὸς μεταλαμβάνειν καὶ τῆς ἀσωμάτου φύσεως πόρρω. πᾶσαι μὲν δὴ καταλάμπουσι τὸν οὐρανὸν καὶ διδόασιν οἷον τὸ πολὺ αὐτῶν καὶ τὸ πρῶτον ἐκείνῳ*[b], *τὰ δὲ ἄλλα τοῖς ὑστέροις ἐναυγάζονται. αἱ δ᾽ ἐπὶ πλέον κατιοῦσαι ἐναυγάζουσι μᾶλλον κάτω, αὐταῖς δὲ οὐκ ἄμεινον εἰς πολὺ προϊούσαις*[c]. animarum descensus

a. Ipsum descensum animarum modo inde explicat, quod et anima requirat materiam et materia animam (Enn. I 8, 14; IV 8, 7), modo inde, quod fato ita praestitutum sit, ut suam quaeque anima naturam suumque arbitrium sequatur: IV 3, 13 *τὸ γὰρ ἀναπόδραστον καὶ ἡ δίκη οὕτως ἐν φύσει κρατούσῃ ἰέναι ἕκαστον ἐν τάξει πρὸς ὃ ἐστιν ἕκαστον γενόμενον εἴδωλον προαιρέσεως καὶ διαθέσεως ἀρχετύπου,* cf. III 2, 12 sq.; IV 4, 45. Accedit oblivio illa primi principii et audacia atque licentia, RP 509.

b. Cf. Enn. V 1, 2 *ψυχὴ ἐλθοῦσα εἰς σῶμα οὐρανοῦ ἔδωκε μὲν ζωήν, ἔδωκε δὲ ἀθανασίαν, ἤγειρε δὲ κείμενον. ὁ δὲ κινηθεὶς κίνησιν ἀΐδιον ὑπὸ ψυχῆς ἐμφρόνως ἀγούσης ζῷον εὔδαιμον ἐγένετο.* Totum caelum est deus itemque sol et sidera, qui sunt di secundi ordinis; nam statuit praeter summum deum h. e. Unum tres deorum ordines esse, primum intellectus et potestatum intellectualium (RP 515 b; Enn. II 9, 9; V 5, 3; V 8, 3 sq.), secundum corporum caelestium, tertiam daemonum qui vocantur, qui sunt medii inter terram et lunam, inter deos et ho-

mines (III 5, 6; V 8, 3). Astrologorum opiniones quamquam impugnat, tamen concedit significationes stellarum fieri, propter mirabilem rerum omnium in mundo copulationem: Enn. II 3, 7 *ἔστω τοίνυν ὥσπερ γράμματα ἐν οὐρανῷ γραφόμενα ἀεὶ ἢ γεγραμμένα καὶ κινούμενα, ποιοῦντα μέντοι ἔργον καὶ ἄλλο, ἐπακολουθείτω δὲ τῷδε ἡ παρ' αὐτῶν σημασία* cf. III 1, 6; IV 3, 12; **RP** 515 c.

hominum origo

c. Enn. VI 4, 14 *ἡμεῖς δέ, τίνες δὲ ἡμεῖς; — ἢ καὶ πρὸ τοῦ ταύτην τὴν γένεσιν γενέσθαι ἦμεν ἐκεῖ ἄνθρωποι ἄλλοι ὄντες καί τινες καὶ θεοί, ψυχαὶ καθαραὶ καὶ νοῦς συνημμένος τῇ ἁπάσῃ οὐσίᾳ, μέρη ὄντες τοῦ νοητοῦ οὐκ ἀφωρισμένα οὐδ' ἀποτετμημένα, ἀλλ' ὄντες τοῦ ὅλου.* Enn. IV 3, 12 *ἀνθρώπων δὲ ψυχαὶ — ἐκεῖ ἐγένοντο ἄνωθεν ὁρμηθεῖσαι, οὐκ ἀποτμηθεῖσαι οὐδ' αὗται τῆς ἑαυτῶν ἀρχῆς τε καὶ νοῦ· οὐ γὰρ μετὰ τοῦ νοῦ ἦλθον, ἀλλ' ἔφθασαν μὲν μέχρι γῆς, κάρα δὲ αὐταῖς ἐστήρικται ὑπεράνω τοῦ οὐρανοῦ.* Cf. IV 4, 1 sq.; 8, 4 sq.

vera hominis natura

Enn. I 1, 10. *Ἀλλ' εἰ ἡμεῖς ἡ ψυχή, πάσχομεν δὲ ταῦτα* 520
(τὰ παθήματα), ἡμεῖς, ταῦτα ἂν εἴη πάσχουσα ἡ ψυχὴ καὶ αὖ ποιήσει ἃ ποιοῦμεν. ἢ καὶ τὸ κοινὸν ἔφαμεν ἡμῶν εἶναι καὶ μάλιστα οὔπω κεχωρισμένων[a]*· ἐπεὶ καὶ ἃ πάσχει τὸ σῶμα ἡμῶν ἡμᾶς φαμεν πάσχειν. διττὸν οὖν τὸ ἡμεῖς, ἢ συναριθμουμένου τοῦ θηρίου ἢ τὸ ὑπὲρ τοῦτο ἤδη· θηρίον δὲ ζωωθὲν τὸ σῶμα. ὁ δ' ἀληθὴς ἄνθρωπος ἄλλος ὁ καθαρὸς τούτων τὰς ἀρετὰς ἔχων τὰς ἐν νοήσει, αἳ δὴ ἐν αὐτῇ τῇ χωριζομένῃ ψυχῇ ἵδρυνται, χωριζομένῃ δὲ καὶ χωριστῇ ἔτι ἐνταῦθα οὔσῃ· ἐπεὶ καί, ὅταν αὕτη παντάπασιν ἀποστῇ, καὶ ἡ ἀπ' αὐτῆς ἐλλαμφθεῖσα ἀπελήλυθε συνεπομένη. αἱ δ' ἀρεταὶ αἱ μὴ φρονήσει, ἔθεσι δὲ ἐγγινόμεναι καὶ ἀσκήσεσι, τοῦ κοινοῦ*[b]*· τούτου γὰρ αἱ κακίαι, ἐπεὶ καὶ φθόνοι καὶ ζῆλοι καὶ ἔλεοι*[c].

a. Post mortem animae, ut quaeque et studio fertur et meruit vita ante acta, ita aut sursum in caelum et ad sidera vel in ipsum mundum intellegibilem tolluntur aut in alia hominum corpora transeunt aut etiam altius in materiam deprimuntur, ut vel inter bruta animalia aut plantas vivere pergant, v. Enn. III 4, 2 sq.; I, 8, 13; III 2, 13; IV 3, 24.

b. *Τὸ κοινὸν* s. *τὸ συναμφότερον* est illud quod ex anima et corpore compositum est. Veram illam animam atque separabilem omnino non esse in corpore neque corpore contineri censet, sed corpus potius inesse atque contineri illa, cf. Enn. I 1, 7 sq.; IV 3, 20—23, ubi cum alia dicit tum haec (22): *ἆρ' οὖν οὕτω φατέον, ὅταν ψυχὴ σώματι παρῇ, παρεῖναι αὐτὴν ὡς τὸ πῦρ πάρεστι τῷ ἀέρι; καὶ γὰρ αὖ καὶ τοῦτο παρὸν οὐ πάρεστι καὶ δι' ὅλου παρὸν οὐδενὶ μίγνυται καὶ ἕστηκε μὲν*

αὐτό, ὁ δὲ παραρρεῖ· — ὥστε ὀρθῶς ἔχειν καὶ ἐνταῦθα λέγειν ὡς ὁ ἀὴρ ἐν τῷ φωτὶ ἤπερ τὸ φῶς ἐν τῷ ἀέρι.

c. Vera igitur substantia hominis est anima superior illa, quae mundi intelligibilis pars est ex eoque oriunda: **RP** 519 c; Enn. I 1, 7 ἡμεῖς δὲ τὸ ἐντεῦθεν (ἀπὸ τῶν νοητῶν) ἄνω ἐφεστηκότες τῷ ζῴῳ· — τὸ δὲ ἐντεῦθεν ὁ ἄνθρωπος ὁ ἀληθὴς σχεδόν· ἐκεῖνα δὲ τὸ λεοντῶδες καὶ τὸ ποικίλον ὅλως θηρίον (Plat. Rep. IX 588 C); adde II 1, 5; IV 7, 12; VI 7, 5 οὐ γὰρ ἐξίσταται τοῦ νοητοῦ (ἡ θειοτέρα ψυχή), ἀλλὰ συναψαμένη οἷον ἐκκρεμαμένην ἔχει τὴν κάτω (animam inferiorem, cum corpore mixtam) συμμίξασα ἑαυτὴν λόγῳ πρὸς λόγον. Sequitur ut sensuum perceptiones et animi perturbationes non pertineant ad verum hominem, sed ad corpus vel mixtum illud ex anima et corpore: Enn. I 1, 7; IV 4, 18 καὶ τὸ ἀλγεῖν καὶ τὸ ἥδεσθαι δὲ τὰς τοῦ σώματος ἡδονὰς περὶ τὸ τοιόνδε σῶμά ἐστιν· ἡμῖν δὲ ἡ τούτου ἀλγηδὼν καὶ ἡ τοιαύτη ἡδονὴ εἰς γνῶσιν ἀπαθῆ ἔρχεται. λέγω δὲ ἡμῖν — κατὰ τὸ κύριον. Ib. 6, 1 sq. Eodem pertinent virtutes αἱ μὴ φρονήσει (i. e. morales, cf. **RP** 521 c) itemque vitia et peccata (αἱ κακίαι), quibus et ipsis anima non superior, sed inferior duntaxat afficitur, cf. Enn. I 1, 11; 12 ἀλλ' εἰ ἀναμάρτητος ἡ ψυχή, πῶς αἱ δίκαι; ἀλλὰ γὰρ οὗτος ὁ λόγος ἀσυμφωνεῖ παντὶ λόγῳ, ὅς φησιν αὐτὴν καὶ ἁμαρτάνειν καὶ κατορθοῦν καὶ διδόναι δίκας καὶ ἐν ᾅδου καὶ μετενσωματοῦσθαι. προσθετέον μὲν οὖν ὅτῳ τις βούλεται λόγῳ· τάχα δ' ἄν τις ἐξεύροι καὶ ὅπῃ μὴ μαχοῦνται. ὁ μὲν γὰρ τὸ ἀναμάρτητον διδοὺς τῇ ψυχῇ λόγος ἓν ἁπλοῦν πάντῃ ἐτίθετο τὸ αὐτὸ ψυχὴν καὶ τὸ ψυχῇ εἶναι λέγων, ὁ δ' ἁμαρτεῖν διδοὺς συμπλέκει μὲν καὶ προστίθησιν αὐτῇ καὶ ἄλλο ψυχῆς εἶδος τὸ τὰ δεινὰ ἔχον πάθη. Contra vera virtus non cernitur nisi in vera hominis substantia: Enn. I 4, 14 τὸ δὲ μὴ συναμφότερον εἶναι τὸν ἄνθρωπον καὶ μάλιστα τὸν σπουδαῖον μαρτυρεῖ καὶ ὁ χωρισμὸς ὁ ἀπὸ τοῦ σώματος καὶ ἡ τῶν λεγομένων ἀγαθῶν τοῦ σώματος καταφρόνησις, nam vera anima sive verus homo a corpore solvitur aut morte aut philosophando, cf. Porphyr. Sentent. 9 ὁ γοῦν θάνατος διπλοῦς κτλ. Denique omnis huius vitae afflictatio omnesque rerum vicissitudines non pertinent nisi ad eum qui inferioribus illis atque externis nimium tribuit: Enn. III 2, 15 ὥσπερ δὲ ἐπὶ τῶν θεάτρων ταῖς σκηναῖς, οὕτω χρὴ καὶ τοὺς φόνους θεᾶσθαι καὶ πάντας θανάτους καὶ πόλεων ἁλώσεις καὶ ἁρπαγάς, μεταθέσεις πάντα καὶ μετασχηματίσεις καὶ θρήνων καὶ οἰμωγῶν ὑποκρίσεις· καὶ γὰρ ἐνταῦθα ἐπὶ τῶν ἐν τῷ βίῳ ἑκάστων οὐχ ἡ ἔνδον ψυχή, ἀλλ' ἡ ἔξω ἀνθρώπου σκιὰ καὶ οἰμώζει καὶ ὀδύρεται καὶ πάντα ποιεῖ ἐν σκηνῇ τῇ ὅλῃ γῇ πολλαχοῦ σκηνὰς ποιησαμένων. τοιαῦτα γὰρ ἔργα ἀνθρώπου τὰ κάτω καὶ τὰ ἔξω μόνα ζῆν εἰδότος καὶ ἐν δακρύοις καὶ σπουδαίοις ὅτι παίζων ἐστὶν ἠγνοηκότος. μόνῳ γὰρ τῷ σπουδαίῳ σπουδαστέον ἐν σπουδαίοις τοῖς ἔργοις, ὁ δ' ἄλλος ἄνθρωπος παίγνιον. Cf. quae de vera felicitate disputantur I 4, 1—10. **anima duplex**

521 A Enn. I 2, 3. Λέγων δὴ ὁ Πλάτων τὴν ὁμοίωσιν τὴν πρὸς τὸν θεὸν φυγὴν τῶν ἐντεῦθεν εἶναι[a] καὶ ταῖς ἀρεταῖς **virtutum genera**

ταῖς ἐν πολιτείᾳ οὐ τὸ ἁπλῶς διδούς, ἀλλὰ προστιθεὶς πολιτικάς γε, καὶ ἀλλαχοῦ καθάρσεις λέγων ἁπάσας[b] δῆλός τέ ἐστι διττὰς τιθεὶς καὶ τὴν ὁμοίωσιν οὐ κατὰ τὴν πολιτικὴν τιθείς. πῶς οὖν λέγομεν ταύτας καθάρσεις καὶ πῶς καθαρθέντες μάλιστα ὁμοιούμεθα; ἢ ἐπειδὴ κακὴ μέν ἐστιν ἡ ψυχὴ συμπεφυρμένη τῷ σώματι καὶ ὁμοπαθὴς γινομένη αὐτῷ καὶ πάντα συνδοξάζουσα, εἴη ἂν ἀγαθὴ καὶ ἀρετὴν ἔχουσα, εἰ μήτε συνδοξάζοι, ἀλλὰ μόνη ἐνεργοῖ· ὅπερ ἐστὶ νοεῖν τε καὶ φρονεῖν· μήτε ὁμοιοπαθὴς εἴη· ὅπερ ἐστὶ σωφρονεῖν· μήτε φοβοῖτο ἀφισταμένη τοῦ σώματος· ὅπερ ἐστὶν ἀνδρίζεσθαι· ἡγοῖτο δὲ λόγος καὶ νοῦς, τὰ δὲ μὴ ἀντιτείνοι· δικαιοσύνη δ᾽ ἂν εἴη τοῦτο. τὴν δὴ τοιαύτην διάθεσιν τῆς ψυχῆς, καθ᾽ ἣν νοεῖ τε καὶ ἀπαθὴς οὕτως ἐστίν, εἴ τις ὁμοίωσιν λέγοι πρὸς θεόν, οὐκ ἂν ἁμαρτάνοι· καθαρὸν γὰρ καὶ τὸ θεῖον καὶ ἡ ἐνέργεια τοιαύτη, ὡς τὸ μιμούμενον ἔχειν φρόνησιν[c].

animae seclusio — Enn. V 3, 9. Ψυχὴν οὖν, ὡς ἔοικε, καὶ τὸ ψυχῆς θειότατον κατιδεῖν δεῖ τὸν μέλλοντα νοῦν εἴσεσθαι ὅ τι ἐστί. 521 B
γένοιτο δ᾽ ἂν τοῦτο ἴσως καὶ ταύτῃ, εἰ ἀφέλοις πρῶτον τὸ σῶμα ἀπὸ τοῦ ἀνθρώπου καὶ δηλονότι σαυτοῦ, εἶτα καὶ τὴν πλάττουσαν τοῦτο ψυχήν, καὶ τὴν αἴσθησιν δὲ εὖ μάλα, ἐπιθυμίας δὲ καὶ θυμοὺς καὶ τὰς ἄλλας τὰς τοιαύτας φλυαρίας, ὡς πρὸς τὸ θνητὸν νευούσας, καὶ πάνυ. τὸ δὴ λοιπὸν αὐτῆς τοῦτό ἐστιν, ὃ εἰκόνα ἔφαμεν νοῦ σῴζουσάν τι φῶς ἐκείνου[d].

a. Cf. Plat. Theaet. 176 A RP 271.

b. Cf. Phaed. 69 B; 82 A RP 246 b fin.

c. Vides omnes virtutes revocari ad illam quam ipse dicit *κάθαρσιν*, qua anima rationalis separatur a corpore et ab anima cum corpore mixta: Enn. I 6, 6 *ἔστι γὰρ δή, ὡς ὁ παλαιὸς λόγος, καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία καὶ πᾶσα ἀρετὴ κάθαρσις καὶ ἡ φρόνησις αὐτή. — ἡ δὲ φρόνησις νόησις ἐν ἀποστροφῇ τῶν κάτω, πρὸς δὲ τὰ ἄνω τὴν ψυχὴν ἄγουσα.* Falluntur igitur qui in agendo et in moralibus virtutibus consummatam felicitatem quaerunt, cum omnis actio pertineat ad externa et ad vitam mixtam, cf. I 1, 10 (RP 520); ib. 5, 10 *τὸ δὲ ἐν ταῖς πράξεσι τὸ εὐδαιμονεῖν τίθεσθαι ἐν τοῖς ἔξω τῆς ἀρετῆς καὶ τῆς ψυχῆς ἐστι τιθέντος· ἡ γὰρ ἐνέργεια τῆς ψυχῆς ἐν τῷ φρονῆσαι καὶ ἐν ἑαυτῇ ὡδὶ ἐνεργῆσαι· καὶ τοῦτο τὸ εὐδαιμόνως.* Cf. RP 512 e et I 1, 12, ubi Homerum dicit recte finxisse ipsum Herculem inter deos versari, simulacrum eius apud inferos esse: *ὅτι δὴ πρακτικὴν ἀρετὴν ἔχων Ἡρακλῆς καὶ ἀξιωθεὶς διὰ καλοκἀγαθίαν θεὸς εἶναι, ὅτι πρακτικὸς ἀλλ᾽ οὐ*

θεωρητικὸς ἦν, ἵνα ἂν ὅλος ᾖ ἐκεῖ, ἄνω τέ ἐστι καὶ ἔτι ἐστί τι αὐτοῦ καὶ κάτω.

d. Cf. Enn. V 3, 7. Sed agendum est ut non solum missum faciamus malum, sed etiam ut adquiramus bonum: Enn. I 2, 6 *ἀλλ' ἡ σπουδὴ οὐκ ἔξω ἁμαρτίας εἶναι, ἀλλὰ θεὸν εἶναι.* Quamquam si modo malum propulerimus, bonum sponte nobis conciliabitur: Enn. V 3, 6 *καὶ γὰρ καὶ ἕως ἦμεν ἄνω ἐν νοῦ φύσει, ἠρκούμεθα καὶ ἐνοοῦμεν καὶ εἰς ἓν πάντα συνάγοντες ἑωρῶμεν· νοῦς γὰρ ἦν ὁ νοῶν καὶ περὶ αὐτοῦ λέγων, ἡ δὲ ψυχὴ ἡσυχίαν ἦγε συγχωροῦσα τῷ ἐνεργήματι τοῦ νοῦ.* Ib. 3 *τὸ γὰρ καθαρὸν τῆς ψυχῆς τοῦτο καὶ νοῦ δέχεται ἐπικείμενα ἴχνη. — ἀλλ' οὐ ψυχῆς μὲν φήσομεν (τοῦτο), ἡμέτερον δὲ νοῦν φήσομεν.* Ib. 8 *φῶς ἄρα φῶς ἄλλο ὁρᾷ· αὐτὸ ἄρα αὐτὸ ὁρᾷ. τὸ δὲ φῶς τοῦτο ἐν ψυχῇ μὲν ἐλλάμψαν ἐφώτισε, τοῦτο δ' ἐστὶ νοερὰν ἐποίησε.*

522 Enn. VI 9, 3. *Τί ἂν οὖν εἴη τὸ ἓν καὶ τίνα φύσιν ἔχον; ἢ οὐδὲν θαυμαστὸν μὴ ῥᾴδιον εἰπεῖν εἶναι, ὅπου μηδὲ τὸ ὂν ῥᾴδιον μηδὲ τὸ εἶδος, ἀλλ' ἔστιν ἡμῖν γνῶσις εἴδεσιν ἐπερειδομένη. ὅσῳ δ' ἂν εἰς ἀνείδεον ἡ ψυχὴ ἴῃ, ἐξαδυνατοῦσα περιλαβεῖν τῷ μὴ ὁρίζεσθαι καὶ οἷον τυποῦσθαι ὑπὸ ποικίλου τοῦ τυποῦντος ἐξολισθάνει καὶ φοβεῖται μὴ οὐδὲν ἔχῃ. διὸ κάμνει ἐν τοῖς τοιούτοις καὶ ἀσμένη καταβαίνει πολλάκις ἀποπίπτουσα ἀπὸ πάντων, μέχρις ἂν εἰς αἰσθητὸν ἥκῃ ἐν στερεῷ ὥσπερ ἀναπαυομένη, οἷον καὶ ἡ ὄψις κάμνουσα ἐν τοῖς μικροῖς τοῖς μεγάλοις ἀσμένως περιπίπτει. καθ' ἑαυτὴν δὲ ἡ ψυχὴ ὅταν ἰδεῖν ἐθέλῃ, μόνον*[1] *ὁρῶσα τῷ συνεῖναι καὶ ἓν οὖσα τῷ ἓν εἶναι αὐτῷ οὐκ οἴεταί πω ἔχειν ὃ ζητεῖ, ὅτι τοῦ νοουμένου μὴ ἕτερόν ἐστιν. ὅμως δὲ χρὴ οὕτω ποιεῖν τὸν μέλλοντα περὶ τὸ ἓν φιλοσοφήσειν.* — Ib. 4. *Γίνεται δὲ ἡ ἀπορία (περὶ τοῦ ἑνὸς) μάλιστα, ὅτι μηδὲ κατ' ἐπιστήμην ἡ σύνεσις ἐκείνου μηδὲ κατὰ νόησιν ὥσπερ τὰ ἄλλα νοητά, ἀλλὰ κατὰ παρουσίαν ἐπιστήμης κρείττονα. πάσχει δὲ ἡ ψυχὴ τοῦ ἓν εἶναι τὴν ἀπόστασιν καὶ οὐ πάντῃ ἐστὶν ἕν, ὅταν ἐπιστήμην του λαμβάνῃ· λόγος γὰρ ἡ ἐπιστήμη, πολλὰ δὲ ὁ λόγος. παρέρχεται οὖν τὸ ἓν εἰς ἀριθμὸν καὶ πλῆθος πεσοῦσα. ὑπὲρ ἐπιστήμην τοίνυν δεῖ δραμεῖν καὶ μηδαμῇ ἐκβαίνειν τοῦ ἓν εἶναι, ἀλλ' ἀποστῆναι δεῖ καὶ ἐπιστήμης καὶ ἐπιστητῶν καὶ παντὸς ἄλλου καὶ καλοῦ θεάματος. πᾶν γὰρ καλὸν ὕστερον ἐκείνου καὶ παρ' ἐκείνου, ὥσπερ πᾶν φῶς* contemplatio unius

1) *μόνον* Kirchhoff: *μόνην* libri.

μεθημερινὸν παρ᾽ ἡλίου. διὸ οὐδὲ ῥητὸν οὐδὲ γραπτόν φησιν[a]. ἀλλὰ λέγομεν καὶ γράφομεν πέμποντες εἰς αὐτὸ καὶ ἀνεγείροντες ἐκ τῶν λόγων ἐπὶ τὴν θέαν ὥσπερ ὁδὸν δεικνύντες τῷ τι θεάσασθαι βουλομένῳ. μέχρι γὰρ τῆς ὁδοῦ καὶ τῆς πορείας ἡ δίδαξις, ἡ δὲ θέα αὐτοῦ ἔργον ἤδη τοῦ ἰδεῖν βεβουλημένου. εἰ δὲ μὴ ἦλθέ τις ἐπὶ τὸ θέαμα, μηδὲ σύνεσιν ἔσχεν ἡ ψυχὴ τῆς ἐκεῖ ἀγλαΐας μηδὲ ἔπαθε μηδὲ ἔσχεν ἐν ἑαυτῷ οἷον ἐρωτικὸν πάθημα ἐκ τοῦ ἰδεῖν ἐραστοῦ ἐν ᾧ ἐρᾷ ἀναπαυσαμένου, δεξάμενος μὲν [1] φῶς ἀληθινὸν καὶ πᾶσαν τὴν ψυχὴν περιφωτίσας διὰ τὸ ἐγγυτέρω γεγονέναι, ἀναβεβηκὼς [2] δὲ ἔτι ὀπισθοβαρὴς ὑπάρχων, ἃ ἐμπόδια ἦν τῇ θέᾳ, καὶ οὐ μόνος ἀναβεβηκώς, ἀλλ᾽ ἔχων τὸ διεῖργον ἀπ᾽ αὐτοῦ, ἢ μήπω εἰς ἓν συναχθείς (οὐ γὰρ δὴ ἄπεστιν οὐδενὸς ἐκεῖνο καὶ πάντων δέ, ὥστε παρὸν μὴ παρεῖναι ἀλλ᾽ ἢ τοῖς δέχεσθαι δυναμένοις καὶ παρεσκευασμένοις, ὥστε ἐφαρμόσαι καὶ οἷον ἐφάψασθαι καὶ θιγεῖν ὁμοιότητι καὶ τῇ ἐν αὐτοῖς δυνάμει συγγενεῖ τῇ [3] ἀπ᾽ αὐτοῦ, ὅταν οὕτως ἔχῃ, ὡς εἶχεν ὅτε ἦλθεν ἀπ᾽ αὐτοῦ, ἤδη δύνασθαι [4] ἰδεῖν ὡς πέφυκεν ἐκεῖνος θεατὸς εἶναι)· εἰ οὖν μήπω ἐστὶν ἐκεῖ, ἀλλὰ διὰ ταῦτά ἐστιν ἔξω ἢ δι᾽ ἔνδειαν τοῦ παιδαγωγοῦντος λόγου καὶ πίστιν περὶ αὐτοῦ παρεχομένου, δι᾽ ἐκεῖνα μὲν αὐτὸν ἐν αἰτίᾳ τιθέσθω καὶ πειράσθω ἀποστὰς πάντων μόνος εἶναι.

a. Significatur Plato, cuius testimonia Plotinus nomine non addito proferre solet velut Enn. III 9, 1.

Si ad contemplationem Unius pervenimus, ipsius intellectus cogitationem contemnimus: Enn. VI 7, 35 *οὕτω δὲ διάκειται τότε, ὡς καὶ τοῦ νοεῖν καταφρονεῖν, ὃ τὸν ἄλλον χρόνον ἠσπάζετο, ὅτι τὸ νοεῖν κίνησίς τις ἦν.* Unum vero animus non contemplatur nisi intellectu: Enn. I 8, 2 *ἡ δὲ ἔξωθεν περὶ τοῦτον (τὸν νοῦν) χορεύουσα ψυχὴ περὶ αὐτὸν βλέπουσα καὶ τὸ εἴσω αὐτοῦ θεωμένη τὸν θεὸν δι᾽ αὐτοῦ βλέπει.* Sed quo modo nobis exsistat contemplatio, non potest describi: VI 8, 19 *οὐδ᾽ ἂν τολμήσειέ τις ἰδὼν ἔτι τὸ ὡς συνέβη λέγειν*, nisi quod qui contemplatur omnino patiens est *οἷον ὕλην ἑαυτὸν παρασχών*: Enn. IV 4, 2, cf. VI 7, 16. Ipsa contemplatio dicitur tanquam ebrietas animi esse: VI 7, 35 *μεθυσθεὶς τοῦ νέκταρος*, vel furor sive *ἔκστασις*: Enn. VI 9, 11 *ἁρπασθεὶς ἢ ἐνθουσιάσας — ἔκστασις καὶ ἅπλωσις*, vel correptio per deum: V 8, 10 *ὑπὸ θεοῦ κατασχεθεὶς φοιβόληπτος ἢ ὑπό τινος Μουσῆς.*

1) *δεξάμενος μὲν* Müller: *δεξάμενον δὲ* libri. — 2) *ἀναβεβηκὼς* Müller: *ἀναβεβηκέναι* libri. — 3) *τῇ* Müller: *τῷ* libri. — 4) *δύνασθαι* Müller: *δύναται* libri.

Animus tunc prorsus quiescit neque animus est neque vita neque intellectus, sed nihil nisi Unum: VI 7, 35 *διὸ οὐδὲ κινεῖται ἡ ψυχὴ τότε, ὅτι μηδ' ἐκεῖνο, οὐδὲ ψυχὴ τοίνυν, ὅτι μηδὲ ζῇ ἐκεῖνο, ἀλλὰ ὑπὲρ τὸ ζῆν, οὐδὲ νοῦς, ὅτι μηδὲ νοεῖ· ὁμοιοῦσθαι γὰρ δεῖ· νοεῖ δὲ οὐδ' ἐκεῖνο, ὅτι οὐδὲ νοεῖ.* Neque haec contemplatio, dum in corpore vivimus, diuturna esse potest: Enn. VI 9, 10 *πῶς οὖν οὐ μένει (ἡ ψυχὴ) ἐκεῖ; ἢ ὅτι μήπω ἐξελήλυθεν ὅλως. ἔσται δὲ ὅτε καὶ τὸ συνεχὲς ἔσται τῆς θέας οὐκέτι ἐνοχλουμένῳ οὐδεμίαν ἐνόχλησιν τοῦ σώματος.* Se ipsum dicit aliquando Unum contemplatum esse, in quo tamen non potuerit stare quippe homuncio: Enn. IV 8, 1 extr.; cf. RP 508 extr.

Porphyrius.

523 Eunap. Vit. Sophist. p. 7. Boiss. *Πορφυρίῳ Τύρος*[a] *μὲν ἦν πατρίς —, Μάλχος δὲ — ἐκαλεῖτο τὰ πρῶτα, τοῦτο δὲ δύναται βασιλέα λέγειν· Πορφύριον δὲ αὐτὸν ὠνόμασε Λογγῖνος ἐν τὸ βασιλικὸν τῆς ἐσθῆτος παράσημον τὴν προσηγορίαν ἀποτρέψας*[b]. *παρ' ἐκείνῳ δὴ τὴν ἄκραν ἐπαιδεύετο παιδείαν, γραμματικῆς τε εἰς ἄκρον ἁπάσης ὥσπερ ἐκεῖνος ἀφικόμενος καὶ ῥητορικῆς, πλὴν ὅσον οὐκ ἐπ' ἐκείνην ἔνευσε, φιλοσοφίας τε πᾶν εἶδος ἐκματτόμενος. — οὕτω δὲ ἀχθεὶς τὴν πρώτην παιδείαν καὶ ὑπὸ πάντων ἀποβλεπόμενος τὴν μεγίστην Ῥώμην ἰδεῖν ἐπιθυμήσας ἵνα κατάσχῃ διὰ σοφίας τὴν πόλιν, ἐπειδὴ τάχιστα εἰς αὐτὴν ἀφίκετο καὶ τῷ μεγίστῳ Πλωτίνῳ συνῆλθεν εἰς ὁμιλίαν, πάντων ἐπελάθετο τῶν ἄλλων καὶ προσέθετο φέρων ἑαυτὸν ἐκείνῳ*[c]. — *ὁ μὲν γὰρ Πλωτῖνος τῷ τε τῆς ψυχῆς οὐρανίῳ καὶ τῷ λοξῷ καὶ αἰνιγματώδει τῶν λόγων βαρὺς ἐδόκει καὶ δυσήκοος, ὁ δὲ Πορφύριος ὥσπερ Ἑρμαϊκή τις σειρὰ*[d] *καὶ πρὸς ἀνθρώπους ἐπινεύουσα διὰ ποικίλης παιδείας πάντα εἰς τὸ εὔγνωστον καὶ καθαρὸν ἐξήγγελλεν. — φαίνεται δὲ ἀφικόμενος εἰς γῆρας βαθύ*[e]· *πολλὰς γοῦν τοῖς ἤδη προπεπραγματευμένοις βιβλίοις θεωρίας ἐναντίας κατέλιπε, περὶ ὧν οὐκ ἔστιν ἕτερόν τι δοξάζειν ἢ ὅτι προϊὼν ἕτερα ἐδόξασεν*[f]. *ἐν Ῥώμῃ δὲ λέγεται μεταλλάξαι*[1] *τὸν βίον.* vita

---

1) *μεταλλάξαι* RP: *μεταλαχεῖν* libri.

De Porphyrii vita, doctrina, scriptis cf. Fabric. Bibl. Gr. V 725 sq. Harl. Steinhart in Paulyi Encycl. V 1917 sq. G. Wolff, Porphyr. de philosophia ex orac. haurienda libr. reliqu., Berolin. 1856. Porph. vit. Plotini ed. Westermann (in Diog. Laert. edit. Cobetiana) Paris. 1850. Müller (in edit. Plotini) Berol. 1878; Volkmann (ib.) Lips. 1883. Porph. vit. Pythagor. l. l. ed. Westermann. Porphyr. opusc. tria (vit. Pyth., de abstinentia, epist. ad Marcellam) ed. A. Nauck, Lips. 1860. Porph. *ἀφορμαὶ πρὸς τὰ νοητά* ed. L. Holstenius, Rom. 1630; in edit. Plotin. Paris. 1855. Porph. de antro Nymphar. ed. (cum Aeliano) R. Hercher, Par. 1858. Porph. epist. ad. Anebonem ed. (cum Jamblichi de mysteriis libro) G. Parthey, Berol. 1857. Commentarios Aristotelicos enumerat Zeller III 2[3] 640[3]. De philosophia cf. Z. III 2[3] 636—677.

a. Quod Bataneotes videtur vocari ab Hieronymo et Chrysostomo, quo iure fiat nescimus; ipse certe Tyrium se dicit: Vit. Plot. 7, v. Fabric. Bibl. Gr. V 725 Harl.

b. Idem narrat ipse Porphyrius V. Plot. 17.

c. Triginta annorum iuvenis ad Plotinum venit decimo anno Gallieni (v. Plot. 4); natus igitur est a. 232 vel 233 regnante M. Aur. Severo, quem Suidas v. *Πορφύριος* confudit cum Aureliano.

d. Cf. Hom. Θ 15. „Eunapius Porphyrium unam ac totam catenam facit caelitus a Mercurio demissam ad hominum animos erudiendos, congressu et sermone instituendos.“ *Wyttenbach.* Neoplatonici enim auream illam catenam ad suam successionem veraeque philosophiae continuationem referebant, v. Marin. V. Procl. 26; Damasc. ap. Phot. c. 242 p. 346[a] Bk.

e. Ipse narrat summum deum semel sibi apparuisse 68 annum agenti: V. Plot. 23. Mortuus est regnante Diocletiano (Suid.).

f. Scriptis suis plurimum fecit ad Neoplatonicorum disciplinam stabiliendam et contra propugnatores Christianorum defendendam: in quo studio simul cunctas Graecorum litteras antiquas, ab iisdem a quibus philosophia infestari solitas, contra Christianos defendendas suscepit. Ultro eos aggressus est opere quod inscribebatur *κατὰ Χριστιανῶν*, v. Euseb. Hist. Eccl. VI 19. Plotini doctrinam cum scriptis eius et emendandis et digerendis adiuvit, **RP** 508, tum suo libro, cui est index *αἱ πρὸς τὰ νοητὰ ἀφορμαί*, praecepta magistri coartans atque illustrans. Superstitionibus theurgicis, quae ea aetate in Neoplatonicorum schola vigebant, Porphyrius aliquamdiu nonnihil concessisse videtur; deinde vero ab illis sincerae Plotini doctrinae, qua statuebatur unicam salutem positam esse in purgatione animae et in contemplatione dei aeterni, timendum esse ratus iam senex, ut videtur, nimio illarum rerum studio obniti coepit, praesertim epistula ad Anebonem Aegyptium scripta. De logicis commentationibus Porphyrii, quibus logicam inferiorum temporum maxime praeivit, v. Prantl, *Gesch. d. Log.* I p. 626 sq., de historicis Müller, F H G III 688 sq.

524 A Aug. de Civ. D. X 9 p. 415 Domb. Nam et Porphyrius quandam quasi purgationem animae per theurgian, cunctanter tamen et pudibunda quodam modo disputatione promittit, reversionem vero ad deum hanc artem praestare cuiquam negat, ut videas eum inter vitium sacrilegae curiositatis et philosophiae professionem sententiis alternantibus fluctuare[a]. Nunc enim hanc artem tanquam fallacem et in ipsa actione periculosam et legibus prohibitam cavendam monet, nunc autem velut eius laudatoribus cedens utilem dicit esse mundandae parti animae, non quidem intellectuali, qua rerum intelligibilium percipitur veritas, nullas habentium similitudines corporum, sed spiritali, qua corporalium rerum capiuntur imagines. Hanc enim dicit per quasdam consecrationes theurgicas, quas teletas vocant, idoneam fieri atque aptam susceptioni spiritum et angelorum et ad videndos deos. Ex quibus tamen theurgicis teletis fatetur intellectuali animae nihil purgationis accedere, quod eam faciat idoneam ad videndum deum suum et perspicienda ea quae vere sunt. Ex quo intellegi potest, qualium deorum vel qualem visionem fieri dicat theurgicis consecrationibus, in qua non ea videntur, quae vere sunt. Denique animam rationalem sive, quod magis amat dicere, intellectualem[b], in supera[1] dicit posse evadere, etiamsi quod eius spiritale est nulla theurgica fuerit arte purgatum; porro autem a theurgo spiritalem purgari hactenus, ut non ex hoc ad immortalitatem aeternitatemque perveniat. Quamquam itaque discernat a daemonibus angelos, aeria loca esse daemonum, aetheria vel empyrea disserens angelorum[c], et admoneat utendum alicuius daemonis amicitia, quo subvectante vel paululum a terra possit elevari quisque post mortem, aliam vero viam esse perhibeat ad angelorum superna consortia: cavendam tamen daemonum societatem expressa quodam modo confessione testatur, ubi dicit animam post mortem luendo poenas cultum daemonum a quibus circumveniebatur horrescere. Ipsamque theurgian, quam velut conciliatricem angelorum deorumque commendat, apud tales agere potestates negare non potuit, quae vel ipsae in- theurgiae vis

1) *supera* RP: *sua* libri: *superna* vulgo.

videant purgationi animae vel artibus serviant invidorum, querelam de hac re Chaldaei nescio cuius expromens: „Conqueritur“ inquit „vir in Chaldaea bonus purgandae animae magno in molimine frustratos sibi esse successus, cum vir ad eadem potens tactus invidia adiuratas sacris precibus potentias alligasset, ne postulata concederent. Ergo et ligavit ille“ inquit „et iste non solvit“. Quo indicio dixit apparere theurgian esse tam boni conficiendi quam mali et apud deos et aqud homines disciplinam; pati etiam deos et ad illas perturbationes passionesque deduci, quas communiter daemonibus et hominibus Apuleius adtribuit[d]. — 11 p. 418. Melius sapuit iste Porphyrius, cum ad Anebontem scripsit Aegyptium, ubi consulenti similis et quaerenti et prodit artes sacrilegas et evertit.

theurgia iners Porphyr. Epist. ad Anebon. 46 p. XLIV Parthey. Ἐρωτῶ δὲ μήποτε ἄλλη τις λανθάνῃ οὖσα ἡ πρὸς εὐδαιμονίαν ὁδὸς ἀφισταμένη τῶν θεῶν. ἀπορῶ δὲ εἰ πρὸς δόξας ἀνθρωπίνας ἐν τῇ θείᾳ μαντικῇ καὶ θεουργίᾳ βλέπειν δεῖ, καὶ εἰ μὴ ἡ ψυχὴ ἐκ τοῦ τυχόντος ἀναπλάττει μεγάλα. ἀλλὰ δὲ καὶ μέθοδοί εἰσιν ἄλλαι περὶ τὴν τοῦ μέλλοντος προμήνυσιν διατρίβουσαι. καὶ ἴσως οἱ θείαν μαντικὴν ἔχοντες προορῶσι μέν, οὐ μὴν εἰσιν εὐδαίμονες· προορῶσι γὰρ τὰ μέλλοντα, χρῆσθαι δὲ αὐτοῖς καλῶς οὐκ ἐπίστανται. θέλω οὖν παρ' ὑμῶν τὴν εἰς εὐδαιμονίαν ὁδὸν ἐπιδεῖξαί μοι καὶ ἐν τίνι κεῖται ἡ αὐτῆς οὐσία. παρὰ μὲν γὰρ ἡμῖν λογομαχία τίς ἐστι πολλή, ἅτε ἐξ ἀνθρωπίνων λογισμῶν τοῦ ἀγαθοῦ εἰκαζομένου· οἷς δὲ μεμηχάνηται ἡ πρὸς τὸ κρεῖττον συνουσία, εἰ μὲν παρεῖται τὸ μέρος τοῦτο εἰς ἐξέτασιν, μάτην αὐτοῖς ἡ σοφία ἐξήσκηται περὶ δραπέτου εὑρέσεως ἢ χωρίου ὠνῆς ἢ γάμου εἰ τύχοι ἢ ἐμπορίας τὸν θεῖον νοῦν ἐνοχλήσασιν· εἰ δ' οὐ παρεῖται μέν, οἱ δὲ συνόντες περὶ μὲν τῶν ἄλλων τἀληθέστατα λέγουσι, περὶ δὲ εὐδαιμονίας οὐδὲν ἀσφαλὲς οὐδ' ἐχέγγυον ἔχουσι, χαλεπὰ μὲν διαμελετῶντες ἄχρηστα δὲ τοῖς ἀνθρώποις, οὐκ ἦσαν ἄρα οὔτε θεοὶ οὔτ' ἀγαθοὶ δαίμονες, ἀλλ' ἢ ἐκεῖνος ὁ λεγόμενος πλάνος[e] ἢ πᾶν ἀνθρώπων εὕρημα καὶ θνητῆς φύσεως ἀνάπλασμα[f]. 524 B

a. Favet theurgicis hoc placitum: Porph. Sentent. 6 οὐ τὸ ποιοῦν εἰς ἄλλο πελάσει καὶ ἁφῇ ποιεῖ ἃ ποιεῖ, ἀλλὰ καὶ τὰ πελάσει καὶ ἁφῇ

τι ποιοῦντα κατὰ συμβεβηκὸς τῇ πελάσει χρῆται. Vitam, quam in hoc corpore geramus, γοήτευμα esse dicit: de Abstin. I 28; ad Marcell. 33. Inter bonos et malos daemonas distinguens hos placandos esse dicit, sed philosopho agendum ut liberet se ab omnibus iis, quae malis daemonibus subiecta sint; propterea abstinentiam commendat et cruenta reicit: de Abstin. II 38. 39. 43 διὸ συνετὸς ἀνὴρ καὶ σώφρων εὐλαβηθήσεται τοιαύταις χρῆσθαι θυσίαις, δι' ὧν ἐπισπάσεται πρὸς ἑαυτὸν τοὺς τοιούτους (δαίμονας κακοεργούς)· σπουδάσει δὲ καθαίρειν τὴν ψυχὴν παντοίως· καθαρᾷ γὰρ ψυχῇ οὐκ ἐπιτίθενται διὰ τὸ αὐτοῖς ἀνόμοιον. εἰ δὲ ταῖς πόλεσιν ἀναγκαῖον καὶ τούτους ἀπομειλίττεσθαι, οὐδὲν πρὸς ἡμᾶς· ταύταις γὰρ καὶ πλοῦτον καὶ τὰ ἐκτὸς καὶ τὰ σωματικὰ ἀγαθὰ εἶναι νενόμισται καὶ τὰ ἐναντία κακά, ὀλίγιστον δ' ἐν αὐταῖς τὸ τῆς ψυχῆς ἐπιμελούμενον. Summus deus sacrificiis non honoratur, διὰ δὲ σιγῆς καθαρᾶς καὶ τῶν περὶ αὐτοῦ καθαρῶν ἐννοιῶν θρησκεύομεν αὐτόν: de Abst. II 34. Patriorum deorum cultum aperte quidem reicere non audet, sed tecte subvertit: ad Marcell. 18 οὗτος γὰρ μέγιστος καρπὸς εὐσεβείας τιμᾶν τὸ θεῖον καὶ τὰ πάτρια. — βωμοὶ δὲ θεοῦ ἱερουργούμενοι μὲν οὐδὲν βλάπτουσιν, ἀμελούμενοι δὲ οὐδὲν ὠφελοῦσιν. ὅστις δὲ τιμᾷ τὸν θεὸν ὡς προσδεόμενον, οὗτος λέληθεν ἑαυτὸν δοξάζων τοῦ θεοῦ κρείττονα εἶναι. — μὴ τοίνυν μίαινε τὸ θεῖον ἀνθρωπίναις ψευδοδοξίαις· οὔτε γὰρ ἐκεῖνο βλάψεις τό γε μακάριον διὰ παντὸς καὶ οὗ πᾶσα βλάβη τῆς ἀφθαρσίας ἐξελήλαται, σαυτὴν δὲ τυφλώσεις πρὸς τὴν τῶν μεγίστων καὶ κυριωτάτων διάγνωσιν. Mali daemones vel potius omnes daemones et omnino di visibiles h. e. sidera eo discrepant a dis non visibilibus (v. not. c), quod ex corpore et anima compositi sunt ideoque neque sempiterni neque immutabiles sunt, quae simul causa est cur sacrificia ab iis requiruntur: de Abst. II 37—39.

abstinentia

deorum cultus

daemones

b. Rationale sive λογικὸν ad solam animam refertur: Sentent. 10 ἐν νῷ μὲν γὰρ νοερῶς, ἐν ψυχῇ δὲ λογικῶς.

c. Theologia huius aetatis multos ordines deorum, geniorum, angelorum, animarum enumerare solet. Porphyrius distinguit inter deos visibiles et non visibiles (de Abst. II 34. 36), inter genios autem et angelos non distinxisse videtur utrosque animas appellans hoc nomine amplissima significatione usurpato (ib. 37. 38). Augustinus hoc loco daemonas dicere videtur malas animas, quas Porphyrius bonis opponit (ib. 38), nisi putaveris Porphyrium in his nominibus parum sibi constitisse, quod habet probabilitatem, cum boni daemones soleant ab eo ad aera, di vero ad aethera referri: de Abst. II 38; Ep. ad Aneb. 2 p. XXX P.

d. Ubi deos patibiles esse dicit, consentaneum est eum non loqui nisi de dis visibilibus. Quamquam neque ad hos neque ad bonos genios talis quae hoc loco describitur passio pertinet, verum ad solos malos genios: de Abst. II 38 ὅσαι μὲν οὖν ψυχαὶ τῆς ὅλης ἐκπεφυκυῖαι μεγάλα μέρη διοικοῦσι τῶν ὑπὸ σελήνην τόπων, ἐπερειδόμεναι μὲν πνεύματι κρατοῦσαι δὲ αὐτοῦ κατὰ λόγον, ταύτας δαίμονάς τε ἀγαθοὺς νομιστέον —· ὅσαι δὲ ψυχαὶ τοῦ συνεχοῦς πνεύματος οὐ κρατοῦσιν,

ἀλλ᾽ ὡς τὸ πολὺ καὶ κρατοῦνται, δι᾽ αὐτὸ τοῦτο ἄγονταί τε καὶ φέρονται λίαν, ὅταν αἱ τοῦ πνεύματος ὀργαί τε καὶ ἐπιθυμίαι τὴν ὁρμὴν λάβωσιν, αὗται δὲ αἱ ψυχαί, δαίμονες μὲν καὶ αὗται, κακοεργοὶ δ᾽ ἂν εἰκότως λέγοιντο. Verum tamen cum De Abst. II 43 (v. n. a.) publicus cultus, qui dis placandis inservit, etiam ad malos genios referatur, dixeris Porphyrium illo loco vulgarem usum loquendi secutum esse malos genios deos appellantem.

e. Errores de dis repetit a falsis opinionibus per malos genios in animos nostros iniectis. Ep. ad Aneb. 26 p. XXXVII P.; de Abstin. II 40.

f. Patet eum indicare philosophiae viam, quam theurgiae via praestabiliorem esse existimat. Malos genios habere quidem aliquam in nos vim censebat, ut possint nobis nocere (ad Marcell. 21) et debeant placari; sed tamen invitis illis possumus sequi bonum abstinentia et fortiter obnitendo perturbationibus: ad Marc. 34 ἐπὶ σωτηρίας τῆς ψυχῆς ἕτοιμος ἔσο τὸ ὅλον σῶμα ἀποκόπτειν. Propterea carne vesci vetat nos, etiam similiores dis fore confisus, si a plantarum quoque cibis abstinere possimus: de Abstin. III 27. Philosophiae autem via nihil aliud est nisi praeparatio quaedam, qua perveniamus ad contemplationem dei: ad Marc. 24 τέσσαρα στοιχεῖα μάλιστα κεκρατύνθω περὶ θεοῦ· πίστις ἀλήθεια ἔρως ἐλπίς. πιστεῦσαι γὰρ δεῖ ὅτι μόνη σωτηρία ἡ πρὸς θεὸν ἐπιστροφή, καὶ πιστεύσαντα [1] ὡς ἔνι μάλιστα σπουδάσαι τἀληθῆ γνῶναι περὶ αὐτοῦ, καὶ γνόντα ἐρασθῆναι τοῦ γνωσθέντος, ἐρασθέντα δὲ ἐλπίσιν ἀγαθαῖς τρέφειν τὴν ψυχὴν περὶ τοῦ βίου. De Abstin. I 57 οὐκ ἔστιν ἄλλως τυχεῖν τοῦ τέλους ἢ [2] προσηλωθέντα μέν, εἰ χρὴ φάναι, τῷ θεῷ, ἀφηλωθέντα δὲ καὶ σώματος καὶ τῶν διὰ τούτου τῆς ψυχῆς ἡδυπαθειῶν.

Iamblichus eiusque discipuli.

Iamblichus Suid. Ἰάμβλιχος — Χαλκίδος τῆς Συρίας, φιλόσοφος, 525 μαθητὴς Πορφυρίου τοῦ φιλοσόφου[a], τοῦ Πλωτίνου ἀκουστοῦ, γεγονὼς κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως[b]. ἔγραψε βιβλία φιλόσοφα διάφορα[c].

Iamblichi de Pythagorica vita librum ed. Westermann (in Diog. Laert. edit. Cobetiana) Paris. 1850; Adhort. ad philosophiam rec. Kiessling, Lips. 1813; Theologumena arithmeticae ed. Ast, Lips. 1817; De-

1) πιστεύσαντα Nauck: σπουδάσαντα libri. — 2) ἢ Reiske: μὴ libri: fortasse εἰ μή RP.

generali mathematum scientia ed. Villoison in Anecd. graec. II p. 188 sq. Venet. 1781; De Nicomachi introduct. arithmet. ed. Kiessling (cum libro de vita Pyth.), Lips. 1816. — De philosophia Iamblichi cf. Z. III 2[3] 678—714.

a. Ante eum audiverat Anatolium, *τὸν κατὰ Πορφύριον τὰ δεύτερα φερόμενον*, v. Eunap. V. Soph. p. 11 Boiss. Hic princeps est Asiaticae scholae Neoplatonicorum sicut Proculus Atticae. Cf. Zumpt, Comm. Ac. Berol. a. 1842, p. 74 sq.

b. Mortuus est regnante Constantino circ. a. 330, v. Eunap. p. 20. Iuliani epistulae ad Iamblichum suppositae sunt, cf. Z. III 2[3] 680. Eunapius refert eum multa miracula edidisse.

c. Libri eius qui supersunt Pythagoricam philosophiam vel interpretantes vel concelebrantes partes sunt maioris operis, quod inscribebatur *συναγωγὴ τῶν Πυθαγορείων δογμάτων*. Mirum quantum superstitionibus abundant. In deperditis sunt commentarii in Platonem, Aristotelem et de philosophia Chaldaica. Ex epistulis et libris de anima non pauca exstant apud I. Stobaeum. Cf. Z. III 2[3] 681 sq.

526 Procul. in Tim. 94 C. *Περὶ δὲ τῆς ἐν Τιμαίῳ τοῦ Διὸς δημιουργίας γράφων* (*Ἰάμβλιχος*) *μετὰ τὰς νοητὰς τριάδας καὶ τὰς τῶν νοερῶν θεῶν τρεῖς τριάδας ἐν τῇ νοερᾷ ἑβδομάδι τὴν τρίτην ἐν τοῖς πατράσιν ἀπονέμει τῷ δημιουργῷ τάξιν.* ordines deorum caelestium
Ib. 299. *Καὶ ἀπὸ τῶν οὐρανίων δὲ χορῶν πρόεισί τις εἰς τὴν γένεσιν διάταξις διπλασιαζομένη, ὥς φησιν ὁ θεῖος Ἰάμβλιχος· ἀπὸ μὲν γὰρ τῶν εἴκοσι καὶ ἑνὸς ἡγεμόνων γενέσθαι δύο καὶ τετταράκοντα καθ' ἑκάστην στοιχείου λῆξιν*[a] *ἡγεμονίας θεῶν γενεσιουργῶν· ἀπὸ δὲ τῶν ἓξ καὶ τριάκοντα δεκαδαρχῶν δύο καὶ ἑβδομήκοντα προεληλυθέναι καὶ ἄλλους ὡσαύτως θεούς, πλήθει μὲν διπλασίους τῶν οὐρανίων, δυνάμει δὲ ἀπολειπομένους. δεῖ δὲ καὶ τὰς τριπλᾶς αὐτῶν προόδους θεωρεῖν καὶ τὰς πενταμερεῖς διαιρέσεις καὶ τὴν καθ' ἑβδομάδα θείαν ἀπογέννησιν· ἀνάλογον γὰρ τῷ κόσμῳ παντὶ καὶ τριχῇ διεκοσμήθησαν καὶ πενταχῇ καὶ ἑπταχῇ ἵνα καὶ ἕκαστον τῶν στοιχείων κόσμος ᾖ καὶ ὄντως μίμημα τοῦ παντός. ἡ μὲν δὴ σύντομος διδασκαλία περὶ τῶν ὑπὸ σελήνην θεῶν τοιαύτη τίς ἐστι κατὰ τὰς διπλᾶς οὐσίας καὶ τὰς διφυεῖς ζωὰς καὶ διττὰς λήξεις προεληλυθότων.* et inferiorum

a. Cf. Iambl. ap. Stob. Ecl. p. 904 *τὰ στοιχεῖα, μεθ' ὧν καὶ ψυχαὶ συνεκληρώθησαν καθ' ἑκάστην τοιαύτην λῆξιν.* Respicere videtur Plat. Leg. V extr.

Poterit ex illis existimari, quantum Neoplatonici non solum theo-

logia sua sed etiam numerorum doctrina a Pythagoreis adscita effecerint ad vulgares de deorum multitudine opiniones non solum confirmandas, sed etiam amplificandas. Iamblichus theurgiam eodem studio sectatur, quo scriptor de mysteriis Aegyptiorum, v. **RP** 530. Censet ille simulacra, quae de caelo deciderint sive etiam quae humana manu facta rite consecrata sint, plena esse praesentiae atque effectus divini. Cf. excerpta ex libro *περὶ ἀγαλμάτων* ap. Phot. c. 215.

virtutes

Olympiodor. in Plat. Phaed. p. 90 Finckh. *Παραδειγματικαὶ ἀρεταὶ αἱ μηκέτι θεωρούσης τὸν νοῦν τῆς ψυχῆς —, ἀλλ' ἤδη στάσης ἐν τῷ νοῦν εἶναι κατὰ μέθεξιν, ὅς ἐστιν παράδειγμα πάντων. διὸ καὶ αὗται παραδειγματικαί, ὅτι προηγουμένως αὐτοῦ εἰσι τοῦ νοῦ αἱ ἀρεταί. ταύτας δὲ προστίθησιν ὁ Ἰάμβλιχος ἐν τοῖς περὶ τῶν ἀρετῶν. ὅτι εἰσὶ καὶ ἱερατικαὶ ἀρεταὶ κατὰ τὸ θεοειδὲς ὑφιστάμεναι τῆς ψυχῆς, ἀντιπαρήκουσαι πάσαις ταῖς εἰρημέναις οὐσιώδεσιν οὔσαις, ἑνιαῖαί γε ὑπάρχουσαι*[a]. 527

a. Quattuor virtutum generibus, quae Porphyrius posuerat (*ἀρεταὶ πολιτικαί, καθαρτικαί, θεωρητικαί, παραδειγματικαί*), Iamblichus addidit quintum ceteris, quae sunt *οὐσιώδεις*, quia ad intellectus *οὐσίαν*, **RP** 512b, pertinent, praestantius earum quae cum Uno nos coniungunt.

animae imbecillitas

Procl. in Tim. p. 341 D. *Ὀρθῶς ἄρα καὶ ὁ θεῖος Ἰάμβλιχος διαγωνίζεται πρὸς τοὺς ταῦτα οἰομένους*[a]. *τί γὰρ τὸ ἁμαρτάνον ἐν ἡμῖν, ὅταν τῆς ἀλογίας κινησάσης πρὸς ἀκόλαστον φαντασίαν ἐπιδράμωμεν; ἆρ' οὐχ ἡ προαίρεσις; καὶ πῶς οὐχ αὕτη; κατὰ γὰρ ταύτην διαφέρομεν τῶν φαντασθέντων προπετῶς. εἰ δὲ ἡ προαίρεσις ἁμαρτάνει, πῶς ἀναμάρτητος ἡ ψυχή; τί δὲ τὸ ποιοῦν εὐδαίμονα τὴν ὅλην ζωήν; ἆρ' οὐ τὸ τὸν λόγον σχεῖν τὴν οἰκείαν ἀρετήν; πάντως δήπου φήσομεν. εἰ δὲ ὅταν τὸ ἐν ἡμῖν κράτιστον τέλειον ᾖ καὶ τὸ ὅλον ἡμῶν εὔδαιμον, τί κωλύει καὶ νῦν ἡμᾶς εὐδαίμονας εἶναι ἀνθρώπους ἅπαντας, εἰ τὸ ἀκρότατον ἡμῶν ἀεὶ νοεῖ καὶ ἀεὶ πρὸς τοῖς θείοις ἐστίν;* 528

a. Loquitur contra Plotinum et Theodorum Asinaeum, auditorem Porphyrii, *ἀπαθές τι φυλάττοντας ἐν ἡμῖν καὶ ἀεὶ νοοῦν*. Iamblichus eodem in philosophando tendebat quo scriptor de myster. Aeg. **RP** 534, ut animam non idoneam esse evinceret quae per se solius intellectus instrumento ad summi dei contemplationem emergere posset. Id maxime agit, ut animam nostram inopem, peccatis contaminatam, felicitate orbam esse demonstret indeque theurgiae necessitatem legentibus approbet.

529 Eunap. V. Soph. p. 19. *Ἐκδέχεται δὲ τὴν Ἰαμβλίχου διατριβὴν καὶ ὁμιλίαν ἐς τοὺς ἑταίρους Αἰδέσιος ὁ ἐκ Καππαδοκίας, — μικρὸν ἀποδέων Ἰαμβλίχου, πλὴν ὅσα γε εἰς θειασμὸν*[a] *Ἰαμβλίχου φέρει· τούτων γὰρ οὐδὲν εἴχομεν ἀναγράφειν, ὅτι τὸ μὲν ἐπέκρυπτεν ἴσως Αἰδέσιος αὐτὸς διὰ τοὺς χρόνους (Κωνσταντῖνος γὰρ ἐβασίλευε τά τε τῶν ἱερῶν ἐπιφανέστατα καταστρέφων καὶ τὰ τῶν Χριστιανῶν ἀνεγείρων οἰκήματα), τὰ δὲ ἴσως καὶ τὸ τῶν ὁμιλητῶν ἄριστον πρὸς μυστηριώδη τινὰ σιωπὴν καὶ ἱεροφαντικὴν ἐχεμυθίαν ἐπιρρεπὲς ἦν καὶ συνεκέκλιτο. ὁ γοῦν ταῦτα γράφων ἐκ παιδὸς ἀκροατὴς Χρυσανθίου γενόμενος μόλις εἰς εἰκοστὸν ἔτος ἠξιοῦτο τῶν ἀληθεστέρων*[b]. Aedesius

a. Cogitandum non modo de vaticinationibus Iamblichi, sed etiam de miraculis, quae ille frequentare solebat. Quamquam miraculorum non omnes aeque studiosi erant Neoplatonici, v. Eunap. Vit. Soph. p. 49 sq. Eusebius, discipulus Aedesii, *μετὰ τὴν ἐξήγησιν* (librorum Aristotelis de logica, ut videtur) praedicare consueverat, *ὡς ταῦτα εἴη τὰ ὄντως ὄντα, αἱ δὲ τὴν αἴσθησιν ἀπατῶσαι μαγγανεῖαι καὶ γοητεύουσαι θαυματοποιῶν ἔργα καὶ πρὸς ὑλικάς τινας δυνάμεις παραπαιόντων καὶ μεμηνότων.* Quae pronuntiabantur adversus Maximum, alium Aedesii discipulum, qui *διὰ μέγεθος φύσεως καὶ λόγων ὑπεροχὴν καταφρονήσας τῶν ἐν τούτοις ἀποδείξεων* pro argumentis miracula exhibenda putabat. Quo studio quantum indulserit patet ex hisce, ib. p. 109 *ὁ μὲν γὰρ ἔχων τι φιλόνεικον ἐν τῇ φύσει καὶ δυσεκβίαστον τοῖς φανθεῖσι σημείοις παρὰ τῶν θεῶν ἀντιβαίνων ἕτερα ᾔτει καὶ προσηνάγκαζεν.* Talem ille rationem secutus est, cum signa eum ad Iulianum imperatorem vocatum a proficiscendo retinere viderentur. Eusebius Maximus

b. Chrysanthius erat discipulus Aedesii, Iuliani imperatoris doctor, Eunap. l. l. p. 49. Omnino Neoplatonici, quo magis Christianorum instituta invalescebant, eo magis artificiis istis theurgicis ipsique placitorum suorum professioni latibula quaerere cogebantur: quo pertinent multa quae narrantur de vitis eorum. Quamquam et ipsi ultro amabant secreta simulare; simulque fiducia miraculorum atque ipsius artis theurgicae, cui tantum olim tribuerant, labefactata fuisse videtur. Chrysanthius

530 De Myster. Aeg. I 3 p. 8 P.[a]. *Εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, οὐδὲ γνῶσίς ἐστιν ἡ πρὸς τὸ θεῖον συναφή· διείργεται γὰρ αὕτη πως ἑτερότητι. — ὁ δὲ αὐτός ἐστί μοι λόγος πρός σε καὶ περὶ τῶν συνεπομένων θεοῖς κρειττόνων γενῶν, δαιμόνων φημὶ καὶ ἡρώων καὶ ψυχῶν ἀχράντων. — ἐοικέτω δὴ οὖν τοῖς ἀιδίοις τῶν θεῶν συνοπαδοῖς καὶ ἡ σύμφυτος αὐτῶν* cognitio divinorum

κατανόησις. ὥσπερ οὖν αὐτοὶ τὸ εἶναι ἔχουσιν ἀεὶ ὡσαύτως, οὕτως καὶ ἡ ἀνθρωπίνη ψυχὴ κατὰ τὰ αὐτὰ τῇ γνώσει πρὸς αὐτοὺς συναπτέσθω, εἰκασίᾳ μὲν ἢ δόξῃ ἢ συλλογισμῷ τινι, ἀρχομένοις ποτὲ ἀπὸ χρόνου, μηδαμῶς τὴν ὑπὲρ ταῦτα πάντα οὐσίαν μεταδιώκουσα, ταῖς δὲ καθαραῖς καὶ ἀμέμπτοις νοήσεσιν, αἷς εἴληφεν ἐξ ἀιδίου παρὰ τῶν θεῶν, ταύταις αὐτοῖς συνηρτημένη. σὺ δ᾽ ἔοικας ἡγεῖσθαι τὴν αὐτὴν εἶναι τῶν θείων καὶ τῶν ἄλλων ὁποιωνοῦν γνῶσιν, δίδοσθαί τε ἀπὸ τῶν ἀντικειμένων τὸ ἕτερον μόριον, ὥσπερ εἴωθε καὶ ἐπὶ τῶν ἐν τοῖς διαλεκτικοῖς [1] προτεινομένων. τὸ δὲ οὐκ ἔστιν οὐδαμῶς παραπλήσιον· ἐξήλλακται γὰρ αὐτῶν ἡ εἴδησις ἀντιθέσεώς τε πάσης κεχώρισται, καὶ οὐκ ἐν τῷ συγχωρεῖσθαι νῦν ἢ ἐν τῷ γίγνεσθαι ὑφέστηκεν, ἀλλ᾽ ἦν ἐξ ἀιδίου μονοειδὴς ἐπὶ τῇ ψυχῇ συνυπάρχουσα[b].

a. [Iamblichi] de mysteriis liber ed. G. Parthey, Berol. 1857. Scriptor huius libri, qui sub Aegyptii sacerdotis persona Porphyrii epistulae ad Anebonem (**RP** 523 f) respondet, vulgo Iamblichus esse ferebatur, quod cum magna probabilitate impugnaverunt Meiners (Comment. Soc. Gotting. IV, 50 sq.) et Harless (*D. Buch v. d. ägypt. Mysterien, Münch.* 1858), cf. Z. III 2[3] 715.

b. Rationem haud sufficere ponens, si quaeratur de veritate non solum summi dei, verum etiam inferiorum deorum, geniorum cet., omnes dubitationes refutat, quas contra theurgiam moverat Porphyrius, cf. **RP** 524. Sequitur ut neget contrarium inter id quod patitur et quod non patitur ad deos referri posse (I 10. 21) similiterque removet eam dubitationem, qua quaeritur num di, cum sint sine passione, possint nostris precibus, incantationibus ceterisve artibus magicis cogi ut nobis largiantur aliquid: IV 3 p. 185 P. *πολὺ δὴ οὖν κρεῖττόν ἐστι τὸ νυνὶ λεγόμενον, τὸ μὴ δι᾽ ἐναντιώσεως ἢ διαφορότητος ἀποτελεῖσθαι τὰ τῶν θεῶν ἔργα, ὥσπερ δὴ τὰ γιγνόμενα εἴωθεν ἐνεργεῖσθαι, ταυτότητι δὲ καὶ ἑνώσει καὶ ὁμολογίᾳ τὸ πᾶν ἔργον ἐν αὐτοῖς κατορθοῦσθαι. ἐὰν μὲν οὖν καλοῦν ἢ καλούμενον ἢ ἐπιτάττον ἢ ἐπιταττόμενον ἢ κρεῖττον ἢ χεῖρον διαιρῶμεν, τὴν τῶν γενέσεων ἐπὶ τὰ τῶν θεῶν ἀγέννητα ἀγαθὰ μεταφέρομέν πως ἐναντιότητα.* Omnino superius quodque ita se ad id quod cum eo coniunctum est inferius velut animam ad corpus habere demonstrat, ut ab hoc nihil omnino patiatur: I 10. Propterea emanatio quaeque non eius actu fieri statuitur unde quid emanat, sed eius quod emanat: VIII 2 p. 262 P. *ἀπὸ δὲ τοῦ ἑνὸς τούτου ὁ αὐτάρκης θεὸς ἑαυτὸν ἐξέλαμψε· διὸ καὶ αὐτοπάτωρ καὶ αὐτάρκης.*

---

1) *τοῖς διαλεκτικοῖς* Gale: *ταῖς διαλέκτοις* libri.

531 De Myster. Aeg. I 17 p. 50 P. *Μεταλάβωμεν οὖν ἀντὶ ταύτης (τῆς διαιρέσεως)*[a] *ὅπερ ἠπόρησας πρὸς τὴν παροῦσαν δόξαν. πῶς γὰρ δὴ ἥλιός τε καὶ σελήνη κατὰ τὸν σὸν λόγον καὶ οἱ ἐν οὐρανῷ ἐμφανεῖς ἔσονται θεοί, εἰ ἀσώματοί εἰσι μόνως οἱ θεοί; ὅτι δὴ οὐ περιέχονται ὑπὸ τῶν σωμάτων, φαμὲν ἡμεῖς, ἀλλὰ ταῖς θείαις ζωαῖς καὶ ἐνεργείαις περιέχουσι τὰ σώματα, καὶ ὅτι οὐ πρὸς τὸ σῶμα ἐπιστρέφονται, ἀλλὰ τὸ σῶμα ἔχουσιν ἐπιστρεφόμενον εἰς τὴν θείαν αἰτίαν, καὶ ὅτι τὴν νοερὰν αὐτῶν καὶ ἀσώματον τελειότητα οὐκ ἐμποδίζει τὸ σῶμα οὐδὲ μεταξὺ παρεμπῖπτον πράγματα αὐτῇ παρέχει· ὅθεν δὴ οὐδὲ δεῖται πλείονος ἐπιμελείας, αὐτοφυῶς δὲ καὶ τρόπον τινὰ*[b] *αὐτοκινήτως συνέπεται οὐκ αὐτουργικῆς δεόμενον ἐπιστασίας, τῇ δὲ πρὸς τὸ ἓν τῶν θεῶν ἀναγωγῇ καὶ αὐτὸ ὑφ᾽ ἑαυτοῦ μονοειδῶς συνεπαιρόμενον. εἰ δὲ δεῖ καὶ τοῦτο εἰπεῖν, τὸ οὐράνιον σῶμα πρὸς αὐτὴν τὴν ἀσώματον οὐσίαν τῶν θεῶν ἐστι συγγενέστατον· μιᾶς μὲν γὰρ ἐκείνης οὔσης αὐτὸ ἁπλοῦν ἐστιν, ἀμερίστου δὲ ἀδιαίρετον καὶ ἀτρέπτου ὡσαύτως ἀναλλοίωτον. — διόπερ οὐδ᾽ ὡς ἐξ ἐναντίων καὶ διαφερόντων οὔτε τὸ σῶμα αὐτῶν συγκέκραται, ὥσπερ δὴ τὸ ἡμέτερον συνίσταται σῶμα, οὔτε ἡ ψυχὴ πρὸς τὸ σῶμα συνεπάγη εἰς ἓν ἐκ δύο ζῷον, ἀλλ᾽ ὅμοια πάντῃ καὶ συνηνωμένα δι᾽ ὅλων τε ὅλα καὶ μονοειδῆ καὶ ἀσύνθετα τὰ κατ᾽ οὐρανὸν τῶν θεῶν ἐστι ζῷα*[c]. *τῶν μὲν γὰρ κρειττόνων ἐν αὐτοῖς ἀεὶ ὑπερεχόντων ὡσαύτως, τῶν δὲ ἐλαττόνων ἐξηρτημένων τῆς τῶν κρειττόνων*[1] *ἀρχῆς καὶ οὐδέποτε αὐτὴν εἰς ἑαυτὰ κατατεινόντων, τῶν δ᾽ ὅλων εἰς μίαν σύνταξιν καὶ μίαν συντέλειαν συναγομένων καὶ τρόπον τινὰ πάντων ἀσωμάτων ὄντων καὶ θεῶν δι᾽ ὅλου, [διότι] τὸ θεῖον εἶδος ἐν αὐτοῖς ἐπικρατοῦν δι᾽ ὅλων τὴν αὐτὴν πανταχοῦ ὅλην μίαν οὐσίαν ἐντίθησιν. οὕτω μὲν οὖν οἱ κατ᾽ οὐρανὸν ἐμφανεῖς θεοί τέ εἰσι πάντες καὶ τρόπον τινὰ ἀσώματοι*[d]. di in caelo conspicui

a. Superiore capite demonstraverat distinctionem inter corporale et incorporale non posse ad differentiam deorum et daemonum referri, quia hac ratione ab altera parte di et linea et tempus, ab altera daemones et ignis et aqua ad idem genus redire viderentur.

b. Nam patet materiam non posse sua sponte moveri.

c. Porphyrius (cf. **RP** 524 a) deos ratus esse substantias puras atque

1) *κρειττόνων* cod. Basil.: *προτέρων* vulgo.

intelligibiles, quae non sint ex corpore et anima mixtae, deinde numquid possint esse di compositi quaerit. Propterea demonstrandum erat *τοὺς κατ' οὐρανὸν ἐμφανεῖς θεοὺς εἶναι τρόπον τινὰ ἀσωμάτους.*

di et genii

d. Similiter iudicat de differentia inter deos et genios, quamquam concedit hos minus perfectam naturam habere propter corpus I 20 p. 63 P. *οὐ τὸ τῶν σωμάτων οὖν ἐπιμελεῖσθαι φέρει τινὰ ἐλάττωσιν οἷς ὑπηρετεῖ τὸ σῶμα, καὶ συνέχεται ὑπὸ τοῦ κρείττονος καὶ ἐπέστραπται πρὸς αὐτὸ καὶ οὐδὲν ἐμπόδιον αὐτῷ παρέχει, ἀλλὰ τὸ τῇ γενεσιουργῷ φύσει προσκεῖσθαι καὶ μερίζεσθαι παρ' αὐτὴν ἐξ ἀνάγκης καταδεεστέραν μοῖραν δίδωσι τοῖς δαίμοσιν. ὅλως δὲ τὸ μὲν θεῖόν ἐστιν ἡγεμονικὸν καὶ προϊστάμενον τῆς ἐν τοῖς οὖσι διατάξεως, διακονικὸν δὲ τὸ δαιμόνιον καὶ παραδεχόμενον ἅπερ ἂν παρραγγείλωσιν οἱ θεοί, προθύμως αὐτουργίᾳ χρώμενον περὶ ὧν οἱ θεοὶ νοοῦσί τε καὶ βούλονται καὶ ἐπιτάττουσι. τοιγαροῦν οἱ θεοὶ τῶν ῥεπουσῶν εἰς τὴν γένεσιν δυνάμεών εἰσιν ἀπηλλαγμένοι, δαίμονες δὲ τούτων οὐ πάντῃ καθαρεύουσι.*

di sunt boni

De Myster. Aeg. I 18 p. 52 P. *Ἡ δ' ἑξῆς ἐπιζήτησις* 532
ἡ σὴ διαπορεῖ, πῶς αὐτῶν οἱ μέν εἰσιν ἀγαθοποιοί, οἱ δὲ κακοποιοί. εἴληπται μὲν οὖν ἀπὸ τῶν γενεθλιαλόγων αὕτη ἡ δόξα, πάντῃ δὲ διαμαρτάνει τοῦ ὄντος. ἀγαθοί τε γάρ εἰσιν ἅπαντες καὶ ἀγαθῶν αἴτιοι ὡσαύτως πρὸς ἕν τι ἀγαθὸν ἀποβλέποντες ἑνοειδῶς περιάγονται κατὰ μόνον τὸ καλὸν καὶ ἀγαθόν[a]. *οὐ μὴν ἀλλὰ τά γε ὑποκείμενα αὐτοῖς σώματα καὶ αὐτὰ ἀμηχάνους ὅσας ἔχει δυνάμεις, τὰς μὲν ἐν αὐτοῖς τοῖς θείοις σώμασι μονίμως ἑστώσας, τὰς δὲ ἀπ' αὐτῶν προϊούσας εἰς τὴν φύσιν τοῦ κόσμου καὶ αὐτὸν τὸν κόσμον, δι' ὅλης τε τῆς γενέσεως ἐν τάξει κατιούσας καὶ μέχρι τῶν κατὰ μέρος διατεινούσας ἀκωλύτως.*

causa mali

a. Deos nihil mali efficere necessario ex antecedentibus consequitur, ubi ponebatur absolutum penes eos materiae imperium esse. Quod ex geniorum effectibus procedere videtur malum, id revocatur ad partes corporeas eorum qui deorum effectus in se recipiant: ib. p. 54 *ὥσπερ οὖν τὸ γιγνόμενον τοῦ ὄντος γεννητῶς καὶ τὸ σῶμα τοῦ ἀσωμάτου σωματοειδῶς μεταλαμβάνει, οὕτω καὶ τὰ ἐν τῇ γενέσει φυσικὰ καὶ ἔνυλα τῶν ἀΰλων καὶ ὑπὲρ τὴν φύσιν καὶ γένεσιν αἰθερίων σωμάτων ἀτάκτως καὶ πλημμελῶς ἔστιν ὅπου μεταλαμβάνει.* Sed admittuntur etiam mali daemones, ad quos tamen vera theurgia nihil pertinet: III 31 p. 176 P.

materia pura

Ib. V 23 p. 232 P. *Πέφυκεν ἀεὶ τῶν ἀκροτάτων ἡ περι-* 533
ουσία τῆς δυνάμεως καὶ ἐν τῷδε ὑπερέχειν τῶν ὅλων, ἐν τῷ παρεῖναι πᾶσιν ἐξ ἴσου τὴν αὐτὴν ἀνεμποδίστως. ἐλλάμπει τοίνυν κατὰ τοῦτον τὸν λόγον καὶ τοῖς ἐσχάτοις τὰ πρώτιστα

καὶ πάρεστιν ἀύλως τοῖς ἐνύλοις τὰ ἄυλα. μὴ δή τις θαυμαζέτω, ἐὰν καὶ ὕλην τινὰ καθαρὰν καὶ θείαν εἶναι λέγωμεν· ἀπὸ γὰρ τοῦ πατρὸς καὶ δημιουργοῦ τῶν ὅλων καὶ αὐτὴ γενομένη τὴν τελειότητα ἑαυτῆς ἐπιτηδείαν κέκτηται πρὸς θεῶν ὑποδοχήν. καὶ ἅμα οὐδὲν διείργει τὰ κρείττονα πρὸς τὸ δύνασθαι τὰ καταδεέστερα ἑαυτῶν ἐλλάμπειν, οὐδὲ τὴν ὕλην οὖν ἀφίστησιν οὐδὲν [1] τῆς τῶν βελτιόνων μετουσίας, ὥστε ὅση τελεία καὶ καθαρὰ καὶ ἀγαθοειδὴς ὑπάρχει πρὸς θεῶν ὑποδοχήν ἐστιν οὐκ ἀνάρμοστος· ἐπεὶ γὰρ ἔδει καὶ τὰ ἐν γῇ μηδαμῶς εἶναι ἄμοιρα τῆς θείας κοινωνίας, ἐδέξατό τινα ἀπ᾽ αὐτῆς θείαν μοῖραν καὶ ἡ γῆ, ἱκανὴν οὖσαν χωρῆσαι τοὺς θεούς. ταῦτα τοίνυν κατιδοῦσα ἡ θεουργικὴ τέχνη, κοινῶς τε οὑτωσὶ κατ᾽ οἰκειότητα ἑκάστῳ τῶν θεῶν τὰς προσφόρους ὑποδοχὰς ἀνευρίσκουσα συμπλέκει πολλάκις λίθους βοτάνας ζῷα ἀρώματα ἄλλα τε τοιαῦτα ἱερὰ καὶ τέλεια καὶ θεοειδῆ κἄπειτα ἀπὸ πάντων τούτων ὑποδοχὴν ὁλοτελῆ καὶ καθαρὰν ἀπεργάζεται. οὐ γὰρ δὴ δεῖ δυσχεραίνειν πᾶσαν ὕλην, ἀλλὰ μόνην τὴν ἀλλοτρίαν τῶν θεῶν· τὴν δὲ οἰκείαν πρὸς αὐτοὺς ἐκλέγεσθαι ὡς συμφωνεῖν δυναμένην εἴς τε θεῶν οἰκοδομήσεις καὶ καθιδρύσεις ἀγαλμάτων καὶ δὴ καὶ εἰς τὰς τῶν θυσιῶν ἱερουργίας. οὐδὲ γὰρ ἂν ἄλλως τοῖς ἐπὶ γῆς τόποις ἢ τοῖς δεῦρο κατοικοῦσιν ἀνθρώποις μετουσία ἂν γένοιτο τῆς τῶν κρειττόνων λήψεως, εἰ μή τις τοιαύτη καταβολὴ πρώτη προενιδρυθείη[a]· πείθεσθαι δὲ χρὴ τοῖς ἀπορρήτοις λόγοις, ὡς καὶ διὰ τῶν μακαρίων θεαμάτων ὕλη τις ἐκ θεῶν παραδίδοται. αὕτη δήπου συμφυής ἐστιν αὐτοῖς ἐκείνοις τοῖς διδοῦσιν· οὐκοῦν καὶ ἡ τῆς τοιαύτης ὕλης θυσία ἀνεγείρει τοὺς θεοὺς ἐπὶ τὴν ἔμφασιν καὶ προσκαλεῖται εὐθέως πρὸς κατάληψιν χωρεῖ τε αὐτοὺς παραγιγνομένους καὶ τελείως ἐπιδείκνυσι[b].

a. Cf. RP 534; 535.

b. De deorum praesentiis pro varietate ordinum variis v. II 3 sq.

534 Ib. II 11 p. 96 P. Οὐδὲ γὰρ ἡ ἔννοια συνάπτει τοῖς θεοῖς τοὺς θεουργούς· ἐπεὶ τί ἐκώλυε τοὺς θεωρητικῶς φιλοσοφοῦντας ἔχειν τὴν θεουργικὴν ἕνωσιν πρὸς τοὺς θεούς; νῦν δὲ οὐκ ἔχει τό γε ἀληθὲς οὕτως, ἀλλ᾽ ἡ τῶν ἔργων τῶν ἀρρή- vis et virtus theurgiae

1) οὐδὲν Parthey: οὐδὲ libri.

των καὶ ὑπὲρ πᾶσαν νόησιν θεοπρεπῶς ἐνεργουμένων τελεσιουργία ἥ τε τῶν νοουμένων τοῖς θεοῖς μόνοις συμβόλων ἀφθέγκτων δύναμις ἐντίθησι τὴν θεουργικὴν ἕνωσιν. διόπερ οὐδὲ τῷ νοεῖν αὐτὰ ἐνεργοῦμεν· ἔσται γὰρ οὕτω νοερὰ αὐτῶν ἡ ἐνέργεια καὶ ἀφ᾽ ἡμῶν ἐνδιδομένη· τὸ δ᾽ οὐδέτερόν ἐστιν ἀληθές. καὶ γὰρ μὴ νοούντων ἡμῶν αὐτὰ τὰ συνθήματα ἀφ᾽ ἑαυτῶν δρᾷ τὸ οἰκεῖον ἔργον καὶ ἡ τῶν θεῶν, πρὸς οὓς ἀνήκει ταῦτα, ἄρρητος δύναμις αὐτὴ ἀφ᾽ ἑαυτῆς ἐπιγινώσκει τὰς οἰκείας εἰκόνας, ἀλλ᾽ οὐ τῷ διεγείρεσθαι ὑπὸ τῆς ἡμετέρας νοήσεως· οὐδὲ γὰρ ἔχει φύσιν τὰ περιέχοντα ὑπὸ τῶν περιεχομένων οὐδὲ τὰ τέλεια ὑπὸ τῶν ἀτελῶν οὐδ᾽ ὑπὸ τῶν μερῶν τὰ ὅλα ἀνακινεῖσθαι[a]. ὅθεν δὴ οὐδ᾽ ὑπὸ τῶν ἡμετέρων νοήσεων προηγουμένως τὰ θεῖα αἴτια προκαλεῖται εἰς ἐνέργειαν, ἀλλὰ ταύτας μὲν καὶ τὰς ὅλας τῆς ψυχῆς ἀρίστας διαθέσεις καὶ τὴν περὶ ἡμᾶς καθαρότητα ὡς συναίτια ἄττα προϋποκεῖσθαι χρή, τὰ δ᾽ ὡς κυρίως ἐγείροντα τὴν θείαν θέλησιν αὐτὰ τὰ θεῖά ἐστι συνθήματα· καὶ οὕτως τὰ τῶν θεῶν αὐτὰ ὑφ᾽ ἑαυτῶν ἀνακινεῖται ὑπ᾽ οὐδενὸς τῶν ὑποδεεστέρων ἐνδεχόμενά τινα εἰς ἑαυτὰ ἀρχὴν τῆς οἰκείας ἐνεργείας.

a. Similiter I 12 preces non deos ad nos detrahere affirmat, sed nos ad deos evehere.

duplex deorum cultus

Ib. V 14 p. 217 P. Ἀρχὴ δὲ πασῶν ἀρίστη, ἣ τῆς τῶν 535
θεῶν τάξεως τὸν θεσμὸν τῶν θυσιῶν ἐχόμενον ἐπιδείκνυσιν. ἄνωθεν οὖν τοὺς μὲν ὑλαίους τῶν θεῶν τοὺς δὲ ἀύλους ὑποθώμεθα, ὑλαίους μὲν τοὺς τὴν ὕλην περιέχοντας ἐν ἑαυτοῖς καὶ διακοσμοῦντας, ἀύλους δὲ παντελῶς τοὺς ἐξῃρημένους ἀπὸ τῆς ὕλης καὶ ὑπερέχοντας. κατὰ δὲ τὴν τῶν ἱερέων τέχνην ἄρχεσθαι χρὴ τῶν ἱερουργικῶν ἀπὸ τῶν ὑλαίων· οὐ γὰρ ἂν ἄλλως ἐπὶ τοὺς ἀύλους θεοὺς γένοιτο ἡ ἀνάβασις. οὗτοι δὴ οὖν ἔχουσί τινα κοινωνίαν πρὸς τὴν ὕλην καθόσον αὐτῆς ἐπιβεβήκασιν. οἱ αὐτοὶ δὴ οὖν καὶ τῶν περὶ τὴν ὕλην ἐγγιγνομένων ἐπάρχουσιν, οἷον διαιρέσεων, πληγῆς ἀντιτύπου, μεταβολῆς γενέσεως φθορᾶς πάντων τῶν ἐνύλων σωμάτων. εἰ δή τις τοὺς τοιούτους βούλοιτο θεραπεύειν θεουργικῶς, ῃ πεφύκασι καὶ ῃ τὴν ἀρχὴν εἰλήχασι, ταύτῃ προσεκτέον αὐτοῖς τὴν θεραπείαν ἐνύλοις οὖσιν αὐτοῖς ἔνυλον οὖσαν. — διόπερ τοῖς μὲν ἀύλοις θεοῖς ὕλην προσφέρειν διὰ θυσιῶν ἐστιν

ἀλλότριον, τοῖς δ' ἐνύλοις οἰκειότατον ἅπασι. — 15 p. 219. Σκεψώμεθα δὴ τὸ μετὰ τοῦτο συμφώνως τοῖς προειρημένοις καὶ τὴν ἡμετέραν διπλῆν κατάστασιν· ὅτὲ μὲν γὰρ ὅλη ψυχὴ γιγνόμεθα καὶ ἐσμὲν ἔξω τοῦ σώματος μετέωροί τε τῷ νῷ μεθ' ὅλων τῶν ἀύλων θεῶν μετεωροπολοῦμεν, ὅτὲ δ' αὖ δεδέμεθα ἐν τῷ ὀστρεώδει[a] σώματι καὶ ὑπὸ τῆς ὕλης κατεχόμεθα καὶ ἐσμὲν σωματοειδεῖς. πάλιν οὖν ἥκει τῆς θρησκείας ὁ διπλοῦς τρόπος· ὁ μὲν γὰρ ἔσται ἁπλοῦς ἀσώματος ἁγνὸς ἀπὸ πάσης γενέσεως, ὅστις ταῖς ἀχράντοις ἐπιβάλλει ψυχαῖς, ὁ δ' ἀναπιμπλάμενος τῶν σωμάτων καὶ τῆς ἐνύλου πάσης πραγματείας, ὅστις ταῖς μὴ καθαραῖς πρέπει ψυχαῖς μηδὲ ἀπολυθείσαις πάσης γενέσεως. καὶ θυσιῶν τοίνυν τίθημι διττὰ εἴδη, τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ' ἑνὸς ἄν ποτε γένοιτο σπανίως, ὥς φησιν Ἡράκλειτος, ἤ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν, τὰ δ' ἔνυλα καὶ σωματοειδῆ καὶ διὰ μεταβολῆς συνιστάμενα, οἷα τοῖς ἔτι κατεχομένοις ὑπὸ τοῦ σώματος ἁρμόζει[b]. πόλεσι τοίνυν καὶ δήμοις οὐκ ἀπολελυμένοις τῆς γενεσιουργοῦ μοίρας καὶ τῆς ἀντεχομένης τῶν σωμάτων κοινωνίας εἰ μὴ δώσει τις τὸν τοιοῦτον τρόπον τῆς ἁγιστείας, ἀμφοτέρων διαμαρτήσει, καὶ τῶν ἀύλων ἀγαθῶν καὶ τῶν ἐνύλων· τὰ μὲν γὰρ οὐ δύναται δέξασθαι, τοῖς δὲ οὐ προσάγει τὸ οἰκεῖον.

a. Adiectivum fictum ex similitudine Plat. Rep. X 611 D.

b. V 18 sq. p. 223 sq. P. triplex hominum genus esse statuitur mediis positis iis, qui ex parte corpori pareant, ex parte ab eo soluti et liberi sint ideoque duplici deorum cultu indigeant. Ceterum concedit esse paucos, qui ὑπερφυεῖ τινι δυνάμει τοῦ νοῦ χρώμενοι τῆς φύσεως μὲν ἀφίστανται, πρὸς δὲ τὸν χωριστὸν καὶ ἀμιγῆ νοῦν περιάγονται neque indigeant sacrificiis vulgaribus; sed existimat etiam hos eo non posse perduci nisi per inferiora genera theurgiae: ib. 20 p. 228 οὐ δεῖ δὴ τὸ ἐν ἑνί ποτε μόλις καὶ ὀψὲ παραγινόμενον ἐπὶ τῷ τέλει τῆς ἱερατικῆς τοῦτο κοινὸν ἀποφαίνειν πρὸς ἅπαντας ἀνθρώπους, ἀλλ' οὐδὲ πρὸς τοὺς ἀρχομένους τῆς θεουργίας ποιεῖσθαι αὐτόχρημα κοινὸν οὐδὲ πρὸς τοὺς μεσοῦντας ἐν αὐτῇ. Quapropter cavendum ne ullum deum etiam ex iis, qui sunt inferiorum ordinum et ceterorum satellites, neglegamus aut contemnamus; suus unicuique honos est habendus: ib. 21. Deorum cultus perinde varius et multiplex est atque potestates mundi: ib. 22. Daemones custodiunt mysteria: VI 7. Theurgia unica ad felicitatem via est: X 1.

Schola Atheniensis.

Proculus Suidas. *Πρόκλος ὁ Λύκιος*[a], *μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου*[b], *καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς· καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης*[c]. *ἔγραψε πάνυ πολλὰ φιλόσοφά τε καὶ γραμματικά*[d]. 536

Procli opera (de libert., provid., malo; in Alcib., Parm.) ed. V. Cousin, Par. 1820—27. Initia philos. Plat. s. Procli in Plat. Alcibiad. comm. et Institut. theolog. ed. Creuzer, Francof. 1820—27. Institutio physic. ed. Basil. 1545. Comm. in Plat. Rempubl. partim ed. R. Schoell, Berol. 1886; in Timaeum ed. Schneider, Vratisl. 1847; in Parmen. ed. Stallb. Lips. 1841; in Cratyl. ed. Boissonade, Lips. 1820. Theologia Platon. ed. Portus, Hamb. 1618. — Scripserunt de Proculo: Steinhart in Paulyi Encyclop. VI 62 sq. Freudenthal, *Hermes* XVI (1881) 201 sq. Vacherot II 210—383. Z. III 2[3] 774—826.

a. Ita appellabatur, quia parentes eius ex Lycia prognati erant et ipse Xanthi in Lycia primum educatus. Natus vero ipse erat Constantinopoli (v. Marin. Vit. Procl. 6) a. 410, nam mortuus est a. 485, annos 75 natus, cf. Marin. ib. 36.

Plutarchus **b.** Hic Plutarchus eiusque domus Athenis, postquam reliquae scholae omnes in hoc antiquo philosophiae litterarumque omnium domicilio exstinctae sunt, Platonicae philosophiae magna cum laude studere

Syrianus pergebat. Discipuli eius erant Syrianus et Proculus, qui plurimi eum aestimabant (cf. Marin. V. Procl. 6; Zumpt, Comm. Ac. Berol. a. 1842 p. 58. 78 sq.). Syriani exstat commentarius ad Aristotelis Metaph. lib. II, XIII, XIV (ed. H. Usener in Arist. ed. Ac. Berol. V 837 sq.), quo simili atque Proculus ratione doctrinam Neoplatonicam syllogismis firmare conatur.

Marinus **c.** Marinus, Neapoli Palaestinensi natus (v. Phot. Bibl. c. 242 p. 345[b] Bk.), scripsit vitam magistri, unde iuvat pauca, quae maxime attinent, excerpere. Neoplatonici, patrios deorum ritus secuti, in ecclesia pressa, ut aiunt, tum vivebant et ipsos discipulos, qui nondum satis explorati erant, et placita sua et sacra celabant; v. c. 11. 22. 29. Ipse Proculus propter superstitiosum priscae religionis cultum in periculum adductus Athenis aliquantisper in Asiam fugere coactus est, ubi isdem sacris in operto faciendis et propagandis operam dedit: c. 15. Quo factum est ut insigni deorum favore uteretur et precibus suis artibusque quas callebat magicis multa miracula ederet: c. 28. 29. Ex c. 28 attinebunt haec: *ὅτι τῆς Ἑρμαϊκῆς εἴη σειρᾶς* (**RP** 523 d) *σαφῶς ἐθεάσατο, καὶ ὅτι τὴν Νικομάχου τοῦ Πυθαγορείου ψυχὴν ἔχοι ὄναρ ποτὲ ἐπίστευσεν.* De dis a philosopho colendis cf. 19 *καὶ γὰρ πρόχειρον ἐκεῖνο*

εἶχεν ἀεὶ καὶ ἔλεγεν ὁ θεοσεβέστατος ἀνήρ, ὅτι τὸν φιλόσοφον προσήκει οὐ μιᾶς τινος πόλεως οὐδὲ τῶν παρ' ἐνίοις πατρίων εἶναι θεραπευτήν, κοινῇ δὲ τοῦ ὅλου κόσμου ἱεροφάντην.

d. Cf. Marin. V. Procl. 22 *κατὰ ταύτην (τὴν σοφίαν) δὴ ἐνεργῶν ὁ φιλόσοφος πᾶσαν μὲν θεολογίαν ἑλληνικήν τε καὶ βαρβαρικὴν καὶ τὴν μυθικοῖς πλάσμασιν ἐπισκιαζομένην κατεῖδέ τε ῥᾳδίως καὶ τοῖς ἐθέλουσί τε καὶ δυναμένοις συνέπεσθαι εἰς φῶς ἤγαγεν, ἐξηγούμενός τε πάντα ἐνθουσιαστικώτερον καὶ εἰς συμφωνίαν ἄγων· πᾶσι δὲ τοῖς τῶν παλαιοτέρων συγγράμμασιν ἐπεξιὼν ὅσον μὲν ἦν παρ' αὐτοῖς γόνιμον, τοῦτο μετ' ἐπικρίσεως εἰσεποιεῖτο, εἰ δέ τι ἀνεμιαῖον ηὕρισκε, τοῦτο πάντῃ ὡς μῶμον ἀπῳκονομεῖτο, τὰ δέ γε ὑπεναντίως ἔχοντα τοῖς καλῶς τεθεῖσι μετὰ πολλῆς βασάνου ἀγωνιστικῶς διήλεγχεν, ἔν τε ταῖς συνουσίαις δυνατῶς ἅμα καὶ σαφῶς ἐπεξεργαζόμενος ἕκαστα καὶ ἐν συγγράμμασιν ἅπαντα καταβαλλόμενος· φιλοπονίᾳ γὰρ ἀμέτρῳ χρησάμενος ἐξηγεῖτο τῆς αὐτῆς ἡμέρας πέντε, ὁτὲ δὲ καὶ πλείους πράξεις καὶ ἔγραφε στίχους τὰ πολλὰ ἀμφὶ τοὺς ἑπτακοσίους.* Ex libris multi interciderunt, sed multi etiam supersunt, inter quos philosophiam docent potissimum commentarii scriptorum Platonicorum. Cum tantam operam in antiquis litteris tradendis et interpretandis collocaverit, mirum est quod narrat Marin. V. Procl. 38: *εἰώθει δὲ πολλάκις καὶ τοῦτο λέγειν ὅτι, κύριος εἰ ἦν, μόνα ἂν τῶν ἀρχαίων ἁπάντων βιβλίων ἐποίουν φέρεσθαι τὰ λόγια καὶ τὸν Τίμαιον, τὰ δὲ ἄλλα ἠφάνιζον ἐκ τῶν νῦν ἀνθρώπων διὰ τὸ καὶ βλάπτεσθαι ἐνίους τῶν εἰκῇ καὶ ἀβασανίστως ἐντυγχανόντων αὐτοῖς.* Simile dictum est Iamblichi de operibus Platonis, quod probat Proculus in Alc. 6 p. 11 Cr. p. 27 Cs.: *ὁ θεῖος Ἰάμβλιχος — ἐν δέκα διαλόγοις — οἴεται τὴν ὅλην τοῦ Πλάτωνος περιέχεσθαι φιλοσοφίαν.* Tim. I p. 5 Bas. 10 Schn. *ὀρθῶς ἄρα φησὶν ὁ θεῖος Ἰάμβλιχος τὴν ὅλην τοῦ Πλάτωνος θεωρίαν ἐν τοῖς δύο τούτοις περιέχεσθαι διαλόγοις, Τιμαίῳ καὶ Παρμενίδῃ.*

537 Plat. Theol. I 2 p. 2 P. *Ἀναγκαῖον δέ ἐστί μοι καὶ τὸν τρόπον ἐκθέσθαι τῆς προκειμένης διδασκαλίας, ὁποῖόν τινα αὐτὸν ἔσεσθαι προσδοκᾶν χρὴ τοὺς ἀκροασομένους, καὶ*[1] *τὴν παρασκευὴν ἀφορίσασθαι, καθ' ἣν οὐ πρὸς τοὺς ἡμετέρους λόγους, ἀλλὰ πρὸς τὴν ὑψηλόνουν καὶ ἔνθεον τοῦ Πλάτωνος φιλοσοφίαν ἐπιτηδείως ἔχοντες ἀπαντήσονται. — ἐν ἅπασι δὲ τὸ σαφὲς καὶ διηρθρωμένον καὶ ἁπλοῦν προθήσομεν τῶν ἐναντίων τὰ μὲν διὰ συμβόλων παραδεδομένα μεταβιβάζοντες εἰς τὴν ἐναργῆ περὶ αὐτῶν διδασκαλίαν, τὰ δὲ δι' εἰκόνων ἀναπέμποντες ἐπὶ τὰ σφέτερα παραδείγματα, καὶ τὰ μὲν ἀποφαντικώτερον ἀναγεγραμμένα τοῖς τῆς αἰτίας βασανίζοντες λογι-* **studium Platonis**

---

1) *χρὴ τοὺς ἀκροασαμένους, καὶ* **BP**: *χρή. καὶ τούτου ἀκροασάμενον* Portus.

σμοῖς, τὰ δὲ δι' ἀποδείξεων συντεθέντα διερευνώμενοι καὶ τὸν τρόπον τῆς ἐν αὐτοῖς ἀληθείας ἐπεκδιηγούμενοι καὶ γνώριμον τοῖς ἀκούουσι ποιοῦντες, καὶ τῶν μὲν ⟨ἐν⟩[1] αἰνίγμασι κειμένων ἀλλαχόθεν τὴν σαφήνειαν ἐξευρίσκοντες οὐκ ἐξ ἀλλοτρίων ὑποθέσεων, ἀλλ' ἐκ τῶν γνησιωτάτων τοῦ Πλάτωνος συγγραμμάτων[a]. — ταῖς δὲ λογικαῖς μεθόδοις ἁπάσαις γεγυμνάσθω (ὁ ἀκροατὴς) καὶ πολλὰ μὲν περὶ ἀναλύσεων, πολλὰ δὲ περὶ τῶν ἐναντίων πρὸς ταύτας διαιρέσεων ἀνέλεγκτα νοήματα τεθεαμένος παρέστω[b].

a. Haud semel indicat se in philosophando studiosissime Platonem secuturum interpretandum et criminatur Plotinum, quod suis opinionibus indulgens a Platone in nonnullis desciverit: in Alcib. p. 227 Creuz. Ipse vero in Platone interpretando satis libere vagatur.

b. Apparet Proculum magis quam Plotinum et ceteros Neoplatonicos doctrinae logicis argumentis firmandae studuisse. Neque Platonis doctrinam propter aliud Orpheo et Pythagorae praestare censet quam quod magis ad dialecticae regulas disputaverit: Theol. Plat. I 4 p. 9 Port.

triadum lex

Inst. Theol. 24 p. 427 P. 44 Cr. Πᾶν τὸ μετέχον τοῦ μετεχομένου καταδεέστερον καὶ τὸ μετεχόμενον τοῦ ἀμεθέκτου. — ἡγεῖται ἄρα τὸ μὲν ἀμέθεκτον τῶν μετεχομένων, ταῦτα δὲ τῶν μετεχόντων. ὡς γὰρ συνελόντι φάναι τὸ μέν ἐστιν ἓν πρὸ τῶν πολλῶν, τὸ δὲ μετεχόμενον ἐν τοῖς πολλοῖς ἓν ἅμα καὶ οὐχ ἕν, τὸ δὲ μετέχον πᾶν οὐχ ἓν ἅμα καὶ ἕν. 538

prima trias

Plat. Theolog. III 20 p. 163 P. Τὸ μὲν δὴ πρώτιστον καὶ ἀμέθεκτον ἓν ἐπέκεινα τῶν ὅλων προϋπάρχον οὐ τῶν μετεχόντων μόνον ἀλλὰ καὶ τῶν μετεχομένων ἑνάδων ὕμνηται διὰ τῆς πρώτης ὑποθέσεως, ἁπάντων μὲν ἀρρήτως αἴτιον ἀποπεφασμένον, αὐτὸ δὲ ἐν οὐδενὶ δὴ τῶν πάντων ἀφοριζόμενον, οὐδέ τινα δύναμιν ἔχον οὐδὲ ἰδιότητα συγγενῆ πρὸς τοὺς ἄλλους θεούς[a]. μετὰ δὲ τοῦτο τὸ μόνως ὑπερούσιον καὶ ὑπερὸν καὶ ἄμικτον πρὸς πάσας τὰς ὑπάρξεις ἑνάς ἐστι μετεχομένη μὲν ὑπὸ τοῦ ὄντος καὶ περὶ αὐτὴν ὑποστήσασα τὴν πρώτην οὐσίαν καὶ πλεονάσασα τῇ προσθήκῃ τῆς μεθέξεως ταύτης τοῦ πρώτως ἑνός, αὐτὴ δὲ ὑπερούσιος ὕπαρξις καὶ τῆς πρωτίστης νοητῆς τριάδος. δύο δὴ τούτων ὄντων ἐν 539

1) ἐν inseruit Portus.

τῇ πρώτῃ τριάδι, τοῦ ἑνὸς καὶ τοῦ ὄντος, καὶ τοῦ μὲν γεννῶντος τοῦ δὲ γεννωμένου καὶ τοῦ μὲν τελειοῦντος τοῦ δε τελειουμένου, δεῖ δὴ καὶ τὴν μέσην ἀμφοῖν ὑπάρχειν δύναμιν, δι' ἧς καὶ μεθ' ἧς τὸ ἓν ὑποστατικόν ἐστι καὶ τελειωτικὸν τοῦ ὄντος. ἥ τε γὰρ πρόοδος ἀπὸ τοῦ ἑνὸς καὶ ἡ πρὸς τὸ ἓν ἐπιστροφὴ τῷ ὄντι διὰ τῆς δυνάμεως. τί γὰρ ἄλλο συνάπτει τῷ ἑνὶ τὸ ὂν ἢ μετεχόμενον ποιεῖ τὸ ἓν ὑπὸ τοῦ ὄντος πλὴν τῆς δυνάμεως; πρόοδος γάρ ἐστι τοῦ ἑνὸς καὶ ἔκτασις ἐπὶ τὸ ὄν· ὅθεν δὴ καὶ ἐν πᾶσι τοῖς θείοις γένεσι προόδων καὶ γεννήσεων αἱ δυνάμεις προκατάρχουσι· τριὰς οὖν ἐστιν αὕτη τῶν νοητῶν ἀκρότης, τὸ ἓν ἡ δύναμις τὸ ὄν, τὸ μὲν παράγον τὸ δὲ παραγόμενον, ἡ δὲ ἐξηρτημένη μὲν τοῦ ἑνὸς συμφερομένη δὲ τῷ ὄντι[b].

a. Nam primum unum, quod Platon. Theol. III 7 p. 131 P. sq., ubi ad bonum Platonis revocatur (**RP** 259), dicitur esse summa causa *ἄρρητος μὲν παντὶ λόγῳ καὶ ἄφραστος, ἄγνωστος δὲ πάσῃ γνώσει καὶ ἀλήπτος*, sicuti omnium rerum principium est, ita primum effunditur in multas unitates, quas totidem deos esse ponit, h. e. primi ordinis deos, nam statuit et infinitum numerum et diversissima genera et classes deorum: cf. Plat. Theol. III 1 p. 118 *μετὰ δὲ τὴν ἀμέθεκτον ταύτην καὶ ἄρρητον καὶ ὡς ἀληθῶς ὑπερούσιον αἰτίαν ἀπὸ πάσης αἰτίας καὶ πάσης δυνάμεως καὶ πάσης ἐνεργείας κεχωρισμένην συνεχής ἐστιν ὁ περὶ τῶν θεῶν λόγος. τί γὰρ ἄλλο τῷ ἑνὶ συνάπτεσθαι πρὸ τῶν ἑνάδων θεμιτὸν ἢ τί τῷ ἑνιαίῳ θεῷ συνήνωται μᾶλλον τῶν πολλῶν θεῶν;* Ib. p. 122 *εἰ δὲ καὶ τὸ παράγον τὰ πάντα πρώτως τὸ ἓν καὶ ἡ πρόοδος ἑνιαία, δεῖ δή που καὶ τὸ παραγόμενον ἐκεῖθεν πλῆθος ἑνάδας αὐτοτελεῖς ὑπάρχειν τῷ παράγοντι συγγενεστέρας. ἔτι δὲ εἰ πᾶσα μονὰς ἀριθμὸν ὑφίστησι πρὸς ἑαυτὴν οἰκεῖον, ὡς δέδεικται πρότερον, πολλῷ δή που πρότερον τὸ ἓν ἀπογεννᾷ τὸν τοιοῦτον ἀριθμόν.* Quae unitates ab uno cum numero differunt tum eo distant quod sunt *μεθεκταί*: Inst. Theol. 116 p. 463 P., 170 Cr. *πᾶς θεὸς μεθεκτός ἐστι πλὴν τοῦ ἑνός. ὅτι μὲν γὰρ ἐκεῖνο ἀμέθεκτον δῆλον, ἵνα μὴ μετεχόμενον καί τινος διὰ τοῦτο γενόμενον μηκέτι πάντων ὁμοίων ᾖ τῶν τε προόντων καὶ τῶν ὄντων αἴτιον.* Sequitur ut omnia intelligibilia, omnes animae, omnia corpora nisi intercedentibus unitatibus illis cum primo uno non conectantur, v. Plat. Theol. l. l. p. 122 *καὶ γὰρ αὖ καὶ κατ' ἄλλον τρόπον ἀνάγκη τὰ πρώτως ὄντα διὰ τῶν προσεχῶν αὐτῶν ἑνάδων μετέχειν τῆς πρωτίστης αἰτίας· ἕκαστα γὰρ τῶν δευτέρων διὰ τῶν ὁμοίων συνάπτεται τοῖς πρὸ αὐτῶν, τὰ μὲν σώματα διὰ τῶν καθέκαστα ψυχῶν τῇ ὅλῃ, ψυχαὶ δὲ διὰ τῶν νοερῶν μονάδων τῷ παντὶ νῷ, τὰ δὲ ὄντα δή που πρῶτα διὰ τῶν ἑνιαίων ὑπάρξεων τῷ ἑνί.* Unde apparet proximum ab unitatibus illis divinis, quas interposuit Proculus, esse *τὸ νοητόν*, quod et ipsum, ut per omnem doctrinam tripertitam rationem sequitur, ad

tres classes revocat, *τὸ νοητόν, τὸ νοερόν, τὸ νοητὸν καὶ νοερόν*, longam inde diversarum classium seriem deorum nectens, v. Plat. Theol. III 14 p. 143 sq. P.

intelligibilium triades

b. *Τὸ νοητόν*, quod sensu angustiore dicitur, ad tres rursus triadas revocatur, quarum prima est ea quae hoc loco adumbratur, quae amplectitur *τὸ ἕν* (h. e. unum secundi ordinis, quod a primo uno differt *τῇ μεθέξει τοῦ ὄντος*) et *τὸ ὂν* et *δύναμιν*, quae inter utrumque media est: quam triadem in antecedentibus (Plat. Theol. III 7 p. 131 sq.) ita retulerat ad id quod Plat. Phileb. 23 D sq. appellatur *πέρας, ἄπειρον, μικτόν*, ut finis respondeat uni secundo, infinitum *τῇ δυνάμει* quippe *ἀπείρῳ*, mixtum denique *τῇ οὐσίᾳ* sive *τῷ ὄντως ὄντι* h. e. substantiae: cf. Instit. Theol. 89 sq. p. 453 P. 134 Cr.; Plat. Theol. III 9 p. 135 sq.; IV 1 p. 180; in Cratyl. 42. Ea principia per omnes deinde et deorum ordines et substantiarum gradus persequitur, cf. in Parmenid. VI 99 sq.; Inst. Theol. 159 p. 482 P. 236 Cr. *πᾶσα τάξις θεῶν ἐκ τῶν πρώτων ἐστὶν ἀρχῶν, πέρατος καὶ ἀπειρίας, — ἀλλ' ὅπου μὲν τὸ πέρας ἐνδυναστεύει κατὰ τὴν μῖξιν, ὅπου δὲ τὸ ἄπειρον.* Secunda trias intelligibilis est vitae quam appellat intelligibilis (*νοητὴ ζωή*) vel aeternitatis (*αἰών*), tertia intellectus sive mundi intelligibilis, cf. Plat. Theol. III 13 sq. p. 141 sq. P.; in Tim. IV p. 241 sq. Bas. 584 sq. Schn.; 268 sq. B. 656 sq. Schn.

rerum series

Inst. Theol. 111 p. 461 P. 162 Cr. *Πάσης τῆς νοερᾶς* 540
σειρᾶς οἱ μέν εἰσι θεῖοι νόες ὑποδεξάμενοι θεῶν μεθέξεις, οἱ δὲ νόες μόνον· καὶ πάσης τῆς ψυχικῆς αἱ μέν εἰσι νοεραὶ ψυχαὶ εἰς νοῦς ἀνηρτημέναι οἰκείους, αἱ δὲ ψυχαὶ μόνον. καὶ πάσης τῆς σωματικῆς φύσεως αἱ μὲν καὶ ψυχὰς ἔχουσιν ἐφεστώσας ἄνωθεν, αἱ δέ εἰσι φύσεις μόνον τῆς τῶν ψυχῶν ἄμοιροι παρουσίας. ἑκάστης γὰρ σειρᾶς οὐχ ὅλον τὸ γένος εἰς τὸ πρὸ αὐτοῦ ἀνηρτῆσθαι πέφυκεν, ἀλλὰ τὸ ἐν αὐτῇ τελειότερον καὶ συμφύεσθαι τοῖς ὑπερκειμένοις ἱκανόν. οὔτε οὖν πᾶς νοῦς θεοῦ ἐξῆπται, ἀλλ' οἱ ἀκρότατοι καὶ ἑνικώτατοι τῶν νόων· οὗτοι γὰρ ταῖς θείαις ἑνάσι συγγενεῖς· οὔτε πᾶσαι ψυχαὶ μετέχουσι νοῦ τοῦ μεθεκτοῦ, ἀλλ' ὅσαι νοερώταται· οὔτε πᾶσαι σωματικαὶ φύσεις ἀπολαύουσι ψυχῆς παρούσης καὶ μετεχομένης, ἀλλ' αἱ τελειότεραι καὶ λογοειδέστεραι. καὶ οὗτος ἐπὶ πάντων ὁ λόγος τῆς ἀποδείξεως[a].

a. Vides longam a mundo intelligibili usque ad corpora seriem et catenam deorum intelligentiarum animarum necti, idque per tres gradus praecipuos, quorum extrema sunt affinia: cf. Instit. Theol. 147 p. 477 P. 218 Cr. *πάντων τῶν θείων διακόσμων τὰ ἀκρότατα τοῖς πέρασιν ὁμοιοῦται τῶν ὑπερκειμένων. εἰ γὰρ δεῖ συνέχειαν εἶναι τῆς θείας προόδου καὶ ταῖς οἰκείαις ἑκάστην τάξιν συνδεδέσθαι μεσότησιν, ἀνάγκη τὰς*

ἀκρότητας τῶν δευτέρων συνάπτειν ταῖς ἀποπερατώσεσι τῶν πρώτων· ἡ δὲ συναφὴ δι' ὁμοιότητος. Ib. 175 p. 489 P. 260 Cr. *οὐδαμοῦ γὰρ αἱ πρόοδοι γίνονται ἀμέσως, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ ὁμοίων, κατά τε τὰς ὑποστάσεις καὶ τὰς τῶν ἐνεργειῶν τελειότητας.* Materiam cum Platone ad infinitam *δύναμιν* (RP 539) revocat, in Tim. II p. 117 B. 276 Schn.; Plat. Th. V 17 p. 281 P., neque eam malam esse dicit, sed necessariam: De Mal. Subsist. p. 241 sq. Cs. p. 496 P. 292 Cr.; 251 sq. Cs. Neque corpora omnia esse infima statuit, sed etiam aeterna et media, v. Inst. Theol. 196 B. 755 Schn.; in Tim. V p. 311 sq. B. 780 Schn.; 330 B. 803 Schn. materia

541 Inst. Theol. 190 p. 494 P. 282 Cr. *Πᾶσα ψυχὴ μέση τῶν ἀμερίστων ἐστὶ καὶ τῶν περὶ τὰ σώματα μεριστῶν*[a]. — 194 p. 496 P. 290 Cr. *Πᾶσα ψυχὴ πάντα ἔχει τὰ εἴδη, ἃ ὁ νοῦς πρώτως ἔχει. εἰ γὰρ ἀπὸ νοῦ πρόεισι καὶ νοῦς ὁ ὑποστάτης ψυχῆς καὶ αὐτῷ τῷ εἶναι ἀκίνητος ὢν πάντα ὁ νοῦς παράγει, δώσει καὶ τῇ ψυχῇ τῇ ὑφισταμένῃ τῶν ἐν αὐτῷ πάντων οὐσιώδεις λόγους.* 195 p. 496 P. 290 Cr. *Πᾶσα ψυχὴ πάντα ἐστὶ τὰ πράγματα, παραδειγματικῶς μὲν τὰ αἰσθητά, εἰκονικῶς δὲ τὰ νοητά· μέση γὰρ οὖσα τῶν ἀμερίστων καὶ τῶν περὶ τὸ σῶμα μεριστῶν τὰ μὲν παράγει καὶ ὑφίστησι, τὰ δὲ αἴτια προεστήσατο ἑαυτῆς ἀφ' ὧν προελήλυθεν.* — 184 p. 492 P. 274 Cr. *Πᾶσα ψυχὴ ἢ θεία ἐστὶν ἢ μεταβάλλουσα ἀπὸ νοῦ εἰς ἄνοιαν ἢ μεταξὺ τούτων ἀεὶ μένουσα, καταδεεστέρα δὲ τῶν θείων ψυχῶν*[b]. anima

a. Compositio animae ex substantia individua et dividua secundum Platonem ad numeros et proportiones harmonicas revocatur, cf. in Tim. III p. 176 sq. B. 416 sq. Schn.; V p. 342 sq. B. 833 sq. Schn. Individuum est quod incorporeum, quod quid sit definitur hisce: Instit. Theol. 15 p. 422 P. 26 Cr. *πᾶν τὸ πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν ἀσώματόν ἐστιν· οὐδὲν γὰρ τῶν σωμάτων πρὸς ἑαυτὸ πέφυκεν ἐπιστρέφειν. — τοῦτο γὰρ ἦν τὸ πρὸς ἑαυτὸ ἐπιστρέψαι, ὅταν ἓν γένηται ἄμφω, τό τε ἐπιστραφὲν καὶ πρὸς ὃ ἐπεστράφη.*

b. Aliis locis eadem genera revocantur ad deos et daemonas et homines, cf. in Tim. III p. 210 B. 505 Schn. *ἐπειδήπερ ἐν ἑκάστῃ τῶν σφαιρῶν ἐστι θεῖα γένη ψυχῶν καὶ δαιμόνια καὶ μερικά, οἷα δὴ τῶν ἡμετέρων.* Ib. V p. 317 B. 770 Schn. *διότι καὶ τῶν γενῶν τῶν μέσων ἡ μὲν οὐσία κρατοῦσα θείαν ἐποίει ψυχήν, ἡ δὲ ταυτότης δαιμονίαν, ἡ δὲ ἑτερότης μερικήν.* Daemones sunt dis affines; in Alcib. 22 p. 71 Cr. *τῶν γὰρ δαιμόνων τούτων κατὰ τὸ μέσον, ὡς εἴπομεν, τεταγμένων οἱ μὲν πρώτιστοι θεῖοι δαίμονές εἰσι καὶ θεοὶ φανταζόμενοι πολλάκις διὰ τὴν ὑπερβάλλουσαν ὁμοιότητα πρὸς τοὺς θεούς· ὡς γὰρ καθ' ὅλου*

φάναι πάσης τάξεως τὸ πρώτιστον σῴζει τὴν τοῦ πρὸ ἑαυτοῦ μορφήν, cf. **RP** 540a. Hominea cum dis non coniunguntur nisi per daemonas: in Alcib. 19 p. 63 Cr.

animae humanae natura

Inst. Theol. 211 p. 502 P. 314 Cr. *Πᾶσα μερικὴ ψυχὴ*[a] 542
κατιοῦσα εἰς γένεσιν ὅλη κάτεισι καὶ οὐ τὸ μὲν αὐτῆς ἄνω μένει τὸ δὲ κάτεισιν. εἰ γάρ τι μένοι τῆς ψυχῆς ἐν τῷ νοητῷ, ἢ ἀμεταβάτως νοήσει ἀεὶ ἢ μεταβατικῶς· ἀλλ' εἰ μὲν ἀμεταβάτως, νοῦς ἔσται καὶ οὐ μέρος ψυχῆς, καὶ ἔσται ἡ ψυχὴ προσεχῶς[b] *νοῦ μετέχουσα· τοῦτο δὲ ἀδύνατον. εἰ δὲ μεταβατικῶς, ἐκ τοῦ ἀεὶ νοοῦντος <κἀκ τοῦ ποτὲ νοοῦντος>*[1] *μία οὐσία ἔσται. ἀλλ' ἀδύνατον· ταῦτα γὰρ ἀεὶ διαφέρει, ὡς δέδεικτει, πρὸς τῷ καὶ ἄτοπον εἶναι τὸ τῆς ψυχῆς ἀκρότατον ἀεὶ τέλειον ὂν μὴ κρατεῖν τῶν ἄλλων δυνάμεων κἀκείνας τελείας ποιεῖν. πᾶσα ἄρα <μερικὴ> ψυχὴ <ὅλη>*[2] *κάτεισιν*[c].

a. Cf. **RP** 541 b.

b. H. e. *ἀμέσως*, cf. ib. 175, **RP** 540a.

c. Disputantur haec adversus Plotinum, cf. **RP** 515c; 516c. Similiter Iamblichus **RP** 528. Cf. Procl. in Alcib. 76 p. 227 *οὔτε αὖ ἐκείνους (ἀποδεξόμεθα τοὺς λόγους), ὅσοι μέρος μὲν εἶναι τῆς θείας οὐσίας λέγουσι τὴν ψυχήν, ὅμοιον δὲ τῷ ὅλῳ τὸ μέρος καὶ ἀεὶ τέλειον, τὸν δὲ θόρυβον εἶναι καὶ τὰ πάθη περὶ τὸ ζῷον.* Malum non a materia repetebat (**RP** 540a), sed ab inclinatione animae, v. in Tim. V p. 335 B. 815 Schn. *τῶν κακῶν ἑαυτῷ τὸ θνητὸν ζῷον αἴτιον,* cf. De malo 226 sq.; 254 sq. Cs. et Iamblich. **RP** 528.

animi ad summum bonum elatio

Theol. Plat. I 25 p. 61 P. *τί οὖν ἡμᾶς ἑνώσει πρὸς αὐτό* 543
(τὸ ἀγαθόν); τί τῆς ἐνεργείας παύσει καὶ κινήσεως; τί δὲ τὰ θεῖα πάντα καὶ τῇ πρωτίστῃ καὶ ἀρρήτῳ τῆς ἀγαθότητος ἑνάδι συνίστησι; — ὡς μὲν τὸ ὅλον εἰπεῖν, τῶν θεῶν πίστις ἐστὶν ἡ πρὸς τὸ ἀγαθὸν ἀρρήτως ἑνίζουσα τὰ θεῶν γένη σύμπαντα καὶ δαιμόνων καὶ ψυχῶν τὰς εὐδαίμονας. δεῖ γὰρ οὐ γνωστικῶς οὐδὲ ἀτελῶς τὸ ἀγαθὸν ἐπιζητεῖν, ἀλλ' ἐπιδόντας ἑαυτοὺς τῷ θείῳ φωτὶ καὶ μύσαντας οὕτως ἐνιδρύεσθαι τῇ ἀγνώστῳ καὶ κρυφίᾳ τῶν ὄντων ἑνάδι. — ἡ δέ γε τῶν θεῶν πίστις ἅπασαν ὑπεραίρει γνῶσιν καὶ κατ' αὐτὴν ἄκραν τὴν ἕνωσιν συνάπτει τὰ δεύτερα τοῖς πρώτοις. —

---

1) *κἀκ τ. π. νοοῦντος* inseruit Creuzer. — 2) *μερικὴ* et *ὅλη* addidit Creuzer.

p. 62. καὶ τοῦτο (τὸ ἀγαθὸν) μάλιστα τοῖς οὖσιν ἅπασι πιστόν. — p. 63. ἵν᾽ οὖν συνελόντες εἴπωμεν, τρία μέν ἐστι τὰ πληρωτικὰ ταῦτα τῶν θείων διὰ πάντων πληροῦντα τῶν κρειττόνων γενῶν, ἀγαθότης σοφία κάλλος· τρία δὲ αὖ καὶ τῶν πληρουμένων συναγωγά, δεύτερα μὲν ἐκείνων διήκοντα δὲ εἰς πάσας τὰς θείας διακοσμήσεις, πίστις καὶ ἀλήθεια καὶ ἔρως. σῴζεται δὲ πάντα διὰ τούτων καὶ συνάπτεται ταῖς πρωτουργοῖς αἰτίαις, τὰ μὲν διὰ τῆς ἐρωτικῆς μανίας, τὰ δὲ διὰ τῆς θείας φιλοσοφίας, τὰ δὲ διὰ τῆς θεουργικῆς δυνάμεως, ἣ κρείττων ἐστὶν ἁπάσης ἀνθρωπίνης σωφροσύνης καὶ ἐπισυλλαβοῦσα τά τε τῆς μαντικῆς ἀγαθὰ καὶ τὰς τῆς τελεσιουργικῆς καθαρτικὰς δυνάμεις καὶ πάντα ἁπλῶς τὰ τῆς ἐνθέου κατακωχῆς ἐνεργήματα[b].

a. In Tim. II p. 92 Bas. 218 Schn. ἡ γὰρ ἐν συνθέσει φερομένη διέξοδος ἀδυνατεῖ τὴν ἑνοειδῆ καὶ ἁπλῆν παριστάνειν φύσιν. τί οὖν, φαίη τις ἄν, οὐχὶ πολλὰ καὶ περὶ τοῦ δημιουργοῦ καὶ περὶ τῶν ἄλλων θεῶν καὶ ὑπὲρ τοῦ ἑνὸς αὐτοῦ λέγομεν; περὶ αὐτῶν μὲν λέγομεν, αὐτὸ δὲ ἕκαστον οὐ λέγομεν, καὶ ἐπιστημονικῶς μὲν δυνάμεθα λέγειν, νοερῶς δὲ οὔ. — Νοῦς enim praestantior est scientia: Theol. Plat. I 25 p. 62 P. νοῦς γὰρ ἐπέκεινα πάσης ἐπιστήμης ἵδρυται.

b. Cf. Ritter, *Gesch. d. Philos.* IV[2] 705. Idem persequitur in Alcib. 16 p. 51 sq., ubi fides veritati et amori eo maxime praestare dicitur, quod sit ἑδράζουσα τὰ πάντα καὶ ἐνιδρύουσα τῷ ἀγαθῷ.

544 Phot. Bibl. cod. 181 p. 213 H. 126[b] B. Ὁ δὲ Δαμάσκιος[a] τήν τε ῥητορεύουσαν τέχνην ὑπὸ Θέωνι τρία ἔτη ὅλα διεπόνησε καὶ προὔστη διατριβῶν ῥητορικῶν ἐπὶ ἔτη ἐννέα, γεωμετρίας δὲ καὶ ἀριθμητικῆς καὶ τῶν ἄλλων μαθημάτων Μαρῖνον[b] τὸν διάδοχον Πρόκλου ἐν Ἀθήναις ἔσχε διδάσκαλον. τῆς δὲ φιλοσόφου θεωρίας ὅ τε Ζηνόδοτος αὐτῷ καθηγεμὼν Ἀθήνησι καὶ αὐτὸς ἐγεγόνει (διάδοχος δὲ καὶ οὗτος Πρόκλου, τὰ δεύτερα Μαρίνου φέρων) καὶ Ἀμμώνιος ἐν Ἀλεξανδρείᾳ ὁ Ἑρμείου[c], ὃν οὐ μικρῷ μέτρῳ τῶν καθ᾽ ἑαυτὸν ἐπὶ φιλοσοφίᾳ φησὶ διαφέρειν, καὶ μάλιστα τοῖς μαθήμασι. τοῦτον καὶ τῶν Πλατωνικῶν ἐξηγητὴν αὐτῷ γεγενῆσθαι Δαμάσκιος ἀναγράφει, καὶ τῆς συντάξεως τῶν ἀστρονομικῶν Πτολεμαίου βιβλίων. τῆς μέντοι διαλεκτικῆς τριβῆς τὰς Ἰσιδώρου συνουσίας τὴν ἰσχὺν αὐτῷ διατείνεται παρασχεῖν, ὃν καὶ ἐπὶ τῇ τοιαύτῃ τῶν λόγων δυνάμει πάντας ἀνθρώπους, ὅσους ὁ κατ᾽ ἐκείνην τὴν γενεὰν ἤνεγκε χρόνος, ἀποκρύψασθαί φησιν[d]. Damascius

a. Damascius cognomine Diadochus, nam videtur Isidori in schola Platonica quae Athenis erat successor fuisse, floruit imperante Iustiniano I (a. 527—565), v. Suid. v. *Δαμάσκιος*; patria Syrus erat. De extremis eius fatis v. RP 547. Ex libris praeter excerpta nonnulla et nondum edita exstant *ἀπορίαι καὶ λύσεις περὶ τῶν πρώτων ἀρχῶν*, ed. Kopp, Francof. ad M. 1826. Cf. Ruelle, *le philosophe Dam.*, Paris. 1861. E. Heitz, *der Philosoph. D.* in comment. Zellero oblatis Friburg. 1884, 1—24. Z. III 2[3] 837 sq.

b. V. RP 536.

Ammonius

c. Huius Ammonii exstant commentarii in nonnulla scripta Aristotelis satis illi quidem sobrii, quibus Platonis doctrina cum Aristotelis placitis conciliatur. Discipulus erat Proculi et institutor non tantum Damascii, sed etiam Simplicii, Ioannis Philoponi, aliorum, v. Z. p. 829 sq.

Isidorus

d. Isidorus, auditor Proculi, Marini in schola Atheniensi successor: Phot. Bibl. c. 242 p. 568 H. 348[a] Bk. Vitam eius scripsit Damascius, ex quo libro multa excerpsit Photius Bibl. c. 181. 242: unde de fanatica huius disciplinae indole iudicari potest. Imprimis cf. c. 242 p. 568 b H. 348[a] Bk. *εἰ δὲ θειότερον χρῆμα, ὡς σὺ φὴς ὦ Ἡγία, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰσίδωρος, ἡ ἱερατικὴ πραγματεία, φημὶ μὲν τοῦτο κἀγώ· ἀλλὰ πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. διὰ τοῦτο καὶ ὁ Πλάτων ἔφη μὴ ἐλθεῖν εἰς ἀνθρώπους μεῖζον ἀγαθὸν φιλοσοφίας. ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξηροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς.* De dialectica eius alii minus bene iudicabant, v. Suid. v. *Ἰσίδωρος*, et vituperabat eum ipse Damascius: Phot. Bibl. c. 181 p. 212 H. 126[a] Bk. *διὸ καὶ Ἰσίδωρον οὐχ ἧττον ἐπαινῶν ἢ ψόγοις περιβάλλων διατελεῖ.* Cf. Z. p. 834.

natura principii rerum ignota

De Princip. 2 p. 5 K. *Μαντεύεται ἄρα ἡμῶν ἡ ψυχὴ* 545 *τῶν ὁπωσοῦν πάντων ἐπινοουμένων εἶναι ἀρχὴν ἐπέκεινα πάντων ἀσύντακτον πρὸς πάντα· οὐδὲ ἄρα ἀρχὴν οὐδὲ αἴτιον ἐκείνην κλητέον οὐδὲ πρῶτον οὐδέ γε πρὸ πάντων οὐδ᾽ ἐπέκεινα πάντων· σχολῇ γε ἄρα πάντα αὐτὴν ὑμνητέον· οὐδ᾽ ὅλως ὑμνητέον οὐδ᾽ ἐννοητέον οὐδὲ ὑπονοητέον.* — 6. *φέρε οὖν τὸ δεύτερον αὐτὸ τοῦτο κατίδωμεν, ὅπως λέγεται ἄγνωστον εἶναι παντελῶς· εἰ γὰρ τοῦτο ἀληθές, πῶς ταῦτα πάντα περὶ αὐτοῦ διαταττόμενοι γράφομεν; οὐ γὰρ δὴ λογοποιοῦμεν πολλὰ ληροῦντες περὶ ὧν οὐκ ἴσμεν. εἰ δέ ἐστιν ἀσύντακτον τῷ ὄντι πρὸς πάντα καὶ ἄσχετον πρὸς πάντα καὶ οὐδὲν τῶν πάντων οὐδὲ αὐτὸ τὸ ἕν, αὐτὰ ταῦτα φύσις αὐτοῦ ἐστιν, ἣν ὡς γινώσκοντες διακείμεθα καὶ ἄλλους διατιθέναι σπουδάζομεν. ἔτι δὲ αὐτὸ τὸ ἄγνωστον αὐτοῦ ἢ γινώσκομεν ὅτι ἄγνωστον ἢ ἀγνοοῦμεν· ἀλλ᾽ εἰ μὲν τοῦτο, πῶς λέγομεν*

ὅτι πάντῃ ἄγνωστον; εἰ δὲ γινώσκομεν, ταύτῃ ἄρα γνωστόν, ἢ ἄγνωστον γινώσκεται ὅτι ἄγνωστον. — καὶ γάρ ἐστιν ἁπλῶς ἡ τοιαύτη γνῶσις οὐκ ἐκείνου, ἀλλὰ τῆς οἰκείας ἀγνοίας· καὶ δὴ καὶ ἡμεῖς ἄγνωστον ἐκεῖνο λέγοντες οὐκ αὐτοῦ τι ἀπαγγέλλομεν, ἀλλὰ τὸ περὶ αὐτὸ πάθος ἡμῶν ὁμολογοῦμεν. — 7 p. 19 πῶς γὰρ ἐκεῖνο ἄγνωστον λέγομεν; ἑνὶ μὲν λόγῳ τῷ ῥηθέντι, ὅτι ἀεὶ τὸ ὑπὲρ τὴν γνῶσιν τιμιώτερον εὑρίσκομεν. ὥστε τὸ ὑπὲρ ἅπασαν γνῶσιν, εἴπερ ἦν εὑρετόν, εὑρεθείη ἂν καὶ αὐτὸ τιμιώτατον. — p. 20 εἰ τοίνυν τὸ ἓν ἔσχατόν ἐστι γνωστὸν τῶν ὅπως ποτὲ γνωριζομένων ἢ ὑπονοουμένων, καὶ τὸ τοῦ ἑνὸς ἐπέκεινα τὸ πρώτως ἐστὶ καὶ πάντῃ ἄγνωστον, ὅπερ οὕτως ἐστὶν ἄγνωστον, ὡς μηδὲ τὸ ἄγνωστον ἔχειν φύσιν, μηδὲ ὡς ἀγνώστῳ προσβάλλειν ἡμᾶς, ἀγνοεῖν δὲ καὶ εἰ ἄγνωστον. παντελὴς γὰρ ἄγνοια περὶ αὐτό. — p. 23 καὶ τί πέρας ἔσται τοῦ λόγου πλὴν σιγῆς ἀμηχάνου καὶ ὁμολογίας τοῦ μηδὲν γινώσκειν ὧν μηδὲ θέμις, ἀδυνάτων ὄντων εἰς γνῶσιν ἐλθεῖν;

546 Ib. 73 p. 204 K. *Πῶς οὖν τό γε ἡνωμένον*[a] *διακέκριται;* Unius quasi progressio
ἀντιφάσει γὰρ ἔοικε τὸ λεγόμενον· ἔστι γὰρ μείζων ἡ ἀπορία, εἰ τὸ ἡνωμένον πρὸς τὸ ἓν παραβάλοιμεν ὡς προεληλυθὸς ἀπὸ τοῦ προάγοντος. ἢ τοῦτο μὲν τῆς ἡνωμένης φύσεως ἐξαίρετόν ἐστι τὸ μὴ ἀνασχέσθαι τῆς πρὸς τὸ ἓν διακρίσεως οὐδὲ τῆς ἀπ᾽ ἐκείνου προόδου, ἀλλὰ περὶ αὐτὸ πεφυκέναι καὶ ἐν τούτῳ ἐκεῖνο τὸ ἡνωμένον εἶναι, ἐν τῷ μὴ ἑαυτοῦ εἶναι ἀλλὰ τοῦ ἑνός. — 107 p. 335. ἀλλ᾽ ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν, ὅτι τὸ νοητὸν οὐκ ἂν προέλθοι τὴν ἔξω πρόοδον, ὅ γε οὐδὲ τὴν εἴσω πρόεισιν· ὥστε οὔτε μεθεκτὸν πλῆθος οὔτε ἀμέθεκτον[b] πέφυκε προάγειν ὃ μονοειδές ἐστι καὶ ἀδιάκριτον. — δεῖ οὖν μὴ ἐπιμένειν αὐτῇ (τῇ διακρίσει), ἀλλὰ φεύγειν προτροπάδην οὐ νοῦν τιθέμενοι ἐκεῖνον (τὸν νοῦν) ἀλλ᾽ οἷον νοῦν, οὐδὲ ζωὴν ἀλλ᾽ οἷον ζωήν, οὐδὲ οὐσίαν ἀλλ᾽ οἷον οὐσίαν, οὐδὲ ὅλως πρόοδον ἀλλ᾽ οἷον πρόοδον[c]. — p. 138. ὅπερ οὖν ἄρτι ἔλεγον, ταὐτὸν τὸ εἴσω καὶ τὸ ἔξω πλῆθος ἐν τῷ νοητῷ φαντάζεται. ὡς οὖν ἔξω τοῦ νοεροῦ διακόσμου παντὸς οὐδεὶς ἂν προέλθοι νοῦς (πᾶς γὰρ ἐν αὐτῷ περιέχοιτο ἄν), καὶ ὡς ἔξω τοῦ ψυχικοῦ οὐδεμία ψυχὴ (περιέχοιτο γὰρ ἂν καὶ αὕτη ἐν τῷ οἰκείῳ διακόσμῳ), οὕτω

καὶ τοῦ νοητοῦ διακόσμου ἐκτὸς οὐκ ἂν εἴη τὸ νοητόν. οὐ τοίνυν ἄλλο μὲν τὸ μεθεκτόν, ἄλλο δὲ τὸ ἀμέθεκτον· συνῄρηται γὰρ καὶ αὐτὰ δύο ὄντα πλήθη εἰς ἓν τὸ ἁπλῶς τε καὶ ἡνωμένον πλῆθος ὁπωσοῦν λεγόμενον. τὸ γὰρ αὐτὸ καὶ πᾶσιν ἐποχεῖται καὶ πάντων ἐξῄρηται. οὐ γὰρ ἀντιδιῄρηται τὸ μεθεκτὸν τῷ ἀμεθέκτῳ, ἀλλὰ πρὸ τῆς ἀντιδιαιρέσεως τεταγμένον τὴν συναμφότερον ἔχει δύναμιν, πρὸ ἀμφοῖν ὡς ταὐτὸν ὄν, καὶ μεθεκτὸν εἶναι καὶ ἀμέθεκτον· καθόσον μὲν γὰρ ὑπὲρ τὸ μεθεκτόν, ἀμέθεκτον εἶναι φαντάζεται, καθόσον δὲ ἀποίου[d], *καὶ μεθεκτὸν εἶναι δοκεῖ.* — 118 p. 366. *τρία μὲν οὖν οὐκέτι κλητέον αὐτὰ παθόντα αὐτοῖς τὸ εἶναι τρισὶν οὐδενὸς ἄλλου πεφηνότος ἐκεῖ*[e]*· πλὴν ἡμεῖς γε ἀνθρωπίνως διαλεγόμενοι περὶ τῶν ὑπερθειοτάτων ἀρχῶν οὐκ ἔχομεν ἄλλως οὔτε ἐννοεῖν οὔτε ὀνομάζειν ἢ οὕτως, ὡς ἀναγκαζόμεθα χρῆσθαι τοῖς λόγοις ὑπὲρ τῶν εἰς τὰ ἐπέκεινα ἀνεχόντων τοῦ παντὸς καὶ ζωῆς καὶ οὐσίας πραγμάτων.*

a. Id quod cum Uno coniunctum est.

b. Impugnatur contrarium, quod posuerat Proculus (**RP** 538; 539). Sequitur autem Damascius in his Plotinum, cuius doctrinam, quod statuebat non totam animam in mundum sensibilem descendisse, sed restitisse in ea aliquid *ἀπαθές*, Iamblichus (**RP** 528) et Proculus aspernati erant. In Parm. in cod. Monac. fol. 308ᵛ ap. Creuzer. ad Procl. Inst. Theol. p. 315 *ὥστε ἀληθινὸς ὁ Πλωτίνου λόγος ὡς οὐ πᾶσα κάτεισιν ἡ ψυχή.* — *Πρόοδος* secundum Damascium non vere progressio est, sed mansio in superiore: De Princ. 74 *πᾶν μὲν οὖν τὸ προεληλυθὸς καὶ ἐν τῇ φύσει καὶ ἐν τοῖς ὅροις μένει τῶν οἰκείων αἰτίων.* Ib. 75 *ἔστω τοίνυν αὐτὴ μὲν πρόοδος αὐτὴ δὲ ἡ μονή, καὶ συμπεφυκέτω ἀεὶ ἑκατέρα τῇ ἑτέρᾳ. — τοιγαροῦν ψυχὴ τὴν ἑαυτῆς πρόοδον ἀναλύει διὰ τῆς ἐπιστροφῆς· ἀλλ' εἰ τοῦτο, οὐκ ἔτι ἔσται προεληλυθός· ἀπολεῖ γὰρ τοῦτο, εἰ ἐπιστρέψειεν.*

c. Hoc ubique sequitur Damascius, id quod proficiscatur ex alio manere in natura eius unde proficiscatur, h. e. eiusdem atque illud generis esse. Ib. 74; v. not. b. Itaque si *τὸ μεθεκτὸν* proficiscitur ex *ἀμεθέκτου*, sequitur ut sit etiam hoc *μεθεκτόν*.

d. Tria principia igitur vere Unum sunt et Unum vere tria: ib. 117 *ἔστω γὰρ τὸ ἁπλῶς ἓν τῷ ὄντι τὸ ἀνάριθμον, καὶ εἰ χρὴ φάναι σαφέστερον, ἀτρίαστον καὶ ἀμονάδιστον.* Ita quidquid ponitur a Damascio, in subsequentibus tollitur.

veteris philosophiae exitus

Agath. Hist. II 30 p. 231 Dind. *Οὐ πολλῷ γὰρ ἔμπροσθεν Δαμάσκιος ὁ Σύρος καὶ Σιμπλίκιος ὁ Κίλιξ Εὐλά-* 547

λιός [1] τε ὁ Φρὺξ καὶ Πρισκιανὸς ὁ Λυδὸς Ἑρμείας τε καὶ Διογένης οἱ ἐκ Φοινίκης καὶ Ἰσίδωρος ὁ Γαζαῖος [a], οὗτοι δὴ οὖν ἅπαντες τὸ ἄκρον ἄωτον κατὰ τὴν ποίησιν τῶν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ φιλοσοφησάντων, ἐπειδὴ αὐτοὺς ἡ παρὰ Ῥωμαίοις κρατοῦσα ἐπὶ τῷ κρείττονι δόξα οὐκ ἤρεσκεν, ᾤοντό τε τὴν Περσικὴν πολιτείαν πολλῷ εἶναι ἀμείνονα, τούτοις δὴ τοῖς ὑπὸ τῶν πολλῶν περιᾳδομένοις ἀναπεπεισμένοι ὡς εἴη παρ' ἐκείνοις δικαιότατον μὲν τὸ ἄρχον καὶ ὁποῖον εἶναι ὁ Πλάτωνος βούλεται λόγος φιλοσοφίας τε καὶ βασιλείας ἐς ταὐτὸ ξυνελθούσης, σῶφρον δὲ ἐς τὰ μάλιστα καὶ κόσμιον τὸ κατήκοον [b]. — τούτοις δὴ οὖν ὡς ἀληθέσιν ἀρθέντες καὶ πρός γε ἀπειρημένον αὐτοῖς ἐκ τῶν νόμων ἀδεῶς ἐνταῦθα ἐμπολιτεύεσθαι ὡς τῷ καθεστῶτι οὐχ ἑπομένοις [c], οἱ δὲ αὐτίκα ἀπιόντες ᾤχοντο ἐς ἀλλοδαπὰ καὶ ἄμικτα ἤθη ὡς ἐκεῖσε τὸ λοιπὸν βιωσόμενοι. πρῶτον μὲν οὖν τοὺς ἐν τέλει ἀλαζόνας μάλα εὑρόντες καὶ πέρα τοῦ δέοντος ἐξωγκωμένους ἐβδελύττοντό γε αὐτοὺς καὶ ἐκάκιζον· ἔπειτα δὲ ἑώρων ὡς τοιχωρύχοι τε πολλοὶ καὶ λωποδύται οἱ μὲν ἡλίσκοντο οἱ δὲ καὶ διελάνθανον, ἅπαν δὲ εἶδος ἀδικίας ἡμαρτάνετο. καὶ γὰρ οἱ δυνατοὶ τοὺς ἐλάττονας λυμαίνονται ὠμότητί τε πολλῇ χρῶνται κατ' ἀλλήλων καὶ ἀπανθρωπίᾳ, καὶ τὸ δὴ πάντων παραλογώτερον, ἐξὸν γὰρ ἑκάστῳ μυρίας ὅσας ἄγεσθαι γαμετάς, καὶ τοίνυν ἀγομένοις, ἀλλὰ μοιχεῖαί γε ὅμως τολμῶνται. τούτων δὴ οὖν ἁπάντων ἕκατι οἱ φιλόσοφοι ἐδυσφόρουν καὶ σφᾶς αὐτοὺς ᾐτιῶντο τῆς μεταστάσεως.

31. ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ διαλεχθέντες ἐψεύσθησαν τῆς ἐλπίδος ἄνδρα εὑρόντες φιλοσοφεῖν μὲν φρυαττόμενον, οὐδὲν δὲ ὅ τι καὶ ἐπαΐοντα τῶν αἰπυτέρων, ὅτι τε αὐτοῖς οὐδὲ τῆς δόξης ἐκοινώνει, ἕτερα δὲ ἄττα ἐνόμιζεν ὁποῖα ἤδη μοι εἴρηται [d], τήν τε τῶν μίξεων κακοδαιμονίαν οὐκ ἐνεγκόντες ὡς τάχιστα ἐπανῄεσαν. καίτοι ἔστεργέ τε αὐτοὺς ἐκεῖνος καὶ μένειν ἠξίου, οἱ δὲ ἄμεινον εἶναί σφισιν ἡγοῦντο ἐπιβάντες μόνον τῶν Ῥωμαϊκῶν ὁρίων αὐτίκα οὕτω παρασχὸν καὶ τεθνάναι ἢ μένοντες παρὰ Πέρσαις τῶν μεγίστων γερῶν μεταλαγχάνειν. οὕτω τε ἅπαντες οἴκαδε ἀπενόστησαν χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ. ἀπώναντο δὲ ὅμως τῆς

1) *Εὐλάλιος* Suidas: *Εὐλάμιος* Agathii codd.

ἐκδημίας οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελημένῳ, ἀλλ' ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος εἰς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. ἐπειδὴ γὰρ κατ' ἐκεῖνο τοῦ χρόνου Ῥωμαῖοί τε καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ ξυνθήκας, μέρος ὑπῆρχε τῶν κατ' αὐτὰς ἀναγεγραμμένων τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας ἐς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τὸ λοιπὸν ἐφ' ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους.

a. Hic Isidorus alius videtur esse atque Alexandrinus ille qui memoratur **RP** 544, cf. Suid. v. *Συριανός*. Damascius vero et Simplicius iidem sunt, de quibus dictum est **RP** 544 b, hic commentariis in Aristotelem et Epictetum scriptis satis in historia philosophiae nobilis, v. Z. III 2[3] 844 sq. Exsulatio illa voluntaria, de qua narrat Agathias, incidit in a. 532. Cf. Zumpt, Comment. Ac. Berol. a. 1842 p. 59 sq.

Simplicius

b. Nimias istas exspectationes commoverat ut videtur inveterata illa opinio, quod putabant orientem esse matrem ac sedem priscae sapientiae, a qua descivissent Graeci novatores. Cf. de Myster. Aeg. VII 5 p. 25 9 P. *μεταβαλλόμενα ἀεὶ διὰ τὴν καινοτομίαν καὶ παρανομίαν τῶν Ἑλλήνων οὐδὲν παύεται. φύσει γὰρ Ἕλληνές εἰσι νεωτεροποιοὶ καὶ ᾄττοντες φέρονται πανταχῇ οὐδὲν ἔχοντες ἕρμα ἐν ἑαυτοῖς οὐδ' ὅπερ ἂν δέξωνται παρά τινων διαφυλάττοντες, ἀλλὰ καὶ τοῦτο ὀξέως ἀφέντες πάντα κατὰ τὴν ἄστατον εὑρεσιλογίαν μεταπλάττουσι· βάρβαροι δὲ μόνιμοι τοῖς ἤθεσιν ὄντες καὶ τοῖς λόγοις βεβαίως τοῖς αὐτοῖς ἐμμένουσι.* Sed cf. Z. III 2[3] 850[4].

c. I. e. sacris Christianorum. Nam imperator Iustinianus paganos persequebatur philosophiaeque doctoribus stipendium ademit et scholas eorum interdixit: Zonar. Annal. XIV 6 p. 274 Dindf.; Ioann. Malal. Chronogr. XVIII p. 184: 187 Oxon. *ἐπὶ δὲ τῆς ὑπατείας τοῦ αὐτοῦ Δεκίου* (a. 529) *ὁ αὐτὸς βασιλεὺς θεσπίσας πρόσταξιν ἔπεμψεν ἐν Ἀθήναις κελεύσας μηδένα διδάσκειν φιλοσοφίαν μήτε νόμιμα ἐξηγεῖσθαι.*

d. In antecedentibus narraverat Chosroem, regem Persarum, Uranium philosophum Graecum secum habuisse, hominem foedissimum, Scepticorum placita professum. Chosroes regnabat inde ab a. 531. Pacem, cuius hoc loco mentio fit, cum Iustiniano pepigit a. 533.

Index temporum.

Thales floret a. 585.
Anaximander natus c. a. 610, floret c. a. 566.
Anaximenes floret c. a. 548.
Pythagoras natus c. a. 572, obit c. a. 500.
Xenophanes natus c. a. 576, obit c. a. 480.
Heraclitus floret c. a. 504.
Parmenides floret c. a. 504.
Anaxagoras natus a. 500, obit a. 428.
Zeno Eleates floret c. a. 464.
Diogenes Apolloniates floret ante a. 423.
Archelaus floret c. a. 450.
Philolaus floret c. a. 440.
Protagoras natus a. 480, obit a. 411.
Empedocles floret c. a. 455.
Melissus Samum contra Periclem defendit a. 441.
Gorgias natus c. a. 483, legatus Athenis 427, obit c. a. 375.
Democritus natus c. a. 460, floret c. a. 420.
Prodicus floret c. a. 430.
Socrates natus a. 468, obit a. 399.
Euclides Megaricus floret a. 399.
Aristippus, Antisthenes, Aeschines } florent c. a. 400—365.
Archytas floret c. a. 400—365.
Plato natus a. 427, obit a. 347.
Aristoteles natus a. 384, obit a. 322.
Speusippus Academiae praeest a. 347—339.
Xenocrates Academiae praeest a. 339—314.
Pyrrho Scepticus floret c. a. 330.
Diogenes Cynicus obit a. 323.
Theophrastus succedit Aristoteli a. 322, obit a. 287.
Aristoxenus floret c. a. 320.
Dicaearchus floret c. a. 320.

Polemo Academiae praeest a. 314—270.
Stilpo Megaricus natus c. a. 370, obit c. a. 290.
Epicurus natus a. 341, obit a. 270.
Arcesilas succedit Crateti c. a. 276, obit a. 241.
Strato succedit Theophrasto a. 287.
Crates succedit Polemoni a. 270.
Timo Phliasius natus c. a. 315, obit c. a. 226.
Zeno Citieus floret c. 300, obit a. 264.
Lyco succedit Stratoni a. 269, obit a. 225.
Cleanthes natus a. 331, succedit Zenoni a. 264.
Chrysippus natus a. 280, obit a. 207.
Carneades natus a. 213, obit a. 129.
Sotio Alexandrinus successiones philosophorum componit c. a. 200.
Hermippus vitas philosophorum componit c. a. 200.
Philosophi Roma eiecti a. 161.
Legatio philosophorum, Diogenis Stoici, Critolai Peripatetici, Carneadis Academici, Romam missa a. 156.
Apollodori Chronica primum edita a. 144, iterum post a. 119.
Antipater Tarsensis Diogeni Stoico succedit c. a. 150.
Panaetius comes Scipionis Africani a. 143.
Clitomachus Carthaginiensis succedit Carneadi a. 129.
Philo Academicus Romam fugit a. 88, obit c. a. 80.
Antiochus Academicus floret Athenis a. 79, obit c. a. 69.
Posidonius Stoicus natus c. a. 130, obit c. a. 46.
Sulla bibliothecam Apellicontis Romam transportat a. 84.
Aenesidemus Scepticus floret c. a. 80—50.
Zeno Epicureus floret a. 79.
Lucretius natus a. 96, obit a. 55.
Philodemus Epicureus floret Romae c. a. 50.
Cicero philosophiam libris variis illustrat a. 45—44.
Andronicus Peripateticus floret a. 65—50.
Sextius pater floret a. 40.
Philo Iudaeus natus c. a. 30 a. Chr. n., legatus ad Caligulam mittitur a. 40 p. Chr. n.
Demetrius Cynicus floret c. a. 39—71.
Apollonius Tyanensis floret c. a. 40—97.
Seneca Neronem instituit a. 49, obit a. 65.
Musonius Stoicus floret c. a. 65—80.
Plutarchus floret c. a. 68—125.
Epictetus Roma expulsus a. 94.
Favorinus floret c. a. 120—150.
M. Aurelius Antoninus natus a. 120, imperator a. 161—180.
Numenius floret c. a. 160—180.
Sextus Empiricus floret c. a. 180—210.
Alexander Aphrodisiensis floret a. 200.

Ammonius Saccas floret a. 200—242.
Plotinus natus a. 205, obit a. 270.
Porphyrius natus a. 233, floret a. 263—301.
Iamblichus floret c. a. 310—330.
Aedesius succedit Iamblicho c. a. 330, obit c. a. 360.
Plutarchus Nestorii f. obit a. 431.
Syrianus succedit Plutarcho a. 431.
Proculus natus a. 410, f. obit a. 485.
Ammonius Hermiae f. floret a. 500.
Boethius consul a. 510, obit a. 524.
Damascius floret a. 525.
Iohannes Philoponus floret c. a. 530.
Damascius, Simplicius, Isidorus apud Chosroem regem Persarum a. 532.
Simplicii commentarius in Aristotelis Physica a. 536.

Index nominum.

(Numeris indicantur paragraphi.)

Index verborum et rerum insigniorum.